Notes du mont Royal

www.notesdumontroyal.com

Cette œuvre est hébergée sur « *Notes du mont Royal* » dans le cadre d'un exposé gratuit sur la littérature.

SOURCE DES IMAGES

Google Livres

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ.

FLAVII JOSEPHI

OPERA.

PARISIIS. —EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB. 56.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ.

FLAVII JOSEPHI

OPERA.

GRÆCE ET LATINE.

RECOGNOVIT

GUILELMUS DINDORFIUS.

VOLUMEN SECUNDUM.

ACCEDUNT ECLOGÆ PHOTIANÆ QUÆ PERTINENT AD HISTORIAM JUDÆORUM.

SUBJECTI SUNT INDICES PLENISSIMI ET FRAGMENTA NOVA
POLYBII, DIONYSII, DEXIPPI, EUSEBII.

PARISIIS,

EDITORE AMBROSIO FIRMIN DIDOT,

INSTITUTI REGII FRANCIÆ TYPOGRAPHO.

M DCCC XLVII.

COLLEGIUM ANGIENSE
SOCIETATIS JESU
IHS

PRÆFATIO G. DINDORFII.

Josephi opera postquam proximis post inventam artem typographicam temporibus plusquam vicies Latine edita essent, Græce primum prodierunt Basileæ a. 1544 opera Arnoldi Peraxyli Arlenii, codicibus ex quibus ederentur non prudenter delectis, sed, ut ferebat illorum temporum in arte critica infantia, omnium prope qui adhuc innotuerunt nequissimis arreptis. Ea editio postquam aliquoties alibi repetita esset, levissimis factis mutationibus, primus qui paullo diligentiorem in hoc scriptore operam poneret Joannes Hudsonus exstitit, qui non solum novam interpretationem Latinam confecit, sed etiam melioris notæ exemplaria manuscripta, inter quæ eminent Vossiana Leidensia, conquirere cœpit, quorum ope innumera quidem priorum editionum vitia correxit in editione Oxoniensi a. 1720, sed longe plurima tamen aliis agenda reliquit. Quibus perficiendis prorsus imparem se gessit qui editionem Hudsonianam utilibus inutilibusque accessionibus auctam sex annis post Lugduni Batavorum repetivit Sigbertus Havercampus, licet non solum eædem omnes quæ Hudsono præsto ei essent librorum Mss. copiæ, sed novæ etiam et eximiæ suppeterent. Post Havercampum qui Josephi opera attigerunt duos tantum invenio quos hoc loco memorem clari nominis viros, alterum Jo. Aug. Ernestium, qui in Antiquitatum Judaicarum libris multa egregie emendavit in Observationibus post mortem ejus editis a. 1795, alterum Ed. Cardwellum, qui Belli Judaici historiam longe quam adhuc ferebatur emendatiorem cum amplo vetustiorum codicum apparatu Oxonii edidit a. 1837. Eo igitur in loco quum rem esse videret eruditissimus hujus Bibliothecæ editor, Ambr. F. Didot, nullamque quæ repeti posset editionem omnia Josephi scripta complectentem inveniret, ego exemplar Hudsonianum ei concessi, cujus in marginibus plurima vulgatæ lectionis vitia ex codicibus emendaveram, alia ex conjecturis vel aliorum vel meis correxeram, licet bene sentirem quam longe hæc omnia ab ea absint perfectione

quam non poterit attingere nisi qui præstantiores quosdam codices denuo et accuratius quam adhuc factum examinare diuturnamque in scriptore gravissimo et emendando et explanando operam ponere volet. Præterea spem feceram Didotio fore ut alteri huic volumini præfationem præmitterem ejusdem fere ambitus qualem Pausaniæ in alio hujus Bibliothecæ volumine nuper ab se edito præfixit L. Dindorfius. Verum quum post volumen prius aliquo abhinc tempore editum multorum, inprimis theologorum, desiderio satisfactum commodisque melius consultum iri cognovisset Didotius, si grandia nec parvo parabilia Havercampi volumina in posterum etiam adeundi necessitate illos liberaret, mutato consilio tertium, mediocri illud ambitu futurum, addere decrevit volumen, quo quæ ad emendationem et interpretationem utilia vel allata essent (*) vel nova conferri possent breviter exposita complecteretur, addito etiam qui pridem ab me confectus est exquisitioris Græcitatis indice, certiore consilio quam Hudsonianus, quem Havercampus repetivit, instituto.

Scr. Lipsiæ Kal. Dec. 1846.

(*) [Præter edita delectus haberi poterit ex ineditis observationibus *Joannis Boivin*, quibus narratio Josephi multis locis vel explicatur docte vel aliis ex documentis corrigitur. Spes etiam facta nobis est excerptorum ex antiqua translatione Armeniaca, quæ codicum hodie deperditorum locum utilissime supplebit.]

EX PHOTII BIBLIOTHECA.

33.

Ἀνεγνώσθη ΙΟΥΣΤΟΥ ΤΙΒΕΡΙΕΩΣ χρονικόν, οὗ ἡ ἐπιγραφὴ Ἰούστου Τιβεριέως Ἰουδαίων βασιλέων τῶν ἐν τοῖς στέμμασιν. οὗτος ἀπὸ πόλεως τῆς ἐν Γαλιλαίᾳ Τιβεριάδος ὡρμᾶτο. ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ Μωϋσέως, καταλήγει δὲ ἕως τελευτῆς Ἀγρίππα τοῦ ἑβδόμου μὲν τῶν ἀπὸ τῆς οἰκίας Ἡρώδου, ὑστάτου δὲ ἐν τοῖς Ἰουδαίων βασιλεῦσιν, ὃς παρέλαβε μὲν τὴν ἀρχὴν ἐπὶ Κλαυδίου, ηὐξήθη δὲ ἐπὶ Νέρωνος καὶ ἔτι μᾶλλον ὑπὸ Οὐεσπασιανοῦ, τελευτᾷ δὲ ἔτει τρίτῳ Τραϊανοῦ, οὗ καὶ ἡ ἱστορία κατέληξεν. ἔστι δὲ τὴν φράσιν συντομώτατός τε, καὶ τὰ πλεῖστα τῶν ἀναγκαιοτάτων παρατρέχων. ὡς δὲ τὰ Ἰουδαίων νοσῶν, Ἰουδαῖος καὶ αὐτὸς ὑπάρχων τὸ γένος, τῆς Χριστοῦ παρουσίας καὶ τῶν περὶ αὐτὸν τελεσθέντων καὶ τῶν ὑπ' αὐτοῦ τερατουργηθέντων οὐδενὸς ὅλως μνήμην ἐποιήσατο. οὗτος παῖς μὲν ἦν Ἰουδαίου τινὸς ὄνομα Πίστου, ἀνθρώπων δέ, ὥς φησιν Ἰώσηπος, κακουργότατος, χρημάτων τε καὶ ἡδονῶν ἥττων. ἀντεπολιτεύετο δὲ Ἰωσήπῳ, καὶ πολλὰς κατ' ἐκείνου λέγεται ἐπιβουλὰς ῥάψαι· ἀλλὰ τόν γε Ἰώσηπον, καίτοι ὑπὸ χεῖρα πολλάκις λαβόντα τὸν ἐχθρόν, λόγοις μόνον ὀνειδίσαντα ἀπαθῆ κακῶν ἀφεῖναι. καὶ τὴν ἱστορίαν δέ, ἣν ἐκεῖνος ἔγραψε, πεπλασμένην τὰ πλεῖστά φασι τυγχάνειν, καὶ μάλιστα οἷς τὸν Ῥωμαϊκὸν πρὸς Ἰουδαίους διέξεισι πόλεμον καὶ τὴν Ἱεροσολύμων ἅλωσιν.

47.

Ἀνεγνώσθη ΙΩΣΗΠΟΥ Ἰουδαίου τὰ κατὰ Ἰουδαίους πάθη, ἐν οἷς ἥ τε τῆς Ἱερουσαλὴμ ἐπὶ τέλει τῶν λόγων ἅλωσις καὶ ἡ τῆς Μασάδας πολίχνης, πρὸ δὲ τούτων ἡ τῶν Ἰωταπάτων, ἐν ᾗ καὶ αὐτὸς Ἰώσηπος ἦλω, ἔτι δὲ Γισχάλων ἅλωσις καὶ ἄλλων Ἰουδαϊκῶν φρουρίων ἐρημία. ἔστι δὲ αὐτῷ τὸ σύνταγμα ἐν λόγοις ἑπτά. καθαρὸς τὴν φράσιν, καὶ ἀξίωμα λόγου μετὰ εὐκρινείας καὶ ἡδονῆς δεινὸς ἐκφῆναι, πιθανός τε ταῖς δημηγορίαις καὶ ἐπίχαρις, κἂν ἐπὶ τἀναντία ὁ καιρὸς καλῇ χρήσασθαι τῷ λόγῳ, δεξιὸς καὶ γόνιμος ἐνθυμημάτων ἑφ' ἑκάτερα, καὶ γνωμολογικὸς δὲ ὡς εἴ τις ἄλλος, καὶ πάθη τῷ λόγῳ παραστῆσαι ἱκανώτατος, καὶ ἐγεῖραι πάθος καὶ πραῦναι δοκιμώτατος. πολλὰ δὲ σύμβολα καὶ σημεῖα λέγει προϋπάρξαι τῆς Ἱερουσαλὴμ ἁλώσεως· βοῦν τε γὰρ ἐπὶ θυσίαν ἀγομένην ἄρνα τεκεῖν, καὶ φῶς ἀναλάμψαι ἐν τῷ ναῷ, καὶ φωνῆς ἐκεῖθεν ἐπακοῦσαι « μεταβαίνομεν ἐντεῦθεν, » καὶ τὰς τοῦ ἱεροῦ πύλας οὐδ' ὑπὸ ἀνδρῶν εἴκοσιν ἀνοιγομένας αὐτομάτως ἀνεῳχθαι, καὶ στρατὸν ἑσπέρας ἐπιφαίνεσθαι ὅπλοις περιπεφραγμένον, καὶ ἄνθρωπόν τινα (ὄνομα

33.

Lectum est Justi Tiberiensis Chronicon, cujus inscriptio: Justi Tiberiensis regum Judæorum, qui coronati fuerunt. Hic e Tiberiade Galilææ oppido ortum nomenque traxit. Auspicatur historiam a Moyse, perducitque ad exitum usque Agrippæ, septimi e familia Herodis, et Judaicorum regum postremi: qui regnum sub Claudio accepit, crevit sub Nerone, ampliusque dein sub Vespasiano; obiit autem tertio Trajani anno, quo et historiæ finis ducitur. Stylus huic maxime concisus, et pleraque relatu cumprimis necessaria prætermittit. Communi autem Hebræorum vitio laborans, Judæus genere quum esset, de Christi adventu, deque iis quæ ipsi acciderunt, aut de miraculis ab illo patratis, nullam prorsus fecit mentionem. Parentem Hebræum quendam habuit, cui Pisto nomen: mortalium ipse, ut Josephus ait, nequissimus, et pecuniæ cupiditati ac libidini serviens. Contendit idem in republica cum Josepho, cui multas struxisse insidias fertur; Josephus tamen, etsi sæpenumero hostem comprehendisset, verbis duntaxat castigatum, impune abire permisisse. Historiam vero, quam texuit, magnam partem confictam aiunt, eaque potissimum, quibus Romanorum adversus Judæos bellum et Hierosolymorum eversionem persequitur.

47.

Legi Josephum Judæum, De Judaicæ gentis calamitate atque interitu. Quo in libro extremo Hierosolymorum excidium narrat et Masadæ oppidi; et ante hæc Iotapatorum, in quo et ipse Josephus captus; præterea Gischalorum eversionem, et aliorum Judaicorum munimentorum desolationem. Sunt autem hujus operis libri septem. Candidus illi sermo, qui rationum pondus atque momentum cum puritate ac jucunditate exprimere possit. In concionibus persuadendi vi præditus est, ac gratiosus, tum etiam quum suadet opportunitas orationem in contrariam partem flectere. Dextre quoque et copiose enthymematis in utramque partem utitur sententiasque, si quis alius, adhibet. Orationi insuper affectum imprimendi, et concitandi motus eosdemque mox leniendi, est peritissimus.

Multa vero signa atque prodigia Hierosolymorum excidium præcessisse commemorat: bovem ad sacrificium ductam agnum peperisse; lucem in templo splenduisse; vocem exinde auditam: « Hinc abimus; » templi portas, quas ne viginti quidem viri aperire poterant, sponte patuisse; exercitum vesperi visum armis indutum; virum, cui nomen

αὐτῷ ὁ τοῦ Ἀνανίου Ἰησοῦς) μηδὲν ἄλλο ἐπιφθέγγεσθαι ἐπὶ ἔτη ς' καὶ μῆνας γ', ὥσπερ βεβακχευμένον ὄντα ἐπ' αὐτὸ τοῦτο, ἢ τὸ αἲ αἲ τῇ Ἱερουσαλήμ· ὃς καὶ ὑπὲρ τούτου αἰκισθεὶς πλὴν ταύτης τῆς φωνῆς οὐδὲν ἄλλο ἀπεκρίνατο, ἐν αὐτῇ τε τῇ ἁλώσει παρὼν καὶ ἑαυτῷ τὴν τοιαύτην φωνὴν ἐπειπών, λίθῳ βληθεὶς ὑπὸ τῶν πολεμίων, ἐτελεύτησε. τὰ μὲν οὖν προδειχθέντα τῆς ἁλώσεως σημεῖα ταῦτα· ἡ στάσις δὲ τῶν ἐμφυλίων ἡ οἱ πολέμιοι τὴν πόλιν ἐπόρθησαν. εἰς ζηλωτὰς γὰρ ἑαυτοὺς καὶ σικαρίους διαστήσαντες ἀλλήλους τε ἔφθειρον, καὶ τὸ κοινὸν σῶμα ὁ δῆμος ὅπ' ἀμφοῖν πικρῶς τε καὶ ἀνηλεῶς ἐσπαράττετο. λιμός τε οὕτω κατέσχεν ὡς καὶ εἰς ἄλλα μὲν παράνομα τοὺς ἀνθρώπους ἐκδιαιτηθῆναι, καὶ γυναῖκα δὲ τὸ οἰκεῖον τέκνον θοινήσασθαι. καὶ τῷ λιμῷ ὁ λοιμὸς συνεπιλαβόμενος ἐδείκνυ πᾶσιν ἐμφανῶς θεομηνίας ἔργον καὶ τῆς δεσποτικῆς προρρήσεως καὶ ἀπειλῆς τὴν τῆς πόλεως ὑπάρξαι πανωλεθρίαν καὶ ἄλωσιν.

48.

Ἀνεγνώσθη ΙΩΣΗΠΟΥ περὶ τοῦ παντός, ὃ ἐν ἄλλοις ἀνέγνων ἐπιγραφόμενον περὶ τῆς τοῦ παντὸς αἰτίας, ἐν ἄλλοις δὲ περὶ τῆς τοῦ παντὸς οὐσίας. ἔστι δὲ ἐν δυσὶ λογιδίοις. δείκνυσι δὲ ἐν αὐτοῖς πρὸς ἑαυτὸν στασιάζοντα Πλάτωνα, ἐλέγχει δὲ καὶ περὶ ψυχῆς καὶ ὕλης καὶ ἀναστάσεως Ἀλκίνουν ἀλόγως τε καὶ ψευδῶς εἰπόντα, ἀντεισάγει δὲ τὰς οἰκείας περὶ τούτων τῶν ὑποθέσεων δόξας, δείκνυσί τε πρεσβύτερον Ἑλλήνων πολλῷ τὸ Ἰουδαίων γένος. δοξάζει δὲ συγκεῖσθαι τὸν ἄνθρωπον ἐκ πυρὸς καὶ γῆς καὶ ὕδατος, καὶ ἔτι ἐκ πνεύματος, ὃ καὶ ψυχὴν ὀνομάζει. περὶ οὗ πνεύματος αὐταῖς λέξεσιν οὕτω φησί. « τούτου τὸ κυριώτερον ἀνελόμενος ἅμα τῷ σώματι ἔπλασε, καὶ διὰ παντὸς μέλους καὶ ἄρθρου πορείαν αὐτῷ κατεσκεύασεν· ὃ τῷ σώματι συμπλασθὲν καὶ διὰ παντὸς διικνούμενον τῷ αὐτῷ εἶδει τοῦ βλεπομένου σώματος τετύπωται, τὴν οὐσίαν δὲ ψυχρότερον ὑπάρχει πρὸς τὰ τρία, δι' ὧν τὸ σῶμα συνήρμοσται. » οὕτω μὲν οὖν ἀναξίως τῆς τε τῶν Ἰουδαίων περὶ ἀνθρώπου φυσιολογίας ταῦτα εἰπὼν καὶ τῆς ἄλλης αὐτοῦ περὶ τοὺς λόγους ἀσκήσεως, διέξεισι καὶ περὶ τῆς κοσμογονίας κεφαλαιωδῶς. περὶ μέντοι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ὡς ἔγγιστα θεολογεῖ, κλῆσίν τε αὐτὴν ἀναφθεγγόμενος Χριστοῦ, καὶ τὴν ἐκ πατρὸς ἄφραστον γέννησιν ἀμέμπτως ἀναγράφων. ὅ τινας ἴσως καὶ ἀμφιδοξεῖν, ὡς Ἰωσήπου εἴη τὸ συνταγμάτιον, ἀναπείσειεν. οὐδὲν δὲ τὸ τῆς φράσεως αὐτῷ πρὸς τὰ ὑπόλοιπα τοῦ ἀνδρὸς ἀποδεῖ. εὗρον δὲ ἐν παραγραφαῖς ὅτι οὐκ ἔστιν ὁ λόγος Ἰωσήπου, ἀλλὰ ΓΑΙΟΥ τινὸς πρεσβυτέρου ἐν Ῥώμῃ διατρίβοντος, ὃν φασι συντάξαι καὶ τὸν λαβύρινθον· οὗ καὶ διάλογος φέρεται πρὸς Πρόκλον τινὰ ὑπέρμαχον τῆς τῶν Μοντανιστῶν αἱρέσεως. ἀνεπιγράφου δὲ καταλειφθέντος τοῦ λόγου φασὶ τοὺς μὲν Ἰωσήπου ἐπιγράψαι, τοὺς δὲ Ἰουστίνου τοῦ μάρτυρος, ἄλλους δὲ Εἰρηναίου, ὥσπερ καὶ τὸν

Jesus Ananiæ, nihil aliud annis sex et mensibus tribus sonuisse, tanquam furore percitum, quam identidem : Væ, væ, Hierusalem! eundemque quum ea de causa verberibus quoque cæderetur, præter hanc unam vocem, nullam emisisse aliam. Hunc item, urbis excidio quum interesset, eandemque apud se vocem ingeminaret, lapidis ictu ab hoste occisum esse.

Atque hæc quidem ante urbem captam signa monstrata fuere, intestini vero belli seditio et hostes urbem everterunt. In zelotarum enim factionem et sicariorum divisi se mutuo Judæi interfecerunt, ipsumque adeo reipublicæ corpus, vulgus, ab utrisque acerbe est atque crudeliter dilaniatum. Fames item sic urbem invasit, ut et ad alia flagitia homines impulsi fuerint, et mulier suum ipsa filium comederit. Pestis ad hæc famem excipiens, satis omnibus clare ostendit, divinæ id iræ opus esse ac Dominicæ denuntiationis minarumque, fore nimirum ut urbs funditus eversa periret.

48.

Lectus est Josephus De universo, qui liber alibi inscriptus legitur, De Universi causa : in aliis vero libris, De Universi natura. Suntque libelli duo, quibus secum pugnare Platonem docet. De anima quoque, materia et resurrectione Alcinoum, ut absurde ac falso disserentem, reprehendit, suas vero ipse de his thesibus opiniones opponit; docetque Judæorum nationem longe esse quam Græcorum antiquiorem. Putat compositum hominem ex igne, terra, aqua ac præterea e spiritu, quem Animam appellat. De quo spiritu hisce verbis usus est : « Hujus principem partem apprehendens, una cum corpore formavit, et per omnia membra artusque viam ipsi patefecit. Qui spiritus corpori conformatus, totumque pervadens, eadem forma, qua corpus hoc spectatur, insignitus est : naturam vero frigidiorem habet ad tria illa, per quæ corpus compactum est. » Hæc ille, non satis apte ad Hebræorum de hominis natura doctrinam, neque satis e dignitate reliquorum a se diserte scriptorum elocutus. De mundi quoque generatione per compendium disserit. De Christo autem vero Deo aptissime loquitur, quando et ipsam Christi appellationem illi attribuit, et inenarrabilem ex Patre generationem citra reprehensionem describit. Quæ res ambigendi fortasse cuipiam causam præbeat, sitne hoc Josephi opusculum : etsi nihil dicendi genere a reliquis ejusdem scriptis discedit. Comperi annotatum fuisse, non esse Josephi hoc opus, sed Caii cujusdam presbyteri Romæ agentis, quem et auctorem faciunt Labyrinthi : cujus etiam dialogus est adversus Proclum quendam, heresis Montanistarum defensorem. Quum enim sine titulo opus relictum esset, alii quidem Josepho inscriptum referunt, alii Justino Martyri, nonnulli Irenæo : quemadmodum et Labyrinthum

λαβύρινθόν τινες ἐπέγραψαν Ὠριγένους. ἐπεὶ Γαΐου ἐστὶ πόνημα τῇ ἀληθείᾳ τοῦ συντεταχότος τὸν λαβύρινθον, ὡς καὶ αὐτὸς ἐν τῷ τέλει τοῦ λαβυρίνθου διεμαρτύρατο ἑαυτοῦ εἶναι τὸν περὶ τῆς τοῦ παντὸς οὐσίας λόγον. εἰ δ' ἕτερος καὶ οὐχ οὗτός ἐστιν, οὔπω μοι γέγονεν εὔδηλον. τοῦτον τὸν Γάϊον πρεσβύτερόν φασι γεγενῆσθαι τῆς κατὰ Ῥώμην ἐκκλησίας ἐπὶ Οὐίκτορος καὶ Ζεφυρίνου τῶν ἀρχιερέων, χειροτονηθῆναι δὲ αὐτὸν καὶ ἐθνῶν ἐπίσκοπον. συντάξαι δὲ καὶ ἕτερον λόγον ἰδίως κατὰ τῆς Ἀρτέμωνος αἱρέσεως, καὶ κατὰ Πρόκλου δὲ σπουδαστοῦ Μοντανοῦ σπουδαίαν διάλεξιν συντεταχέναι, ἐν ᾗ τρισκαίδεκα μόνας ἐπιστολὰς ἀριθμεῖται Παύλου, οὐκ ἐγκρίνων τὴν πρὸς Ἑβραίους.

76.

Ἀνεγνώσθη ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ Ἰουδαϊκῆς ἀρχαιολογίας, ἐν λόγοις κ'. ἄρχεται ἀπὸ τῆς Μωϋσέως κοσμογονίας, τὰ πολλὰ συνάδων τῇ Μωϋσέως συγγραφῇ, ἔστι δὲ ἔνθα ἀλλοιότερον συγγραφόμενος. κάτεισι δὲ μέχρι τῆς ἀρχῆς τοῦ πρὸς Ῥωμαίους Ἰουδαίων πολέμου· ἐβασίλευε δὲ τότε τῶν Ἰουδαίων Ἀγρίππας ὁ τοῦ Ἀγρίππα τοῦ μεγάλου παῖς, ὃς Ἰησοῦν τὸν τοῦ Γαμαλιὴλ τὴν ἀρχιερωσύνην ἀφελόμενος δίδωσι Ματθίᾳ τῷ Θεοφίλου. πρῶτος δὲ Ἀντίοχος καὶ ὁ στρατηγὸς αὐτοῦ Λυσίας, ἀφ' οὗ τοῖς Ἰουδαίοις ἀρχιερωσύνης ἐγνώσθη ἀξίωμα, εἰς ταύτην τὴν τολμηρὰν κατέστη ἐγχείρησιν· τὸν γὰρ Ὀνίαν, ᾧ Μενέλαος ἐπίκλην, τὴν ἀρχιερωσύνην ἀφελόμενοι καὶ ἀνελόντες, εἶτα καὶ τὸν παῖδα τῆς διαδοχῆς ἀπελάσαντες, καθιστᾶσιν Ἰάκιμον, γένους μὲν τοῦ Ἀαρῶνος, οὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. πρὸ δὲ τούτου διὰ βίου ἀρχιερατεύειν νενόμιστο ἀπὸ Ἀαρῶνος ἀρξάμενος, καὶ παῖς παρὰ πατρὸς τὴν τιμὴν διεδέχετο. τελευτήσαντος δὲ Ἰακίμου, τρισὶν ἐνιαυτοῖς ἀρχιερατεύσαντος, ἔμεινεν ἡ πόλις ἐνιαυτοὺς ἑπτὰ χωρὶς ἀρχιερέως. ὁ δὲ τοῦ Ἀσαμωναίου ἔγγονος Ματθίας καὶ οἱ τούτου παῖδες, τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες καὶ πολεμήσαντες Μακεδόσιν, Ἰωνάθην ἀρχιερέα καθιστῶσιν. ἐξ ἧς γενεᾶς ἦν καὶ Ἰούδας ὁ ἐπικληθεὶς Ἀριστόβουλος, ὃς καὶ πρῶτος διάδημα περιέθετο, ἀρχιερεὺς ὁ αὐτὸς ἅμα καὶ βασιλεὺς χρηματίσας. καὶ ἐπιδιοὺς ἐνιαυτὸν ἕνα, διάδοχον ἔσχε καὶ τῆς βασιλείας καὶ τῆς ἱερατικῆς ἀρχῆς τὸν ἀδελφόν, Ἀλέξανδρος αὐτῷ ὄνομα, ὃς ἐπέβιω τῇ ἀρχῇ ἔτη κζ'. καὶ διέδραμεν ἡ βασιλεία μετὰ τῆς ἀρχιερωσύνης τοῖς ἀπὸ Ἀσαμωναίου σωζομένη μέχρις Ὑρκάνου, ὃν Πομπήϊος ὁ Ῥωμαίων στρατηγός, πορθήσας τὰ Ἱεροσόλυμα, τὴν μὲν βασιλείαν ἀφείλατο, ἀρχιερατεύειν δὲ τοῦ ἔθνους κατέλιπεν· ἄρξας δὲ τὰ πάντα ἔτη τριάκοντα καὶ τρία, αἰχμάλωτος ὑπὸ Φαρναβάζου καὶ Πακόρου τῶν τῆς Παρθυηνῆς δυναστῶν γίνεται, καὶ καθίσταται ὑπ' αὐτῶν ὁ τοῦ Ἀριστοβούλου ἀδελφοῦ υἱὸς Ἀντίγονος βασιλεύς. ὃν τρεῖς μῆνας καὶ τρία ἔτη ἄρξαντα Σόσσιος ὁ Ῥωμαίων στρατηγὸς καὶ Ἡρῴδης ὁ πρῶτος, ὁ τοῦ Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου τοῦ Ἰεροδούλου καὶ τῆς Κύ-

Origeni quidam tribuerunt. Alioqui Caii est opus ejusdem revera qui Labyrinthum composuit, quando ille ipse in extremo Labyrintho testatum reliquit, esse se libri De Universi natura auctorem. Verum hicne liber ille sit, de quo agitur, an alius, nondum mihi liquet.

Hunc Caium presbyterum Romanæ ecclesiæ fuisse affirmant sub Victore et Zephyrino pontificibus, ordinatumque et gentium episcopum, scripsisse quoque peculiarem alium librum contra Artemonis hæresim, et adversus Proclum, Montani studiosum, accuratam disputationem, in qua tredecim duntaxat S. Pauli epistolas enumeret, non recepta in censum ea quæ est ad Hebræos.

76.

Legimus Flavii Josephi Judaicæ antiquitatis libros XX. A mundi creatione apud Mosen initium ducit, quocum etsi magnam partem concinit, interdum tamen diversus abit, pergitque usque ad bellum cum Romanis Judaicum. Judæis tum rex imperabat Agrippa, Agrippæ Magni F., qui Jesum Gamalielis F. pontificatu dejecit, suffecitque Matthiam Theophili filium. Quo audaciæ post cognitam Hebræis sacerdotii dignitatem primus omnium Antiochus ejusque dux Lysias conando progressus est. Oniam enim illi, cui Menelao cognomentum fuit, pontificio submoverunt, necaruntque : quin et filium paternæ dignitatis successione privarunt, subrogato Iacimo, e genere quidem Aaronis, sed alterius familiæ. Olim vero per omnem vitam pontificatum gerere, jam inde ab Aaronis temporibus, et filium in demortui patris dignitatem succedere lex jubebat. Mortuo autem post triennii pontificatum Iacimo, septennio deinde civitas pontifice caruit. Quare quum ex Asamonæi stirpe Matthiæ hujusque filiis gentis Judaicæ esset credita præfectura, bellumque iidem cum Macedonibus gessissent, Jonatham pontificem creant. Ex qua stirpe et Judas cognomento Aristobulus fuit, qui et diadema capiti primus imposuit. Regis ergo idem hic jure simul et sacerdotii usus, anno uno superstes, successorem reliquit regni simul et pontificatus fratrem, cui Alexandro nomen. Gessit hic imperium annos septem et viginti. Ab hoc pervenit deinceps regnum cum sacerdotio, Asamonæi posteris servatum, ad Hyrcanum usque, quem Romanorum dux Pompeius, captis Hierosolymis, regno quidem spoliavit, sacerdotium tamen summum Judaicæ gentis gerere permisit. Præfuit in universum annos tres et triginta, quum sub Pharnabazo et Pacoro Parthorum præfectis captus est, suffectusque ab illis rex Aristobuli fratris filius Antigonus. Hunc ipsum, quum annos tres totidemque menses imperasset, Sosius quidem Romanorum dux, et Herodes primus (is qui Antipatri Ascalonitæ sacerdotis, et Cypridis Arabicæ filius fuit) debellarunt. Antonius

πριδος τῆς Ἀραβίσσης παῖς, ἐξεπολιόρκησαν, Ἀντώνιος δὲ εἰς Ἀντιόχειαν ἀναχθέντα ἀνεῖλε. καὶ παύεται τὸ Ἀσαμωναίων γένος, καὶ λαμβάνει τὴν τῶν Ἰουδαίων βασιλείαν παρὰ Ῥωμαίων Ἡρώδης· ὃς τοῖς τυχοῦσι νέμων τὴν ἀρχιερωσύνην καὶ τοῖς διαδόχοις αὐτοῦ τὸ αὐτὸ τοῦτο ποιεῖν ἀρχὴ γέγονε καὶ παράδειγμα. κάτεισιν οὖν, ὥσπερ εἴρηται, ὁ συγγραφεὺς ἐν τοῖς εἴκοσι βιβλίοις, ἀρξάμενος ἀπὸ τῆς κοσμογονίας, μέχρι τῆς ἀρχῆς τοῦ τελευταίου πρὸς Ῥωμαίους Ἰουδαίων πολέμου, καθ' ὃν καιρὸν Ἰουδαίων μὲν ἐβασίλευεν ὑπὸ Ῥωμαίων καταστὰς Ἀγρίππας ὁ τοῦ Ἀγρίππα, ἐπετρόπευε δὲ τῆς Συρίας καὶ Ἰουδαίας Γέσιος Φλῶρος, Ἀλβίνου διάδοχος· οὗ τὴν κακουργίαν καὶ ὠμότητα τὸ Ἰουδαίων ἔθνος οὐ φέροντες ἐστασίασαν, κρεῖσσον ἡγησάμενοι ἅθρόον καὶ σὺν ἐλευθερίᾳ ἢ κατ' ὀλίγον καὶ σὺν δουλείᾳ ἀπολέσθαι. δεύτερον δ' ἦν ἔτος τῆς Φλώρου ἐπιτροπῆς, δωδέκατον δὲ τῆς Νέρωνος ἀρχῆς, ὅτε ὁ πόλεμος ἐλάμβανε κίνησιν· ἐν οἷς καὶ τῆς ἱστορίας τὸ πέρας. οἷος δὲ τὴν φράσιν ἐστίν, ἔμπροσθεν εἴρηται.

Ἔστι δὲ ὁ Ἰώσηπος γένος μὲν Ἰουδαῖος, ἱερεὺς καὶ ἐξ ἱερέων τὰ πρὸς πατρὸς ἄνωθεν καταγόμενος, ἐκ βασιλείου δὲ φυλῆς ἀπὸ τῆς μητρός· τῶν γὰρ Ἀσαμωναίου παίδων, οἳ ἐπὶ μακρότατον τῶν ὁμοφύλων ἱεράτευσάν τε καὶ ἐβασίλευσαν, ἡ γεννησαμένη ἀπόγονος. γίνεται δὴ ἐξ αὐτῆς καὶ Ματθίου κατὰ τὸ πρῶτον ἔτος τῆς Γαΐου Ῥωμαίων ἡγεμονίας Ἰώσηπος, ἐκ νέας μὲν φιλολογῶν· περὶ δὲ τὸ ἕκκαιδέκατον ἔτος γεγονὼς ἐπέβαλε καὶ ταῖς παρὰ Ἰουδαίοις αἱρέσεσι (τρεῖς δ' εἰσί) καὶ πάσας αὐτόνωμετῆλθε ὑπὲρ τοῦ πασῶν πεῖραν εἰληφότα ἕλέσθαι τὴν ἀμείνω. εἰσὶ δ' αἱ αἱρέσεις Φαρισαῖοι, Σαδδουκαῖοι καὶ Ἐσσηνοί· ἃς διελθὼν ἐξεισιν ἐπὶ τὴν ἔρημον, κἀκεῖ συνδιατρίβει ἀνθρώπῳ τινὶ τὸν ἐρημικὸν ἀθλοῦντι βίον ἐπὶ ἔτη τρία, ἦν δὲ τῷ ἀνθρώπῳ ἐσθὴς μὲν ἐκ δένδρων, καὶ τροφὴ τῶν αὐτοφυῶν αἱ βοτάναι, καὶ ψυχροῦ ὕδατος λουτρὸν πολλάκις καὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς πρὸς ἁγνείαν. ἐκεῖθεν περὶ τὸ ἐννεακαιδέκατον ἔτος ἐπάνεισι πρὸς τὴν πόλιν, τὴν Φαρισαίων αἵρεσιν στέργων, ἣν καὶ τῇ παρ' Ἕλλησί φασιν ἐοικέναι ἐπιλεγομένῃ Στωϊκῇ· εἶτα περὶ τὸ τριακοστὸν ἔτος πέμπεται παρὰ τῶν Ἱεροσολυμιτῶν τῶν ἐν Γαλιλαίᾳ προνοήσων· ἀρχὴν γὰρ ταραχῆς ἐδέχετο τὰ Ἰουδαίων, πολλαῖς ἀταξίαις ἤδη συναλλοιουμένων, εἶτα καὶ στρατηγὸς τῶν περὶ τὴν Γαλιλαίαν χειροτονηθεὶς εὖ τε προὔστη τοῦ ἔθνους, καὶ μυρίας καὶ ποικιλωτάτας ὑπὸ τῶν ἀντιπολιτευομένων ἐπιβουλὰς ὑποστὰς πάσας ἐξέφυγε, καὶ μετρίως τοῖς ἐχθροῖς ἔχων ὑπεξουσίους πολλάκις ἐχρήσατο. καὶ τὸν πρὸς Ῥωμαίους πόλεμον ἄκων ἀναδεξάμενος καὶ ἀνδρείως διενεγκών, ἐν Ἰωταπάτοις ὅμως ζωγρεῖᾳ Οὐεσπασιανῷ Ῥωμαίων τότε στρατηγοῦντι ἁλίσκεται. εἶτα τυγχάνει λίαν εὐμενοῦς αὐτοῦ τότε τε καὶ ἐπὶ πλέον Ῥωμαίων ἄρξαντος, οὐκ αὐτοῦ δὲ μόνου, ἀλλὰ καὶ τῶν παίδων Τίτου καὶ Δομετιανοῦ ἐκ διαδοχῆς βεβασιλευκότων, ὡς καὶ τῆς Ῥωμαϊκῆς τυχεῖν πολιτείας καὶ πάντων ἐν ἀφθονίᾳ καταστῆναι. ἀπηρτίσθη

autem Antiochiam perductum necavit. Ita finem Asamonæa soboles habuit, et imperium Judæorum a Romanis Herodes sumpsit. Ille cuivis pontificatum præbens, successoribus, ut idem auderent, caput exstitit atque exemplum. Pertingit itaque (ut supra diximus) hic scriptor libris viginti, ab orbe condito auspicatus, ad initium usque belli ultimi Judæorum cum Romanis : qua tempestate in Judæa regnavit, auctoritate Romanorum, Agrippa, Agrippæ filius. Syriæ vero ac Judææ præfectus fuit Gessius Florus, is qui Albino successit, cujus impotentem dominatum crudelitatemque Judæorum natio non ferens tumultuari cœpit, melius esse rata multos simul et in libertate, quam lente ac paulatim et in servitute exstingui. Altero certe præfecturæ Flori, Neronis vero decimo anno, bellum agitari cœptum, finisque est Josephi historiæ : de cujus stylo supra dicere memini.

Genus illi Judaicum, et sacerdos ipse, patris quoque stirpem e sacerdotibus longa majorum serie ducebat : nam mater regii sanguinis fuit ex Asamonæorum illa sobole, quæ diutissime inter contribules sacerdotio potita summo et regno. Natus ergo Josephus ex illa matre, et Matthia, anno primo Caii Romanorum Imperatoris, jam inde a teneris unguiculis philosophiæ studiis sese dedidit. Annum deinde attingens sextum decimum, animum quoque ad Judæorum sectas appulit (tres autem numerantur), omnesque magno animi studio persecutus est, ut omnium capto experimento, optimam tandem amplecteretur. Atque hæ fere sectæ illæ : Pharisæi, Sadducæi, et Esseni. Quas quum percurrisset, in solitudinem secedit, ibique viro tres annos utitur, qui solitariam erat vitam austere pridem complexus, cui vestimentum arborum folia, alimentum vero herbæ sponte natæ præbebant; et frigida insuper sæpius interdiu noctuque lavabat, puritatis continentiæque gratia. Hinc ad undevicesimum ætatis annum urbem repetiit, Pharisæorum potissimum hæresim secutus, quam ei fere similem faciunt, quæ apud gentes Stoica est appellata.

Annum agens postea tricesimum, ab Hierosolymitanis ad Galilæam procurandam mittitur. Jam enim turbari res cœperant Judæorum, multisque ipsi agitati tumultibus. Dein Galilæorum ductor creatus, rempublicam bene gessit, et multas variasque æmulorum in republica administranda insidias evitavit. Cum inimicis enim moderatius agendo, non raro eos in suam redegit potestatem. Bellum item, quod adversus Romanos invitus suscepit, fortiter sustinuit. Iotapatis tamen in Vespasiani, Romanorum copiis præfecti, potestatem venit. Quem in se humanum sensit, ac perbenignum jam tum, et vero amplius postquam Romanorum obtinuit imperium. Neque solum illum talem expertus est, sed etiam liberos ejus Titum ac Domitianum, qui parentis imperium ordine exceperunt, ut et Romana sit civitate donatus, multisque opibus auctus. Absoluta ab eo

ἡ ἱστορία νς' ἄγοντι ἐνιαυτόν, Ῥωμαίων Δομετιανοῦ ἔτος τῆς ἀρχῆς ἄγοντος τρισκαιδέκατον.

238.

Ἀνεγνώσθη ΙΩΣΗΠΟΥ ἡ ἀρχαιολογία· ἧς ἡ ἐκλογή, ὅσα τε ἱστορεῖ περὶ Ἡρώδου, καταλέγει, τήν τε ἀνοικοδομὴν τοῦ ναοῦ, ὅπως τε τὴν Ἰουδαϊκὴν ὑπεισῆλθε βασιλείαν, καὶ ὅπως αὐτοῦ τὴν ἀρχὴν οἱ ἐκ γένους διεδέξαντο, ὅπως τε αὖτη εἰς ἀριστοκρατίαν καταλέλυται, τὴν προστασίαν τοῦ ἔθνους τῶν ἀρχιερέων ἀναδεξαμένων, καὶ ὅσα ἄλλα τούτοις συνδιαπλέκεται.

Ὅτι Ἰώσηπος πρὸς τῷ τέλει τῆς ιε' κατὰ τὴν ἀρχαιολογίαν ἱστορίας, ὀκτωκαιδέκατον ἔτος τῆς βασιλείας Ἡρώδην ἀνύοντα τὸν ἐν Ἱερουσολύμοις νεών, ὃν ἔκτισε Σολομὼν ὁ βασιλεύς, καταστραφέντα δὲ πάλιν οἱ ἐκ Βαβυλῶνος ἀναχθέντες αἰχμάλωτοι Δαρείου τοῦ Περσῶν βασιλέως συναραμένου αὐτοῖς ἀνέστησαν ἐν ς' ἔτεσι καὶ μ', τοῦτόν φησι τὸν περιώνυμον νεὼν μετὰ ἔτη ἑξακόσια, ἀνελόντα μὲν τοὺς ἀρχαίους θεμελίους, ἑτέρους δὲ καταβαλόντα ἐπ' αὐτῶν τὸν Ἡρώδην διπλάσιον τοῦ προτέρου ἀναστῆσαι· λείπεσθαι γὰρ τὸν ὑπὸ τῶν αἰχμαλώτων τοῦ Σολομωντείου μέτροις κατὰ τὸ ὕψος τισίν. εἶχε δὲ ὁ Ἡρώδου νεὼς μῆκος μὲν πήχεις ρ', ὕψος δὲ κ' περιττοῖς, οὓς καὶ ὑπέβη τῷ χρόνῳ τῶν θεμελίων συνιζησάντων· ὃ καὶ κατὰ τοὺς Νέρωνος καιροὺς Ἰουδαῖοι ἐγνώκεισαν ἐπεγείρειν. οἰκοδομηθῆναι δ' Ἡρώδῃ τὸν ναὸν Ἰώσηπός φησιν ἐνιαυτῷ ἑνὶ καὶ μησὶν ς', τῶν δὲ περὶ τὸν νεὼν οἴκων καὶ περιβόλων ἔτεσιν ὅλοις η'. λίθους δ', ἐξ ὧν ἠγείρετο ὁ νεώς, λευκοὺς μὲν εἶναι καὶ κραταιούς, ἔχειν δ' ἕκαστον αὐτῶν μήκους μὲν πήχεις κ' καὶ ε', ὕψους δὲ η' καὶ εὖρους περὶ ιβ'. τελεσθῆναι δὲ τὸ ἔργον φησὶν ἐπινοίᾳ τοιαύτῃ. Ἡρώδῃ πολλή τις ἐγένετο περὶ τὸ ἔργον φιλοτιμία· ἀγείρει οὖν πρότερον ἅπασαν ὕλην, καὶ χίλιαι αὐτῷ ἅμαξαι λίθους ἄγειν εὐτρεπεῖς ἦσαν, ἐργάται δὲ ἄλλοι μὲν μύριοι, τῶν δὲ ἱερέων, οἳ τῶν ἀδύτων ἔργων ἔμελλον ἅπτεσθαι, χίλιοι· τοσούτους γὰρ οἰκοδομεῖν καὶ ξυλουργεῖν ἐξεπαίδευσεν, ἱερατικὰς αὐτοῖς ἅπασιν ὠνησάμενος στολάς. καὶ ἦδε ἡ παρασκευὴ θᾶττον μὲν ἐλπίδος εἰς πέρας τὸ βούλημα ἤγαγε, μεγάλας δὲ καὶ πολλὰς ἀπὸ τοῦ πλήθους τὰς εὐχαριστίας ἐν τοῖς ἄλλοις ἅπασιν ἀχθομένου Ἡρώδῃ προὐξένησε. θύει δ' Ἡρώδης ἅμα τοῦ συντελέσαι τὸν νεὼν βοῦς τριακοσίας· τῶν δ' ἄλλων Ἰουδαίων ὅσα θύσειαν, οὐδ' ἐγένετο λαβεῖν ἀριθμῷ.

Οὗτος Ἡρώδης ἐστὶν ὁ Ἀντιπάτρου τοῦ Ἰδουμαίου καὶ τῆς Ἀραβίσσης (Κύπρις δ' ὄνομα αὐτῇ) παῖς, ἐφ' οὗ καὶ Χριστὸς ὁ θεὸς ἡμῶν ἐπὶ σωτηρίᾳ τοῦ ἡμετέρου γένους παρθενικῆς ἀποτίκτεται μήτρας· καθ' οὗ καὶ μανεὶς Ἡρώδης τοῦ μὲν δεσπότου διήμαρτε, φονεὺς δὲ πολλῶν νηπίων γίνεται. εἰς ὠμότητα δὲ καὶ μιαιφονίαν πάντας ὅσοι τύραννοι ὑπερβαλέσθαι ἱστόρηται. καὶ γυναικὸς δὲ τῆς Μαριάμμης (θυγάτηρ δ' ἦν αὕτη Ἀλεξάνδρας τῆς Ὑρκανοῦ τοῦ ἀρχιερέως παιδός, ὥρᾳ σώ-

historiæ scriptio sexto et quinquagesimo ætatis anno, imperii vero Domitiani Romanorum Augusti tertio decimo.

238.

Legi Josephi Antiquitates, quarum Excerpta, quæ de Herode narrat, describunt, instaurationem templi, ut Judæorum occupaverit dominium, utque ejus stirps imperium adepta sit, ut denique in optimatium regnum verterit, principatum summis pontificibus invadentibus, et alia quæ his adjunguntur.

Josephus ad finem libri quinti decimi Antiquitatum tradit, octavo decimo regni Herodis anno perfectum templum Hierosolymis: quod Solomon rex exædificavit, quod eversum iterum captivi e Babylone reducti Persarum rege Dario adjuvante erexerunt sex et quadraginta annis. Hunc Herodem refert, auferentem fundamenta antiqua, alia vero contra illa jacientem duplo priore majus fecisse. Superavit enim altitudine templum quod captivi erexere templum Solomonis mensuris quibusdam. Continebat templum Herodis centum cubitos longitudine: altitudo cubitorum viginti, quos etiam transcendit, tempore fundamentis subsidentibus, quam etiam Neronis imperio Judæi attollere cogitarunt. Ædificatum vero templum ab Herode uno anno et sex mensibus Josephus refert, et domus, et monumenta quæ circum erant octo integris annis. Lapides quibus templum ædificatum candidos ac firmos, singulos fuisse longitudine cubitorum viginti quinque, altitudine octo, latitudine duodecim; finitum vero hac industria. Eo in opere magna Herodis enituit diligentia: advexit prius omnem materiam, erantque illi plaustra mille lapides vehere consueta, decem millia opificum, sacerdotum, qui in adytis servirent, mille. His enim ædificare lignaque cædere instituit, sacras illis omnibus vestes coemens, et apparatus, voluntatem, opinione citius ad exitum perduxit et magnam gratiam apud populum conciliavit sibi. Sacrificat autem Herodes absoluto templo trecentas vaccas; quantum vero alii Judæi sacrificarint, dici non potest.

Hic vero Herodes filius fuit Antipatri Idumæi, et Arabissæ cui nomen Cypris, quo regnante Christus e virgine ad redimendum genus humanum natus est. In quem sæviens peccavit, et contrucidatis tot infantibus, qua crudelitate ac cæde omnes retro tyrannos superasse fertur. Ejus uxoris Mariamnes (quæ Alexandræ pontificis Hyrcani filiæ filia fuit) venustas corporis tanta fuit, ut nulla unquam

ματος οὐδενὶ χρόνῳ λιποῦσα δεῖξαι ταύτης ἐφάμιλλον), ταύτης οὖν καὶ δύο τῶν ἐξ αὐτῆς αὐτῷ γεννηθέντων παίδων, Ἀριστοβούλου καὶ Ἀλεξάνδρου, οἳ κάλλει τε καὶ λόγων ἀσκήσει καὶ χειρῶν ἔργοις οὐδὲν ἧττον ἢ ὅτι βασιλέως ἦσαν παῖδες ἀνὰ πάντων ἐφέροντο στόμασι, τούτων συμπάντων διαβολαῖς Ἀντιπάτρου μανεὶς δήμιος γίνεται, πρῶτον μὲν τῆς γαμετῆς, εἶτα καὶ τῶν παίδων, καὶ τελευταῖον Ἀντιπάτρου καὶ αὐτοῦ, παιδὸς ἐκ προτέρας γυναικός· νόσῳ δὲ πικρᾷ παραδοθείς (ἕλκωσις γὰρ ἐντέρων εἶχε τὸν δύστηνον ὀρθιόν τε ἄσθμα καὶ ποδῶν λευκοῦ φλέγματος οἴδημα, δειναί τε τοῦ κώλου ἀλγηδόνες, καὶ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα, καὶ μυρία ἄλλα) μετὰ πέμπτην [δ'] ἡμέραν τῆς Ἀντιπάτρου σφαγῆς τοῦ παιδὸς καὶ αὐτὸς τὸν βίον κατέστρεψε, διαβιοὺς μὲν ἔτη σύμπαντα ο', βασιλεύσας δ' ἐξ αὐτῶν ζ' καὶ λ'. βασιλεύει δ' οὗτος παρανόμως τε καὶ παρ' ἐλπίδας καὶ αὐτοῦ ἐκείνου, σπουδῇ μὲν Ἀντωνίου τοῦ στρατηγοῦ Ῥωμαίων, χρήμασιν ὑπηρετοῦντος, καὶ Αὐγούστου καταινέσει, ψήφῳ δὲ πρὸς ἀφοσίωσιν καὶ τῆς βουλῆς Ῥωμαίων.

Ὅτι Ἡρώδου τοῦδε, τοῦ πρώτου ἐξ ἀλλοφύλων παρὰ τοὺς νόμους βασιλεύσαντος Ἰουδαίων, τούτου πατὴρ ἦν Ἰδουμαῖος γένος ἐξ Ἀσκάλωνος πόλεως, παῖς Ἀντίπα, Ἀντίπας καὶ αὐτὸς ἐπικαλούμενος πρότερον, Ἀντίπατρος δ' ἔπειτα. οὗτος πολλῶν μὲν χρημάτων εὐπορῶν, δραστήριος δὲ τὴν φύσιν καὶ στασιάστης τυγχάνων, Ὑρκανῷ τῷ Ἰουδαίων ἀρχιερεῖ δι' εὐνοίας ἐτύγχανεν, Ἀριστοβούλῳ δὲ τἀδελφῷ Ὑρκανοῦ διάφορος· διὸ πείθει Ὑρκανόν, πολλάκις ἐνοχλήσας, τὴν βασιλείαν πάλιν ἀναζητεῖν ἅπασι τρόποις, ἣν ἐκείνου συγχωρήσαντος ἀφελόμενος Ἀριστόβουλος εἶχεν ὁ ἀδελφός. αὕτη τῶν ἀδελφῶν ἡ στάσις μεγάλων κακῶν αἰτία αὐτοῖς τε καὶ γένει καὶ τῷ Ἰουδαίων ἔθνει κατέστη, καὶ τῆς εἰς ἀλλοφύλους τῆς βασιλείας μεταπτώσεως. Ἐν τῇ στάσει ταύτῃ πολλὰ φαίνεται Ἀντίπατρος ὑπὲρ Ὑρκανοῦ κατ' Ἀριστοβούλου πράξας. τέλος δ' Ἀριστόβουλος μὲν εἰς Ῥώμην ἅμα παισὶν αἰχμάλωτος ἄγεται, ἐκεῖθεν δὲ φυγὼν πάλιν εἰς τὰ περὶ τὴν Ἰουδαίαν παραγίνεται, πάλιν τε πολιορκηθεὶς ὑπὸ Ῥωμαίων ἅμα τῷ παιδὶ Ἀντιγόνῳ (οὗτος γὰρ ἔτυχεν ἐκ Ῥώμης τῷ πατρὶ συμφυγών) ἁλίσκεται, καὶ εἰς Ῥώμην ἀναπέμπεται, καὶ δεθεὶς κατείχετο, βασιλεύσας μὲν καὶ ἀρχιερατεύσας ἔτη γ' μῆνας ς', λαμπρὸς δὲ καὶ μεγαλόψυχος ἐν τῇ ἀρχῇ γεγονώς. Ὑρκανῷ δ' ἡ μὲν ἀρχιερωσύνη δίδοται, οὐκέτι δ' ἡ βασιλεία· ἀλλ' ἦν τὸ ἔθνος αὐτονομούμενον, ἐθνάρχης δ' ὅμως ἀντὶ βασιλέως τῆς δεδομένης αὐτῷ ἐξουσίας εἶχεν ὄνομα. Ἀντιπάτρῳ δ' Ὑρκανοῦ ἀρχιερατεύοντος ἐπὶ πλεῖστον τὰ τῆς δυναστείας ηὔξετο· Ῥωμαίων τε γὰρ τοῖς στρατηγοῖς κατὰ τῶν ἀνθισταμένων συνεμάχει, καὶ τὰ Ἰουδαίων διὰ χειρός, τῇ ἀπραγμοσύνῃ καὶ τῷ συγχεχωρηκότι Ὑρκανοῦ, αὐτὸς εἶχε πράγματα. Ἀριστόβουλον δὲ Ἰούλιος ὁ Καῖσαρ, λύσας τῶν δεσμῶν, εἰς Συρίαν κατὰ τῶν Πομπηίου

illi par fuisse videretur. Ex hac igitur duo nati filii, Aristobulus et Alexander, qui pulchritudine orationisque gratia, manuumque promptitudine, nihil non regium habere, omnium ore ferebantur. Contra hos omnes calumniis Antipatri efferatus est. Primo quidem in uxorem, deinde filios, et demum Antipatrum e priore natum uxore. Acerbo morbo vexatus (vexabatur enim intestinorum exulceratione) non nisi erectus anhelabat, pedes tumebant phlegmate albo, et graves coli passiones, verenda putrefacta scatebant vermibus, et alia multa. Et quinto post cædem Antipatri filii die etiam vitam finivit, postquam vixerat annos omnino septuaginta, imperans ex illis septem et triginta. Regnat vero illegitime, et præter spem suam studio Antonii ducis Romanorum pecunia corrupti, et Augusti commendatione, decreto ad confirmationem senatus Romani.

Herodis hujus, qui primus externorum Judæis imperavit, pater fuit Idumæus natione ex Ascalone, filius Antipæ, etiam Antipas prius vocatus, deinde Antipater. Hic multis pecuniis abundans, factiosus ingenio et seditiosus, cum Hyrcano Judæorum pontifice, eo quod faveret Aristobulo fratri Hyrcani, inimicitias gessit. Quare quum multas sæpe conciret turbas, eo permovet Hyrcanum, ut regnum iterum requirat omnibus modis, quod illo donante habuerat Aristobulus frater interfectus. Hæc fratrum discordia magna malorum causa ipsis et cognationi gentique Judæorum fuit, et cur regnum ad externos delaberetur. In hac discordia multa Antipater pro Hyrcano contra Aristobulum visus est fecisse. Tandem Aristobulus una cum liberis captivus ducitur. Inde fuga ereptus, ad rem Judæorum iterum se convertit, iterumque obsessus a Romanis cum filio Antigono (hic enim cum patre una captivus fuit) capitur, Romamque mittitur, et ligatus comprehensus est, quum regalem et pontificalem dignitatem annos tres et sex menses gessisset: illustris et magnanimus in regno factus. Hyrcano quidem pontificatus tributus est, nondum vero regnum: sed populus propriis legibus vivebat, populi præfectus pro rege data sibi potestate dictus est. Antipater autem, pontificatum gerente Hyrcano, ad magnam potentiam pervenerat. Nam cum Romanis ducibus contra rebellantes auxiliando pugnabat, regnumque Judæorum propter robur injuste, et concedente Hyrcano, adeptus est. Julius vero Cæsar Aristobulum carcere solvens in Syriam contra

πέμπειν ἐγνώκει. ἀλλ' αὐτὸν φθάσαντες οἱ τὰ Πομπηίου φρονοῦντες φαρμάκῳ φθείρουσι. καὶ Σκιπίων δὲ, ἐπιστείλαντος αὐτῷ Πομπηίου τὸν Ἀριστοβούλου παῖδα Ἀλέξανδρον, ἐπικαλοῦντος ἃ πρότερον εἰς Ῥωμαίους ἁμάρτοι, πελέκει διεχρήσατο.

Ἀποδείκνυται δὲ ὑπὸ Ἰουλίου Καίσαρος Ἀντίπατρος μετὰ τὴν κατὰ Πομπηίου νίκην καὶ ἐπίτροπος Ἰουδαίας. ὃς ἐπὶ ταύτην παραγεγονὼς Φασαήλῳ μὲν τῷ παιδὶ Ἱεροσολυμιτῶν καὶ τῶν πέριξ τὴν στρατηγίδα ἀρχὴν δίδωσι, τὸν δὲ μετ' αὐτὸν Ἡρώδην νέον ὄντα κομιδῇ (πεντεκαίδεκα γὰρ αὐτῷ ἀπὸ γενέσεως ἔτη ἦν) τῆς Γαλιλαίας ἀποφαίνει ἐπίτροπον, οὐδὲν ὑπὸ τῆς νεότητος τοῦ μὴ οὐχὶ τὸ δεινὸν αὐτῷ καὶ γενναῖον ἐκφῆναι κωλυόμενον. καὶ ταῦτα πράττων Ἀντίπατρος, καὶ θαυμαζόμενος οὐδὲν ἧττον ὑπὸ τοῦ ἔθνους ἢ κατὰ βασιλέα, ὅμως τῆς πρὸς Ὑρκανὸν τὸν ἀρχιερέα εὐνοίας καὶ πίστεως οὐδὲν ὅλως ἠλλοίωσεν. ἀναιρεῖται δὲ Ἀντίπατρος, εὖρουν καὶ λαμπρὸν διὰ παντὸς ἀναφαίνων βίον, ἐξ ἐπιβουλῆς φαρμάκῳ, Μαλίχου τὸν οἰνοχόον χρήμασι πείσαντος στάξαι τῷ πόματι τοῦ φαρμάκου· Μάλιχος δ' οὗτος Ἰουδαῖος μὲν ἦν, δεινὸς δὲ δόλον ῥάψαι καὶ δοθείσης ὑπονοίας ὅρκοις τὴν ὑπόνοιαν θεραπεῦσαι καὶ ὑποκρίσει φιλίας. ἀλλ' οὐδὲν ἧττον, ὡς ἔοικεν, Ἡρώδῃ τοιαῦτα μηχανᾶσθαι φύσιν λαχόντι ἢ καὶ δεινοτέρῳ περιτυχών, δίκην εἰσπραττομένῳ τοῦ πατρῴου φόνου, ξιφιδίοις κατακεντούμενος κτίννυται.

Ἀντίγονος δ' ὁ Ἀριστοβούλου παῖς, Φαβίου χρήμασι θεραπευθέντος, καὶ Πτολεμαίου τοῦ Μεναίου διὰ τὸ κήδευμα (ἀδελφὴ γὰρ αὐτοῦ ἐγεγάμητο) συλλαμβανομένου καὶ ἑτέρων τινῶν, ἐπεχείρησε κατάγεσθαι ἐπὶ Ἰουδαίαν. ἀλλ' Ἡρώδης μάχῃ συμπλακεὶς νικᾷ καὶ τῆς Ἰουδαίων γῆς ἀπελαύνει, καὶ ὑπὸ Ἱεροσολύμων καὶ αὐτοῦ Ὑρκανοῦ λαμπρῶς ἐπὶ τῇ νίκῃ ἐδέχθη παραγεγονώς. καὶ Ἀντώνιος χρήμασιν, ὁ Ῥωμαίων στρατηγός, Ἡρώδῃ καὶ τῷ ἀδελφῷ Φασαήλῳ τὰς τῶν Ἰουδαίων τετραρχίας δίδωσιν, οὐδὲν πρὸς ταῦτα δυσχεραίνοντος Ὑρκανοῦ. τοῦ δὲ πλήθους τῶν περὶ Ἡρώδην κατηγορούντων οὐδὲν πλέον τὴν τοῦ τιμωρίαν ὑπέχειν ἀντὶ τοῦ λαβεῖν ὧν ἐπεκάλουν ἐγίνετο διὰ τὸ χρήμασιν Ἀντώνιον διεφθάρθαι καὶ Ὑρκανὸν τοῖς περὶ Ἡρώδην τίθεσθαι· ἤδη γὰρ καὶ τῆς θυγατρὸς αὐτοῦ παῖδα Μαριάμμην Ἡρώδης ἐγγεγύητο.

Πτολεμαίου δὲ τοῦ Μεναίου τὸν βίον λιπόντος ὁ παῖς λαμβάνει τὴν ἀρχὴν Λυσανίας. καὶ Πάκορος δὲ ὁ βασιλέως παῖς καὶ Βαζαφαρμάνης σατράπης Πάρθος κατέσχον τὴν Συρίαν. Λυσανίας δὲ τὸν σατράπην ἔχων σὺν αὑτῷ ποιεῖται πρὸς Ἀντίγονον τὸν Ἀριστοβούλου φιλίαν· καὶ Ἀντίγονος ὑπισχνεῖται Πάρθοις χίλια τάλαντα δώσειν καὶ πεντακοσίας γυναῖκας, εἰ τὴν πατρῴαν ἀρχὴν ἀποδώσουσιν Ὑρκανὸν ἀφελόμενοι καὶ τοὺς περὶ Ἡρώδην· ἀνέλοιεν. διὸ Πάκορος καὶ Βαζαφαρμάνης κατάγουσιν Ἀντίγονον, καὶ πολέμου αὐτοῖς ὑπὸ τῶν περὶ Ἡρώδην συστάντος πολλοὶ ἀφ' ἑκατέρων κτείνονται, εὐδοκιμοῦντος μάλιστα τοῖς πό-

Pompeianos mittere decrevit. Sed illum prævenientes Pompeiani veneno corrumpunt. Et Scipio, mittente Pompeio illi Aristobuli puerum Alexandrum, accusante quæ prius in Romanos peccaverat, securi percussit.

Declaratur vero a Julio Cæsare Antipater post victoriam contra Pompeium præfectus Judææ: qui in Judæam veniens Phasaelo filio Hierosolymorum vicinorumque imperium dedit. Post se vero Herodem admodum juvenem, decimo quinto ætatis anno Galilææ principem declarat, nihil a juventute prohibitum magnum quid et virile præstare. Hæcque faciens Antipater, et nihilo minus a populo cultus, quam si rex esset, nihil tamen prorsus a fide et benevolentia erga Hyrcanum pontificem maximum alienatus est. Finit Antipater splendidam et claram omnino vitam, occulte veneno, Malcho pincernam pecunia corrumpente, ut veneno potum inficeret. Malchus hic quidam Judæus erat, nectendorum dolorum peritus, et data suspicione, juramento suspicionem lenire et fictione amicitiæ. Sed nihilo minus, ut videbatur, in Herodem hæc ingenio machinantem facere, aut etiam callidiorem ipso, incidens, pœnam postulantem paternæ cædis, pugionibus confossus interficitur.

Antigonus vero filius Aristobuli, Fabio pecuniis corrupto, et Ptolemæo Menæi filio propter matrimonium (soror enim ejus nupserat illi) et aliis nonnullis, aggressus est descendere in Judæam. Sed Herodes pugna congressus vicit, et Judæa expellit, et ab Hierosolymis et ipso Hyrcano honorifice, parta victoria, susceptus est. Antonius vero dux Romanorum, pecuniis excæcatus, Herodi et fratri Phasaelo Judæorum tetrarchias dedit, Hyrcano contra hæc non indignante, populum vero accusantibus Herodianis, nihil amplius erat quam ut supplicium subirent, loco pœnæ sumendæ, ob quæ accusaverant: quia Antonius corruptus fuerat auro, et Hyrcanus cum Herodianis sentiret. Jam enim filiæ filiam Mariamnem Herodes desponsam habebat.

Ptolemæo vero filio Menæi vita defuncto, Lysanias filius accipit imperium, et Pacorus regis filius, et Basapharmanes satrapa Parthus, occuparunt Syriam. Lysanias vero habens secum satrapam, init amicitiam cum Antigone Aristobuli filio, et Antigonus promittit Parthis mille talenta se daturum, et quingentas mulieres, si paternum imperium darent, interfecto Hyrcano et Herodianis. Propterea Pacorus et Basapharmanes adducunt Antigonum, et illato ab Herodianis bello, multi utrimque cæduntur, multum

νοις Ἡρώδου. τέλος Ὑρκανὸς καὶ Φασάηλος δόλῳ συλλαμβάνεται ὑπὸ Πάρθων· καὶ ὁ μὲν Φασάηλος τῶν ἐχθρῶν προφθάσας τὴν σφαγήν, πέτρᾳ τὴν κεφαλὴν προσαράξας ἔξεισι τοῦ βίου, Ὑρκανὸς δὲ δέσμιος εἶχετο. καὶ οἱ Πάρθοι λοιπὸν τὰ Ἱεροσόλυμα λαβόντες, μόλις αὐτοὺς Ἡρώδου δεινότητι γνώμης καὶ τάχει τοῦ προμηθοῦς καὶ χειρῶν ἀρετῇ σὺν τῇ γενεᾷ διαφυγόντος, τὰ τῶν Ἱεροσολυμιτῶν διήρπαζον χρήματα πλὴν τῶν Ὑρκανοῦ (π' δ' ἦν τάλαντα) καὶ οὕτως εἰς τὴν πατρῴαν ἀρχὴν Ἀντίγονον ἐγκαθιστῶσιν. Ἀντίγονος δ' Ὑρκανοῦ τοῦ θείου ὑπὲρ τοῦ μὴ πάλιν ἀναλαβεῖν τὴν ἱερωσύνην (τὸ γὰρ σεσινωμένον κατά τι τοῦ σώματος μέρος ἀπείρηται Ἰουδαίοις ἱερᾶσθαι) περιτέμνει τὰ ὦτα, καὶ Πάρθοις ἄγειν σὺν αὐτοῖς δίδωσιν.

Ἡρώδης δ' οὐδαμῶς ἠρέμει, ἀλλὰ πρῶτον μὲν εἰς Μάλιχον τὸν Ἀράβων ἀπῄει βασιλέα, ἐπικουρίαν κατὰ πατρῴαν φιλίαν ἐλπίδας ἔχων εὑρεῖν· ἀποτυχὼν δὲ ἐπὶ Βρεντήσιον πρὸς Ἀντώνιον τὸν Ῥωμαίων στρατηγόν, κἀκεῖθεν εἰς Ῥώμην σὺν αὐτῷ ἀνάγεται, ἀπολοφυράμενος τὰ συνενεχθέντα καὶ τὸν τἀδελφοῦ θάνατον. ἐποιεῖτο δὲ γνώμην τῷ τῆς γαμετῆς ἀδελφῷ, Ὑρκανοῦ δὲ θυγατρὸς παιδί, εἴ πως δύναιτο, τὴν βασιλείαν καταπράξασθαι· αὐτῷ γὰρ ἀνέλπιστον ἦν παντάπασι ταύτην περιελθεῖν ἀλλοφύλῳ ὄντι. ἀλλ' Ἀντώνιος καὶ Αὔγουστος, σύμψηφον λαβόντες τὴν βουλήν, καὶ βασιλέα Ἰουδαίων ἀποφαίνουσι, καὶ κατὰ Ἀντιγόνου πολλάκις αὐτῷ συμμαχήσαντες μετὰ πολλὰς σφαγὰς καὶ πολέμους Ἀντίγονον μὲν αἰχμάλωτον ἄγουσι, Σοσσίου στρατηγοῦ Ῥωμαίων τέλος τοῦτο τοῖς πολέμοις ἐπιθεμένου, αὐτῷ δὲ τὰ τῆς ἀρχῆς ἐπὶ μᾶλλον κρατύνουσιν. Ἀντώνιος δὲ ὁ στρατηγὸς λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον, δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν· μαθὼν δὲ νεωτερίζειν τὸ Ἰουδαίων ἔθνος ἐκ τοῦ πρὸς Ἡρώδην μίσους, τοῦτον ἐν Ἀντιοχείᾳ ἐπελέκισεν· Ὑρκανὸς δ', ἐπεὶ Ἡρώδην βασιλεύειν ἤκουσεν, ἐδεήθη Φραάτου βασιλέως, καὶ συνδεηθέντος Ἡρώδου ἀφίεται εἰς τὴν πατρίδα, πολλῶν ἐλπίσας παρ' Ἡρώδῃ τυχεῖν. Ἡρώδης δὲ σχήματα μὲν εὐνοίας καὶ τιμῆς τῆς πρωτευούσης πολλὰ εἰς αὐτὸν ἐδείκνυ, ἐν ὑστέρῳ δὲ διαβολὰς ἐπενεγκὼν δωροδοκίας καὶ τῆς πρὸς Ἄραβας προδοσίας ἀνεῖλεν ἄνδρα ὑπὲρ τὰ π' ἔτη ἐνιαυτῷ ἑνὶ μετὰ πολλῆς καὶ ἀφάτου τῆς ἐπιεικείας καὶ ἀπραγμοσύνης βεβιωκότα. καὶ Ἀριστόβουλον δὲ τὸν υἱωνὸν μὲν Ὑρκανοῦ, Μαρίαμμης δὲ τῆς γαμετῆς ἀδελφόν, ἐνοχλησάσης Ἀλεξάνδρας τῆς τῶν παίδων μητρὸς καὶ αὐτῆς Μαριάμμης, ἀρχιερέα μὲν καθίστησιν ιζ' ἔτος ἄγοντα, καὶ μετ' ὀλίγον ἐν Ἱεριχοῦντι ταῖς ἐκεῖσε κολυμβήθραις ἐναποπνιγῆναι κατεπράξατο. ἀλλ' Ἡρώδης μὲν τοιοῦτος, καὶ οἷος εἶναι προείρηται.

Ὅτι τελευτῶν Ἡρώδης Ἀρχέλαον τὸν υἱὸν διατίθεται, Καίσαρος διδοῦντος, τῆς βασιλείας γενέσθαι διάδοχον. Καῖσαρ δὲ (ὁ Αὔγουστος δ' ἦν) τῆς ἡμισείας Ἀρχέλαον ἀποφήνας κύριον, καὶ βασιλείᾳ τιμήσειν εἶπεν,

Herode laboribus celebrato. Tandem Hyrcanus et Phasaelus dolo capiuntur a Parthis, et Phasaelus hostium cædem prævertens, illiso ad petram capite finivit vitam; captivus vero tenebatur Hyrcanus. Et denique Parthi Hierosolyma occupantes, vix illos Herode, animi præstantia et celeritate consilii manuumque robore cum familia fugiente, pecunias Hierosolymitanorum rapuerunt, præter eas quæ erant Hyrcani; octoginta vero erant talenta, et sic in patrium regnum Antigonum constituerunt. Antigonus vero Hyrcano, ne amplius sacerdotium gereret (nam qui aliqua parte corporis mutili sunt, non sunt apti ad sacerdotia apud Judæos), aures incidit, et Parthis secum ut ducant committit.

Herodes nequaquam quiescebat: sed primum quidem ad Malichum Arabum regem vadit, auxilium juxta paternam amicitiam inventurum se sperans: frustratus vero Brundisium ad Antonium ducem Romanorum, inde cum illo Romam contendit, deplorans ea quæ accidissent fratrisque mortem. Cogitaverat vero fratri uxoris, filio filiæ Hyrcani, si quo modo posset regnum tradere; diffidebat enim omnibus modis sibi externo id posse contingere. Sed Augustus et Antonius eodem usi consilio regem Judæorum creant, et contra Antigonum sæpe cum illo pugnantes, post multas clades et bella, Antigonum captivum ducunt, Sosio Romanorum duce finem huic bello imponente; illum vero magis in imperio confirmant. Antonius dux accipiens captivum Antigonum, vinctum triumpho servare decrevit. Cognito autem Judæorum populum odio in Herodem nova moliri, illum Antiochiæ securi percussit. Hyrcanus autem, quum Herodem regnare intellexit, imploravit Phraatem regem: et simul postulante Herode in patriam mittitur, multa se sperans ab Herode consecuturum. Herodes vero speciem benevolentiæ et primi honoris in eum magnam ostendit; deinde vero ei corruptionem largitionum objiciens et proditionem apud Arabes, hominem interfecit annum octogesimum primum agentem cum magna et ineffabili clementia et incuriositate. Quin et Aristobulum Hyrcani filium, Mariamnæ uxoris fratrem, adnitente Alexandra puerorum matre et Mariamna, summum pontificem decimo septimo ætatis anno creat, et deinde Hierichunte in piscina illic suffocari jussit. Sed Herodes quidem talis, qualis esse jam dictus est.

Moriens Herodes Archelaum filium Cæsare permittente successorem regni constituit. Cæsar vero Augustus dimidiæ regni partis Archelaum creans dominum, et regis titulo ornaturum se dixit, si clementer et juste regnum admini-

εἰ ἐπιεικῶς καὶ δικαίως τὴν ἀρχὴν μάθοι χειρίζοντα· τὴν δ' ἄλλην μοῖραν διελὼν τετράρχας Φίλιππον καὶ Ἀντίπατρον, καὶ αὐτοὺς Ἡρώδου παῖδας ὄντας, καθίστησιν. ἀλλ' Ἀρχέλαος ἐπεὶ ὠμῶς καὶ κατὰ τὸν πατέρα Ἰουδαίων ἦρχε, Καίσαρος δεηθέντων τῶν τυραννουμένων, δεκάτῳ ἔτει τῆς βασιλείας ἐκπέπτωκε, καὶ Βίενναν οἰκεῖν τῆς Γαλλίας καταδικάζεται, καὶ μεταπίπτει ἐντεῦθεν ἡ Ἰουδαία ἐκ βασιλείας εἰς ἐπαρχίαν.

Ὅτι Ἡρώδης ὁ τετράρχης Γαλιλαίας καὶ Περαίας, παῖς Ἡρώδου τοῦ μεγάλου, ἠράσθη (ὡς Ἰώσηπός φησιν) ἀδελφοῦ Ἡρώδου γυναῖκα ὄνομα Ἡρωδιάδα· ἀπόγονος δ' ἦν αὕτη τοῦ μεγάλου Ἡρώδου, Ἀριστοβούλῳ τῷ παιδί, ὃν ἐκεῖνος ἀνεῖλε, γεγενημένη· ἦν δ' αὐτῇ καὶ ὁ ἀδελφὸς Ἀγρίππας. ταύτην Ἡρώδης τἀνδρὸς διαστήσας ἠγάγετο γυναῖκα. οὗτός ἐστιν ὁ τὸν μέγαν ἀνελὼν Ἰωάννην τὸν πρόδρομον, δεδιώς (Ἰώσηπός φησι) μὴ τὸ ἔθνος αὐτοῦ διαστήσει· πάντες γὰρ δι' ὑπερβολὴν ἀρετῆς τοῖς Ἰωάννου λόγοις εἵποντο. κατὰ τοῦτον καὶ τὸ σωτήριον ἐγεγόνει πάθος.

Ὅτι Ἀγρίππας ὁ Ἡρώδου μὲν ἀπόγονος τοῦ πρώτου, Ἀριστοβούλου δὲ τοῦ ἀνῃρημένου παῖς, ἀδελφὸς δ' Ἡρωδιάδος, μυρίαις τύχαις καὶ μεταβολαῖς περιπεσὼν ὅμως ἐκ φυλακῆς καὶ δεσμῶν, οἷς αὐτὸν κατεχόμενον Τιβέριος Καῖσαρ τελευτῶν ἀπολελοίπει, ἐκ τούτων ἀπαλλαγεὶς Γαΐου Καίσαρος προνοίᾳ καὶ βασιλεὺς χειροτονεῖται τετραρχίας Φιλίππου (Ἡρώδου δ' ἦν οὗτος ἀδελφὸς τοῦ πρώτου), προσλαμβάνει δὲ καὶ τὴν Λυσανίου τετραρχίαν, καὶ ἀποπλεῖ πρὸς τὴν Ἰουδαίαν, πάντων ἐν ἐκπλήξει καὶ θαύματι τὸ τῆς μεταβολῆς ἄθρόον ποιουμένων. μεθ' ὧν καὶ Ἡρωδιὰς ἐκπεπληγμένη καιρίαν δέχεται· πληγὴν ἐκ φθόνου, καὶ οὐκ ἀνίει διενοχλοῦσα τὸν ἄνδρα, ἕως κατειργάσατο ἀνελθεῖν εἰς Ῥώμην καὶ βασιλείαν ἑαυτῷ σπουδὴν ποιεῖσθαι καταπράξασθαι. ἀλλ' ὁ μὲν ἀνῄει σὺν αὐτῇ, εἵπετο δ' Ἀγρίππας, καὶ καταλαμβάνει ἅρτι κατάραντας. κατηγορήσας δ' Ἡρώδην παρὰ Γαΐῳ Καίσαρι ὡς δύσνους εἴη Ῥωμαίοις ἀεί (Τιβερίου μὲν γὰρ ἔτι περιόντος πρὸς Ἰανὸν ἐχθρὸν ὄντα Ῥωμαίων θέσθαι φιλίαν, καὶ νῦν δὲ πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα τὰ αὐτὰ φρονεῖν κατὰ Ῥωμαίων), παρασκευάζει ἀντὶ τῆς ὀνειροποληθείσης βασιλείας τῆς τε οἰκείας ἐκπεσεῖν τετραρχίας καὶ εἰς Λουγδούνων ἀΐδίᾳ φυγῇ ζημιωθέντα ἐλαθῆναι. καὶ Ἡρωδιὰς δ' ἑκοῦσα τῷ ἀνδρὶ συμφυγαδεύεται· τὴν δὲ τετραρχίαν αὐτοῦ Γάϊος Ἀγρίππᾳ προστίθησι. τοῦτον τὸν Ἀγρίππαν πρὸς ἀντιδιαστολὴν τοῦ υἱοῦ καὶ μέγαν Ἀγρίππαν καλοῦσι, καὶ εἰς τὸ μάλιστα κεχαρισμένον Ἰώσηπός φησιν Ἰουδαίων ἄρξαι. οὗτος ἐκείνοις, ὡς ἔοικε, χαριζόμενος καὶ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ ἀνεῖλε, καὶ τὸν κορυφαῖον τῶν μαθητῶν Πέτρον ἐπεχείρησεν, εἰ καὶ διήμαρτεν, ἀνελεῖν. οὗτος ἐσθῆτα ἀργύρου πεποιημένην περιθέμενος καὶ τῷ πλήθει δημηγορήσας, ἐπεὶ φωνὰς παρ' αὐτῶν μετὰ τὸ ὑπερβολὴν κολακείας ἔχειν καὶ ἀσεβείας εἰς ἔσχατον ἦκειν ἀκούων οὐκ ἐπετίμησε, παραυτίκα δίκην δίδωσιν·

strantem cognovisset. Alteram vero partem dividens, Philippum et Antipatrum tetrarchas, Herodis et ipsos filios, constituit. Sed Archelaus quum violenter more paterno Judæos regeret, Cæsari supplicante populo tyrannide oppresso, decimo anno regno excidit, et condemnatur ut habitaret Viennam Galliæ urbem, et inde recidit Judæa e regno in præfecturam.

Herodes tetrarcha Galilææ et Pereæ, filius magni Herodis, amavit, ut scribit Josephus, fratris sui Herodis uxorem Herodiadem, quæ et ipsa e magno Herode oriunda, nata e filio Aristobulo, quem ipse interfecit. Erat huic frater Agrippa. Hanc Herodes a viro disjungens, uxorem duxit. Hic est qui magnum Joannem Præcursorem interfecit, ut ait Josephus, ne populum ad seditionem concitaret. Omnes enim ob excellentiam virtutibus, Joannis vocem sequebantur. Sub illo et Salvator est passus.

Agrippa primi Herodis nepos, Aristobuli ejus qui interemptus est filius, frater Herodiadis, sexcentis casibus et mutationibus obnoxius, tamen e custodia et vinculis, quibus illum comprehensum Tiberius moriens reliquerat, C. Cæsaris providentia, rex tetrarchiæ Philippi renuntiatur. Hic erat prioris Herodis frater: adeptus est et Lysaniæ tetrarchiam, et in Judæam navigat, omnibus obstupescentibus et tam subitam mutationem admirantibus. Cum quibus et Herodias perculsa letale vulnus accipit invidia : nec desiit virum turbare, donec Romam ire coegit et regnum sibi parare studere. Sed ille eam comitatus est, secutusque Agrippa, et assecutus est jam solventes. Accusans Herodem apud Caium Cæsarem, quod Romanis semper infestus fuerit (Tiberio enim adhuc superstite, cum Iano adversario Romanorum amicitiam iniisse, et nunc apud Artabanum regem Parthorum eadem contra Romanos moliri), obtinet ut loco regni, quod somniaverat, propria tetrarchia excidat, et Lugdunum turpi exilio mulctatus abeat. Herodias vero lubens cum marito in exilium vadit. Tetrarchiam ipsius Caius Agrippæ tradit. Hunc Agrippam ad discrimen filii etiam Magnum Agrippam vocant, et gratiosum hunc Josephus ait Judæis imperasse. Hic Judæis, ut videbatur, gratum faciens, Jacobum Joannis fratrem gladio percussit, et Apostolorum caput Petrum voluit, licet aberraverit, occidere. Hic ex argento contextam vestem indutus, et plebem allocutus, quum voces [sc. plebis dicentis Dei vocem se audire, non hominis] ejus (postquam assentationis modum excessisset, et ad summam impietatem pervenisset) audiens, non increpans statim pœnas dedit.

η'. Ὅπως τε τὰς περιοίκους ἐτειχίσαντο· καὶ ὡς Νέρων ἐπὶ τοῖς Κεστίου πταίσμασι δείσας περὶ τῶν ὅλων Οὐεσπασιανὸν ἐφίστησι τῷ πολέμῳ, καὶ ὡς οὗτος μετὰ τοῦ πρεσβυτέρου τῶν παίδων εἰς τὴν Ἰουδαίων χώραν ἐνέβαλεν, ὅση τε χρώμενος Ῥωμαίων στρατιᾷ, καὶ ὅσοι σύμμαχοι ἐκόπησαν εἰς ὅλην τὴν Γαλιλαίαν· καὶ ὡς τῶν πόλεων αὐτῆς ἃς μὲν [ὁλοσχερῶς καὶ] κατὰ κράτος, ἃς δὲ δι' ὁμολογίας ἔλαβεν. Ἔνθα δὴ καὶ τὰ περὶ τῆς τῶν Ῥωμαίων ἐν πολέμοις εὐταξίας καὶ τὴν ἄσκησιν τῶν ταγμάτων, τῆς τε Γαλιλαίας ἑκατέρας τὰ διαστήματα, καὶ τὴν φύσιν, καὶ τοὺς τῆς Ἰουδαίας ὅρους, ἔτι τε τῆς χώρας τὴν ἰδιότητα, λίμνας τε καὶ πηγὰς τὰς ἐν αὐτῇ, καὶ τὰ περὶ ἑκάστην πόλιν τῶν ἁλισκομένων πάθη μετ' ἀκριβείας, ὡς εἶδον ἢ ἔπαθον, δίειμι· οὐδὲ γὰρ τῶν ἐμαυτοῦ τι συμφορῶν ἀποκρύψομαι, μέλλων γε πρὸς εἰδότας ἐρεῖν.

θ'. Ἔπειθ' ὡς ἤδη καμνόντων Ἰουδαίοις τῶν πραγμάτων θνήσκει μὲν Νέρων, Οὐεσπασιανὸς δὲ ἐπὶ Ἱεροσολύμων ὡρμημένος ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται· τά τε γενόμενα περὶ ταύτης αὐτῷ σημεῖα, καὶ τὰς ἐπὶ Ῥώμης καταβάσεις, καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδείκνυται· καὶ ὡς τούτου ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν Αἴγυπτον ἐστασιάσθη τὰ Ἰουδαίων· ὅπως τε ἐπανέστησαν αὐτοῖς οἱ τύραννοι, καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφοράς.

ι'. Καὶ ὡς ἄρας ἀπὸ τῆς Αἰγύπτου Τίτος δεύτερον εἰς τὴν χώραν ἐνέβαλεν· ὅπως τε τὰς δυνάμεις καὶ ὅπου καὶ πόσας συνήγαγε καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις διέκειτο παρόντος αὐτοῦ, προσβολάς τε ὅσας ἐποιήσατο καὶ πόσα χώματα, περιβόλους τε τῶν τριῶν τειχῶν καὶ τὰ μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρότητα καὶ τοῦ ἱεροῦ καὶ τοῦ ναοῦ τὴν διάθεσιν· ἔτι δὲ καὶ τούτων καὶ τοῦ βωμοῦ τὰ μέτρα, πάντα μετ' ἀκριβείας, ἔθη τε ἑορτῶν ἔνια καὶ τὰς ἑπτὰ ἁγνείας καὶ τὰς τῶν ἱερέων λειτουργίας· ἔτι δὲ τὰς ἐσθῆτας τῶν ἱερέων καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν οὔτε ἀποκρυπτόμενος οὔτε προστιθεὶς τοῖς πεφωραμένοις.

ια'. Ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς ὁμοφύλους ὠμότητα καὶ τὴν Ῥωμαίων φειδὼ πρὸς τοὺς ἀλλοφύλους· καὶ ὁσάκις Τίτος σῶσαι τὴν πόλιν καὶ τὸν ναὸν ἐπιθυμῶν ἐπὶ δεξιὰς τοὺς στασιάζοντας προὐκαλέσατο· διακρινῶ δὲ τὰ πάθη τοῦ δήμου καὶ τὰς συμφορὰς, ὅσα τε ὑπὸ τοῦ πολέμου καὶ ὅσα ὑπὸ τῆς στάσεως καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ κακωθέντες ἑάλωσαν. Παραλείψω δὲ οὐδὲ τὰς τῶν αὐτομόλων ἀτυχίας, οὐδὲ τὰς τῶν αἰχμαλώτων κολάσεις, ὅπως τε ὁ ναὸς ἄκοντος ἐνεπρήσθη Καίσαρος, καὶ ὅσα τῶν ἱερῶν κειμηλίων ἐκ τοῦ πυρὸς ἡρπάγη, τήν τε τῆς ὅλης πόλεως ἅλωσιν, καὶ τὰ πρὸ ταύτης σημεῖα καὶ τέρατα καὶ τὴν αἰχμαλωσίαν τῶν

duodecimo imperii Neronis erupit, quæque sub Cestio præside acciderunt, et quot in loca Judæi sub primos belli motus armis invaserunt.

8. Item quomodo urbes finitimas communierunt; et ut Nero, post clades Cestii ductu acceptas summæ rerum metuens, Vespasianum bello præfecit, utque ille cum filio natu majore Judæorum in regionem ingressus est; et quantum ille Romanorum exercitum duxit, et auxiliarium quotquot per Galilæam omnem cæsi erant; atque ut urbium ejus regionis alias quidem vi [penitusque] expugnavit, alias vero ad deditionem adegit. Ac ubi eo venero, quænam sit Romanorum in acie ordinum conservatio, et legionum disciplina, et quanta sit utriusque Galilææ amplitudo, et quod soli ingenium, et quinam Judææ fines limitesque, insuper quæ regionis propria sint, et qui lacus fontesque in ea, quæque per singulas urbes captis acciderint, summa cum fide, ex iis quæ ipse vidi aut pertuli, enarrabo: neque enim quidquam de meis calamitatibus reticebo, ut qui ad scientes dicturus sim.

9. Deinde ut, quum jam res Judæorum labefactarentur, Nero quidem diem supremum obit, Vespasianus autem, maturato in Hierosolyma itinere, imperii gratia retrahitur; quæque ei signa de eo data erant, et quæ Romæ factæ mutationes; utque is invitus a militibus Imperator declaratus erat: et quomodo, eo in Ægyptum ad res universas administrandas digresso, Judæorum status seditionibus agitatus erat; quoque modo tyranni in eos insurrexerunt, moxque ut illi inter se dissenserunt.

10. Quemadmodum etiam Titus, ex Ægypto reversus, iterum in Judæam irrupit: qualiterque copias et quo in loco et quantas coegit: et quomodo seditionibus laboravit urbs, quum ipse illic adesset; et quot fecit impressiones, et quantos aggeres erexit; triumque murorum ambitum, et illorum magnitudinem, urbisque munitionum firmitatem, et fani templique dispositionem; ac præterea illorum araeque dimensiones, accurateque omnia *describam*; festorum quoque dierum consuetudines aliquot, septemque lustrationes et sacerdotum munia, itemque illorum simul ac pontificis vestes, et quale erat templi sacrarium, nihil dissimulans compertisve adjiciens.

11. Narrabo deinde tyrannorum in suos gentiles crudelitatem, Romanorumque in alienigenas indulgentiam; et quoties Titus, civitatem pariter ac templum servare cupiens, ad concordiæ fœdera seditiosos provocavit: distincte etiam exponam populi clades et calamitates, quotque mala bello, quot seditione, et quot fame perpessi, capti sunt. Neque vero aut perfugarum infortunia, aut captivorum supplicia prætermittam, qualiterque templum invito Cæsare conflagravit, et quantum sacræ supellectilis e flammis ereptum erat; atque totius civitatis excidium, quæque præcesserant signa et prodigia; tyrannorumque captivita-

τυράννων, τῶν τε ἀνδραποδισθέντων τὸ πλῆθος, καὶ εἰς ἣν ἕκαστοι τύχην διενεμήθησαν· καὶ ὡς Ῥωμαῖοι μὲν ἐπεξῆλθον τὰ λείψανα τοῦ πολέμου καὶ τὰ ἐρύματα τῶν χωρίων καθεῖλον, Τίτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώραν κατεστήσατο· τήν τε ὑποστροφὴν αὐτοῦ τὴν εἰς Ἰταλίαν καὶ τὸν θρίαμβον.

ιβ'. Ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις καὶ μηδεμίαν τοῖς ἐπισταμένοις τὰ πράγματα καὶ παρατυχοῦσι τῷ πολέμῳ καταλιπὼν ἢ μέμψεως ἀφορμὴν ἢ κατηγορίας, τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ μὴ πρὸς ἡδονὴν, ἀνέγραψα. Ποιήσομαι δὲ ταύτης τῆς ἐξηγήσεως ἀρχὴν, ἣν καὶ τῶν κεφαλαίων ἐποιησάμην.

ΚΕΦ. Α'.

Στάσεως τοῖς δυνατοῖς Ἰουδαίων ἐμπεσούσης, καθ' ὃν καιρὸν Ἀντίοχος ὁ κληθεὶς Ἐπιφανὴς διεφέρετο περὶ ὅλης Συρίας πρὸς Πτολεμαῖον τὸν ἕκτον (ἡ φιλοτιμία δ' ἦν αὐτοῖς περὶ δυναστείας, ἑκάστου τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτετάχθαι), Ὀνίας μὲν εἷς τῶν ἀρχιερέων ἐπικρατήσας ἐξέβαλε τῆς πόλεως τοὺς Τωβίᾳ υἱούς. Οἱ δὲ καταφυγόντες πρὸς Ἀντίοχον ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον εἰς τὴν Ἰουδαίαν εἰσβαλεῖν. Πείθεται δὲ ὁ βασιλεὺς ὠρμημένος πάλαι, καὶ μετὰ πλείστης δυνάμεως αὐτὸς ὁρμήσας τήν τε πόλιν αἱρεῖ κατὰ κράτος καὶ πολύ τι πλῆθος τῶν Πτολεμαίῳ προσεχόντων ἀνεῖλε, ταῖς τε ἁρπαγαῖς ἀνέδην ἐπαφεὶς τοὺς στρατιώτας, αὐτὸς καὶ τὸν ναὸν ἐσύλησε, καὶ τὸν ἐνδελεχισμὸν τῶν καθ' ἡμέραν ἐναγισμῶν ἔπαυσεν ἐπ' ἔτη τρία καὶ μῆνας ἕξ. Ὁ δὲ ἀρχιερεὺς Ὀνίας πρὸς Πτολεμαῖον διαφυγὼν καὶ παρ' αὐτοῦ λαβὼν τόπον ἐν τῷ Ἡλιοπολίτῃ νομῷ πολίχνην τε τοῖς Ἱεροσολύμοις εἰκασμένην καὶ ναὸν ἔκτισεν ὅμοιον· περὶ οὗ αὖθις κατὰ χώραν δηλώσομεν.

β'. Ἀντιόχῳ γε μὴν οὔτε τὸ παρ' ἐλπίδα κρατῆσαι τῆς πόλεως οὔθ' αἱ ἁρπαγαὶ καὶ ὁ τοσοῦτος φόνος ἤρκεσεν, ὑπὸ δὲ ἀκρασίας παθῶν καὶ κατὰ μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθεν ἠνάγκαζεν Ἰουδαίους, καταλύσαντας τὰ πάτρια, βρέφη τε αὐτῶν φυλάττειν ἀπερίτμητα καὶ σῦς ἐπιθύειν τῷ βωμῷ· πρὸς ἃ ἅπαντες μὲν ἠπείθουν, ἐσφάττοντο δὲ οἱ δοκιμώτατοι. Καὶ Βακχίδης, ὁ πεμφθεὶς ὑπ' Ἀντιόχου φρούραρχος, τῇ φυσικῇ προσλαβὼν ὠμότητι τὰ ἀσεβῆ παραγγέλματα, παρανομίας οὐδεμίαν παρέλιπεν ὑπερβολὴν, καὶ κατ' ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος, καὶ κοινῇ καθ' ἡμέραν ἐνδεικνύμενος ὄψιν ἀλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερβολαῖς τῶν ἀδικημάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν ἠρέθισε.

γ'. Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου, τῶν ἱερέων εἷς, ἀπὸ κώμης Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας (πέντε γὰρ υἱεῖς ἦσαν αὐτῷ), κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην· καὶ παραχρῆμα μὲν δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη καταφεύγει· προσγενομένων δὲ ἀπὸ τοῦ δήμου πολλῶν αὐτῷ, ἀναθαρρήσας κάτεισι, καὶ συμβαλὼν μάχῃ νικᾷ τοὺς Ἀντιόχου στρατηγοὺς

tem, et multitudinem abductorum in servitium, et quænam cuique sorte obtigerunt; utque Romani persequuti sunt belli reliquias, et loca munita funditus everterent, Titusque regionem omnem a se peragratam constituit: neque silebo reditum ejus in Italiam et triumphum.

12. Ista universa septem libris complexus adnixusque ut omnes querelarum aut accusationum causas iis præciderem, qui res norint belloque interfuerint, studiosis veritatis, non iis qui voluptatis gratia legunt, perscripsi. Idem autem narrationis hujusce quod et capitulorum initium faciam.

CAP. I.

Quum inter Judæorum potentes commota esset seditio, quo tempore Antiochus Epiphanes dictus cum Ptolemæo sexto de Syria omni contendebat (erat autem Judæis inter se de principatu certamen, singulis eorum qui in dignitate erant ægre ferentibus ut sui similibus subjicerentur), Onias quidem, unus e pontificibus, postquam prævaluerat, Tobiæ filios civitate expulit. Illi vero ad Antiochum confugerunt, eique supplicarunt ut ipsis ducibus in Judæam irrumperet. Idque regi persuasum est, jam pridem sic animato, adeoque is, cum ingenti exercitu impressione facta in Judæam, et urbem vi cepit, et eorum qui favebant Ptolemæo magnam multitudinem interfecit; dataque militibus promiscue omnia rapiendi licentia, ipse et templum spoliavit et quotidiani sacrificii consuetudinem cessare fecit per tres annos et menses sex. Pontifex autem Onias, quum ad Ptolemæum perfugisset, et ab eo locum in præfectura Heliopolitana accepisset, ibi urbeculam ad instar Hierosolymorum et simile templum exstruxit: de quo iterum suo in loco memorabimus.

2. Verum Antiocho neque satisfaciebat urbis præter spem expugnatio, neque direptio, neque tanta hominum strages, sed vehementiori animi motu abreptus, memorque eorum quæ in obsidione pertulerat, Judæos cogebat, contra leges patrias, infantes suos incircumcisos servare, suesque super aram immolare. Quibus omnes quidem obnitebantur, optimus vero quisque trucidabatur. Et Bacchides, ab Antiocho missus ut præsidiorum esset præfectus, impiis mandatis naturæ suæ immanitati adjunctis, nullam iniquitatis prætermisit exsuperantiam, in viros alicujus dignitatis singulos tormentis sæviens, et civibus quotidie universis excidium minitans et ob oculos ponens; donec ex summa atrocitate injuriarum illis affectos adeo irritavit, ut sese ulcisci aust fuerint.

3. Nam Matthias Asamonæi filius, unus e sacerdotibus, ex vico cui Modein nomen, cum suorum manum armis instruxisset (filios enim quinque habebat) sicis Bacchidem interficit: et continuo quidem, veritus custodiarum multitudinem, in montes se recipit. Verum quum ad eum multi Judæorum convenissent, sumpto animo descendit, commissoque prælio Antiochi duces superat, et e Judææ finibus

καὶ τῆς Ἰουδαίας ἐξελαύνει. Παρελθὼν δὲ ἀπὸ τῆς εὐπραγίας εἰς δυναστείαν, καὶ διὰ τὴν ἀπαλλαγὴν τῶν ἀλλοφύλων ἀρξας, τῶν σφετέρων ἐκόντων, τελευτᾷ, Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν ἀρχήν.

δ'. Ὁ δέ (οὐδὲ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμβανε) τάς τε ἐπιχωρίους συνεκρότει δυνάμεις καὶ πρὸς Ῥωμαίους πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ πάλιν εἰς τὴν χώραν εἰσβαλόντα μετὰ καρτερᾶς πληγῆς ἀνέστειλεν. Ἀπὸ δὲ θερμοῦ τοῦ κατορθώματος ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρουράν (οὔπω γὰρ ἐκκέκοπτο), καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω (τοῦτο δὲ τοῦ ἄστεως τὸ μέρος Ἄκρα κέκληται), κυριεύσας δὲ τοῦ ἱεροῦ, τόν τε χῶρον ἐκάθηρε πάντα καὶ περιετείχισε, καὶ τὰ πρὸς τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας εἰς τὸν ναὸν εἰσήνεγκεν, ὡς τῶν προτέρων μεμιασμένων, βωμόν τε ᾠκοδόμησεν ἕτερον καὶ τῶν ἐναγισμῶν ἤρξατο. Λαμβανούσης δὲ ἄρτι τὸ ἱερὸν κατάστημα τῆς πόλεως, τελευτᾷ μὲν Ἀντίοχος, κληρονόμος δὲ τῆς βασιλείας αὐτοῦ καὶ τῆς πρὸς Ἰουδαίους ἀπεχθείας δυὸς Ἀντίοχος γίνεται.

ε'. Συναγαγὼν οὖν πεζῶν μυριάδας πέντε, ἱππεῖς δὲ εἰς πεντακισχιλίους, ἐλέφαντας δὲ ὀγδοήκοντα, ἐμβάλλει διὰ τῆς Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὰν μὲν οὖν πολίχνην αἱρεῖ, κατὰ δὲ τὸν τόπον ὃς καλεῖται Βεθζαχαρίας, στενῆς οὔσης τῆς παρόδου, Ἰούδας ὑπήντα μετὰ τῆς δυνάμεως. Πρὶν δὲ συνάψαι τὰς φάλαγγας, Ἐλεάζαρος ὁ ἀδελφὸς αὐτοῦ, προϊδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων πύργῳ τε μεγάλῳ καὶ περιχρύσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τε ἰδίων ἐκτρέχει πολὺ καὶ διακόψας τὸ στῖφος τῶν πολεμίων ἐπὶ τὸν ἐλέφαντα διήνυσεν. Ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως οὐχ οἷός τε ἦν διὰ τὸ ὕψος, ὁ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας ἐπικατέσεισεν ἑαυτῷ, καὶ συντριβεὶς ἐτελεύτησε, μηδὲν πλέον δράσας τοῦ μεγάλοις ἐπιβαλέσθαι, θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν. Ὅ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα ἰδιώτης ἦν· κἂν εἰ συνέβη δὲ εἶναι τὸν Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ἂν ὁ τολμήσας τοῦ δοκεῖν ἐπ' ἐλπίδι μόνῃ λαμπροῦ κατορθώματος ἑλέσθαι τὸν θάνατον. Γίνεται δὲ καὶ κληδὼν τἀδελφῷ τῆς ὅλης παρατάξεως. Καρτερῶς μὲν γὰρ οἱ Ἰουδαῖοι καὶ μέχρι πολλοῦ διηγωνίσαντο, πλήθει δὲ ὑπερέχοντες οἱ βασιλικοὶ καὶ δεξιᾷ χρησάμενοι τύχῃ κρατοῦσι. Καὶ πολλῶν ἀναιρεθέντων τοὺς λοιποὺς ἔχων Ἰούδας εἰς τὴν Γοφνιτικὴν τοπαρχίαν φεύγει. Ἀντίοχος δὲ παρελθὼν εἰς Ἱεροσόλυμα, καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ, κατὰ σπάνιν τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν, ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν χειμεριοῦσαν εἰς τὴν Συρίαν.

ς'. Πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως Ἰούδας οὐκ ἠρέμει· προσγενομένων δ' ἐκ τοῦ ἔθνους πολλῶν, καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας, κατὰ κώμην Ἀδασὰν συμβάλλει τοῖς Ἀντιόχου στρα-

expellit. Prospero autem rerum successu ad potentiam provectus, suisque volentibus principatum nactus, quod ab alienigenis eos liberasset, moritur, imperio Judæ relicto, filiorum natu maximo.

4. Ille vero (neque enim Antiochum quiescere posse existimabat) et e popularibus suis exercitum coegit, et cum Romanis primus amicitiam fecit, Epiphanemque in regionem iterum ingredientem gravi percussum plaga propulsavit. Recenti autem victoria elatus, protenus præsidia in urbe adortus est (necdum enim deleta erant), illisque ex urbe superiore ejectis, milites in inferiorem compellit (ista autem civitatis pars Acra [*arx*] dicta est), fanoque potitus, *et locum omnem perpurgavit, et murum ei circumdedit*, quumque in sacrorum ministeria nova vasa fabricari curasset, in templum ea intulit, quasi polluta fuissent priora : aramque aliam exstruxit, et sacris faciundis operam dare instituit. Religionis autem ritibus vix civitati restitutis, moritur quidem Antiochus; ei vero in regnum successit odiumque in Judæos suscepit filius ejus Antiochus.

5. Quo factum est ut coactis peditum millibus quinquaginta, equitum autem prope quinque millibus, octoginta vero elephantis, per Judææ partes in regionem montanam irruerit. Et Bethsuram quidem urbeculam capit : in loco vero cui nomen Bethzacharias, qua transitus erat angustior, Judas cum suis copiis occurrit. At antequam congrederentur agmina, Eleazarus frater ejus, quum prospexisset elephantem ceteris excelsiorem, turrique magna et aureis munimentis ornatum, ratus Antiochum illi insidere, suos longe præcurrit, perruptaque hostium turma ad elephantem usque pervenit. Sed ad illum quidem, qui rex esse putabatur, utpote in sublimi positum, pertingere non potuit, belluam vero in alvo vulneratam *in se dejecit*, *ejusque* pondere oppressus periit, nulla re alia gesta quam quod magna fuerit aggressus, gloriæ posthabita vita. Nam et is *qui regebat* elephantem privatus erat, et si forte Antiochus fuisset, illud ipsum ausus nihilo magis perfecisset, quam ut sola spe præclari facinoris edendi mortem optasse videretur. Verum id fratri totius prælii præsagium habebatur. Nam fortiter quidem Judæi et diu multumque repugnarunt; regii autem numero superiores et prospera fortuna usi victoriam reportant. Quumque multi interfecti essent, Judas cum reliquis in Gophniticam toparchiam fugit. Antiochus autem Hierosolyma profectus, ibique dies aliquot commoratus, necessariorum inopia discedit, relicto quidem illic præsidio, quantum satis esse arbitraretur, ceteris vero copiis ad hiemandum deductis in Syriam.

6. Quum autem rex discederet, Judas non quiescebat. Sed postquam multi e popularibus suis ad ipsum accessissent, aggregatis etiam ad se quotquot e prælio evaserant, apud vicum Adasan cum Antiochi ducibus congreditur;

τηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην πολλούς τε τῶν πολεμίων ἀποκτείνας ἀναιρεῖται, καὶ μεθ' ἡμέρας ὀλίγας ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ Ἀντιόχου φρονούντων τελευτᾷ.

ΚΕΦ. Β'.

Διαδεξάμενος δὲ τοῦτον ὁ ἀδελφὸς Ἰωνάθης τά τε ἄλλα πρὸς τοὺς ἐπιχωρίους διὰ φυλακῆς ἦγεν ἑαυτὸν καὶ τῇ πρὸς Ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο, πρός τε τὸν Ἀντίοχον παῖδα διαλλαγὰς ἐποιήσατο. Οὐ μήν τι τούτων ἤρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν. Τρύφων γὰρ ὁ τύραννος, ἐπίτροπος μὲν ὢν τοῦ Ἀντιόχου παιδὸς, ἐπιβουλεύων δ' αὐτῷ καὶ πρόσθεν ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος, ἥκοντα τὸν Ἰωνάθην σὺν ὀλίγοις εἰς Πτολεμαΐδα πρὸς Ἀντίοχον δόλῳ συλλαμβάνει, καὶ δήσας ἐπὶ Ἰουδαίων στρατεύει· εἶτ' ἀπελαθεὶς ὑπὸ τοῦ Σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωνάθου, καὶ πρὸς τὴν ἧτταν ὠργισμένος, κτείνει τὸν Ἰωνάθην.

β'. Σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγμάτων αἱρεῖ μὲν Γάζαρά τε καὶ Ἰόπην καὶ Ἰάμνειαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν Ἄκραν τῶν φρουρῶν κρατήσας. Αὖθις δὲ γίνεται καὶ Ἀντιόχῳ σύμμαχος κατὰ Τρύφωνος, ὃν ἐν Δώροις πρὸ τῆς ἐπὶ Μήδους στρατείας ἐπολιόρκει. Ἀλλ' οὐκ ἐδυσώπησε τὴν τοῦ βασιλέως πλεονεξίαν, συνεξελὼν Τρύφωνα. Μετ' οὐ πολὺ γὰρ Ἀντίοχος Κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δηώσοντα τὴν Ἰουδαίαν ἀνέπεμψε καὶ καταδουλωσόμενον Σίμωνα. Ὁ δὲ, καίτοι γηραιὸς ὢν, νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου· τοὺς μέντοι γε υἱεῖς ἐπ' αὐτὸν μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοῖραν τῆς δυνάμεως ἀναλαβὼν, ἐπῄει κατ' ἄλλο μέρος. Πολλοὺς δὲ πολλαχοῦ κἀν τοῖς ὄρεσι προλοχίσας πάσαις κρατεῖ ταῖς ἐπιβολαῖς. Καὶ νικήσας λαμπρῶς ἀρχιερεὺς ἀποδείκνυται, καὶ τῆς τῶν Μακεδόνων ἐπικρατείας μετὰ ἑκατὸν καὶ ἑβδομήκοντα ἔτη Ἰουδαίους ἀπαλλάττει.

γ'. Θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμποσίῳ ὑπὸ Πτολεμαίου τοῦ γαμβροῦ, ὃς αὐτοῦ τήν τε γυναῖκα καὶ τοὺς δύο παῖδας ἐγκαθείρξας ἐπὶ τὸν τρίτον Ἰωάννην, ὃς καὶ Ὑρκανὸς ἐκαλεῖτο, τοὺς ἀναιρήσοντας ἔπεμψε. Προγνοὺς δὲ τὴν ἔφοδον ὁ νεανίσκος παραγενέσθαι εἰς τὴν πόλιν ἠπείγετο, πλεῖστον τῷ λαῷ πεποιθὼς κατά τε μνήμην τῶν πατρῴων κατορθωμάτων καὶ μῖσος τῆς Πτολεμαίου παρανομίας. Ὥρμησε δὲ καὶ Πτολεμαῖος εἰσελθεῖν καθ' ἑτέραν πύλην, ἐξηκρούσθη γε μὴν ὑπὸ τοῦ δήμου ταχέως, δεδεγμένων ἤδη τὸν Ὑρκανόν. Καὶ ὁ μὲν παραχρῆμα ἀνεχώρησεν ἐπί τι τῶν ὑπὲρ Ἱεριχοῦντος ἐρυμάτων, ὁ Δαγὼν καλεῖται. Κομισάμενος δὲ τὴν πατρῴαν ἀρχιερωσύνην Ὑρκανὸς καὶ θύσας τῷ Θεῷ μετὰ τάχους ἐπὶ Πτολεμαῖον ὥρμησε, τιμωρήσων τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς.

δ'. Προσβαλὼν δὲ τῷ φρουρίῳ τὰ μὲν ἄλλα κρειτ-

quumque pugna præ ceteris claruisset, et multam hostium stragem edidisset, interfectus est, et paucis post diebus frater ejus Joannes ex insidiis eorum qui Antiocho favebant, moritur.

CAP. II.

Jonathas autem frater quum ei successisset, et in aliis quæ ad indigenas spectarent, caute admodum se gerebat, et imperium amicitia cum Romanis inita firmabat: insuper et facta est ei cum Antiocho puero reconciliatio. Non tamen horum ei quicquam satis momenti habebat ad securitatem. Nam Tryphon tyrannus, Antiochi quidem pueri tutor, illi vero insidias struens, porroque id agens ut amicos ejus e medio tolleret, Jonathan, quum ad Antiochum paucis comitatus Ptolemaidem venisset, dolo comprehendit, eoque vincto contra Judæos exercitum ducit: deinde repulsus a Simone, Jonathæ fratre, quodque ab eo superatus esset iratus, Jonathan interficit.

2. Simon autem, dum in rebus administrandis fortiter se gerit, Gazara quidem et Jopen et Jamniam capit, populorum vicinorum urbes, Acram vero insuper evertit subactis præsidiis. Posteaque Antiocho etiam adversus Tryphonem se socium adjungit, quem Doris ante expeditionem in Medos obsidebat. Sed regis aviditatem satiare non potuit, quamvis neci Tryphonis suam operam adhibuisset. Nam haud multo post Antiochus emisit exercitus sui ducem Cendebæum cum copiis ad vastandam Judæam et ad Simonem servituti subjiciendum. Atque ille, quanquam ætatis provectioris, bellum tamen juveniliter administravit; et filios quidem suos cum validissimorum manu adversus eum præmittit, ipse vero, exercitus parte assumpta, alio latere eum aggreditur: et multis per multa loca insidiis etiam in montibus dispositis aditus et transitus omnes occupat. Quumque præclaram retulisset victoriam, pontifex creatus est, et Judæos, post centum et septuaginta annos, a Macedonum dominatione liberat.

3. Sed et ipse interiit in convivio ex insidiis Ptolemæi generi sui, qui, uxore etiam ejus duobusque filiis in custodiam conclusis, certos homines misit qui tertium, Joannem, cui etiam Hyrcanus nomen erat, interficerent. Verum adolescens, quum jam ante de adventu illorum aliquid intellexisset, in urbem properabat, populo plurimum fisus, et propter memoriam rerum a patre prospere gestarum et quod cunctis invisa esset Ptolemæi iniquitas. Quin et Ptolemæus tentavit alia porta in urbem ingredi: verumtamen e vestigio repulsus est a populo qui Hyrcanum jam receperat. Et is quidem continuo discessit in quoddam ultra Hierichuntem munimentum, quod Dagon appellatur. Hyrcanus autem, paternum pontificatum assecutus, sacrisque Deo factis, celeriter contra Ptolemæum profectus est, matri simul et fratribus auxilium laturus.

4. Quum autem in castellum invaderet, aliis quidem re-

των ἦν, ἡττᾶτο δὲ δικαίου πάθους. Ὁ γὰρ Πτολεμαῖος, ὁπότε καταπονοῖτο, τήν τε μητέρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προανάγων ἐπὶ τοῦ τείχους εἰς εὐσύνοπτον ἠκίζετο, καὶ διακρημνιεῖν, εἰ μὴ θᾶττον ἀπανασταίη, διηπείλει. Πρὸς δὲ τὸν μὲν Ὑρκανὸν ὀργῆς πλείων οἶκτος εἰσῄει καὶ δέος, ἡ δὲ μήτηρ οὐδὲν οὔτε πρὸς τὰς αἰκίας οὔτε πρὸς τὸν ἀπειλούμενον αὐτῇ θάνατον ἐνδιδοῦσα χεῖρας ὤρεγε, καὶ κατηντιβόλει τὸν παῖδα μὴ πρὸς τὴν αὐτῆς ὕβριν ἐπικλασθέντα φείσασθαι τοῦ δυσσεβοῦς, ὡς αὐτῇ γε κρείττονα τὸν ἐκ Πτολεμαίου θάνατον ἀθανασίας εἶναι, διδόντος δίκας ἐφ' οἷς εἰς τὸν οἶκον αὐτῶν παρενόμησεν. Ὁ δὲ Ἰωάννης, ὁπότε μὲν ἐνθυμηθείη τὸ παράστημα τῆς μητρὸς καὶ κατακούσειε τῆς ἱκεσίας, ὥρμητο προσβαλεῖν· ἐπεὶ δὲ κατίδοι τυπτομένην τε καὶ σπαραττομένην, ἐθηλύνετο καὶ τοῦ πάθους ὅλος ἦν. Τριβομένης δὲ διὰ ταῦτα τῆς πολιορκίας, ἐπέστη τὸ ἀργὸν ἔτος, ὃ κατὰ ἑπταετίαν ἀργεῖται παρὰ Ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. Κἀν τούτῳ Πτολεμαῖος ἀνεθεὶς τῆς πολιορκίας ἀναιρεῖ τοὺς ἀδελφοὺς Ἰωάννου σὺν τῇ μητρὶ καὶ φεύγει πρὸς Ζήνωνα τὸν ἐπικληθέντα Κοτυλᾶν· Φιλαδελφείας δ' ἦν τύραννος.

ε'. Ἀντίοχος δὲ κατ' ὀργὴν ὧν ὑπὸ Σίμωνος ἔπαθε στρατεύσας εἰς τὴν Ἰουδαίαν ἐπολιόρκει τὸν Ὑρκανὸν προσκαθεζόμενος τοῖς Ἱεροσολύμοις. Ὁ δὲ τὸν Δαυίδου τάφον ἀνοίξας, ὃς δὴ πλουσιώτατος βασιλέων ἐγένετο, καὶ ὑφελόμενος ὑπὲρ τρισχίλια τάλαντα χρημάτων, τόν τε Ἀντίοχον ἀπανίστησι τῆς πολιορκίας πείσας τριακοσίοις ταλάντοις, καὶ δὴ καὶ ξενοτροφεῖν πρῶτος Ἰουδαίων ἐκ τῆς περιουσίας ἤρξατο.

ς'. Αὖθίς γε μὴν ὡς Ἀντίοχος ἐπὶ Μήδους στρατεύσας καιρὸν ἀμύνης αὐτῷ παρεῖχεν, εὐθέως ὥρμησεν ἐπὶ τὰς ἐν Συρίᾳ πόλεις, κενὰς, ὅπερ ἦν, τῶν μαχιμωτέρων ὑπολαμβάνων εὑρήσειν. Μηδάβην μὲν οὖν καὶ Σαμαίαν ἅμα ταῖς πλησίον, ἔτι δὲ Σίκιμα καὶ Γαριζὶν αὐτὸς αἱρεῖ· πρὸς αἷς τὸ Χουθαίων ἔθνος, οἳ περιῴκουν τὸ εἰκασθὲν τῷ ἐν Ἱεροσολύμοις ἱερῷ. Αἱρεῖ δὲ καὶ τῆς Ἰδουμαίας ἄλλας τε οὐκ ὀλίγας καὶ Ἀδωρεὸν καὶ Μάρισσαν.

ζ'. Προελθὼν δὲ καὶ μέχρι Σαμαρείας, ἔνθα δὴ νῦν ἐστι Σεβαστὴ πόλις ὑφ' Ἡρώδου κτισθεῖσα τοῦ βασιλέως, καὶ πάντοθεν αὐτὴν ἀποτειχίσας, τοὺς υἱεῖς ἐπέστησε τῇ πολιορκίᾳ, Ἀριστόβουλον καὶ Ἀντίγονον· ὧν οὐδὲν ἀνιέντων, λιμοῦ μὲν εἰς τοσοῦτον προῆλθον οἱ κατὰ τὴν πόλιν, ὡς ἄψασθαι καὶ τῶν ἀηθεστάτων. Ἐπεκαλοῦντο δὲ βοηθὸν Ἀντίοχον τὸν ἐπικληθέντα Ἀσπένδιον· κἀκεῖνος ἑτοίμως ὑπακούσας, ὑπὸ τῶν περὶ Ἀριστόβουλον ἡττᾶται. Καὶ ὁ μὲν μέχρι Σκυθοπόλεως διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν ἐκφεύγει, οἱ δ' ἐπὶ τῆς Σαμαρείας ὑποστρέψαντες τό τε πλῆθος πάλιν εἰς τὸ τεῖχος συγκλείουσι καὶ τὴν πόλιν ἑλόντες αὐτήν τε κατασκάπτουσι καὶ τοὺς ἐνοικοῦντας ἐξηνδραποδίσαντο. Προχωρούντων δὲ τῶν κατορθωμάτων, τὴν ὁρμὴν οὐ κατέψυξαν, ἀλλὰ προελθόντες ἅμα τῇ δυνά-

bus superior erat, justo vero dolori cessit. Nam Ptolemæus, quoties premeretur, matrem ejus fratresque in murum productos, palam ut possent conspici, verberabat, et præcipites dare minitabatur, nisi quam primum discederet. Ex quibus Hyrcanum quidem subiit iracundiâ major misericordia et timor, mater vero ejus nihil plagis necive sibi intentatæ cedens manus protendebat, filiumque precabatur ne parceret impio fractus injuriis matris, ut quæ immortalitate potiorem duceret Ptolemæi mortem, modo is pœnas lueret pro flagitiis in domum ipsorum admissis. At Joannes, quum matrem animadvertebat tanta esse animi præsentia et fortitudine, precesque illius exaudiebat, incitatus est ad impressionem faciendam : ubi vero ipsam verberari et lacerari conspiciebat, emolliri cœpit, totusque plenus erat doloris. Ob hæc autem tracta aliquamdiu obsidione, instabat annus feriatus, quo apud Judæos quolibet septennio similiter ac septimo quoque die otium agitur. Et in hoc Ptolemæus, obsidione solutus, fratres Joannis una cum matre interfecit, et ad Zenonem confugit, qui Cotylas cognominatus est : erat autem Philadelphiæ tyrannus.

5. Atqui Antiochus, ob ea quæ a Simone passus fuerat iratus, ducto in Judæam exercitu, Hierosolymis assidens Hyrcanum obsidebat. Ille vero, patefacto sepulcro Davidis, utpote qui regum ditissimus fuerat, ablatisque inde plus quam tribus millibus talentorum, facit ut Antiochus ab obsidione discederet, id quod ei datis trecentis talentis persuasit : atque adeo primus Judæorum suis sumptibus cœpit peregrina alere auxilia.

6. Rursusque tamen, quum Antiochus, bello contra Medos suscepto, tempus vindictæ idoneum ei suppeditaret, confestim adversus Syriæ civitates profectus est, vacuas hominibus validioribus, id quod erat, reperturum esse existimans. Et Medabam quidem et Samæam cum iis quæ in vicinia erant, necnon et Sicima et Gazirin ipse cepit, ac præterea Chuthæorum posteros, qui fanum ad instar Hierosolymitani ædificatum circumhabitabant. Quin et alias Idumææ urbes non paucas capit, insuper et Adoreon et Marissam.

7. Quum autem et Samariam usque processisset, ubi nunc est Sebaste urbs ab Herode rege condita, eamque vallo undique circumdedisset, filios suos, Aristobulum et Antigonum, obsidioni præfecit : quibus nihil remittentibus, adeo fame premebantur qui in urbe erant, ut etiam insuetissimis vescerentur. Qua re fiebat ut Antiochum, cognomine Aspendium, in auxilium sibi advocarent; atque is, quum prompte eis paruisset, ab Aristobulo et Antigono superatur. Et ille quidem, postquam eum persecuti erant fratres ad Scythopolin usque, effugit : hi vero in Samariam reversi et multitudinem iterum intra murum concludunt, et, quum urbem cepissent, eam diruunt et incolas in captivitatem abduxerunt. Quum autem res illis ita ex animi sententia succederent, suam passi non sunt alacritatem

μει μέχρι τῆς Σκυθοπόλεως, ταύτην τε κατέδραμον καὶ τὴν ἐντὸς Καρμήλου τοῦ ὄρους χώραν ἅπασαν κατενείμαντο.

(Γ'.) η'. Πρὸς δὲ τὰς εὐπραγίας αὐτοῦ τε Ἰωάννου καὶ τῶν παίδων φθόνος ἐγείρει στάσιν τῶν ἐπιχωρίων, καὶ πολλοὶ κατ' αὐτῶν συνελθόντες οὐκ ἠρέμουν, μέχρι καὶ πρὸς φανερὸν πόλεμον ἐκριπισθέντες ἡττῶνται. Τὸ λοιπὸν δ' ἐπιβιοὺς ἐν εὐδαιμονίᾳ Ἰωάννης, καὶ τὰ κατὰ τὴν ἀρχὴν κάλλιστα διοικήσας, ἐν τρισὶ καὶ τριάκοντα ὅλοις ἔτεσιν, ἐπὶ πέντε υἱέσι τελευτᾷ, μακαριστότατος ὄντως καὶ κατὰ μηδὲν ἐάσας ἐφ' ἑαυτῷ μεμφθῆναι τὴν τύχην. Τρία γοῦν τὰ κρατιστεύοντα μόνος εἶχε, τήν τε ἀρχὴν τοῦ ἔθνους καὶ τὴν ἀρχιερωσύνην καὶ προφητείαν· ὡμίλει γὰρ αὐτῷ τὸ δαιμόνιον, ὡς μηδὲν τῶν μελλόντων ἀγνοεῖν, ὅς γε καὶ περὶ δύο τῶν πρεσβυτάτων υἱῶν, ὅτι μὴ διαμενοῦσι κύριοι τῶν πραγμάτων, προεῖδέ τε καὶ προεφήτευσεν· ὧν τὴν καταστροφὴν ἄξιον ἀφηγήσασθαι, παρόσον τῆς πατρῴας εὐδαιμονίας ἀπέκλιναν.

ΚΕΦ. Γ'.

Μετὰ γὰρ τὴν τοῦ πατρὸς τελευτὴν ὁ πρεσβύτερος αὐτῶν Ἀριστόβουλος, τὴν ἀρχὴν εἰς βασιλείαν μεταθείς, περιτίθεται μὲν διάδημα πρῶτος, μετὰ τετρακοσιοστὸν καὶ ἑβδομηκοστὸν πρῶτον ἔτος, πρὸς δὲ μῆνας τρεῖς, ἐξ οὗ κατῆλθεν ὁ λαὸς εἰς τὴν χώραν ἀπαλλαγεὶς τῆς ἐν Βαβυλῶνι δουλείας· τῶν δὲ ἀδελφῶν τὸν μὲν μεθ' ἑαυτὸν Ἀντίγονον (ἐδόκει γὰρ ἀγαπᾶν) ἦγεν ἰσοτίμως, τοὺς δ' ἄλλους εἱργνυσι δήσας· δεσμεῖ δὲ καὶ τὴν μητέρα διενεχθεῖσαν περὶ τῆς ἐξουσίας (ταύτην γὰρ δὴ κυρίαν τῶν ὅλων ὁ Ἰωάννης ἀπολοίπει) καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν ὥστε καὶ λιμῷ διαφθεῖραι δεδεμένην.

β'. Περιέρχεται δὲ αὐτῷ ἡ τίσις εἰς τὸν ἀδελφὸν Ἀντίγονον, ὃν ἠγάπα τε καὶ τῆς βασιλείας κοινωνὸν εἶχε· κτείνει γὰρ καὶ τοῦτον ἐκ διαβολῶν, ἃς οἱ πονηροὶ τῶν κατὰ τὸ βασίλειον ἐνεσκευάσαντο. Τὰ μὲν δὴ πρῶτα διηπίστει τοῖς λεγομένοις ὁ Ἀριστόβουλος, ἅτε δὴ καὶ τὸν ἀδελφὸν ἀγαπῶν καὶ διδοὺς φθόνῳ τὰ πολλὰ τῶν λογοποιουμένων· ὡς δ' ὁ Ἀντίγονος λαμπρὸς ἀπὸ τῆς στρατείας ἦλθεν εἰς τὴν ἑορτήν, ἐν ᾗ σκηνοποιεῖσθαι πάτριον τῷ Θεῷ, συνέβη μὲν κατ' ἐκείνας τὰς ἡμέρας νόσῳ χρήσασθαι τὸν Ἀριστόβουλον, τὸν δὲ Ἀντίγονον ἐπὶ τέλει τῆς ἑορτῆς ἀναβάντα μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν, ὡς ἐνῆν μάλιστα κεκοσμημένον, προσκυνῆσαι τὸ πλέον ὑπὲρ τἀδελφοῦ. Κἀν τούτῳ προσιόντες οἱ πονηροὶ τῷ βασιλεῖ τήν τε πομπὴν τῶν ὁπλιτῶν ἐδήλουν καὶ τὸ παράστημα τὸ Ἀντιγόνου, μεῖζον ἢ κατ' ἰδιώτην, ὅτι τε παρείη μετὰ μεγίστων συνταγμάτων ἀναιρήσων αὐτόν· οὐ γὰρ ἀνέχεσθαι τιμὴν μόνον ἐκ βασιλείας ἔχειν, παρὸν αὐτὴν κατασχεῖν.

γ'. Τούτοις κατὰ μικρὸν ἄκων ἐπίστευσεν Ἀριστόβουλος, καὶ προνοῶν τοῦ μήθ' ὑποπτεύων φανερὸς γε-

refrigescere; sed cum exercitu Scythopolim usque progressi, et eam incursibus vastarunt et agros intra montem Carmelum omnes depopulati sunt.

(III.) 8. Verum invidia ex rebus Joannis ipsius filiorumque prosperis conflata popularium seditionem concitat: multique, conspiratione in eos facta, non quiescebant donec in bellum apertum exsuscitati vincuntur. Quum autem reliquum vitæ felicissime degisset Joannes, resque imperii per tres et triginta annos integros administrasset, quinque filiis relictis, moritur; vir plane beatissimus, et qui nulla in re fortunam sui causa accusari passus est. Denique tria vel maxima solus obtinuit, nempe et gentis principatum, et summum sacerdotium, et vaticinandi potestatem: nam cum eo ita versatus est Deus, ut futurorum nihil ignoraret, adeo ut de duobus filiis suis natu majoribus et præviderit et prædixerit quod non diu mansuri essent rerum domini: quorum vitæ quis fuerit exitus, operæ pretium erit narrare, quatenus de paterna felicitate deciderint.

CAP. III.

Nam mortuo patre, Aristobulus e filiis natu major, quum principatum in regnum commutasset, primus quidem diadema sumpsit, post annos quadringentos septuaginta et unum mensesque tres, quam populus, servitute quam Babylone serviit liberatus, in eam regionem descenderat: Antigonum vero fratrum a se secundum (namque illum amare videbatur) sibi honore æquavit, ceteros autem vinctos in custodias dat; itemque matrem, quod ea cum ipso de potestate contenderit (nam ipsam rerum dominam Joannes reliquerat), in vincula conjicit, eoque crudelitatis processit, ut vinctam fame necarit.

2. Verum pœnæ ab eo repetitæ sunt in fratre Antigono, quem et amabat et regni socium habebat. Nam et hunc ex calumniis interemit, quas improbi in aula regia versantes in eum confinxerant. Itaque primo quidem dictis diffidebat Aristobulus, scilicet et ex amore fratris et quod pleraque rumore disseminata invidiæ imputaret. Sed quum Antigonus splendide ab expeditione veniret ad festum, quo ex more patrio tabernacula Deo eriguntur, accidit quidem illis in diebus ut morbo laborarit Aristobulus, Antigonus vero sub festi exitu ascenderit suis militibus stipatus, et quam maxime fieri potuit ornatus, ut pro fratre magis accurate adoraret. Tumque viri scelerati regem adeuntes et armatorum pompam ei indicabant, et elatum Antigoni animum, majorem quam qui privato conveniret, quodque cum turma maxima adesset ipsum interfecturus: neque enim nudum regni ferre posse honorem, quum regnum ipsum sibi liceat occupare.

3. His fere invitus credidit Aristobulus, idque agens ne vel suspicari quidquam videretur, seque contra incerta

νέσθαι καὶ προησφαλίσθαι πρὸς τὸ ἄδηλον, διίστησι μὲν τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογαίων ἀλαμπεῖ, κατέκειτο δ' ἐν τῇ βάρει πρότερον καλουμένῃ, αὖθις δ' Ἀντωνίᾳ μετονομασθείσῃ, προστάξας ἀνόπλου μὲν ἀπέχεσθαι, κτείνειν δὲ τὸν Ἀντίγονον, εἰ μετὰ ὅπλων προσίοι. Καὶ πρὸς αὐτὸν ἔπεμψε τοὺς προεροῦντας ἀνοπλον ἐλθεῖν. Πρὸς τοῦτο πάνυ πανούργως ἡ βασίλισσα συντάσσεται μετὰ τῶν ἐπιβούλων. Τοὺς γὰρ πεμφθέντας πείθουσι τὰ μὲν παρὰ τοῦ βασιλέως σιωπῆσαι, λέγειν δὲ πρὸς τὸν Ἀντίγονον ὡς ὁ ἀδελφὸς ἀκούσας ὅπλα τε αὐτῷ κατεσκευακέναι κάλλιστα καὶ πολεμικὸν κόσμον ἐν τῇ Γαλιλαίᾳ, διὰ μὲν τὴν ἀσθένειαν αὐτὸς ἐπιδεῖν ἕκαστα κωλυθείη, νῦν δ' ἐπεὶ καὶ χωρίζεσθαι μέλλοις, θεάσαιτ' ἂν ἡδιστά σε ἐν τοῖς ὅπλοις.

δ'. Ταῦτ' ἀκούσας ὁ Ἀντίγονος (ἐνῆγε δ' ἡ τοῦ ἀδελφοῦ διάθεσις μηδὲν ὑποπτεύειν πονηρόν) ἐχώρει μετὰ τῶν ὅπλων ὡς πρὸς ἐπίδειξιν. Γενόμενος δὲ κατὰ τὴν σκοτεινὴν πάροδον, ἣ Στράτωνος ἐκαλεῖτο πύργος, ὑπὸ τῶν σωματοφυλάκων ἀναιρεῖται, βέβαιον ἀποδείξας ὅτι πᾶσαν εὔνοιαν καὶ φύσιν κόπτει διαβολή, καὶ οὐδὲν οὕτω τῶν ἀγαθῶν παθῶν ἰσχυρὸν ὃ τῷ φθόνῳ μέχρι παντὸς ἀντέχει.

ε'. Θαυμάσαι δ' ἄν τις ἐν τούτῳ καὶ Ἰούδαν (Ἐσσαῖος ἦν γένος, οὐκ ἔστιν ὅτε πταίσας ἢ ψευσθεὶς ἐν προαγγέλμασιν), ὃς ἐπειδὴ καὶ τότε τὸν Ἀντίγονον ἐθεάσατο παριόντα διὰ τοῦ ἱεροῦ, πρὸς τοὺς γνωρίμους ἀνέκραγεν (ἦσαν δ' οὐκ ὀλίγοι παρεδρεύοντες αὐτῷ τῶν μανθανόντων) « Παπαῖ· νῦν ἐμοὶ καλὸν, ἔφη, τὸ « θανεῖν, ὅτε μοι προτέθνηκεν ἡ ἀλήθεια καί τι τῶν « ὑπ' ἐμοῦ προρρηθέντων διέψευσται. Ζῇ γὰρ Ἀντί- « γονος οὑτοσὶ σήμερον ὀφείλων ἀποθανεῖν· χωρίον δ' « αὐτῷ πρὸς σφαγὴν Στράτωνος πύργος εἵμαρτο· καὶ « τοῦτο μὲν ἀφ' ἑξακοσίων σταδίων ἐντεῦθεν ἐστίν· « ὧραι δὲ τῆς ἡμέρας ἤδη τέσσαρες· ὁ δὴ χρόνος ἐκ- « κρούει τὸ μάντευμα. » Ταῦτ' εἰπὼν σκυθρωπὸς ἐπὶ συννοίας ὁ γέρων διεκαρτέρει, καὶ μετ' ὀλίγον ἀνηρημένος Ἀντίγονος ἠγγέλλετο κατὰ τὸ ὑπόγαιον χωρίον, ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύργος, ὁμωνύμως τῇ παραλίῳ Καισαρείᾳ· τοῦτο γοῦν τὸν μάντιν διετάραξεν.

ς'. Ἀριστοβούλῳ γε μὴν εὐθὺς ἡ περὶ τοῦ μύσους μεταμέλεια νόσον ἐνσκήπτει, καὶ πρὸς ἐννοίαις τοῦ φόνου τὴν ψυχὴν ἔχων ἀεὶ τεταραγμένην συνετήκετο, μέχρι τῶν σπλάγχνων ὑπ' ἀκράτου τῆς λύπης σπαραττομένων ἀθρόον αἷμα ἀναβάλλει. Τοῦτό τις τῶν ἐν τῇ θεραπείᾳ παίδων ἐκφέρων, δαιμονίῳ προνοίᾳ σφάλλεται, καθ' ὃν τόπον ὁ Ἀντίγονος ἔσφακτο, καὶ φαινομένοις ἔτι τοῖς ἀπὸ τοῦ φόνου σπίλοις τὸ αἷμα τοῦ κτείναντος ἐπεξέχεεν. Ἥρθη δ' εὐθὺς οἰμωγὴ τῶν θεασαμένων, ὥσπερ ἐπίτηδες τοῦ παιδὸς ἐκεῖ ἐπικατασπείσαντος τὸ αἷμα· τῆς δὲ βοῆς ἀκούσας ὁ βασιλεὺς τὴν αἰτίαν ἐπυνθάνετο, καὶ μηδενὸς τολμῶντος εἰπεῖν μᾶλλον ἐνέκειτο μαθεῖν ἐθέλων. Τέλος δ' ἀπειλοῦντι

præmuniret, suos quidem satellites in quodam loco subterraneo et tenebricoso disposuit (ipse autem in turri decumbebat quæ prius Baris dicta est, postea vero mutato nomine Antonia) cum mandatis ut ab inermi quidem manus abstinerent, occiderent vero Antigonum, si armatus accederet. Misit etiam qui illud Antigono prædicerent, ut sine armis veniret. Ad hoc regina callide admodum cum insidiatoribus rem constituit. Persuadent enim iis qui missi erant ut mandata quidem regis tacerent, Antigono vero dicerent quod frater, audito eum sibi arma pulcherrima in ornatum bellicum in Galilæa comparasse, morbo impeditus esset quominus ipse singula inspiceret, nunc vero quum alio discessurus sis, armis indutum videre quam maxime desideret.

4. His auditis Antigonus (ne quid enim mali suspicaretur, suadebat fratris affectus) armatus incedebat, quasi semet ostensurus. Sed ubi ad obscurum transitum, qui Stratonis turris vocabatur, perventum est, a satellitibus interficitur, edito certo documento, quod omnia benevolentiæ naturæque vincula discindant calumniæ, quodque ex melioribus animi affectionibus nulla adeo valida est, ut invidiæ perpetuo possit obsistere.

5. Subeat autem alicui et Judam hac in re mirari — Essæus erat genere, qui in prædictionibus nunquam lapsus est aut mentitus — qui postquam et Antigonum tunc templum forte prætereuntem viderat, ad familiares exclamabat (erant autem non pauci e discipulis ei assidentes), « Papæ! « nunc æquum, dicebat, ut ipse moriar, quando ante me « veritas interiit, et falsum est certum quiddam a me præ- « dictum. Vivit enim iste Antigonus, qui hodie mori de- « buit. Locus autem neci ejus fato destinatus erat Stratonis « turris, et ille quidem sexcentorum abhinc stadiorum in- « tervallo distat, jam vero quarta est diei hora : adeoque « tempus irritum reddit vaticinium. » Ista loquutus tacita cogitatione mœstoque vultu defixus hærebat senex, paulloque post interfectum esse Antigonum nunciatur in loco subterraneo, qui et ipse Stratonis turris appellabatur, eodem nomine quo maritima Cæsarea : quippe hæc res vatem perturbavit.

6. Ceterum pœnitudo ex scelere statim fecit ut Aristobulo morbus ingravesceret, dumque animum cædem secum reputando perturbatum haberet, contabescebat, donec immodico dolore laceratis visceribus, sanguinem multum emitteret. Hunc dum quidam puerorum qui ei ministrabant foras effert, divina providentia prolapsus cadit eo in loco quo Antigonus erat occisus, et super exstantes cædis maculas interfectoris cruorem effudit. Mox autem sublatus est ululatus ab iis qui id conspexerant, tanquam puer de industria sanguinem illic libasset : et quum rex clamore audito causam sciscitaretur, eamque nemo prodere ausus esset, eo magis instabat discendi desiderio. Tandem

καὶ βιαζομένῳ τἀληθὲς εἶπον. Ὁ δὲ τούς τε ὀφθαλμοὺς ἐμπίπλησι δακρύων καὶ στενάξας, ὅσον ἦν αὐτῷ δύναμις, εἶπεν, « οὐκ ἄρα Θεοῦ μέγαν ὀφθαλμὸν ἐπ' ἔρ« γοις ἀθεμίτοις λήσειν ἔμελλον, ἀλλά με ταχεῖα μέ« τεισι δίκη φόνου συγγενοῦς. Μέχρι ποῦ μοι, σῶμα « ἀναιδέστατον, τὴν ἀδελφῷ καὶ μητρὶ κατάκριτον ψυ« χὴν καθέξεις; μέχρι ποῦ δ' αὐτὸς ἐπισπείσω κατὰ « μέρος τοὐμὸν αἷμα; λαβέτωσαν ἀθρόον τοῦτο, καὶ « μηκέτι ταῖς ἐκ τῶν ἐμῶν σπλάγχνων χοαῖς ἐπειρω« νεύεσθω τὸ δαιμόνιον. » Ταῦτ' εἰπὼν εὐθέως τελευτᾷ, βασιλεύσας οὐ πλεῖον ἐνιαυτοῦ.

vero, quum minas intentaret eosque cogeret, verum quod erat ei indicaverunt. At ille, quum lacrimis opplesset oculos, quantumque poterat ingemuisset, dicebat, « haud « utique erat ut magnum Dei oculum ob facta nefaria effu« gerem, sed me celeris pœna persequitur ob cognati cæ« dem. Quousque, o corpus impudentissimum, matri « fratrique damnatam animam detinebis? quam diu et ipse « paullatim illis sanguinem meum libabo? simul totum acci« piant; ne amplius inferias ex meis visceribus factas deri« deat numen. » His dictis illico moritur, cum non plus anno regnum tenuisset.

ΚΕΦ. Δ'.

Λύσασα δ' ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ βασιλέα καθίστησιν Ἀλέξανδρον, τὸν καὶ καθ' ἡλικίαν καὶ μετριότητα προύχειν δοκοῦντα. Ὁ δὲ παρελθὼν εἰς τὴν ἐξουσίαν τὸν ἕτερον μὲν τῶν ἀδελφῶν βασιλειῶντα κτείνει, τὸν δὲ καταλειπόμενον, ἀγαπῶντα τὸ ζῆν δίχα πραγμάτων, εἶχεν ἐν τιμῇ.

β'. Γίνεται δ' αὐτῷ καὶ πρὸς τὸν Λάθουρον ἐπικληθέντα Πτολεμαῖον συμβολή, πόλιν Ἄσωχιν ἡρηκότα· καὶ πολλοὺς μὲν ἀνεῖλε τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς Πτολεμαῖον ἔρρεψεν. Ἐπεὶ δ' οὗτος ὑπὸ τῆς μητρὸς Κλεοπάτρας διωχθεὶς εἰς Αἴγυπτον ἀνεχώρησεν, Ἀλέξανδρος Γαδάρων τε τολιορκίᾳ κρατεῖ καὶ Ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἕρυμα τῶν ὑπὲρ Ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν Θεοδώρου τοῦ Ζήνωνος κτημάτων ἦν ἐν αὐτῷ. Ἐπελθὼν δ' ἐξαίφνης ὁ Θεόδωρος τά τε σφέτερα καὶ τὴν τοῦ βασιλέως ἀποσκευὴν αἱρεῖ, τῶν τε Ἰουδαίων εἰς μυρίους κτείνει. Γίνεται δ' ἐπάνω τῆς πληγῆς Ἀλέξανδρος, καὶ τραπόμενος εἰς τὴν παράλιον, αἱρεῖ Ῥαφίαν τε καὶ Γάζαν καὶ Ἀνθηδόνα, τὴν αὖθις ὑφ' Ἡρῴδου τοῦ βασιλέως Ἀγριππιάδα ἐπικληθεῖσαν.

γ'. Ἐξανδραποδισαμένῳ δὲ ταύτας ἐπανίσταται τὸ Ἰουδαϊκὸν ἐν τῇ ἑορτῇ· μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἅπτεται. Καὶ ἐδόκει μὴ ἂν κρείττων γενέσθαι τῆς ἐπιβουλῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει· Πισίδαι καὶ Κίλικες ἦσαν· Σύρους γὰρ οὐκ ἐδέχετο μισθοφόρους, διὰ τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχθειαν. Κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ ἑξακισχιλίους Ἀραβίας ἥπτετο, καὶ ταύτης ἐλὼν Γαλααδίτας τε καὶ Μωαβίτας, φόρον τε αὐτοῖς ἐπιτάξας, ἀνέστρεψεν ἐπὶ Ἀμαθοῦντα. Θεοδώρου δὲ πρὸς τὰς εὐπραγίας αὐτοῦ καταπλαγέντος, ἔρημον λαβὼν τὸ φρούριον κατέσκαψεν.

δ'. Ἔπειτα συμβαλὼν Ὀβέδᾳ τῷ Ἀράβων βασιλεῖ προλοχίσαντι κατὰ τὴν Γαυλάνην, ἐνέδρας αὐτῷ γενομένης, πᾶσαν ἀποβάλλει τὴν στρατιάν, συνωσθεῖσαν κατὰ βαθείας φάραγγος καὶ πλήθει καμήλων συντριβεῖσαν. Διαφυγὼν δ' αὐτὸς εἰς Ἱεροσόλυμα, τῷ μεγέθει τῆς συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. Γίνεται δὲ καὶ τότε κρείττων, καὶ μάχαις ἐπαλλήλοις οὐκ ἔλαττον πεντακισμυρίων Ἰουδαίων ἀνεῖλεν ἐν ἔτεσιν· οὐ μὴν ἡδέως γε

CAP. IV.

Uxor autem Aristobuli, quum fratres vinculis exemisset, regem constituit Alexandrum, qui et ætate et morum modestia præstare videbatur. Verum is, ad potestatis fastigium provectus, e fratribus quidem alterum regnum affectantem occidit, alterum vero, vita quieta contentum, in honore habuit.

2. Accidit autem ut is prælio congrederetur cum Ptolemæo cognomine Lathuro, qui urbem Asochim ceperat: in quo multos quidem hostium peremit, sed victoria in Ptolemæum propendebat. Postea vero quam ille a matre Cleopatra fugatus in Ægyptum discesserat, Alexander et Gadara obsidione in potestatem suam redigit, et castellum Amathuntis, munitionem omnium quæ super Jordanen sitæ erant maximam, ubi et pretiosissima quæque bonorum Theodori filii Zenonis adservabantur. At Theodorus, quum repente supervenisset, et res suas capit et regis impedimenta, et Judæorum decem circiter millia interficit. Alexander autem ab ista plaga revalescit, et in maritimam regionem versus Raphiam capit et Gazam, itemque Anthedonem, quæ postea a rege Herode Agrippias nominata est.

3. Quum autem urbes istas subjugasset, insurrectio fit populi Judaici in festo. Tum enim maxime, quum festa celebrantur, excitatur seditio. Nec apparebat quo pacto ex insidiis evadere potuerit, nisi auxilium tulissent copiæ peregrinæ, Pisidæ nempe et Cilices: Syros quippe in mercenarios non admittebat, propter ingenitum illis erga gentem Judæorum odium. Quum autem supra sex millia eorum qui in eum insurrexerant occidisset, in Arabiam incursionem facit: quumque ibi Galaaditas et Moabitas subegisset, tributumque illis imperasset, ad Amathuntem reversus est. Theodoro etiam ex rebus ejus prospere gestis metu perculso, quum castellum præsidio vacuum reperisset, funditus evertit.

4. Mox autem congressus cum Obeda rege Arabum, qui locum juxta Gaulanam prior insidiis occupaverat, illis captus totum amisit exercitum, in vallem profundam compulsum atque camelorum multitudine contritum. Ille vero fuga dilapsus in Hierosolyma, gentem olim sibi infensam calamitatis magnitudine in seditionem excitavit. Fit autem etiam tunc superior, crebrisque prœliis non pauciores quinquaginta Judæorum millibus interfecit, sex annorum spatio: nequaquam tamen victoriis lætabatur, ut qui

ταῖς νίκαις, τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων· ὅθεν παυσάμενος τῶν ὅπλων λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς ὑποτεταγμένους. Οἱ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐτοῦ καὶ τοῦ τρόπου τὸ ἀνώμαλον. Πυνθανομένῳ δὲ τὸ αἴτιον καὶ τί ἂν ποιήσας καταστείλειεν αὐτούς, « ἀποθανών » ἔλεγον· νεκρῷ γὰρ ἂν διαλλαγῆναι μόλις τῷ τοσαῦτα δράσαντι. Ἅμα δὲ καὶ τὸν Εὔκαιρον ἐπικληθέντα Δημήτριον ἐπεκαλοῦντο. Ῥᾳδίως δ' ὑπακούσαντος κατ' ἐλπίδα μειζόνων καὶ μετὰ στρατιᾶς ἥκοντος, συνέμισγον οἱ Ἰουδαῖοι τοῖς συμμάχοις περὶ Σίκιμα.

ε'. Δέχεται δ' ἑκατέρους Ἀλέξανδρος, ἱππεῦσι μὲν χιλίοις, μισθοφόροις δὲ πεζοῖς ὀκτακισχιλίοις· παρῆν δὲ αὐτῷ καὶ τὸ εὐνοῦν Ἰουδαϊκὸν εἰς μυρίους. Τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζῶν δὲ μύριοι τετρακισχίλιοι. Καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν διακηρύσσοντες οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων, Δημήτριος μὲν τοὺς Ἀλεξάνδρου μισθοφόρους, Ἀλέξανδρος δὲ τοὺς ἅμα Δημητρίῳ Ἰουδαίους μεταπείσειν ἐλπίσας. Ὡς δ' οὔτε οἱ Ἰουδαῖοι θυμῶν οὔθ' οἱ Ἕλληνες ἐπαύοντο πίστεως, διεκρίνοντο ἤδη τοῖς ὅπλοις συμπεσόντες. Κρατεῖ δὲ τῇ μάχῃ Δημήτριος, καίπερ πολλὰ τῶν Ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. Χωρεῖ δὲ τὸ τέλος τῆς παρατάξεως παρὰ δόξαν ἀμφοτέροις· οὔτε γὰρ Δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατ' οἶκτον τῆς μεταβολῆς Ἀλεξάνδρῳ προσεχώρησαν εἰς τὰ ὄρη καταφυγόντι Ἰουδαίων ἑξακισχίλιοι. Ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκε Δημήτριος, ἀλλ' ὑπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν Ἀλέξανδρον, μεταρρεῖν δὲ καὶ πᾶν τὸ ἔθνος εἰς αὐτόν, ἀνεχώρησεν.

ς'. Οὐ μὴν τό γε λοιπὸν πλῆθος, ἀναχωρησάντων τῶν συμμάχων, κατέθεντο τὰς διαφοράς, συνεχὴς δὲ πρὸς Ἀλέξανδρον ἦν αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀποκτείνας τοὺς λοιποὺς ἀπῆλασεν εἰς Βεμέσελιν πόλιν, καὶ ταύτην καταστρεψάμενος αἰχμαλώτους ἀνήγαγεν εἰς Ἱεροσόλυμα. Προὔκοψε δ' αὐτῷ δι' ὑπερβολὴν ὀργῆς εἰς ἀσέβειαν τὸ τῆς ὠμότητος. Τῶν γὰρ ληφθέντων εἰς ὀκτακοσίους ἀνασταυρώσας ἐν μέσῃ τῇ πόλει, γυναῖκάς τε καὶ τέκνα αὐτῶν ἀπέσφαξε ταῖς ὄψεσι, καὶ ταῦτα πίνων καὶ συγκατακείμενος ταῖς παλλακίσιν ἀφεώρα. Τοσαύτη δὲ κατάπληξις ἔσχε τὸν δῆμον, ὥστε τῶν ἀντιστασιαστῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα φυγεῖν ὀκτακισχιλίους ἐξ Ἰουδαίας ὅλης, οἷς ὅρος τῆς φυγῆς ὁ Ἀλεξάνδρου θάνατος κατέστη. Τοιούτοις ἔργοις ὀψὲ καὶ μόλις ἡσυχίαν τῇ βασιλείᾳ πορίσας, ἀνεπαύσατο τῶν ὅπλων.

ζ'. Γίνεται δὲ αὐτῷ πάλιν ἀρχὴ θορύβων Ἀντίοχος, ὁ καὶ Διόνυσος ἐπικληθείς, Δημητρίου μὲν ἀδελφὸς ὤν, τελευταῖος δὲ τῶν ἀπὸ Σελεύκου. Τοῦτον γὰρ δείσας στρατεύεσθαι ἐπὶ τοὺς Ἄραβας ὡρμημένον, τὸ μὲν μεταξὺ τῆς ὑπὲρ Ἀντιπατρίδος παρορείου καὶ τῶν Ἰόπης αἰγιαλῶν διαταφρεύει φάραγγι βαθείᾳ· πρὸ δὲ τῆς τάφρου τεῖχος ἤγειρεν ὑψηλόν, καὶ ξυλίνους πύρ-

regni sui vires consumeret, adeo ut armis omissis adniteretur verbis bellum cum subditis componere. Illi autem eo magis odio habebant ejus resipiscentiam morumque varietatem. Quumque percontaretur quid causæ esset et quid ipsi faciendum ut eos placatum iret, « ut moreretur, » dicebant : nam cum eo, qui tam multa nefaria patrasset, etiam mortuo vix redituros esse in gratiam. Simul etiam Demetrium cognomine Eucærum in auxilium vocabant. Quumque ille majorum ape eis haud ægre obsecutus esset et cum exercitu venisset, sese cum auxiliis ejus circa Sicima conjunxerunt Judæi.

5. Attamen utrosque excipit Alexander mille quidem equitibus, peditum vero mercenariorum octo millibus : aderant etiam ipsi ex Judæis qui ei bene volebant ad decem millia. Erant autem ex adversa parte equitum quidem tria millia, peditum vero quadraginta millia. Et, priusquam manus consererent, tentabant præcones reges utrimque an adversos ad defectionem sollicitare possent; Demetrius quidem Alexandri mercenarios, Alexander vero Judæos qui cum Demetrio erant, ad se pertrahere sperans. Sed quum neque Judæi iram remitterent neque fidem Græci deserent, armis jam cominus decernebant. Ceterum pugna superior erat Demetrius, quanquam Alexandri mercenarii multa magno animo fortique manu facta ostenderunt. Eventus autem pugnæ utrisque præter opinionem cessit. Nam neque Demetrio victori adhæsere qui eum acciverant, et fortunæ mutatæ misericordia sex Judæorum millia ad Alexandrum, qui in montes confugerat, se contulerunt. Hanc rerum inclinationem ferre non potuit Demetrius, sed Alexandrum jam quidem ratus iterum pugnando esse, gentemque universam ad ipsum transire, mox inde digressus est.

6. Non tamen reliqua multitudo ex militis auxiliarii discessu simultates deposuit, sed bello continuo tam diu cum Alexandro decertabat, donec is plerisque interfectis ceteros in urbem Bemeselin compulit, eaque eversa in Hierosolyma captivos abduxit. Verum immoderata fecit iracundia ut crudelitas ejus ad impietatem usque procederet. Nam captorum octingentis in media civitate cruci suffixis, mulieres et liberos eorum in conspectu necavit : atque ista inter potandum et cum concubinis suis recubans aspiciebat. Tantus autem populum terror invasit, ut adversæ partis homines usque ad octo millia nocte sequente extra Judææ fines se proriperent, quibus exilii finem attulit mors Alexandri. Quum ejusmodi factis sero ægreque regno tranquillitatem dedisset, ab armis requievit.

7. Rursus autem ei turbas creavit Antiochus, qui etiam Dionysus dictus est, Demetrii quidem frater, Seleucidarum vero ultimus. Hunc enim veritus, qui in Arabas expeditionem fecerat, totum quidem super Antipatridem montibus proximum et inter Jopes littora spatium fossa profunda dissecuit : ante fossam vero murum arduum erexit, turresque ligneas, ut faciles aditus obstrueret, fabricandas

γους ἐνετεκτήνατο, τὰς εὐμαρεῖς ἐμβολὰς ἀποφράττων. Οὐ μὴν εἴρξαί γε τὸν Ἀντίοχον ἴσχυσεν· ἐμπρήσας γὰρ τοὺς πύργους καὶ τὴν τάφρον χώσας διήλαυνε μετὰ τῆς δυνάμεως. Θέμενος δ' ἐν δευτέρῳ τὴν πρὸς τὸν κωλύσαντα ἄμυναν εὐθὺς ἐπὶ τοὺς Ἄραβας ἦει. Τῶν δὲ ὁ βασιλεὺς, ἀναχωρῶν εἰς τὰ χρησιμώτερα τῆς χώρας πρὸς τὴν μάχην, ἔπειτα τὴν ἵππον ἐξαίφνης ἐπιστρέψας (μυρία δ' ἦν τὸν ἀριθμόν), ἀτάκτοις ἐπιπίπτει τοῖς περὶ τὸν Ἀντίοχον. Καρτερᾶς δὲ μάχης γενομένης, ἕως μὲν περιῆν Ἀντίοχος, ἀντεῖχεν ἡ δύναμις αὐτοῦ, καίπερ ἀνέδην ὑπὸ τῶν Ἀράβων φονευόμενοι· πεσόντος δέ (καὶ γὰρ προεκινδύνευεν ἀεὶ τοῖς ἡττωμένοις παραβοηθῶν) ἐκκλίνουσι πάντες, καὶ τὸ μὲν πλεῖστον αὐτῶν ἐπί τε τῆς παρατάξεως κἀν τῇ φυγῇ διαφθείρεται, τοὺς δὲ λοιποὺς καταφυγόντας εἰς Κανὰ κώμην σπάνει τῶν ἐπιτηδείων ἀναλωθῆναι συνέβη πλὴν ὀλίγων ἅπαντας.

η'. Ἐκ τούτου Δαμασκηνοὶ διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μενναίου μῖσος Ἀρέταν ἐπάγονται, καὶ καθιστῶσι Κοίλης Συρίας βασιλέα. Στρατεύεται δ' οὗτος ἐπὶ τὴν Ἰουδαίαν, καὶ μάχῃ νικήσας Ἀλέξανδρον κατὰ συνθήκας ἀνεχώρησεν. Ἀλέξανδρος δὲ Πέλλαν ἑλὼν ἐπὶ Γέρασαν ἦει πόλιν, τῶν Θεοδώρου κτημάτων γλιχόμενος, καὶ τρισὶ τοὺς φρουροὺς περιβόλοις ἀποτειχίσας, διὰ μάχης τὸ χωρίον παραλαμβάνει. Καταστρέφεται δὲ καὶ Γαυλάνην καὶ Σελεύκειαν καὶ τὴν Ἀντιόχου φάραγγα καλουμένην· πρὸς οἷς Γάμαλα φρούριον καρτερὸν ἑλὼν, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ περιδύσας ἐκ πολλῶν ἐγκλημάτων, ἐπάνεισιν εἰς Ἰουδαίαν, τρία πληρώσας ἔτη τῆς στρατείας. Ἀσμένως δ' ὑπὸ τοῦ ἔθνους προσεδέχθη διὰ τὴν εὐπραγίαν, καὶ λαμβάνει τὴν ἀνάπαυσιν τοῦ πολεμεῖν, ἀρχὴν νόσου. Τεταρταίαις δὲ περιόδοις πυρετῶν ἐνοχλούμενος ᾠήθη διακρούσεσθαι τὴν ἀρρωστίαν πάλιν ἁψάμενος πραγμάτων. Διὸ δὴ στρατείαις ἀκαίροις ἑαυτὸν ἐπιδιδοὺς καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα πρὸς τὰς ἐνεργείας ἀπήλαξε. Τελευτᾷ γοῦν ἐν μέσοις τοῖς θορύβοις στρεφόμενος, βασιλεύσας ἑπτὰ πρὸς τοῖς εἴκοσιν ἔτη.

ΚΕΦ. Ε'.

Καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικὶ, πεπεισμένος ταύτῃ μάλιστ' ἂν ὑπακοῦσαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα καὶ ταῖς παρανομίαις ἐνισταμένη τὸν δῆμον εἰς εὔνοιαν προσηγάγετο. Καὶ οὐ διήμαρτε τῆς ἐλπίδος· ἐκράτησε γὰρ τῆς ἀρχῆς τὸ γύναιον διὰ δόξαν εὐσεβείας· ἠκρίβου γὰρ δὴ τοῦ ἔθνους μάλιστα τὰ πάτρια, καὶ τοὺς πλημμελοῦντας εἰς τοὺς ἱεροὺς νόμους ἐξ ἀρχῆς ἀπεβάλλετο. Δύο δ' αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου, τὸν μὲν πρεσβύτερον Ὑρκανὸν διά τε τὴν ἡλικίαν ἀποδείκνυσιν ἀρχιερέα, καὶ ἄλλως ὄντα νωθέστερον ἢ ὥστε ἐνοχλεῖν περὶ τῶν ὅλων· τὸν δὲ νεώτερον Ἀριστόβουλον διὰ θερμότητα κατεῖχεν ἰδιώτην.

β'. Παραφύονται δὲ αὐτῇ εἰς τὴν ἐξουσίαν Φαρισαῖοι, σύνταγμά τι Ἰουδαίων, δοκοῦν εὐσεβέστερον

curavit. Non tamen Antiochum arcere valuit: nam turribus exustis fossaque repleta, cum copiis transiit. Nulla autem ratione habita eum a quo prohibitus fuerat ulciscendi, protenus in Arabas contendit. Horum autem rex, abscedens in regionis loca pugnæ commodiora, dein cum equitibus derepente conversus (numero autem erant ad decem millia), Antiochi milites, priusquam in ordinem cogerentur, adoritur. Verum acri prælio commisso, quam diu quidem supererat Antiochus, impetum sustinebat ejus exercitus, quamvis magnam in eo stragem ediderint Arabes: ubi vero cecidit (nam et periculis semper se objiciebat, ut victis succurreret), terga dant omnes, et ex illis quidem plerique partim in acie, partim in fuga absumuntur, reliquis vero, in vicum Cana dilapsis, necessariorum inopia perire contigit, præter admodum paucos.

8. Deinde Damasceni, ex suo erga Ptolemæum Mennæi filium odio, Aretam sibi adsciscunt, et Cœles Syriæ regem constituunt. Iste autem expeditionem facit in Judæam, quumque prælio vicisset Alexandrum, ex pactione discessit. Ceterum Alexander Pella capta Gerasam urbem petiit, Theodori divitiarum cupiditate: quumque triplici muro valloque custodes cinxisset, locum vi expugnat. Porro Gaulanam et Seleuciam subvertit, et Antiochi vallem quæ appellatur: insuper ubi Gamala validum castellum ceperat, et Demetrio in eo imperanti multa ob crimina provinciam ademerat, in Judæam revertitur, triennio in expeditione consumpto. Libenter autem a gente exceptus est ob res prospere gestas, et quum primum a bello requievit, in morbum incidit. Et quoniam febri quartana laboravit, depulsum iri morbum credidit, si rursus negotiis sese admoveret. Qua re fiebat ut, quum intempestivæ militiæ sese daret et ultra vires corpus laboribus vexaret, diem supremum obierit. Moritur itaque mediis in tumultibus, quum septem et viginti annos regnasset.

CAP. V. (IV.)

Regnum autem Alexandræ conjugi suæ reliquit, Judæos ei vel maxime dicto audientes fore non dubitans, quod, quum longe ab ejus crudelitate abesset et legum violationi obsisteret, populi benevolentiam sibi conciliarit. Neque spes eum fefellit. Namque muliercula, ex opinione quam de pietate præbuerat, principatum obtinuit: quippe quæ mores gentis patrios accurate observabat, et quotquot leges sacras temerassent potestate exuebat. Quum autem duos filios ex Alexandro haberet, natu quidem majorem Hyrcanum et propter ætatem pontificem facit, et quod præterea segnior esset quam ut de rerum summa ei molestiam facesseret; minorem vero Aristobulum, quod fervidioris esset ingenii, inter privatæ vitæ officia continebat.

2. Ei autem sese ad potestatem adjungunt Pharisæi, factio quædam Judæorum, qui præter alios pietatem colere

εἶναι τῶν ἄλλων καὶ τοὺς νόμους ἀκριβέστερον ἀφηγεῖσθαι. Τούτοις περισσὸν δή τι προσεῖχεν ἡ Ἀλεξάνδρα, σεβομένη [περὶ] τὸ θεῖον. Οἱ δὲ τὴν ἁπλότητα τῆς ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγίνοντο, διώκειν τε καὶ κατάγειν οὓς ἐθέλοιεν, λύειν τε καὶ δεσμεῖν. Καθόλου δ' αἱ μὲν ἀπολαύσεις τῆς βασιλείας ἐκείνων ἦσαν, τὰ δὲ ἀναλώματα καὶ αἱ δυσχέρειαι τῆς Ἀλεξάνδρας. Δεινὴ δ' ἦν τὰ μείζω διοικεῖν, δύναμίν τε ἀεὶ συγκροτοῦσα διπλασίονα κατέστησε καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην, ὡς μὴ μόνον κρατύνασθαι τὸ οἰκεῖον ἔθνος, ἀλλὰ καὶ φοβερὰν τοῖς ἔξωθεν εἶναι δυνάσταις. Ἐκράτει δὲ τῶν μὲν ἄλλων αὐτή, Φαρισαῖοι δ' αὐτῆς.

γ'. Διογένην γοῦν τινα τῶν ἐπισήμων, φίλον Ἀλεξάνδρῳ γεγενημένον, κτείνουσιν αὐτοί, σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν ἀνασταυρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. Ἐνῆγον δὲ τὴν Ἀλεξάνδραν εἰς τὸ καὶ τοὺς ἄλλους διαχειρίσασθαι τῶν παροξυνάντων ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον. Ἐνδιδούσης δ' ὑπὸ δεισιδαιμονίας, ἀνῄρουν οὓς ἐθέλοιεν αὐτοί. Προσφεύγουσι δ' Ἀριστοβούλῳ τῶν κινδυνευόντων οἱ προὔχειν δοκοῦντες. Κἀκεῖνος πείθει τὴν μητέρα φείσασθαι μὲν διὰ τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἐκπέμψαι δ' αὐτούς, εἰ μὴ καθαροὺς ὑπελήφθην, ἐκ τῆς πόλεως. Οἱ μὲν οὖν δοθείσης ἀδείας ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν· Ἀλεξάνδρα δὲ ἐκπέμψασα ἐπὶ Δαμασκὸν στρατιάν (πρόφασις δ' ἦν Πτολεμαῖος ἀεὶ θλίβων τὴν πόλιν), ταύτην μὲν ἀπεδέξατο μηδὲν ἀξιόλογον ἐργασαμένην, Τιγράνην δὲ τὸν Ἀρμενίων βασιλέα προσκαθεζόμενον Πτολεμαΐδι καὶ πολιορκοῦντα Κλεοπάτραν συνθήκαις καὶ δώροις ὑπηγάγετο. Φθάνει δ' ἐκεῖνος ἀπαναστὰς διὰ τὰς οἴκοι ταραχὰς, ἐμβεβληκότος εἰς τὴν Ἀρμενίαν Λευκούλλου.

δ'. Κἀν τούτῳ νοσούσης Ἀλεξάνδρας ὁ νεώτερος τῶν παίδων Ἀριστόβουλος τὸν καιρὸν ἁρπάσας μετὰ τῶν οἰκετῶν (εἶχε δὲ πολλοὺς καὶ πάντας εὔνους διὰ τὴν θερμότητα) κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων· τοῖς δ' ἐκ τούτων χρήμασι μισθοφόρους ἀθροίσας, ἑαυτὸν ἀποδείκνυσι βασιλέα. Πρὸς ταῦτα δδυρόμενον τὸν Ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα, τήν τε γυναῖκα καὶ τοὺς παῖδας τοὺς Ἀριστοβούλου καθείργνυσιν εἰς τὴν Ἀντωνίαν· φρούριον δ' ἦν τῷ βορείῳ κλίματι τοῦ ἱεροῦ προσκείμενον, πάλαι μὲν, ὡς ἔφην, Βᾶρις ὀνομαζόμενον, αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας, ἐπικρατήσαντος Ἀντωνίου, καθάπερ ἀπό τε τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα Σεβαστὴ καὶ Ἀγριππιὰς πόλεις ἕτεραι μετωνομάσθησαν. Πρὶν δ' ἐπεξελθεῖν Ἀλεξάνδραν τὸν Ἀριστόβουλον τῆς τοῦ ἀδελφοῦ καταλύσεως, τελευτᾷ, διοικήσασα τὴν ἀρχὴν ἔτεσιν ἐννέα.

ΚΕΦ. Ϛ'.

Καὶ κληρονόμος μὲν ἦν τῶν ὅλων Ὑρκανὸς, ᾧ καὶ ζῶσα τὴν βασιλείαν ἐνεχείρισε· δυνάμει δὲ καὶ φονήματι προεῖχεν ὁ Ἀριστόβουλος. Γενομένης δὲ αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ Ἰεριχοῦντα, καταλιputantur, et peritius leges interpretari. His igitur maxime auscultabat Alexandra, utpote religiosa erga Deum. Illi autem se in feminæ simplicis consuetudinem paullatim insinuantes, statim res omnes gubernant et moderantur, ita ut quosvis pro libidine in exilium pellant et ab eo revocent, solvant ligentque. In universum illi regni quidem commodis fruebantur, expensas vero et difficultates Alexandra perferebat. Eadem autem artis gnara erat res arduas administrandi; atque copiis colligendis semper intenta, duplo majorem constituit exercitum, et non pauca sibi comparavit auxilia peregrina, adeo ut gentis suæ vires auxerit, seque dynastis exteris metuendam reddiderit. In alios autem imperium ipsa quidem habebat, in ipsam vero Pharisæi.

3. Quare Diogenem, virum quendam illustrem, qui Alexandro fuerat amicus, illi interficiunt, ejus consilio factum criminati quod octingenti regis jussu in crucem fuerint sublati. Induxerunt etiam Alexandram ut et alios, quibus auctoribus Alexander in eos concitatus erat, occideret. Quumque illis præ religione totam se dederet regina, quos ipsi vellent trucidabant. Ad Aristobulum autem confugiunt ex periclitantibus qui visi sunt eminentissimi. Atque ille matri persuadet ut viris quidem propter dignitatem parceret, civitate autem eos pelleret, si culpæ non immunes esse crederet. Et illi quidem, data sibi impunitate, per regionem dispersi sunt. Alexandra vero, misso in Damascum exercitu, prætexens Ptolemæum sine intermissione civitatem premere, illum quidem nulla re memorabili gesta recepit; Tigranen vero Armeniorum regem, qui admoto Ptolemaidi milite Cleopatram obsidebat, pactionibus donisque sollicitat: atqui ille prior inde movit domesticarum turbarum metu, quod in Armeniam incursionem fecerat Lucullus.

4. Interea ægrotante Alexandra, minor ejus filius Aristobulus, opportunitate arrepta, cum famulis suis (multos enim habebat, et omnes ex ætatis fervore ei benevolos) universa quidem castella occupat; pecunia vero, quam ibi reperit, conductis auxiliis, regem se declarat. Ad hæc miserata querelas Hyrcani mater conjugem Aristobuli cum filiis inclusam dedit in Antoniam: castellum autem erat a septemtrione fano adjacens, olim quidem, ut dixi, Baris appellatum, postea vero hoc nomen sortitum est, imperante Antonio, quemadmodum ab Augusto et Agrippa Sebaste et Agrippias, aliæ civitates, mutato nomine dictæ erant. Ante tamen, quam in Aristobulum fratris ejus, quem dejici regno curaverat, contumeliæ vindicarentur, moritur Alexandra, quum per novennium regnasset.

CAP. VI. (IV.)

Et hæres quidem omnium erat Hyrcanus, cui regnum etiam viva commiserat mater: verum Aristobulus viribus atque animo præstabat. Quum autem de rerum summa apud Hierichuntem prælio congrederentur, plerique Hyrcano deserto

πόντες οἱ πλεῖστοι τὸν Ὑρκανὸν, μεταβαίνουσι πρὸς τὸν Ἀριστόβουλον. Ὁ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν Ἀντωνίαν, καὶ κυριεύσας τῶν πρὸς σωτηρίαν ὁμήρων (ταῦτα δ' ἦν ἡ Ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων) ἀμέλει πρὶν ἀνηκέστου πάθους διελύθησαν, ὥστε βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δ' ἐκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς, ὥσπερ ἀδελφὸν βασιλέως. Ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ, καὶ τοῦ λαοῦ περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι, διήμειψαν τὰς οἰκίας· Ἀριστόβουλος μὲν γὰρ εἰς τὰ βασίλεια, Ὑρκανὸς δ' ἀνεχώρησεν εἰς τὴν Ἀριστοβούλου οἰκίαν.

(Ε'.) β'. Δέος δὲ τοῖς τε ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος, καὶ μάλιστα Ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. Γένος δ' ἦν Ἰδουμαῖος, προγόνων τε ἕνεκα καὶ πλούτου καὶ τῆς ἄλλης ἰσχύος πρωτεύων τοῦ ἔθνους. Οὗτος ἅμα καὶ τὸν Ὑρκανὸν, Ἀρέτᾳ προσφυγόντα τῷ βασιλεῖ τῆς Ἀραβίας, ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθε, καὶ τὸν Ἀρέταν δέξασθαί τε τὸν Ὑρκανὸν καὶ καταγαγεῖν ἐπὶ τὴν ἀρχὴν, πολλὰ μὲν τὸν Ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν Ὑρκανὸν [παρῄνει δέξασθαι], καὶ ὡς πρέπον εἴη τὸν οὕτω λαμπρᾶς προεστῶτα βασιλείας, ὑπερέχειν χεῖρα τῷ ἀδικουμένῳ· ἀδικεῖσθαι δὲ Ὑρκανὸν στερηθέντα τῆς κατὰ τὸ πρεσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. Προκατασκευάσας δὲ ἀμφοτέρους, νύκτωρ ἀναλαβὼν τὸν Ὑρκανὸν, ἐκ τῆς πόλεως ἀποδιδράσκει καὶ συντόνῳ φυγῇ χρώμενος, εἰς τὴν καλουμένην Πέτραν διασώζεται· βασίλειον αὕτη τῆς Ἀραβίας ἐστίν. Ἔνθα τῷ Ἀρέτᾳ τὸν Ὑρκανὸν ἐγχειρίσας, καὶ πολλὰ μὲν καθομιλήσας, πολλοῖς δὲ δώροις ὑπελθών, δοῦναι δύναμιν αὐτῷ πείθει τὴν κατάξουσαν αὐτόν. Ἦν δ' αὕτη πεζῶν τε καὶ ἱππέων πέντε μυριάδες, πρὸς ἣν οὐκ ἀντέσχεν Ἀριστόβουλος, ἀλλ' ἐν τῇ πρώτῃ συμβολῇ λειφθεὶς εἰς Ἱεροσόλυμα συνελαύνεται· κἂν ἔφθη κατὰ κράτος ληφθείς, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγὸς, ἐπαναστὰς αὐτῶν τοῖς καιροῖς, ἔλυσε τὴν πολιορκίαν· ὃς ἐπέμφθη μὲν εἰς Συρίαν ἀπὸ Ἀρμενίας ὑπὸ Πομπηίου Μάγνου πολεμοῦντος πρὸς Τιγράνην. Παραγενόμενος δὲ εἰς Δαμασκὸν, ἐαλωκυῖαν προσφάτως ὑπὸ Μετέλλου καὶ Λολλίου, καὶ τούτους μεταστήσας, ἐπειδὴ τὰ κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, καθάπερ ἐφ' ἕρμαιον ἠπείγθη.

γ'. Παρελθόντος γοῦν εἰς τὴν χώραν, πρέσβεις εὐθέως ἦκον παρὰ τῶν ἀδελφῶν, ἑκατέρου βοηθεῖν αὐτῷ δεομένου. Γίνεται δ' ἐπίπροσθεν τοῦ δικαίου τὰ παρὰ Ἀριστοβούλου τριακόσια τάλαντα. Τοσοῦτον γὰρ λαβὼν Σκαῦρος ἐπικηρυκεύεται πρός τε Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ἀπειλῶν Ῥωμαίους καὶ Πομπήιον, εἰ μὴ λύσειαν τὴν πολιορκίαν. Ἀνεχώρησε δ' ἐκ τῆς Ἰουδαίας εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγεὶς καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος. Ἀριστοβούλῳ δ' οὐκ ἀπέρρησε τὸ μὴ ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας εἵπετο τοῖς πολεμίοις, καὶ περὶ τὸν καλούμενον

ad Aristobulum transeunt. Ille vero cum iis qui secum manserant fugiens occupat Antoniam : ibique salutis obsides nactus (isti autem erant Aristobuli conjux et liberi), priusquam scilicet gravius aliquid accideret, ea lege cum fratre reconciliatus est, ut regnum quidem Aristobulus haberet, Hyrcanus vero eo cederet, aliisque ut frater regis honoribus frueretur. His conditionibus in gratiam redeuntes, et invicem circumstante multitudine amicissime complexi, domos permutant : et Aristobulus quidem in regiam discedit, Hyrcanus in Aristobuli domum.

(V.) 2. Metus vero et alios inimicos Aristobuli præter spem dominantis occupat, et maxime Antipatrum olim illi invisum. Erat autem genere Idumæus, et nobilitate et opibus et alia potestate gentis suæ princeps. Idemque ille et Hyrcano, ut ad Aretam regem Arabiæ perfugeret et regnum sibi vindicaret, suadebat; et Aretæ, ut et susciperet Hyrcanum et in regnum reduceret, multis quidem Aristobuli moribus obtrectans, multis vero Hyrcanum laudibus extollens [ut hospitio exciperet hortabatur], addens decere eum qui tam amplo præsit imperio, manum porrigere injuria affecto : atqui Hyrcanum injuriam pati, qui principatu, ætatis prærogativa sibi debito, exciderit. Quum autem ambos ita præparasset, noctu cum Hyrcano ex civitate profugit, cursuque citato in oppidum quod Petra dicitur salvus evasit : ea est autem Arabiæ regia. Ibi quum Hyrcanum Aretæ in manus tradidisset, et multa quidem verba fecisset, multis vero muneribus eum subiisset, persuadet ei suppeditare copias quibus in regnum restitueretur. Erant autem istæ peditum equitumque quinquaginta millia : quibus nequaquam restitit Aristobulus, sed primo in congressu superatus Hierosolyma se recipit; et procul dubio vi captus fuisset, nisi dux Romanorum Scaurus adversis horum temporibus imminens obsidionem solvisset. Namque is ex Armenia quidem in Syriam missus erat a Pompejo Magno, qui cum Tigrane bellum gerebat. Quum autem Damascum venisset, nuper admodum a Metello et Lollio captam, et illos inde abduxisset, audito quo in statu res Judæorum essent, veluti ad certum quæstum properabat.

3. Denique mox ut regionem ingressus est, legati ad eum veniunt a fratribus, utroque orante ut sibi opem ferret et auxilium. Sed plus apud eum valebant trecenta talenta ab Aristobulo missa quam jus et æquum. Tot enim acceptis ad Hyrcanum et Arabas legatos mittit Scaurus, Romanorum et Pompeji nomine minas illis intentans, nisi ab obsidione desisterent. Itaque Aretas metu perculsus ex Judæa in Philadelphiam recessit, et Scaurus Damascum repetit. Aristobulo autem non suffecit quod captus non fuerit, sed copiis omnibus coactis hostes persequebatur, prælioque ad

Παπυρῶνα συμβαλὼν αὐτοῖς ὑπὲρ ἑξακισχιλίους κτείνει, μεθ' ὧν καὶ τὸν ἀδελφὸν τὸν Ἀντιπάτρου, Φαλλίωνα.

δ'. Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος, τῶν Ἀράβων ἀφαιρεθέντες, μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα. Καὶ ἐπειδὴ Πομπήιος ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἦκεν, ἐπ' αὐτὸν καταφεύγουσι· καὶ δίχα δώρων, αἷς καὶ πρὸς Ἀρέταν δικαιολογίαις χρώμενοι κατηντιβόλουν, μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δ' ἐπὶ τὴν βασιλείαν τὸν καὶ τῷ τρόπῳ καὶ καθ' ἡλικίαν προσήκοντα. Οὐ μὴν οὐδ' ὁ Ἀριστόβουλος ὑστέρει, πεποιθὼς τῇ Σκαύρου δωροδοκίᾳ, παρῆν δὲ καὶ αὐτὸς ὡς οἷόν τε ἦν βασιλικώτατα κεκοσμημένος ἑαυτόν. Ἀδοξήσας δὲ πρὸς τὰς θεραπείας, καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος, ἀπὸ Δίου πόλεως χωρίζεται.

ε'. Πρὸς ταῦτ' ἀγανακτήσας Πομπήιος, πολλὰ καὶ τῶν περὶ Ὑρκανὸν ἱκετευόντων, ὥρμησεν ἐπ' Ἀριστόβουλον, ἀναλαβὼν τήν τε Ῥωμαϊκὴν δύναμιν καὶ πολλοὺς ἐκ τῆς Συρίας συμμάχους. Ἐπεὶ δὲ παρελαύνων Πέλλαν καὶ Σκυθόπολιν ἦκεν ἐς Κορέας, ὅθεν ἡ Ἰουδαίων ἄρχεται χώρα κατὰ τὴν μεσόγειον ἀνιόντων, ἀκούσας συμπεφευγέναι τὸν Ἀριστόβουλον εἰς Ἀλεξάνδρειον (τοῦτο δέ ἐστι φρούριον τῶν πάνυ φιλοτίμως ἐξησκημένων, ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον), πέμψας καταβαίνειν αὐτὸν ἐκέλευσε. Τῷ δὲ ἦν μὲν ὁρμὴ, καλουμένῳ δεσποτικώτερον, διακινδυνεύειν μᾶλλον ἢ ὑπακοῦσαι, καθεώρα δὲ τὸ πλῆθος ὀρρωδοῦν καὶ παρήνουν οἱ φίλοι σκέπτεσθαι τὴν Ῥωμαίων ἰσχὺν, οὖσαν ἀνυπόστατον. Οἷς πεισθεὶς κάτεισι πρὸς Πομπήιον, καὶ πολλὰ περὶ τοῦ δικαίως ἄρχειν ἀπολογηθεὶς ὑπέστρεψε πρὸς τὸ ἔρυμα. Πάλιν τε τἀδελφοῦ προκαλουμένου καταβὰς, καὶ διαλεχθεὶς περὶ τῶν δικαίων, ἄπεισι μὴ κωλύοντος τοῦ Πομπηίου. Μέσος δ' ἦν ἐλπίδος καὶ δέους, καὶ κατῄει μὲν ὡς δυσωπήσων Πομπήιον πάντ' ἐπιτρέπειν αὐτῷ, πάλιν δ' ἀνέβαινεν εἰς τὴν ἄκραν, ὡς μὴ προκαταλύειν δόξειεν ἑαυτόν. Ἐπεὶ μέντοι Πομπήιος ἐξίστασθαί τε τῶν φρουρίων ἐκέλευσεν αὐτῷ καὶ παράγγελμα τῶν φρουράρχων ἐχόντων μόναις πειθαρχεῖν ταῖς αὐτογράφοις ἐπιστολαῖς, ἠνάγκαζεν αὐτὸν ἑκάστοις γράφειν ἐκχωρεῖν, ποιεῖ μὲν τὸ προσταχθὲν, ἀγανακτήσας δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ παρεσκευάζετο πολεμεῖν πρὸς Πομπήιον.

ς'. Ὁ δ' (οὐ γὰρ ἐδίδου χρόνον ταῖς παρασκευαῖς) εὐθέως εἶπετο, καὶ προσεπέρρωσε τὴν ὁρμὴν ὁ Μιθραδάτου θάνατος, ἀγγελθεὶς αὐτῷ περὶ Ἰεριχοῦντα, ἔνθα τὸ τῆς Ἰουδαίας πιότατον φοίνικά τε πάμπολυν καὶ βάλσαμον τρέφει· τοῦτο λίθοις ὀξέσιν ἐπιτέμνοντες τὰ πρέμνα συλλέγουσι κατὰ τὰς τομὰς ἐκδακρῦον. Καὶ στρατοπεδευσάμενος ἐν τῷ χωρίῳ μίαν ἑσπέραν, ἕωθεν ἠπείγετο πρὸς τὰ Ἱεροσόλυμα. Καταπλαγεὶς δὲ τὴν ἔφοδον Ἀριστόβουλος ἱκέτης ὑπαντᾷ, χρημάτων τε ὑποσχέσει καὶ τῷ μετὰ τῆς πόλεως ἐπιτρέπειν καὶ ἑαυτὸν χαλεπαίνοντα καταστέλλει τὸν Πομπήιον. Οὐ

Papyronem qui vocatur commisso, supra sex eorum millia occidit; in quibus erat et Phallion Antipatri frater.

4. Hyrcanus vero et Antipater, Arabum privati auxilio, spem in adversarios transtulerunt. Et postquam Pompejus Syria peragrata Damascum pervenerat, ad ipsum confugiunt: et præter munera, in juris sui defensionem eadem, quibus ad Aretam usi sunt, afferentes, ei supplicarunt ut, Aristobuli vi odio habita, regno Hyrcanum restitueret, cui tam ætate quam moribus deberetur. Sed nec Aristobulus sibi deerat, Scauro fretus quem muneribus corruperat: nam et ipse aderat, cultu regio, quoad ejus fieri poterat, splendidissime ornatus. Verum indignum ratus ut obsequiis niteretur, ægreque ferens abjectius quam habitum ejus deceret utilitati servire, ab urbe Dio digreditur.

5. De istis indignatus Pompejus, Hyrcano etiam et qui cum eo erant magnopere ipsum obsecrantibus, adversus Aristobulum profectus est et cum exercitu Romano et multis e Syria auxiliis. Quum autem Pellam et Scythopolin prætervectus Coreas pervenisset, unde Judæorum regio initium capit qua ascenditur per mediterranea, audito Aristobulum in Alexandrium confugisse (hoc autem castellum est magnifice admodum exornatum, in monte præcelso situm), misit qui eum descendere juberent. Illi autem in animo quidem erat, utpote quod nimis imperiose vocaretur, vel quodvis discrimen adire potius quam parere: multitudinem vero in metu esse animadvertebat, et hortabantur amici ut secum reputaret Romanorum vires, quas sustinendo non esset. Quibus obsequutus descendit ad Pompejum, et quum multa pro jure regni sui apud eum dixisset, in munimentum reversus est. Et quum iterum a fratre provocatus descendisset, ac de suo jure cum eo disceptasset, regreditur, non vetante Pompejo. Erat autem inter spem metumque medius, et descendebat quidem Pompejum exoraturus ut ei cuncta permitteret, in arcem vero rursus ascendebat, ne vires ante tempus dimittere videretur. Ceterum posteaquam Pompejus jusserat eum et castellis cedere, et singulos præsidiorum præfectos, quibus mandatum erat ut non nisi manu sua scriptis epistolis obsequerentur, eum coegerat literis monere ut inde migrarent, imperata quidem fecit, sed cum indignatione Hierosolyma concessit, seque ad bellandum cum Pompejo præparavit.

6. Ille autem (nam tempus ei non concedebat ad bellicos apparatus) statim eum insequebatur, multumque ejus impetum acceleravit Mithridatis mors, ei nunciata apud Hierichuntem, ubi pinguissima Judææ regio palmas plurimas et balsamum nutrit, quod, stipites lapide acuto incidentes, ex incisuris destillans colligunt. Quumque in eo loco per unam noctem castra posuisset, mane Hierosolyma contendebat. Aristobulus autem, ad ejus adventum perterritus, supplex occurrit, et pecuniam promittendo spondendoque semetipsum cum urbe ei permittere, succensentem mitigat Pompejum. Non tamen quidquam eorum fa-

μήν τι τῶν ὡμολογημένων ἔπραττε· τὸν γὰρ ἐπὶ τῇ κομιδῇ τῶν χρημάτων πεμφθέντα Γαβίνιον οἱ τὰ Ἀριστοβούλου φρονοῦντες οὐδὲ τῇ πόλει δέχονται.

ΚΕΦ. Ζ'.

Πρὸς ταῦτα ἀγανακτήσας Πομπήιος Ἀριστόβουλον μὲν ἐφρούρει, πρὸς δὲ τὴν πόλιν ἐλθὼν περιεσκόπει ποῖ προσβαλεῖ· τήν τε γὰρ ὀχυρότητα τῶν τειχῶν δυσμεταχείριστον ἑώρα καὶ τὴν πρὸ τούτων φάραγγα φοβερὰν, τό τε ἱερὸν ἐντὸς τῆς φάραγγος ὀχυρώτατα τετειχισμένον, ὥστε τοῦ ἄστεος ἁλισκομένου δευτέραν εἶναι καταφυγὴν τοῦτο τοῖς πολεμίοις.

β'. Διαποροῦντος δ' ἐπὶ πολὺν χρόνον, στάσις τοῖς ἔνδον ἐμπίπτει, τῶν μὲν Ἀριστοβούλου πολεμεῖν ἀξιούντων καὶ ῥύεσθαι τὸν βασιλέα, τῶν δὲ τὰ Ὑρκανοῦ φρονούντων ἀνοίγειν Πομπηίῳ τὰς πύλας· πολλοὺς δὲ τούτους ἐποίει τὸ δέος, ἀφορῶντας εἰς τὴν τῶν Ῥωμαίων εὐταξίαν. Ἡττώμενον δὲ τὸ Ἀριστοβούλου μέρος εἰς τὸ ἱερὸν ἀνεχώρει, καὶ τὴν συνάπτουσαν ἀπ' αὐτοῦ τῇ πόλει γέφυραν ἀποκόψαντες ἀντισχεῖν εἰς ἔσχατον παρεσκευάζοντο. Τῶν δὲ ἑτέρων δεχομένων Ῥωμαίους τῇ πόλει, καὶ τὰ βασίλεια παραδιδόντων, ἐπὶ μὲν ταῦτα Πομπήιος ἕνα τῶν ὑφ' ἑαυτὸν στρατηγῶν Πείσωνα εἰσπέμπει μετὰ στρατιᾶς· ὃς διαλαβὼν φρουρᾷ τὴν πόλιν, ἐπειδὴ τῶν εἰς τὸ ἱερὸν καταπεφευγότων οὐδένα λόγοις ἔπειθε συμβῆναι, τὰ πέριξ εἰς προσβολὰς ηὐτρέπιζεν, ἔχων τοὺς περὶ τὸν Ὑρκανὸν εἴς τε τὰς ἐπινοίας καὶ τὰς ὑπηρεσίας προθύμους.

γ'. Αὐτὸς δὲ κατὰ τὸ προσάρκτιον κλίμα τήν τε τάφρον ἔχου καὶ τὴν φάραγγα πᾶσαν, ὕλην συμφορούσης τῆς δυνάμεως. Χαλεπὸν δ' ἦν τὸ ἀναπληροῦν διὰ βάθους ἄπειρον, καὶ τῶν Ἰουδαίων πάντα τρόπον εἰργόντων ἄνωθεν. Κἂν ἀτέλεστος ἔμεινε τοῖς Ῥωμαίοις ὁ πόνος, εἰ μὴ τὰς ἑβδομάδας ἐπιτηρῶν ὁ Πομπήιος, ἐν αἷς παντὸς ἔργου διὰ τὴν θρησκείαν χεῖρας ἀπίσχουσιν Ἰουδαῖοι, τὸ χῶμα ὕψου, τῆς κατὰ χεῖρα συμβολῆς εἴργων τοὺς στρατιώτας. Ὑπὲρ μόνου γὰρ τοῦ σώματος ἀμύνονται καὶ τοῖς σαββάτοις. Ἤδη δ' ἀναπεπληρωμένης τῆς φάραγγος, πύργους ὑψηλοὺς ἐπιστήσας τῷ χώματι, καὶ προσαγαγὼν τὰς ἐκ Τύρου κομισθείσας μηχανὰς, ἐπειρᾶτο τοῦ τείχους. Ἀνέστελλον δὲ οἱ πετροβόλοι τοὺς καθύπερθε κωλύοντας· ἀντεῖχον δ' ἐπὶ πλεῖστον οἱ κατὰ τοῦτο τὸ μέρος πύργοι, μεγέθει τε καὶ κάλλει διαφέροντες.

δ'. Ἔνθα δὴ, τῶν Ῥωμαίων πολλὰ κακοπαθούντων, ὁ Πομπήιος τά τε ἄλλα τῆς καρτερίας τοὺς Ἰουδαίους ἀπεθαύμασε, καὶ μάλιστα τοῦ μηδὲν παραλῦσαι τῆς θρησκείας ἐν μέσοις τοῖς βέλεσιν ἀνειλουμένους. Ὥσπερ γὰρ εἰρήνης βαθείας κατεχούσης τὴν πόλιν, αἵ τε θυσίαι καθ' ἡμέραν καὶ οἱ ἐναγισμοὶ, καὶ πᾶσα θεραπεία κατὰ τἀκριβὲς ἐξετελεῖτο τῷ Θεῷ· καὶ οὐδὲ κατ' αὐτὴν τὴν ἅλωσιν, περὶ τῷ βωμῷ φονευόμενοι καθ' ἡμέραν, τῶν νομίμων εἰς τὴν θρησκείαν ἀπέστησαν. Τρίτῳ γὰρ μηνὶ τῆς πολιορκίας μόλις ἕνα τῶν πύργων

ciebat quæ promiserat : nam Gabinium, qui ad pecuniam accipiendam missus erat, ne in urbem quidem recipiunt qui ab Aristobulo stabant.

CAP. VII. (V.)

De istis cum indignatione iratus Pompejus Aristobulum inclusum dabat in custodiam, atque ad urbem profectus, circumspiciebat qua ex parte eam invaderet; nam et murorum ejus firmitatem expugnatu difficilem videbat, et vallem pro mœnibus horribilem, fanumque intra ipsam quam munitissimum, adeo ut capta urbe illud alterum hostibus esset perfugium.

2. Dum autem diu multumque secum dubitaret incidit civitati seditio, Aristobuli quidem factione bellum geri postulante regemque liberari, qui vero Hyrcano favebant, Pompejo portas aperiri. Metus autem horum numerum augebat, præsertim cum respicerent ad Romanorum in rebus suo loco agendis peritiam. Denique victa pars Aristobuli concessit in templum, et, ponte quo civitati jungebatur abscisso, sese pararunt ut vim ad extremum sustinerent. Ceteris autem Romanos in urbem recipientibus, eisque regiam tradentibus, ad eam unum e ducibus suis Pisonem mittit Pompejus cum militibus : qui præsidiis per civitatem dispositis, postquam nemini eorum qui in fanum confugerant pacem persuadere poterat, quæcunque circum erant oppugnationi parabat, Hyrcanum habens sociosque ejus consilia et ministeria studiose ei subservientes.

3. Ipse vero a parte septemtrionali fossam vallemque omnem complebat, materia a militibus comportata. Difficile autem erat replere, quum ob immensam profunditatem, tum quod Judæi desuper modis omnibus eos repellerent. Nec Romanis labor successisset, nisi Pompejus septimis diebus observatis, quibus ab omni opere religionis ergo manus abstinent Judæi, aggerem ad fastigium perduxisset, militibus a pugna conserenda inhibitis. Nam a solo corpore etiam sabbatis vim propulsant. Igitur jam valle repleta, quum turres excelsas aggeri imposuisset, et admovisset machinas a Tyro allatas, mœnia tentabat. Lapidum autem jaculatores eos repellebant, qui in alto positi Romanos a conatu prohiberent : turres vero ad eam partem quam diutissime resistebant, magnitudine pariter ac pulchritudine insignes.

4. Tum scilicet Pompejo, quum multum defatigarentur Romani, subiit mirari inter alia Judæorum animi fortitudinem, et præcipue quod nihil de sacro cultu media inter tela versantes remiserint. Nam, ac si in pace profunda fuisset civitas, et quotidiana sacrificia et lustrationes, omnisque cultus accurate admodum peractus erat, nec, quum capto fano ad aram quotidie trucidarentur, legitimis religionis muneribus abstinuerunt. Nam obsidionis mense tertio, quum vix unam de turribus dejecissent, in fanum

καταρρίψαντες εἰσέπιπτον εἰς τὸ ἱερόν. Ὁ δὲ πρῶτος ὑπερβῆναι τολμήσας τὸ τεῖχος Σύλλα παῖς ἦν Φαῦστος Κορνήλιος· καὶ μετ' αὐτὸν ἑκατοντάρχαι δύο, Φούριος καὶ Φάβιος. Εἵπετο δὲ ἑκάστῳ τὸ ἴδιον στῖφος, καὶ περισχόντες πανταχῇ τοὺς Ἰουδαίους, ἔκτεινον, οὓς μὲν τῷ ναῷ προσφεύγοντας, οὓς δὲ ἀμυνομένους πρὸς ὀλίγον.

ε'. Ἔνθα πολλοὶ τῶν ἱερέων, ξιφήρεις τοὺς πολεμίους ἐπιόντας βλέποντες, ἀθορύβως ἐπὶ τῆς θρησκείας ἔμειναν· σπένδοντες δὲ καὶ θυμιῶντες ἀπεσφάττοντο, καὶ τῆς πρὸς τὸ θεῖον θεραπείας ἐν δευτέρῳ τὴν σωτηρίαν τιθέμενοι. Πλεῖστοι δ' ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀνῃροῦντο, καὶ κατὰ τῶν κρημνῶν ἐρρίπτουν ἑαυτοὺς ἄπειροι· καὶ τὰ περὶ τὸ τεῖχος δ' ἔνιοι, μανιῶντες ἐν ταῖς ἀμηχανίαις, ὑπέπρησαν καὶ συγκαταφλέγονται. Ἰουδαίων μὲν οὖν ἀνῃρέθησαν μύριοι καὶ δισχίλιοι, Ῥωμαίων δὲ ὀλίγοι μὲν πάνυ νεκροί, τραυματίαι δ' ἐγένοντο πλείους.

ς'. Οὐδὲν δ' οὕτως ἐν ταῖς τότε συμφοραῖς καθήψατο τοῦ ἔθνους, ὡς τὸ τέως ἀόρατον ἅγιον ἐκκαλυφθὲν ὑπὸ τῶν ἀλλοφύλων. Παρελθὼν γοῦν σὺν τοῖς περὶ αὐτὸν ὁ Πομπήιος εἰς τὸν ναόν, ἔνθα μόνῳ θεμιτὸν ἦν παριέναι τῷ ἀρχιερεῖ, τὰ ἔνδον ἐθεάσατο, λυχνίαν τε καὶ λύχνους καὶ τράπεζαν καὶ σπονδεῖα καὶ θυμιατήρια, ὁλόχρυσα πάντα, πλῆθός τε ἀρωμάτων σεσωρευμένων, καὶ τῶν ἱερῶν χρημάτων εἰς τάλαντα δισχίλια. Οὔτε δὲ τούτων οὔτ' ἄλλου τινὸς τῶν ἱερῶν κειμηλίων ἥψατο, ἀλλὰ καὶ μετὰ μίαν τῆς ἁλώσεως ἡμέραν καθᾶραί τε τὸ ἱερὸν τοῖς νεωκόροις ἐκέλευσε καὶ τὰς ἐξ ἔθους ἐπιτελεῖν θυσίας, αὖθις ἀποδείξας Ὑρκανὸν ἀρχιερέα, τά τε ἄλλα προθυμότατον ἑαυτὸν ἐν τῇ πολιορκίᾳ παρασχόντα, καὶ διότι τὸ κατὰ τὴν χώραν πλῆθος ἀπέστησεν Ἀριστοβούλου συμπολεμεῖν ὡρμημένον. Ἐκ τούτου, ὅπερ ἦν προσῆκον ἀγαθῷ στρατηγῷ, τὸν λαὸν εὐνοίᾳ πλέον ἢ δέει προσηγάγετο. Ἐν δὲ τοῖς αἰχμαλώτοις ἐλήφθη καὶ ὁ Ἀριστοβούλου πενθερὸς, ὁ δ' αὐτὸς ἦν καὶ θεῖος αὐτῷ. Καὶ τοὺς μὲν αἰτιωτάτους τοῦ πολέμου πελέκει κολάζει· Φαῦστον δὲ καὶ τοὺς μετ' αὐτοῦ γενναίως ἀγωνισαμένους λαμπροῖς ἀριστείοις δωρησάμενος, τῇ τε χώρᾳ καὶ τοῖς Ἱεροσολύμοις ἐπιτάττει φόρον.

ζ'. Ἀφελόμενος δὲ τοῦ ἔθνους καὶ τὰς ἐν Κοίλῃ Συρίᾳ πόλεις ὅσας εἶλεν, ὑπέταξε τῷ κατ' ἐκεῖνο καιροῦ Ῥωμαίων στρατηγῷ κατατεταγμένῳ καὶ τοῖς ἰδίοις ὅροις περιέκλεισεν. Ἀνακτίζει δὲ καὶ Γάδαρα, ὑπὸ Ἰουδαίων κατεστραμμένην, Γαδαρίτῃ τινὶ τῶν ἰδίων ἀπελευθέρων Δημητρίῳ χαριζόμενος. Ἠλευθέρωσε δ' ἀπ' αὐτῶν καὶ τὰς ἐν τῇ μεσογείῳ πόλεις, ὅσας μὴ φθάσαντες κατέσκαψαν, Ἵππον, Σκυθόπολίν τε καὶ Πέλλαν, καὶ Σαμάρειαν καὶ Μάρισσαν, πρὸς αἷς Ἄζωτον, καὶ Ἰάμνειαν καὶ Ἀρέθουσαν, ὁμοίως δὲ καὶ τὰς παραλίους, Γάζαν, Ἰόπην, Δῶρα, καὶ τὴν πάλαι μὲν Στράτωνος πύργον καλουμένην, ὕστερον δὲ μετακτισθεῖσαν ὑφ' Ἡρώδου βασιλέως λαμπροτάτοις κατα-

irruptum eat. Primus autem murum transilire ausus est Faustus Cornelius Sullæ filius, et post eum centuriones duo, Furius et Fabius. Singulos autem sequebatur sua militum cohors, et Judæos undique conclusos occidebant, alios quidem ad fanum confugientes, alios vero paullisper resistentes.

5. Tum multi sacerdotum, quum hostes strictis gladiis irruentes viderent, intrepide in sacris peragendis manserunt; et, dum libarent thusque adolerent, maetabantur, suæ etiam saluti præferentes religionem erga Deum. Plurimi autem e gentilibus suis partis adversæ interempti erant, et innumeri sese per præcipitia dejiciebant; nonnullique, ex difficultatibus in insaniam acti, quæ circa murum erant succenderunt, ipsique combusti sunt. Atque Judæorum quidem ad duodecim millia occubuerunt, Romanorum vero perpauci, aliquammulti tamen sauciati erant.

6. Nihil autem gravius in illa clade Judæorum genti accidit quam quod locus sanctus antea oculis inaccessus ab alienigenis patefactus esset. Pompejus quippe cum iis quos secum habuit, templum ingressus, quo soli pontifici penetrare fas est, quæ intus erant, candelabrum cum lychnis et mensam et vasa libatoria et thuribula, ex auro omnia, spectavit, et multitudinem aromatum congestorum, et sacram pecuniam ad duo millia talentorum. Neque tamen ista vel aliud quicquam de sacra supellectile attigit, sed et fanum postridie quam captum esset, purgare jussit ædituos, et sacra solennia celebrare, quum Hyrcanum iterum pontificem declarasset, quod tum ad alia semet in obsidione promptissimum præstitisset, tum magnam regionis incolarum multitudinem ad defectionem ab Aristobulo perpulisset, quæ una cum illo militatum ire properaret. Qua re fiebat ut, sicuti bonum imperatorem deceret, populum benevolentia potius quam timore sibi conciliarit. Comprehensus autem est inter captivos etiam Aristobuli socer, qui et ipse ei patruus. Et illos quidem, qui maxime belli auctores exstiterant, securi percussit: Fausto vero iisque qui una cum eo fortiter pugnaverant, præclara præmia persolvit, regionique et Hierosolymis tributum imperat.

7. Quum autem genti abstulisset etiam quas in Cœle-Syria ceperat civitates, illi, qui tunc temporis constitutus erat Romanorum legatus, eam subjecit, intraque suos fines conclusit. Instauravit autem, in gratiam cujusdam e libertis suis Demetrii Gadarensis, etiam Gadara, a Judæis eversa. Mediterraneas præterea civitates ab eorum imperio liberavit, quotquot jam ante non exciderant, Hippum, Scythopolimque et Pellam et Samariam et Marissam, itemque Azotum et Iamniam, et Arethusam, similiter et maritimas, Gazam, Jopen, Dora, et quæ olim quidem Stratonis turris vocabatur, postea vero, alium in modum splendide et magnifice ab Herode rege ædificata, mutato nomine

σκευάσμασι καὶ μετονομασθεῖσαν Καισάρειαν. Ἃς πάσας τοῖς γνησίοις ἀποδοὺς πολίταις κατέταξεν εἰς τὴν Συριακὴν ἐπαρχίαν. Παραδοὺς δὲ ταύτην τε καὶ τὴν Ἰουδαίαν καὶ τὰ μέχρις Αἰγύπτου καὶ Εὐφράτου Σκαύρῳ διέπειν, καὶ δύο τῶν ταγμάτων, αὐτὸς διὰ Κιλικίας εἰς Ῥώμην ἠπείγετο, τὸν Ἀριστόβουλον ἄγων μετὰ τῆς γενεᾶς αἰχμάλωτον. Δύο δ' ἦσαν αὐτῷ θυγατέρες καὶ δύο υἱεῖς, ὧν ὁ ἕτερος μὲν Ἀλέξανδρος ἐκ τῆς ὁδοῦ διαδιδράσκει, σὺν δὲ ταῖς ἀδελφαῖς ὁ νεώτερος Ἀντίγονος εἰς Ῥώμην ἐκομίζετο.

ΚΕΦ. Η'.

Κἀν τούτῳ Σκαῦρος εἰς τὴν Ἀραβίαν ἐμβαλὼν, τῆς μὲν Πέτρας εἴργετο ταῖς δυσχωρίαις· ἐπόρθει δὲ καὶ τὰ περὶ Πέλλαν, κἀν τούτῳ δὲ κακοπαθῶν. Ἐλίμωττε γὰρ ἡ στρατιὰ, καὶ πρὸς τοῦτο Ὑρκανὸς ἐπεβοήθει δι' Ἀντιπάτρου τἀπιτήδεια πέμπων, ὃν καὶ καθίησι Σκαῦρος ὄντα συνήθη πρὸς Ἀρέταν, ὅπως ἐπὶ χρήμασι διαλύσαιτο τὸν πόλεμον. Πείθεται δ' ὁ Ἄραψ τριακόσια δοῦναι τάλαντα, κἀπὶ τούτοις Σκαῦρος ἐξῆγε τῆς Ἀραβίας δύναμιν.

β'. Ὁ δ' ἀποδρὰς τῶν Ἀριστοβούλου παίδων Πομπήιον Ἀλέξανδρος, χρόνῳ συναγαγὼν χεῖρα συχνὴν, βαρὺς ἦν Ὑρκανῷ, καὶ τὴν Ἰουδαίαν κατέτρεχεν· εἰδόκει δ' ἂν ταχέως καταλῦσαι αὐτὸν, ὅς γε ἤδη καὶ τὸ καταρριφθὲν ὑπὸ Πομπηίου τεῖχος ἐν Ἱεροσολύμοις ἀνακτίζειν ἐθάρρει προσελθών, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρου διάδοχος τά τε ἄλλα γενναῖον ἀπέδειξεν ἑαυτὸν ἐν πολλοῖς καὶ ἐπ' Ἀλέξανδρον ὥρμησεν. Ὁ δὲ δείσας πρὸς τὴν ἔφοδον δύναμίν τε πλείω συνέλεγεν, ὡς γενέσθαι μυρίους μὲν ὁπλίτας, χιλίους δὲ καὶ πεντακοσίους ἱππεῖς, καὶ τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἀλεξάνδρειόν τε καὶ Ὑρκάνειον καὶ Μαχαιροῦντα πρὸς τοῖς Ἀραβίοις ὄρεσι.

γ'. Γαβίνιος δὲ μετὰ μέρους τῆς στρατιᾶς Μάρκον Ἀντώνιον προπέμψας αὐτὸς εἵπετο τὴν ὅλην ἔχων δύναμιν. Οἱ δὲ περὶ Ἀντίπατρον ἐπίλεκτοι, καὶ τὸ ἄλλο τάγμα τῶν Ἰουδαίων, ὧν Μάλιχος ἦρχε καὶ Πειθόλαος, συμμίξαντες τοῖς περὶ Μάρκον Ἀντώνιον ἡγεμόσιν, ὑπήντων Ἀλεξάνδρῳ. Καὶ μετ' οὐ πολὺ παρῆν ἅμα τῇ φάλαγγι Γαβίνιος. Ἐνουμένην δὲ τὴν τῶν πολεμίων δύναμιν οὐχ ὑπομείνας Ἀλέξανδρος ἀνεχώρει, καὶ πλησίον ἤδη Ἱεροσολύμων γενόμενος ἀναγκάζεται συμβαλεῖν, καὶ κατὰ τὴν μάχην ἑξακισχιλίους ἀποβαλὼν, ὧν τρισχίλιοι μὲν ἔπεσον, τρισχίλιοι δὲ ἐζωγρήθησαν, φεύγει σὺν τοῖς καταλειφθεῖσιν εἰς Ἀλεξάνδρειον.

δ'. Γαβίνιος δὲ πρὸς τὸ Ἀλεξάνδρειον ἐλθὼν, ἐπειδὴ πολλοὺς εὗρεν ἐστρατοπεδευμένους, ἐπειρᾶτο συγγνώμης ὑποσχέσει περὶ τῶν ἡμαρτημένων πρὸ μάχης αὐτοὺς προσαγαγέσθαι. Μηδὲν δὲ μέτριον φρονούντων ἀποκτείνας πολλοὺς, τοὺς λοιποὺς κατέκλεισεν εἰς τὸ ἔρυμα. Κατὰ ταύτην ἀριστεύει τὴν μάχην ὁ ἡγεμὼν Μάρκος Ἀντώνιος, πανταχοῦ μὲν γενναῖος ἀεὶ

Cæsarea appellata est. Quas omnes, civibus indigenis redditas, provinciæ Syriæ attribuit. Quum autem et istam et Judæam, et cuncta ad Ægyptum usque et Euphratem Scauro, qui eas regeret, tradidisset, cum duabus legionibus ipse via Ciliciæ Romam contendebat, captivum ducens Aristobulum cum sua prole. Erant autem ei filiæ duæ, totidemque filii: quorum alter quidem Alexander, dum iter facerent, aufugit; junior vero Antigonus cum suis sororibus Romam deportabatur.

CAP. VIII.

Interea Scaurus, in Arabiam ingressus, Petram quidem ne accederet locorum difficultate prohibetur: quæ vero circa Pellam erant depopulabantur; in hoc tamen malis conflictatur. Nam exercitus fame laborabat: atque ad eam levandam conferebat Hyrcanus, per Antipatrum mittens necessaria; quem etiam ad Aretam, quasi familiarem, delegat Scaurus, ut pecunia ille pacem ab ipso redimeret. Atque persuasum est Arabi, ut trecenta daret talenta: et his conditionibus Scaurus ex Arabia exercitum educebat.

2. Alexander autem, qui ex Aristobuli liberis e Pompeji manibus elapsus erat, progressu temporis magno exercitu coacto, infestus erat Hyrcano, et Judæam incursabat; et celeriter eum deturbaturus esse videbatur, qui jam Hierosolyma accedens dejectum a Pompejo murum instaurare audebat, nisi Gabinius, Scauri successor missus in Syriam, tum in multis aliis rebus præclare se fortiterque gessisset, tum in Alexandrum expeditionem fecisset. Hujus autem adventu ille perterritus, militum etiam numerum ita augebat, ut facti essent decies mille pedites, et mille quingenti equites; et loca opportuna muris muniebat, Alexandriumque et Hyrcanium, et Machærunta apud montes Arabiæ.

3. Atqui Gabinius, Antonio cum parte copiarum parte præmisso, ipse cum toto exercitu sequebatur. Delecti autem Antipatri comites, aliaque Judæorum manus, quibus præerant Malichus et Pitholaus, quum sese Marci Antonii ducibus junxissent, obviam ibant Alexandro; et non multo post una cum gravi armatura aderat Gabinius. Verum Alexander, quod hostium copias in unum collatas sustinere non poterat, discedit; quumque Hierosolymis appropinquaret, coactus est prælio decertare, acieque sex millibus amissis, quorum tria quidem millia ceciderunt. tria vero millia capta sunt, cum reliquis fugit in Alexandrium.

4. Gabinius autem ubi Alexandrium venit, quum multos castra metatos esse deprehendisset, promissa delictorum venia conabatur eos ante prælium ad se pertrahere. Quum autem illi nihil mediocre sentirent, plerisque interfectis, reliquos in castellum conclusit. In hoc prælio strenue se gessit dux Marcus Antonius, qui quidem ubique fortis ap-

φανείς, οὐδαμοῦ δ' οὕτως. Γαβίνιος δὲ, τοὺς ἐξαιρήσοντας τὸ φρούριον καταλιπὼν, αὐτὸς ἀπῄει, τὰς μὲν ἀπορθήτους πόλεις καθιστάμενος, τὰς δὲ κατεστραμμένας ἀνακτίζων. Συνεπολίσθησαν γοῦν, τούτου κελεύσαντος, Σκυθόπολίς τε καὶ Σαμάρεια καὶ Ἀνθηδὼν καὶ Ἀπολλωνία καὶ Ἰάμνεια καὶ Ῥαφία καὶ Μάρισσά τε καὶ Ἀδώρεος, καὶ Γάμαλα καὶ Ἄζωτος, ἄλλαι τε πολλαὶ, τῶν οἰκητόρων ἀσμένως ἐφ' ἑκάστην συνθεόντων.

ε'. Μετὰ δὲ τὴν τούτων ἐπιμέλειαν ἐπανελθὼν πρὸς τὸ Ἀλεξάνδρειον, ἐπέρρωσε τὴν πολιορκίαν· ὥστε Ἀλέξανδρος, ἀπογνοὺς περὶ τῶν ὅλων, ἐπικηρυκεύεται πρὸς αὐτὸν, συγγνωσθῆναί τε τῶν ἁμαρτημένων δεόμενος καὶ τὰ συμμένοντα φρούρια παραδιδοὺς, Ὑρκάνειον καὶ Μαχαιροῦντα· αὖθις δὲ καὶ τὸ Ἀλεξάνδρειον ἐνεχείρισεν. Ἅ πάντα Γαβίνιος, ἐναγούσης τῆς Ἀλεξάνδρου μητρὸς, κατέσκαψεν, ὡς μὴ πάλιν δρμητήριον γένοιτο δευτέρου πολέμου. Ἁρῆν δὲ μειλισσομένη τὸν Γαβίνιον κατὰ δέος τῶν ἐπὶ τῆς Ῥώμης αἰχμαλώτων, τοῦ τε ἀνδρὸς καὶ τῶν ἄλλων τέκνων. Μετὰ δὲ ταῦτα εἰς Ἱεροσόλυμα Γαβίνιος Ὑρκανὸν καταγαγὼν, καὶ τὴν τοῦ ἱεροῦ παραδοὺς κηδεμονίαν αὐτῷ, καθίστησι τὴν ἄλλην πολιτείαν ἐπὶ προστασίᾳ τῶν ἀρίστων· διεῖλε δὲ πᾶν τὸ ἔθνος εἰς πέντε συνόδους τὸ μὲν Ἱεροσολύμοις προστάξας, τὸ δὲ Γαδάροις, οἱ δ' ἵνα συντελῶσιν εἰς Ἀμαθοῦντα, τὸ δὲ τέταρτον εἰς Ἱεριχοῦντα κεκλήρωτο, καὶ τῷ πέμπτῳ Σέπφωρις ἀπεδείχθη πόλις τῆς Γαλιλαίας. Ἀσμένως δὲ τῆς ἐξ ἑνὸς ἐπικρατείας ἐλευθερωθέντες, τὸ λοιπὸν ἀριστοκρατίᾳ διῳκοῦντο.

ς'. Μετ' οὐ πολύ γε μὴν αὐτοῖς ἀρχὴ γίνεται θορύβων Ἀριστόβουλος, ἀποδρὰς ἐκ Ῥώμης, ὃς αὖθις πολλοὺς Ἰουδαίων ἐπισυνίστη, τοὺς μὲν ἐπιθυμοῦντας μεταβολῆς, τοὺς δ' ἀγαπῶντας αὐτὸν πάλαι. Καὶ τὸ μὲν πρῶτον καταλαβόμενος τὸ Ἀλεξάνδρειον ἀνατειχίζειν ἐπειρᾶτο. Ὡς δὲ Γαβίνιος ὑπὸ Σισέννᾳ καὶ Ἀντωνίῳ καὶ Σερουϊλίῳ στρατιὰν ἔπεμψεν ἐπ' αὐτὸν, γνοὺς ἀνεχώρει ἐπὶ Μαχαιροῦντος· καὶ τὸν μὲν ἄχρηστον ὄχλον ἀπεφορτίσατο, μόνους δ' ἐπήγετο τοὺς ὡπλισμένους, ὄντας εἰς ὀκτακισχιλίους, ἐν οἷς καὶ Πειθόλαος ἦν ὁ ἐξ Ἱεροσολύμων ὑποστράτηγος αὐτομολήσας μετὰ χιλίων· Ῥωμαῖοι δ' ἐπηκολούθουν, καὶ γενομένης συμβολῆς μέχρι πολλοῦ μὲν οἱ περὶ τὸν Ἀριστόβουλον διεκαρτέρουν γενναίως ἀγωνιζόμενοι· τέλος δὲ βιασθέντες ὑπὸ τῶν Ῥωμαίων πίπτουσι μὲν πεντακισχίλιοι, περὶ δὲ δισχιλίους ἀνέφυγον εἰς τινα λόφον, οἱ δὲ λοιποὶ χίλιοι σὺν Ἀριστοβούλῳ, διακόψαντες τὴν φάλαγγα τῶν Ῥωμαίων, εἰς Μαχαιροῦντα συνελαύνονται. Ἔνθα δὴ τὴν πρώτην ἑσπέραν ὁ βασιλεὺς τοῖς ἐρειπίοις ἐναυλισάμενος, ἐν ἐλπίσι μὲν ἦν ἄλλην συναθροίσειν δύναμιν, ἀνοχὴν τοῦ πολέμου διδόντος, καὶ τὸ φρούριον κακῶς ὠχύρου. Προσπεσόντων δὲ Ῥωμαίων, ἐπὶ δύο ἡμέρας ἀντισχὼν ὑπὲρ δύναμιν, ἁλίσκεται, καὶ μετ' Ἀντιγόνου τοῦ παιδὸς, ὃς ἀπὸ Ῥώμης αὐτῷ συναπέδρα, δεσμώ-

paruit, ita vero nusquam. Tum Gabinius, relictis qui castellum expugnarent, ipse discessit, et urbes quidem non vastatas in meliorem statum redigit, subversas vero instaurat. Itaque *jussu ejus habitari cœperunt* Scythopolisque et Samaria, et Anthedon, et Apollonia, et Iamnia, et Raphia, itemque Marissa et Adoreus, et Gamala, et Azotus, aliæque multæ, incolis libenter admodum in eas confluentibus.

5. Postquam vero ista ita curaverat, reversus ad Alexandrium urgebat obsidionem, adeo ut Alexander, desperans rebus suis omnibus, legatos ad eum mitteret, et peccatorum veniam petens, et de castellis quæ permanebant tradens Hyrcanium et Machæruntem. Postea etiam Alexandrium ei dedidit. Quæ omnia Gabinius funditus eruit, id suadente Alexandri matre, ne iterum sedes alterius belli fierent. Aderat autem, ut Gabinium *obsequiis emolliret*, viro suo ceterisque liberis Romæ captivis metuens. At post hæc Gabinius, Hyrcano Hierosolyma deducto, eique fani cura mandata, reliquum reipublicæ ita constituit, ut optimates rebus præessent: omnemque gentem in conventus divisit, edixitque ut una pars Hierosolymis, Gadaris altera, aliique ad Amathuntem convenirent, quarta vero pars Hierichuntem sortita est, quintæque Sepphoris Galilææ civitas assignata est. Atque libenter unius dominatione liberati *in posterum ab optimatibus regebantur*.

6. Ceterum non multo post illis tumultus creat Aristobulus, Roma elapsus, qui multos Judæorum rursus coegit, partim quidem qui mutationis cupidi erant, partim vero qui illum olim dilexerant. Et primum quidem Alexandrio *occupato*, id *reficere* tentabat. Ubi autem Gabinius adversus eum misit exercitum, ducibus Sisenna et Antonio et Servilio, ea re cognita in Machæruntem concedit: et turbam quidem inutilem excussit, solos vero armatos secum ducebat, ad octo fere millia, *in quibus et Pitholaus erat, qui* Hierosolymis legatus cum mille hominibus ad eum perfugit. Romani autem sequebantur, commissoque prælio, aliquamdiu cum suis Aristobulus fortiter dimicando perseverabat: at tandem vi Romanorum *subacti ad quinque millia ceciderunt*, et duo circiter millia in tumulum quendam confugerunt; mille vero reliqui cum Aristobulo, perrupta Romanorum acie, in Machæruntem se recipere coacti sunt. Ubi rex, quum in ruinis prima vespera tetendisset, fore sperabat ut alias copias, *cessante aliquantisper bello, contraheret*; et castellum male muniebat. Impressionem vero facientibus Romanis, quum duos dies supra vires restitisset, captus, et cum Antigono filio, qui simul Roma profugerat, vinctus ad Gabinium adductus est,

της ἐπὶ Γαβίνιον ἀνήχθη, καὶ ἀπὸ Γαβινίου πάλιν εἰς Ῥώμην. Τοῦτον μὲν οὖν ἡ σύγκλητος εἶρξε, τὰ τέκνα δ' αὐτοῦ διῆγεν εἰς Ἰουδαίαν, Γαβινίου δι' ἐπιστολῶν ὀνειδίσαντος τῇ Ἀριστοβούλου γυναικὶ τοῦτο ἀντὶ τῆς παραδόσεως τῶν ἐρυμάτων ὡμολογηκέναι.

ζ'. Γαβινίῳ δ' ἐπὶ Πάρθους ὡρμημένῳ στρατεύειν γίνεται Πτολεμαῖος ἐμπόδιον· ὃν, ὑποστρέψας ἀπ' Εὐφράτου, κατῆγεν εἰς Αἴγυπτον, ἐπιτηδείοις εἰς ἅπαντα χρώμενος κατὰ τὴν στρατιὰν Ὑρκανῷ καὶ Ἀντιπάτρῳ. Καὶ γὰρ χρήματα καὶ ὅπλα καὶ σῖτον καὶ ἐπικούρους ὁ Ἀντίπατρος προσῆγε· καὶ τοὺς ταύτῃ Ἰουδαίους, φρουροῦντας τὰς κατὰ τὸ Πηλούσιον ἐμβολὰς, παρεᾶσαι Γαβίνιον ἔπεισε. Τῆς δ' ἄλλης Συρίας πρὸς τὸν Γαβινίου χωρισμὸν κινηθείσης, καὶ Ἰουδαίους πάλιν ἀπέστησεν Ἀλέξανδρος ὁ Ἀριστοβούλου· μεγίστην δὲ συγκροτήσας δύναμιν ὥρμητο πάντας τοὺς κατὰ τὴν χώραν Ῥωμαίους ἀνελεῖν. Πρὸς ὃ Γαβίνιος δείσας (ἤδη δὲ παρῆν ἀπ' Αἰγύπτου τοῖς τῇδε θορύβοις ἠπειγμένος) ἐπί τινας μὲν τῶν ἀφεστώτων Ἀντίπατρον προπέμψας μετέπεισε. Συνέμενον δὲ Ἀλεξάνδρῳ τρεῖς μυριάδες, κἀκεῖνος ὥρμητο πολεμεῖν· οὕτως ἔζεισι πρὸς μάχην· ὑπήντων δ' οἱ Ἰουδαῖοι, καὶ συμβαλόντων περὶ τὸ Ἰταβύριον ὄρος, μύριοι μὲν ἀναιροῦνται, τὸ δὲ λοιπὸν πλῆθος ἐσκεδάσθη φυγῇ. Καὶ Γαβίνιος ἐλθὼν εἰς Ἱεροσόλυμα πρὸς τὸ Ἀντιπάτρου βούλημα κατεστήσατο τὴν πολιτείαν. Ἔνθεν ὁρμήσας Ναβαταίων τε μάχῃ κρατεῖ καὶ Μιθραδάτην καὶ Ὀρσάνην φυγόντας ἐκ Πάρθων κρύφα μὲν ἀπέπεμψε, παρὰ δὲ τοῖς στρατιώταις ἔλεγεν ἀποδρᾶναι.

η'. Κἀν τούτῳ Κράσσος αὐτῷ διάδοχος ἐλθὼν παραλαμβάνει Συρίαν. Οὗτος εἰς τὴν ἐπὶ Πάρθους στρατείαν τόν τε ἄλλον τοῦ ἐν Ἱεροσολύμοις ναοῦ χρυσὸν πάντα περιεῖλε, καὶ τὰ δισχίλια τάλαντα ἦρεν, ὧν ἀπέσχετο Πομπήιος. Διαβὰς δὲ τὸν Εὐφράτην αὐτός τε ἀπώλετο καὶ ὁ στρατὸς αὐτοῦ. Περὶ ὧν οὐ νῦν καιρὸς λέγειν.

θ'. Πάρθους δὲ μετὰ τὸν Κράσσον ἐπιδιαβαίνειν εἰς Συρίαν ὡρμημένους ἀνέκοπτε Κάσσιος εἰς τὴν ἐπαρχίαν διαφυγών. Περιποιησάμενος δ' αὐτὴν ἐπὶ Ἰουδαίαν ἠπείγετο· καὶ Ταριχέας μὲν ἑλὼν, εἰς τρισμυρίους Ἰουδαίων ἀνδραποδίζεται. Κτείνει δὲ καὶ Πειθόλαον, τοὺς Ἀριστοβούλου στασιαστὰς ἐπισυνιστάντα· τοῦ φόνου δὲ ἦν σύμβουλος Ἀντίπατρος. Τούτῳ γήμαντι γυναῖκα τῶν ἐπισήμων ἐξ Ἀραβίας, Κύπρον τοὔνομα, τέσσαρες μὲν υἱεῖς γίγνονται, Φασαήλος, καὶ ὁ βασιλεὺς αὖθις Ἡρώδης, πρὸς οἷς Ἰώσηπος καὶ Φερώρας καὶ Σαλώμη θυγάτηρ. Ἐξοικειούμενος δὲ τοὺς πανταχοῦ δυνατοὺς φιλίαις τε καὶ ξενίαις, μάλιστα προσηγάγετο τὸν Ἀράβων βασιλέα διὰ τὴν ἐπιγαμίαν· κἀπειδὴ τὸν πρὸς Ἀριστόβουλον ἀνεῖλετο πόλεμον, ἐκείνῳ παρακαταθήκην ἔπεμψε τὰ τέκνα. Κάσσιος δὲ, κατὰ συνθήκας ἡσυχάζειν Ἀλέξανδρον ἀναγκάσας, ἐπὶ τὸν Εὐφράτην ὑπέστρεψε, Πάρθους διαβαίνειν ἀνείρξων· περὶ ὧν ἐν ἑτέροις ἐροῦμεν.

iterumque Romam a Gabinio. Et hunc quidem senatus in carcerem inclusit, ejus vero liberos in Judæam transmittebat, propterea quod Gabinius literis significarat, id se Aristobuli conjugi pro traditione castellorum spopondisse.

7. Gabinio autem, quum bellum Parthis inferre properaret, impedimento erat Ptolemæus; quem, reversus ab Euphrate, in Ægyptum reducebat, Hyrcano et Antipatro usus ad necessaria omnia in expeditionem suppeditanda. Nam et pecunias et arma et frumentum et auxilia ad eum adducebat Antipater : et Judæis in ea parte, qui custodes erant adituum juxta Pelusium, transmittere Gabinium persuasit. Quum autem reliqua Syria ad discessum Gabinii commota esset, Judæos etiam iterum ad defectionem impulit Alexander Aristobuli filius, maximisque conflatis copiis, omnes in ea regione Romanos perimendi impetum cepit. Quam rem Gabinius veritus (jam enim ex Ægypto redierat eo turbis istis impulsus) ad quosdam e defectoribus præmisso Antipatro, in contrariam sententiam eos adduxit. Verum cum Alexandro manserunt triginta millia, et ille bellandi desiderio tenebatur : adeoque ad pugnam egreditur. Atque obviam ibant Judæi, et apud montem Itabyrium congressi ad decem quidem millia sternuntur; cetera vero multitudo fuga dissipata erat. Et Gabinius Hierosolyma profectus ex Antipatri sententia rerum statum ordinavit. Hinc digressus et Nabatæos prælio superat, et Mithradatem et Orsanen Parthorum perfugas clam quidem dimittit, militibus vero dicebat quod aufugerint.

8. Interea Crassus, qui venerat ut ei succederet, Syriam regendam suscipit. Ille in Parthicam expeditionem et omne aliud aurum in templo Hierosolymitano abstulit, et duo millia talentorum, a quibus abstinuerat Pompejus. Euphraten vero quum trajecisset, et ipse periit et exercitus ejus. De quibus nunc non est narrandi tempus.

9. Post Crassum autem Parthos in Syriam transgredi properantes inhibuit Cassius, qui in istam provinciam se fuga receperat. Ea autem occupata in Judæam festinabat; quumque Taricheas cepisset, Judæorum triginta circiter millia in servitium abducit. Etiam Pitholaum interficit, seditionis cum Aristobulo participes colligentem : necis vero ejus suasor erat Antipater. Huic autem, qui uxorem duxerat ex nobili quadam Arabiæ familia, nomine Cypron, quattuor nascuntur liberi, Phasaelus, et Herodes, postea rex, et præter hos Josephus et Pheroras et filia Salome. Quum autem omnes, qui ubique potentes essent, sibi conciliaret amicitia et hospitalitate, potissimum affinitate devinxit Arabum regem; et postquam adversus Aristobulum bellum susceperat, liberos ei, apud quem deponerentur, misit. At Cassius, quum Alexandrum pactionibus ad quiescendum adegisset, ad Euphraten reversus est, Parthos transitu prohibiturus : de quibus alibi dicemus.

ΚΕΦ. Θ'.

Καῖσαρ δὲ Πομπηίου καὶ τῆς συγκλήπου φυγόντων ὑπὲρ τὸν Ἰόνιον, Ῥώμης καὶ τῶν ὅλων κρατήσας, ἀνίησι μὲν τῶν δεσμῶν τὸν Ἀριστόβουλον· παραδοὺς δ' αὐτῷ δύο τάγματα, κατὰ τάχος ἐπεμψεν εἰς Συρίαν, ταύτην τε ῥᾳδίως ἐλπίσας καὶ τὰ περὶ τὴν Ἰουδαίαν δι' αὐτοῦ προσάξεσθαι. Φθάνει δὲ ὁ φθόνος καὶ τὴν Ἀριστοβούλου προθυμίαν καὶ τὰς Καίσαρος ἐλπίδας. Φαρμάκῳ γοῦν ἀναιρεθεὶς ὑπὸ τῶν τὰ Πομπηίου φρονούντων, μέχρι πολλοῦ μὲν οὐδὲ ταφῆς ἐν τῇ πατρῴᾳ χώρᾳ μετεῖχεν· ἔκειτο δ' ἐν μέλιτι συντηρούμενος ὁ νεκρὸς αὐτοῦ, ἕως ὑπ' Ἀντωνίου Ἰουδαίοις ἐπέμφθη, τοῖς βασιλικοῖς μνημείοις ἐνταφησόμενος.

β'. Ἀναιρεῖται δὲ καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος πελέκει ὑπὸ Σκιπίωνος ἐν Ἀντιοχείᾳ, Πομπηίου τοῦτ' ἐπιστείλαντος καὶ γενομένης κατηγορίας πρὸ τοῦ βήματος ὧν Ῥωμαίους ἔβλαψε. Τοὺς δ' ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ Μενναίου παραλαβών, ὃς ἐκράτει τῆς ὑπὸ τῷ Λιβάνῳ Χαλκίδος, Φιλιππίωνα τὸν υἱὸν ἐπ' αὐτοὺς εἰς Ἀσκάλωνα πέμπει. Κἀκεῖνος ἀποσπάσας τῆς Ἀριστοβούλου γυναικὸς Ἀντίγονον, καὶ τὰς ἀδελφὰς αὐτοῦ πρὸς τὸν πατέρα ἀνήγαγεν. Ἄλους δ' ἔρωτι γαμεῖ τὴν νεωτέραν, καὶ μετὰ ταῦθ' ὑπὸ τοῦ πατρὸς δι' αὐτὴν κτείνεται· γαμεῖ γὰρ Πτολεμαῖος τὴν Ἀλεξάνδραν, ἀνελὼν τὸν υἱόν, καὶ διὰ τὸν γάμον κηδεμωνικώτερος ἦν πρὸς τοὺς αὐτῆς ἀδελφούς.

γ'. Ἀντίπατρος δὲ μετὰ τὴν Πομπηίου τελευτὴν μεταβὰς ἐθεράπευε Καίσαρα· κἀπειδήπερ Μιθραδάτης ὁ Περγαμηνὸς, μεθ' ἧς ἦγεν ἐπ' Αἴγυπτον δυνάμεως, εἰργόμενος τῶν κατὰ τὸν Πηλούσιον ἐμβολῶν, ἐν Ἀσκάλωνι κατείχετο, τούς τε Ἄραβας ξένος ὢν ἔπεισεν ἐπικουρῆσαι, καὶ αὐτὸς ἦκεν ἄγων Ἰουδαίων εἰς τρισχιλίους ὁπλίτας. Παρώρμησε δὲ καὶ τοὺς ἐν Συρίᾳ δυνατοὺς ἐπὶ τὴν βοήθειαν, τῶν τ' ἐποίκων τοῦ Λιβάνου Πτολεμαῖον, καὶ Ἰάμβλιχον· δι' οὓς αἱ ταύτῃ πόλεις ἑτοίμως συνεφήψαντο τοῦ πολέμου. Καὶ θαρρῶν ἤδη Μιθραδάτης τῇ προσγενομένῃ δι' Ἀντίπατρον ἰσχύϊ, πρὸς τὸ Πηλούσιον ἐξελαύνει, κωλυόμενός τε διεξελθεῖν, ἐπολιόρκει τὴν πόλιν. Γίνεται δὲ κἀν τῇ προσβολῇ διασημότατος Ἀντίπατρος· τὸ γὰρ καθ' αὐτὸν μέρος τοῦ τείχους διαρρήξας πρῶτος εἰσεπήδησεν εἰς τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ.

δ'. Καὶ Πηλούσιον μὲν ἑάλω· πρόσω δ' αὐτοὺς ἰόντας εἶργον αὖθις οἱ τὴν Ὀνίου προσαγορευομένην χώραν κατέχοντες Ἰουδαῖοι Αἰγύπτιοι. Τούτους δὲ Ἀντίπατρος οὐ μόνον μὴ κωλύειν ἔπεισεν, ἀλλὰ καὶ τὰ ἐπιτήδεια τῇ δυνάμει παρασχεῖν. Ὅθεν οὐδ' οἱ κατὰ τὴν Μέμφιν ἔτι εἰς χεῖρας ἦλθον, ἑκούσιοι δὲ προσέθεντο Μιθραδάτῃ. Κἀκεῖνος ἤδη τὸ Δέλτα περιελθὼν συνέβαλλε τοῖς λοιποῖς Αἰγυπτίοις εἰς μάχην κατὰ χῶρον ὃς Ἰουδαίων στρατόπεδον καλεῖται. Κινδυνεύοντα δὲ αὐτὸν ἐν τῇ παρατάξει σὺν ὅλῳ τῷ δεξιῷ κέρατι βύεται περιελθὼν Ἀντίπατρος παρὰ τὸν αἰγιαλὸν τοῦ ποταμοῦ·

CAP. IX. (VII.)

Cæsar autem, quum Pompejus et senatus trans mare Ionium fugissent, Roma rerumque summa potitus, Aristobulum vinculis solvit; traditisque ei duabus legionibus celeriter in Syriam misit, spei plenus et hanc facillime et cuncta Judææ proxima per illum subjici posse. Verum et promptam Aristobuli voluntatem et Cæsaris spem irritam reddidit invidia. Nam veneno peremptus a Pompejanis, aliquamdiu etiam sepultura in solo patrio carebat; corpusque ejus melle conservatum jacebat, donec ab Antonio missum est Judæis, in patriis monumentis sepeliendum.

2. Porroque filius ejus Alexander a Scipione securi trucidatur Antiochiæ, idque jussu Pompeji, instituta etiam in eum accusatione pro tribunali ob ea quibus Romanos læserat. Ejus fratres ad se recepit Ptolemæus Mennæi filius, qui Chalcidem sub Libano imperio regebat, Ascalonem ad eos misso Philippione filio suo. Atque ille Antigonum ab Aristobuli conjuge abstractum, et sorores ejus ad patrem adducebat. Captus autem amore juniorem uxorem duxit, et postea a patre propter ipsam occiditur. Nam Ptolemæus, filio interfecto, Alexandram in matrimonium accipit, et nuptiarum gratia majori cura dignatus est ejus fratres.

3. Antipater autem, post obitum Pompeji, mutatis partibus Cæsari studebat : et quia Mithradates Pergamenus cum copiis quas ducebat in Ægyptum, prohibitus ab aditibus juxta Pelusium, apud Ascalonem detinebatur, et Arabibus, apud quos hospes erat, persuasit ut suppetias ei ferrent, et ipse secum habens Judæorum peditum tria circiter millia subsidio profectus est. Præterea viros in Syria potentes ad auxilium suppeditandum excitavit, et ex Libani incolis Ptolemæum et Iamblichum : quibus factum est ut illius regionis civitates alacriter belli societatem coirent. Jamque Mithradates, copiis fretus ab Antipatro adductis, Pelusium ire festinat; quumque pertransire trajectu prohiberetur, urbem obsidebat. At Antipater in hac oppugnatione gloriam insignissimam adeptus est : nam quum muri, qua is erat, partem diffregisset, primus in urbem cum suis insiluit.

4. Et Pelusium quidem captum est : eos vero ulterius euntes rursus prohibebant Ægyptii Judæi, regionem quæ Oniæ dicebatur incolentes. Verum iis persuasit Antipater non modo ne obstarent, sed etiam ut copiis necessaria præberent. Unde factum est ut nec ii qui circa Memphin erant manus conserrent, sed ultro sese traderent Mithradati. Atque ille, quum Delta circuivisset, pugnam cum ceteris Ægyptiis commisit, in loco qui Judæorum Castra appellatur : quumque in periculo esset in acie cum omni dextro cornu, Antipater, fluminis ripam circumgressus, eum li-

τῶν γὰρ καθ' ἑαυτὸν ἐκράτει τὸ λαιὸν ἔχων κέρας. Ἔπειτα προσπεσὼν τοῖς διώκουσι Μιθραδάτην, ἀπέκτεινέ τε πολλοὺς, καὶ μέχρι τοσούτου τοὺς καταλειπομένους ἐδίωξεν, ὡς καὶ τὸ στρατόπεδον αὐτῶν ἑλεῖν· ὀγδοήκοντα δὲ μόνους τῶν ἰδίων ἀπέβαλε, καὶ Μιθραδάτης ἐν τῇ τροπῇ περὶ ὀκτακοσίους. Σωθεὶς δ' αὐτὸς παρ' ἐλπίδα, μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρου κατορθωμάτων.

ε'. Ὁ δὲ τότε μὲν τὸν ἄνδρα τοῖς ἐπαίνοις καὶ ταῖς ἐλπίσιν εἰς τοὺς ὑπὲρ ἑαυτοῦ κινδύνους ἐπέρρωσεν. Ἐν οἷς πᾶσι παραβολώτατος ἀγωνιστὴς γενόμενος, καὶ πολλὰ τρωθεὶς καθόλου σχεδὸν τοῦ σώματος, εἶχε τὰ σημεῖα τῆς ἀρετῆς. Αὖθις δὲ καταστησάμενος τὰ κατὰ τὴν Αἴγυπτον, ὡς ἐπανῆκεν εἰς Συρίαν, πολιτείᾳ τε αὐτὸν τῇ Ῥωμαίων ἐτίμησε καὶ ἀτελείᾳ, τῆς τε ἄλλης τιμῆς καὶ φιλοφρονήσεως ἕνεκεν ζηλωτὸν ἐποίησε, καὶ τὴν ἀρχιερωσύνην δὲ δι' αὐτὸν ἐπεκύρωσεν Ὑρκανῷ.

ΚΕΦ. Ι'.

Κατ' αὐτὸ δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου, πρὸς τὸν Καίσαρα παρὼν, γίνεται παραδόξως Ἀντιπάτρῳ μείζονος προκοπῆς αἴτιος. Δέον γοῦν ἀποδύρεσθαι περὶ τοῦ πατρὸς πεφαρμάχθαι δοκοῦντος ἐκ τῶν πρὸς Πομπήιον διαφορῶν, καὶ περὶ τἀδελφοῦ τὴν Σκιπίωνος ὠμότητα μέμφεσθαι, καὶ μηδὲν εἰς τὸν ἔλεον παραμίξαι φθονερὸν πάθος, ὁ δ' ἐπὶ τούτοις Ὑρκανοῦ καὶ Ἀντιπάτρου κατηγόρει παρελθὼν, ὡς παρανομώτατα μὲν αὐτὸν μετὰ τῶν ἀδελφῶν πάσης ἀπελαύνοιεν τῆς πατρίου γῆς, πολλὰ δ' εἰς τὸ ἔθνος αὐτοὶ διὰ κόρον ἐξυβρίζοιεν· καὶ ὅτι τὴν εἰς Αἴγυπτον συμμαχίαν οὐκ ἐπ' εὐνοίᾳ αὐτῷ πέμψειαν, ἀλλὰ κατὰ δέος τῶν πάλαι διαφορῶν, καὶ τὴν πρὸς τὸν Πομπήιον φιλίαν ἀποσκευαζόμενοι.

β'. Πρὸς ταῦθ' ὁ Ἀντίπατρος ἀπορρίψας τὴν ἐσθῆτα τὸ πλῆθος ἐπεδείκνυε τῶν τραυμάτων, καὶ περὶ μὲν τῆς εἰς Καίσαρα εὐνοίας οὐκ ἔφη λόγου δεῖν αὐτῷ, κεκραγέναι γὰρ τὸ σῶμα σιωπῶντος· Ἀντιγόνου δὲ θαυμάζειν τὴν τόλμαν, εἰ πολεμίου Ῥωμαίων υἱὸς ὢν καὶ Ῥωμαίων δραπέτου, καὶ τὸ νεωτεροποιὸς εἶναι καὶ στασιώδης αὐτὸς πατρῷον ἔχων, παρὰ τῷ Ῥωμαίων ἡγεμόνι κατηγορεῖν ἐπικεχείρηκεν ἑτέρων, καὶ πειρᾶται τυχεῖν ἀγαθοῦ τινος, δέον ἀγαπᾶν ὅτι ζῇ· καὶ γὰρ νῦν ἐφίεσθαι πραγμάτων οὐ τοσοῦτον δι' ἀπορίαν, ἀλλ' ἵνα Ἰουδαίους διαστασιάσῃ παρελθὼν, καὶ χρήσηται κατὰ τῶν δόντων ταῖς ἀφορμαῖς.

γ'. Τούτων Καῖσαρ ἀκούσας Ὑρκανὸν μὲν ἀξιώτερον τῆς ἀρχιερωσύνης ἀπεφήνατο, Ἀντιπάτρῳ δὲ δυναστείας αἵρεσιν ἔδωκεν. Ὁ δ' ἐπὶ τῷ τιμήσαντι τὸ μέτρον τῆς τιμῆς θέμενος πάσης ἐπίτροπος Ἰουδαίας ἀποδείκνυται, καὶ προσεπιτυγχάνει τὰ τείχη τῆς πατρίδος ἀνακτίσαι κατεστραμμένα. Τὰς μὲν δὴ τιμὰς ταύτας Καῖσαρ ἀπέστελλεν ἐν τῷ Καπετωλίῳ χαραχθῆναι, τῆς τε αὐτοῦ δικαιοσύνης σημεῖον καὶ τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἐσόμενον.

beravit: nam secum habens lævum cornu oppositos sibi superaverat. Dein facto in eos impetu, qui Mithradatem persequerentur, et multos occidit et reliquos eousque fugientes egit, donec castra illorum ceperit: de suis autem octoginta tantum amisit, at Mithradates dum fugeret octingentos. Ille vero, præter spem servatus, testimonium apud Cæsarem absque omni invidia perhibet de rebus ab Antipatro præclare gestis.

5. Unde ille tunc quidem Antipatrum et spe et laudibus ad subeunda pro se pericula promptiorem reddidit. In quibus omnibus quum bellator fuerit audacissimus, et multa toto fere corpore vulnera acceperit, habebat quibus fortitudinem ostentaret. Post autem quum res in Ægypto ordinasset Cæsar, in Syriam reversus eum et Romana civitate donavit et immunitate, fecitque, et aliis honoribus eum augendo et amicissime tractando, ut ipsi invideretur; atque ejus insuper gratia pontificatum confirmavit Hyrcano.

CAPUT X. (VIII.)

Sub idem autem tempus et Antigonus Aristobuli filius, quum ad Cæsarem venisset, in causa erat præter opinionem quod Antipater plus auctoritate valeret. Nam quum oportuerit eum patris fortunam deplorare, qui veneno sublatus videbatur ob inimicitias quæ illi cum Pompejo intercesserant, et queri de Scipionis in fratrem crudelitate, nihilque quod invidiam moveret adhibere dum misericordiam imploraret, ille in medium prodiens præterea Hyrcanum et Antipatrum accusabat, ac si ipsum quidem iniquissime cum fratribus suis omni de terra patria abegissent, multisque ipsi gentem injuriis ex petulantia affecissent; quodque in Ægyptum auxilia ei non ex benevolentia miserint, sed metu veterum inimicitiarum, et ut amicitiam cum Pompejo institutam deprecarentur.

2. Ad hæc Antipater veste abjecta vulnerum multitudinem palam faciebat, et de sua quidem in Cæsarem benevolentia non opus esse sibi dicebat verba facere; nam corpus etiam se tacente clamare: Antigoni vero audaciam mirari, qui, quum hostis Romanorum sit filius et fugitivi Romanorum, et novarum rerum studiosus seditiosusque patrem imitetur, apud Romanorum præsidem contra alios accusationem instituerit, et emolumenti aliquid comparare studeat, quum isto contentus esse deberet quod vivat: nam et nunc non propter inopiam rebus interesse adeo desiderare, sed ut inter Judæos seditionem concitet, et facultatibus contra largitores utatur.

3. Quum ista Cæsar audisset, Hyrcanum quidem pontificatu digniorem esse pronunciavit, Antipatro autem potestatis quam vellet optionem dedit. Ille vero, honoris modum et mensuram dantis arbitrio permittens, totius Judææ procurator declaratus est, et præter hoc impetravit ut subversa patriæ mœnia instaurare sibi daretur. Et hos quidem honores Cæsar misit tabulis incidendos in Capitolio, in perpetuum suæque justitiæ et Antipatri virtutis monumentum.

δ'. Ἀντίπατρος δὲ Καίσαρα προπέμψας ἐκ τῆς Συρίας εἰς Ἰουδαίαν ὑπέστρεψεν. Καὶ πρῶτον μὲν τὸ τεῖχος ἀνεδείματο τῆς πατρίδος ὑπὸ Πομπηίου κατεστραμμένον, καὶ τοὺς ἀνὰ τὴν χώραν θορύβους ἐπιὼν κατέστελλεν, ἀπειλητὴς ἅμα καὶ σύμβουλος ὢν ἑκάστοις, ὅτι τὰ μὲν Ὑρκανοῦ φρονοῦντες ἐν ὅλῳ καὶ καθ' ἡσυχίαν βιώσονται, τῶν τε ἰδίων κτημάτων καὶ κοινῆς εἰρήνης ἀπολαύοντες· εἰ δὲ πείθοιντο ταῖς ψυχραῖς ἐλπίσι τῶν νεωτερίζειν ἐπὶ κέρδεσιν οἰκείοις ἐθελόντων, αὐτόν τε πειράσουσιν ἀντὶ κηδεμόνος δεσπότην καὶ Ὑρκανὸν ἀντὶ βασιλέως τύραννον, Ῥωμαίους γε μὴν καὶ Καίσαρα πολεμίους ἀνθ' ἡγεμόνων καὶ φίλων· οὐ γὰρ ἀνέξεσθαι μετακινούμενον ἐκ τῆς ἀρχῆς, ὃν αὐτοὶ κατέστησαν. Ἅμα δὲ ταῦτα λέγων δι' ἑαυτοῦ καθίστατο τὴν χώραν, ὁρῶν τὸν Ὑρκανὸν νωθῆ τε καὶ βασιλείας ἀτονώτερον. Φασάηλον μὲν δή, τῶν παίδων τὸν πρεσβύτατον, Ἱεροσολύμων καὶ τῶν πέριξ στρατηγὸν καθίστησι· τὸν δὲ μετ' αὐτὸν Ἡρώδην, ἐπὶ τοῖς ἴσοις ἔστειλεν εἰς τὴν Γαλιλαίαν κομιδῇ νέον.

ε'. Ὁ δὲ, ὢν φύσει δραστήριος, ὕλην εὐθέως εὑρίσκει τῷ φρονήματι. Καταλαβὼν οὖν Ἐζεκίαν τὸν ἀρχιλῃστὴν, τὰ προσεχῆ τῇ Συρίᾳ κατατρέχοντα μετὰ μεγίστου στίφους, αὐτόν τε συλλαβὼν ἀποκτείνει καὶ πολλοὺς τῶν λῃστῶν· ὃ δὴ μάλιστα τοῖς Σύροις κατώρθωκε χεχαρισμένον. Ὑμνεῖτο γοῦν ἀνά τε τὰς κώμας καὶ ἐν ταῖς πόλεσιν Ἡρώδης, ὡς εἰς εἰρήνην αὐτοῖς παρὼν καὶ τὰς κτήσεις ἀνασεσωκώς. Γίνεται δ' ἐκ τούτου καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος, καὶ διοικοῦντι τὴν Συρίαν. Πρὸς δὲ τὸν ἀδελφὸν εὐδοκιμοῦντα καὶ Φασάηλος ἐφιλοτιμεῖτο τὴν ἀγαθὴν ἔριν, τοὺς ἐν τοῖς Ἱεροσολύμοις εὐνουστέρους καθιστάμενος, καὶ δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, μηδὲν δ' ἀπειροκάλως εἰς τὴν ἐξουσίαν ἐξυβρίζων. Ἔνθεν Ἀντιπάτρῳ θεραπεία τε ἦν ἐκ τοῦ ἔθνους βασιλικὴ, καὶ τιμαὶ παρὰ πάντων ὡς δεσπότῃ τῶν ὅλων· οὐ μὴν αὐτὸς τῆς πρὸς Ὑρκανὸν εὐνοίας ἢ πίστεώς τι μετεκίνησεν.

ς'. Ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν. Ὑρκανὸς γοῦν ἤδη μὲν καὶ καθ' ἑαυτὸν ἡσυχῇ πρὸς τὸ κλέος τῶν νεανίσκων ἐδάκνετο, μάλιστα δ' ἐλύπει τὰ Ἡρώδου κατορθώματα· καὶ κήρυκες ἐπάλληλοι τῆς καθ' ἕκαστον εὐδοξίας προστρέχοντες, πολλοὶ δὲ τῶν ἐν τοῖς βασιλείοις βασκάνων ἠρέθιζον, οἷς ἢ τὸ τῶν παίδων ἢ τὸ Ἀντιπάτρου σωφρονικὸν προσίστατο, λέγοντες ὡς Ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ παραχωρήσας τῶν πραγμάτων, καθέζοιτο τοὔνομα μόνον βασιλέως ἔχων ἔρημον ἐξουσίας· καὶ μέχρι ποῦ πλανηθήσεται καθ' ἑαυτοῦ βασιλεῖς ἐπιτρέφων; οὐδὲ γὰρ εἰρωνεύεσθαι τὴν ἐπιτροπὴν αὐτοὺς ἔτι, φανεροὺς δ' εἶναι δεσπότας παρωσαμένους ἐκεῖνον, εἴ γε μήτε ἐντολὰς ὄντος μήτε ἐπιστείλαντος αὐτοῦ, τοσούτους παρὰ τὸν Ἰουδαίων νόμον ἀνῄρηκεν Ἡρώδης· ὃν, εἰ μὴ βασιλεύς ἐστιν, ἀλλ' ἔτι ἰδιώτης, δεῖν ἐπὶ δίκην ἥκειν, ἀποδώσοντα λόγον

4. Antipater vero, deducto e Syria Cæsare, in Judæam reversus est. Et primum quidem patriæ muros a Pompejo dirutos refecit, et regionem obiens tumultus qui in ea erant compescebat, partim minando, partim singulis consulendo, fore, si ab Hyrcano starent, ut feliciter et quiete vitam agerent, suisque bonis et pace communi fruentes; sin vero spe vana ab iis ducerentur, qui privati quæstus gratia res novas moliri studeant, ipsum experturos esse pro curatore dominum, et Hyrcanum pro rege tyrannum, itemque Romanos et Cæsarem pro ducibus et amicis hostes: non enim passuros eum ab imperio summoveri, quem constituissent ipsi. Atque simul ac ista diceret, res regionis solus ordinavit, quod Hyrcanum et segniorem et remissiorem videret quam regnum posceret. Et Phasaelum quidem, filiorum natu maximum, Hierosolymorum agrique finitimi præfectum constituit: Herodem vero, illi ætate proximum, cum pari potestate misit in Galilæam, adolescentulum admodum.

5. Ille vero, natura factus ad res gerendas, statim invenit materiam animi magnitudini. Itaque quum offendisset Ezeciam latronum ducem, magna manu finitima Syriæ incursantem, et illum nactus interficit multosque latronum: quod sane maxime Syris gratum præstitit, adeoque omnium sermone per vicos et in urbibus celebratus erat Herodes, ut qui præsentia sua pacem illis dederit et omnes facultates in tuto collocarit. Quo factum est ut etiam Sexto Cæsari innotesceret, cognato magni Cæsaris et Syriam administranti. Phasaelo autem cum fratre gloriam adepto pulchra erat contentio, dum Hierosolymitarum erga se benevolentiam augere studet, ut qui urbem quidem per se regeret, sed ita ut nihil inhoneste faceret potestate sua ad aliorum injuriam abutendo. Hinc Antipater a gente more regio colebatur, et ab universis, quasi omnium dominus exstitisset, habebatur in honore. Nec tamen vel minimum discessit a sua erga Hyrcanum fide et benevolentia.

6. Verum fieri non potest ut invidiam quisquam in secundis rebus effugiat. Nam Hyrcanum quidem ipsum jam ante tacite mordebat juvenum gloria, maximeque animum ejus sollicitabant res ab Herode præclare gestæ: insuper et crebri nuncii bonæ utriusque famæ unus alium præcurrentes, multi etiam in regia invidi et obtrectatores stimulos subjiciebant, quibus aut Antipatri aut filiorum ejus obstabat prudentia, dicentes quod Antipatro ejusque filiis cedens rerum administratione, sederet regis solum nomen habens, idque sine omni potestate: et quousque in errore sit versaturus, reges in sui perniciem nutriens? nec enim eos amplius simulare procurationem, sed manifestos esse dominos, ipsa deturbato, si quidem Herodes, neque suis mandatis neque literis fretus, tantam multitudinem contra legem Judæorum interfecerit; eumque, si jam regnum non teneat, sed adhuc privatus sit, ad judicium venire debere, rationem et ipsi et

αὐτῷ τε καὶ τοῖς πατρίοις νόμοις, οἳ κτείνειν ἀκρίτως οὐκ ἀφιᾶσι.

ζ'. Τούτοις κατὰ μικρὸν Ὑρκανὸς ἐξεκαίετο, καὶ τὴν ὀργὴν τελευταῖον ἐκρήξας ἐκάλει κριθησόμενον τὸν Ἡρώδην. Ὁ δὲ καὶ τοῦ πατρὸς παραινοῦντος καὶ τῶν πραγμάτων διδόντων παρρησίαν ἀνῄει, φρουραῖς διαλαβὼν πρότερον τὴν Γαλιλαίαν. Ἦει δὲ μετὰ καρτεροῦ στίφους, ὡς μήτε καταλύειν δόξειεν Ὑρκανὸν ἀδρὰν ἄγων δύναμιν, μήτε γυμνὸς ἐμπέσοι τῷ φθόνῳ. Σέξτος δὲ Καῖσαρ δείσας περὶ τῷ νεανίᾳ, μή τι παρὰ τοῖς ἐχθροῖς ἀπολῃφθεὶς πάθῃ, πέμπει πρὸς τὸν Ὑρκανὸν τοὺς παραγγελοῦντας διαρρήδην ἀπολύειν Ἡρώδην τῆς φονικῆς δίκης. Ὁ δὲ καὶ ἄλλως ὡρμημένος (ἠγάπα γὰρ Ἡρώδην) ἀποψηφίζεται.

η'. Καὶ ὃς, ὑπολαμβάνων ἄκοντος τοῦ βασιλέως διαφυγεῖν, εἰς Δαμασκὸν ἀνεχώρησε πρὸς Σέξτον, παρασκευαζόμενος οὐδ' αὖθις ὑπακοῦσαι καλοῦντι. Καὶ πάλιν οἱ πονηροὶ παρώξυνον Ὑρκανὸν, κατ' ὀργήν τε οἴχεσθαι τὸν Ἡρώδην λέγοντες καὶ παρεσκευασμένον κατ' αὐτοῦ. Πιστεύων δ' ὁ βασιλεὺς οὐκ εἶχεν ὅ,τι χρὴ δρᾶν, ὡς ἑώρα μείζονα τὸν διάφορον. Ἐπεὶ δὲ ὑπὸ Σέξτου Καίσαρος στρατηγὸς ἀνεδείχθη Κοίλης Συρίας καὶ Σαμαρείας, οὐ μόνον τε κατ' εὔνοιαν τὴν ἐκ τοῦ ἔθνους, ἀλλ' ὅτι δυνάμει φοβερὸς ἦν, εἰς ἔσχατον δέους κατέπεσεν, ὅσον οὔπω προσδοκῶν ἐπ' αὐτὸν ὁρμήσειν μετὰ στρατιᾶς.

θ'. Καὶ οὐ διήμαρτε τῆς οἰήσεως. Ὁ γὰρ Ἡρώδης, κατ' ὀργὴν τῆς περὶ τὴν δίκην ἀπειλῆς στρατιὰν ἀθροίσας, ἐπὶ Ἱεροσολύμων ἦγε, καταλύσων τὸν Ὑρκανόν. Κἂν ἔφθη τοῦτο ποιήσας, εἰ μὴ προεξελθόντες ὅ τε πατὴρ καὶ ἀδελφὸς ἔκλασαν αὐτοῦ τὴν ὁρμὴν, παρακαλοῦντες αὐτὸν ἀπειλῇ καὶ ἀνατάσει μόνῃ μετρῆσαι τὴν ἄμυναν, φείσασθαι δὲ τοῦ βασιλέως, ὑφ' ᾧ μέχρι τοσαύτης δυνάμεως προῆλθε· δεῖν τε, εἰ κληθεὶς ἐπὶ δίκην παρώξυνται, καὶ περὶ τῆς ἀφέσεως εὐχαριστεῖν, μὴ πρὸς μὲν τὸ σκυθρωπὸν ἀπαντᾶν, περὶ δὲ τῆς σωτηρίας ἀχάριστον εἶναι. Εἰ δὲ δὴ λογιστέον εἴη καὶ πολέμου βοπὰς βραβεύεσθαι τῷ Θεῷ, πλεῖον εἶναι τῆς στρατιᾶς τὸ ἄδικον. Διὸ δὴ καὶ περὶ τῆς νίκης οὐ χρῆναι κατὰ πᾶν εὔελπιν εἶναι, μέλλοντά τε συμβάλλειν βασιλεῖ καὶ συντρόφῳ, καὶ πολλάκις μὲν εὐεργέτῃ, χαλεπῷ δὲ οὐδέποτε, πλὴν ὅσον πονηροῖς συμβούλοις χρώμενος ἐπισείσειεν αὐτῷ σκιὰν ἀδικήματος. Πείθεται δὲ τούτοις Ἡρώδης, ὑπολαβὼν εἰς τὰς ἐλπίδας αὔταρκες εἶναι καὶ τὸ τὴν ἰσχὺν ἐπιδείξασθαι τῷ ἔθνει.

ι'. Κἀν τούτῳ γίνεται περὶ Ἀπάμειαν ταραχὴ Ῥωμαίων καὶ πόλεμος ἐμφύλιος, Καικιλίου μὲν Βάσσου διὰ τὴν εἰς Πομπήιον εὔνοιαν δολοφονήσαντος Σέξτον Καίσαρα, καὶ τὴν ἐκείνου δύναμιν παραλαβόντος, τῶν δ' ἄλλων Καίσαρος στρατηγῶν ἐπὶ τιμωρίᾳ τοῦ φόνου Βάσσῳ συμβαλόντων μετὰ πάσης τῆς δυνάμεως. Οἷς καὶ διὰ τὸν ἀνῃρημένον καὶ διὰ τὸν περιόντα Καίσαρα, φίλους ὄντας ἀμφοτέρους, ὁ Ἀντίπατρος διὰ τῶν παίδων ἔπεμψε

legibus patriis redditurum, quæ homines non condemnatos occidi prohibeant.

7. His paullatim accendebatur Hyrcanus, tandemque ira excandescens Herodem ad causam dicendam accersit. Ille vero et patris monitu, et quod fiduciam ei adderent res gestæ, ascendebat, firmata prius præsidiis Galilæa. Ibat autem valida manu stipatus, ut nec Hyrcanum deturbaturus videretur magnis adductis copiis, neque in invidos nudus armis incideret. Sextus autem Cæsar adolescenti metuens, ne ab inimicis interceptus mali aliquid pateretur, ad Hyrcanum mittit qui ei expresse denunciarent, ut Herodem sententia capitali liberaret. Hyrcanus autem, per se quoque id cupiens (nam Herodem diligebat), eum absolvit.

8. Atque is, invito rege evasisse ratus, Damascum se contulit ad Sextum, ita comparatus, ut nequaquam obtemperaret, si denuo accitus esset. Rursumque ab improbis irritabatur Hyrcanus, qui dicerent et Herodem iratum abiisse, et paratum esse contra ipsum. Rex autem his fidem habens quid agendum esset nesciebat, ut qui inimicum se potentiorem esse viderit. Postquam vero a Sexto Cæsare Cœles-Syriæ et Samariæ præses fuerat declaratus, non solum ex gentis in eum benevolentia, sed quod et potentia terribilis esset, in timorem extremum incidit, jamjamque illum contra se exspectans cum exercitu esse venturum.

9. Neque opinione falsus est. Namque Herodes, iratus ei ob intentatam sibi accusationem, quum exercitum coegisset, Hierosolyma eum ducebat, Hyrcanum regno deturbaturus: idque facere occupasset, nisi pater et frater prius ei obviam profecti impetum ejus fregissent, ipsum obsecrantes ut ultra minas et terrorem in vindicta non procederet, sed regi parceret, sub quo ad tantam potentiam provectus sit: atque debere, si indignaretur quod in judicium vocatus esset, et gratias agere quod fuerit absolutus, non ad severiora se recipere, et pro salute accepta ingratum semet ostendere. Quodsi vero reputandum sit Deum belli casus regere et moderari, plus valituram esse iniquitatem quam exercitum: quocirca non oportere ipsum etiam de victoria omnino bene sperare, qui congressurus esset et cum rege, et socio, deque se quidem sæpenumero bene merito, difficili autem nunquam, nisi in quantum malis usus consiliariis videretur eum injuria affecisse. Istis autem flectitur Herodes, ratus sufficere sibi ad futuras spes quod potentiam suam genti demonstrasset.

10. Atque interea tumultus inter Romanos oritur apud Apameam, et bellum civile, ex eo quidem quod Cæcilius Bassus, ex sua in Pompejum benevolentia, Sextum Cæsarem dolo necaverit, ejusque militem occupaverit; alii vero Cæsaris duces, ut Sexti necem ulciscerentur, cum omnibus copiis suis Bassum adorti fuerint. Quibus tam interempti quam superstitis Cæsaris causa, amborum sui amicorum, subsidium per filios suos misit Antipater. Quum autem

συμμαχίαν. Μηκυνομένου δὲ τοῦ πολέμου, Μοῦρκος μὲν ἀπὸ τῆς Ἰταλίας Σέξτου παραγίνεται διάδοχος.

ΚΕΦ. ΙΑ'.

Συνίσταται δὲ Ῥωμαίοις κατὰ τοῦτον τὸν καιρὸν ὁ μέγας πόλεμος, Κασσίου καὶ Βρούτου ἄφνω κτεινάντων δόλῳ Καίσαρα, κατασχόντα τὴν ἀρχὴν ἐπ' ἔτη τρία καὶ μῆνας ἑπτά. Μεγίστου δὲ ἐπὶ τῷ φόνῳ γενομένου κινήματος, καὶ διαστασιασθέντων τῶν δυνατῶν, ἕκαστος ἐλπίσιν οἰκείαις ἐχώρει πρὸς ὃ συμφέρειν ὑπελάμβανε. Καὶ δὴ ἦκε Κάσσιος εἰς Συρίαν, καταληψόμενος τὰς περὶ Ἀπάμειαν δυνάμεις. Ἔνθα Βάσσῳ τε Μοῦρκον καὶ τὰ διαστῶτα τάγματα διαλλάξας, ἐλευθεροῖ μὲν Ἀπάμειαν τῆς πολιορκίας, ἡγούμενος δ' αὐτὸς τῆς στρατιᾶς ἐπήει φορολογῶν τὰς πόλεις, καὶ παρὰ δύναμιν τὰς εἰσπράξεις ποιούμενος.

β'. Κελευσθὲν δὲ καὶ Ἰουδαίοις εἰσενεγκεῖν ἑπτακόσια τάλαντα, δείσας Ἀντίπατρος τὴν ἀπειλὴν τοῦ Κασσίου, τοῖς τε υἱοῖς διεῖλεν εἰσπράττειν τὰ χρήματα καί τισιν ἄλλοις τῶν ἐπιτηδείων κατὰ τάχος, ἐν οἷς καὶ Μαλίχῳ τινὶ τῶν διαφόρων. Οὕτως ἤπειγεν ἡ ἀνάγκη. Πρῶτος δ' ἀπεμειλίξατο Κάσσιον Ἡρώδης, τὴν ἑαυτοῦ μοῖραν ἐκ τῆς Γαλιλαίας κομίσας ἑκατὸν τάλαντα, καὶ διὰ τοῦτο ἐν τοῖς μάλιστα φίλος ἦν. Τοὺς δὲ λοιποὺς εἰς βραδυτῆτα κακίσας, αὐταῖς ἐθυμοῦτο ταῖς πόλεσι. Γόφναν γοῦν καὶ Ἀμμαοῦν καὶ δύο ἑτέρας τῶν ταπεινοτέρων ἐξανδραποδισάμενος, ἐχώρει μὲν ὡς καὶ Μάλιχον ἀναιρήσων, ὅτι μὴ σπεύσας εἰσέπραξεν· ἐπέσχε δὲ τήν τε τούτου καὶ τῶν ἄλλων πόλεων ἀπώλειαν Ἀντίπατρος, ταχέως ἑκατὸν ταλάντοις θεραπεύσας Κάσσιον.

γ'. Οὐ μὴν Μάλιχος, ἀναχωρήσαντος Κασσίου, τῆς χάριτος ἀπεμνημόνευσεν Ἀντιπάτρῳ· κατὰ δὲ τοῦ πολλάκις σωτῆρος ἐπιβουλὴν ἀνεσκευάζετο, σπεύδων ἀνελεῖν τὸν ἐμπόδιον αὐτοῦ τοῖς ἀδικήμασιν ὄντα. Ἀντίπατρος δὲ τήν τε ἰσχὺν καὶ τὸ πανοῦργον τἀνδρὸς ὑποδείσας, διαβαίνει τὸν Ἰορδάνην, στρατὸν ἀθροίσων εἰς τὴν τῆς ἐπιβουλῆς ἄμυναν. Φωραθεὶς δὲ Μάλιχος ἀναιδείᾳ τῶν Ἀντιπάτρου παίδων περιγίνεται. Τόν τε γὰρ Ἱεροσολύμων φρουρὸν Φασάηλον καὶ Ἡρώδην πεπιστευμένον τὰ ὅπλα, πολλαῖς ἀπολογίαις καὶ ὅρκοις ἐκγοητεύσας, διαλλακτὰς αὐτῷ πρὸς τὸν πατέρα πείθει γενέσθαι. Πάλιν γοῦν ὑπ' Ἀντιπάτρου σώζεται, πείσαντος Μοῦρκον τὸν τότε στρατηγοῦντα Συρίας, ὃς ὥρμητο κτεῖναι Μάλιχον ἐφ' οἷς ἐνεωτέρισε.

δ'. Συστάντος δὲ τοῦ πρὸς Κάσσιον καὶ Βροῦτον πολέμου Καίσαρί τε τῷ νέῳ καὶ Ἀντωνίῳ, Κάσσιος καὶ Μοῦρκος στρατιὰν ἀθροίσαντες ἐκ τῆς Συρίας, ἐπειδὴ μέγα μέρος εἰς τὰς χρείας Ἡρώδης ἔδοξε συμβεβλῆσθαι, τότε μὲν αὐτὸν Συρίας ἁπάσης ἐπιμελητὴν καθιστᾶσι, δύναμιν πεζήν τε καὶ ἱππικὴν δόντες· μετὰ δὲ τὴν τοῦ πολέμου κατάλυσιν ἀποδείξειν Κάσσιος ὑπέσχετο καὶ Ἰουδαίας βασιλέα. Συνέβη δ' Ἀντιπάτρῳ τήν τε ἰσχὺν τοῦ παιδὸς καὶ τὴν ἐλπίδα αἰτίαν ἀπωλείας γενέσθαι.

bellum traheretur, Murcus ex Italia venit, qui Sexto succederet.

CAP. XI. (IX.)

Sub idem autem tempus Romanis magnum bellum conflatum est, quod Cassius et Brutus derepente Cæsarem dolo occidissent, postquam annos tres et sex menses imperium tenuerat. Maximo deinde ex illa cæde motu concitato, virisque primariis inter se dissidentibus, ad id propria quisque spe ducebatur, quod maxime in rem suam facere existimabat. Adeoque Cassius in Syriam veniebat, copias occupaturus quæ ad Apameam erant. Ubi quum et Murcum Basso et legiones, quæ ab eo dissenserant, conciliasset, obsidione quidem liberat Apameam, ipse vero exercitum ductans urbes peragrabat tributa colligens, et exigens etiam plus quam solvendo erant.

2. Quum autem Judæis quoque imperasset septingenta talenta afferre, Antipater, Cassii minas veritus, pecuniæ exactionem, ut illico fieret, inter filios dividit et quosdam alios e necessariis suis, in quibus erat et Malichus quidam ipsi parum amicus. Ita eum urgebat necessitas. Primus autem Cassium demulsit Herodes, qui centum talenta sibi mandata ex Galilæa attulit, adeoque inter præcipuos ejus amicos habebatur. At vero quum ceteris tarditatem vitio vertisset et exprobrasset, ipsis civitatibus irascebatur. Itaque, Gophna et Ammaunte et aliis duabus inferioris notæ in servitutem redactis, eo quidem processit ac si et Malichum etiam interfecturus esset, quod in exigendo pecuniam parum properasset. Verum quominus et hunc et alias civitates perditum iret, obstitit Antipater, qui protenus Cassium centum talentis delinivit.

3. Nequaquam tamen Malichus, post Cassii discessum, gratiam Antipatro referebat; sed ei, qui sæpiuscule ipsum conservaverat, insidias moliebatur, eum e medio tollere festinans, qui ipsius iniquitati impedimento erat. Atqui Antipater, hominis et potentiam et calliditatem subveritus, ultra Jordanem se recipit, exercitum ad ulciscendas insidias collecturus. Malichus autem deprehensus impudentia Antipatri filiis imposuit. Quum enim tam Phasaelum Hierosolymorum custodem, quam Herodem armis præfectum, et multum semet excusando crebroque jurejurando adhibito, decepisset, persuadet eis patrem ipsi reconciliare. Atque ita denuo ab Antipatro servatur, Murco tunc Syriæ præside ab eo exorato, qui Malichum occidere statuerat, quod novis rebus studuisset.

4. Cum autem bellum juveni Cæsari et Antonio ortum esset cum Cassio et Bruto, Cassius et Murcus, exercitu in Syria coacto, quandoquidem magnam partem eorum quibus illis opus erat visus erat Herodes contulisse, tunc quidem ipsum Syriæ omnis procuratorem constituunt, equitum illi manu peditumque attributa: quum autem bellum confectum esset, promittebat Cassius fore ut etiam Judææ regem declararet. Verum accidit ut Antipatro filii potentia et spes de eo concepta exitii causa essent. Nam harum

Ταῦτα γὰρ δείσας ὁ Μάλιχος διαφθείρει τινὰ τῶν βασιλικῶν οἰνοχόων χρήμασι, δοῦναι φάρμακον Ἀντιπάτρῳ· καὶ ὁ μὲν ἀγώνισμα τῆς Μαλίχου παρανομίας γενόμενος κατὰ τὸ συμπόσιον θνήσκει, τά τε ἄλλα δραστήριος ἀνὴρ ἐν ἀφηγήσει πραγμάτων καὶ τὴν ἀρχὴν ἀνακτησάμενός τε Ὑρκανῷ καὶ διαφυλάξας.

ε'. Μάλιχος δὲ καθ' ὑπόνοιαν τῆς φαρμακείας ὀργιζόμενον τὸ πλῆθος ἀρνούμενος ἔπειθεν· καὶ δυνατώτερον ἑαυτὸν κατεσκεύαζεν, ὁπλίτας συγκροτῶν. Οὐ γὰρ ἠρεμήσειν Ἡρώδην ὑπελάμβανεν· ὃς δὴ καὶ παρῆν αὐτίκα στρατὸν ἄγων, ἐπὶ τιμωρίᾳ τοῦ πατρός. Φασαήλου δὲ τοῦ ἀδελφοῦ συμβουλεύσαντος αὐτῷ μὴ φανερῶς τὸν ἄνδρα μετιέναι (διαστασιάσειν γὰρ τὸ πλῆθος), τότε μὲν ἀπολογούμενόν τε προσίεται τὸν Μάλιχον, καὶ τῆς ὑπονοίας ἀπολύειν ὁμολογεῖ, λαμπρὰν δὲ πομπὴν ἐπὶ τῷ πατρὶ κηδείας ἐτέλεσεν.

ς'. Τραπεὶς δ' ἐπὶ Σαμάρειαν στάσει τεταραγμένην κατεστήσατο τὴν πόλιν· ἔπειτα καθ' ἑορτὴν ὑπέστρεφεν εἰς Ἱεροσόλυμα, τοὺς ὁπλίτας ἄγων. Καὶ πέμπων Ὑρκανός (ἐνῆγε γὰρ δεδοικὼς τὴν ἔφοδον Μάλιχος) ἐκώλυε τοὺς ἀλλοφύλους εἰσαγαγεῖν ἐφ' ἁγνεύοντας τοὺς ἐπιχωρίους. Ὁ δὲ τῆς προφάσεως καταφρονήσας καὶ τοῦ προστάσσοντος, εἰσέρχεται διὰ νυκτός. Καὶ πάλιν Μάλιχος προσιὼν ἔκλαιεν Ἀντίπατρον· ἀνθυπεκρίνετο δὲ μόλις Ἡρώδης τὸν θυμὸν ἐπέχων, καὶ Κασσίῳ δι' ἐπιστολῶν τὴν τοῦ πατρὸς ἀναίρεσιν ἀπωδύρετο, καὶ ἄλλως μισοῦντι Μάλιχον. Ὁ δ' αὐτῷ μετιέναι τὸν φονέα τοῦ πατρὸς ἀντεπεστείλας, καὶ τοῖς ὑφ' ἑαυτὸν χιλιάρχοις λάθρα προσέταξεν Ἡρώδῃ βοηθεῖν εἰς πρᾶξιν δικαίαν.

ζ'. Κἀπειδὴ Λαοδίκειαν ἑλόντος αὐτοῦ συνῆεσαν οἱ πανταχόθεν δυνατοὶ, δωρεάς τε καὶ στεφάνους φέροντες, Ἡρώδης μὲν τοῦτον τῇ τιμωρίᾳ τὸν καιρὸν ἀφώρισε. Μάλιχος δ' ὑποπτεύσας, ὡς ἐν Τύρῳ γίνεται, τόν τε υἱὸν δμηρεύοντα παρὰ τοῖς Τυρίοις ὑπεξαγαγεῖν ἔγνω λάθρα, καὶ αὐτὸς εἰς τὴν Ἰουδαίαν ἀποδρᾶναι παρεσκευάζετο. Παρώξυνε δ' αὐτὸν ἡ τῆς σωτηρίας ἀπόγνωσις, ἐνθυμεῖσθαι καὶ μείζονα· τότε γὰρ ἔθνος ἐπαναστήσειν Ῥωμαίοις ἤλπισε, Κασσίου τῷ πρὸς Ἀντώνιον πολέμῳ περισπωμένου, καὶ βασιλεύσειν αὐτὸς Ὑρκανὸν καταλύσας εὐμαρῶς.

η'. Ἐπεγέλα δὲ ἄρα τὸ χρεὼν αὐτοῦ ταῖς ἐλπίσιν. Ὁ γοῦν Ἡρώδης, προϊδόμενος αὐτοῦ τὴν ὁρμὴν, τόν τε Ὑρκανὸν κἀκεῖνον ἐπὶ δεῖπνον καλεῖ. Παρεστῶτα δ' ἔπειτα τῶν οἰκετῶν τινα πρὸς ἑαυτὸν καλέσας, ἐξέπεμψεν ὡς ἐπὶ τὴν τοῦ δείπνου παρασκευὴν, τῷ δὲ ὄντι προειπεῖν τοῖς χιλιάρχοις ἐξελθεῖν ἐπὶ τὴν ἐνέδραν. Κἀκεῖνοι τῶν Καισσίου προσταγμάτων ἀναμνησθέντες ἐπὶ τὸν πρὸ τῆς πόλεως αἰγιαλὸν ἐξῆεσαν ξιφήρεις. Ἔνθα περιστάντες τὸν Μάλιχον, πολλοῖς τραύμασιν ἀναιροῦσιν· Ὑρκανὸς δὲ παραχρῆμα μὲν ἐκλυθεὶς ὑπ' ἐκπλήξεως ἔπεσε, μόλις δ' ἀνενεγκὼν Ἡρώδην διηρώτα τίς ὁ κτείνας εἴη Μάλιχον. Ἀποκριναμένου δέ τινος τῶν χιλιάρχων, « τοῦ Καισσίου πρόσταγμα », « Κάσσιος ἄρα,

rerum metu Malichus quendam e pocillatoribus regiis pecunia corrumpit, ut venenum daret Antipatro. Atque ille quidem, quum is esset adversus quem contendebat Malichi iniquitas, in convivio moritur, vir alioqui strenuus et acer in rebus gerendis, et qui regnum recuperavit Hyrcano eique conservavit.

5. Ceterum Malichus, quum populum sibi iratum haberet propter veneni suspicionem, initiando eos placabat, et milites colligendo se ipsum potentiorem reddebat. Non enim Herodem quieturum esse arbitrabatur : qui etiam mox cum exercitu aderat, ut patrem ulcisceretur. Sed quum Phasaelus frater ei consuluisset, ne virum palam persequeretur (nam in multitudine seditionem concitaturum esse), tunc quidem et Malichum semet excusantem admittit, et se suspicione eum liberare fatetur, patris vero funus splendidis cohonestavit exsequiis.

6. Quum autem in Samariam transisset seditione perturbatam, civitatem composuit et constituit. Deinde Hierosolyma, quum festum ageretur, reversus est, ducens armatos. Hyrcanus autem mittens nuncium (ita enim suadebat Malichus Herodis adventum veritus) prohibebat eum ab introductione alienigenarum in cœtum gentilium lustratum. Ille vero, insuper habens et prætextum adhibitum et eum qui ita ei edixerat, nocte ingreditur. Iterumque Malichus ad eum veniens Antipatrum plorabat : vicissim vero simulabat Herodes, licet vix iram potuit cohibere, literisque ad Cassium (qui et propter alia Malichum oderat) de patris nece graviter conquerebatur. Ille non modo Herodi rescripsit ut patris mortem ulcisceretur, sed etiam tribunis, quibus præerat, clam præcepit ut Herodem in facinore justo adjuvarent.

7. Et quoniam, capta a Cassio Laodicea, omnes ubique optimates ad eum convenerant, munera et coronas ferentes, hoc quidem ultioni tempus constituit Herodes. Malichus autem, suspicione ei injecta, quum Tyri esset, et filium suum tunc apud Tyrios obsidem clam subducere statuit, et ipse fugam in Judæam parabat. Porro salutis desperatio eum ad majora etiam cogitanda incitabat : nam et gentem ad defectionem a Romanis perducturum esse speravit, Cassio in bello contra Antonium occupato, ipsumque regnaturum esse, Hyrcano facillime deturbato.

8. Verum spem ab eo conceptam irridebant fata. Etenim Herodes, quum prævideret quo ferret ejus animus, et Hyrcanum et ipsum ad convivium invitat. Deinde vero servorum quendam sibi adstantem ad se vocavit, misitque specie ad parandam cœnam, re autem vera antedicturum tribunis, ut ad insidias egrederentur. Atque illi, quum mandata Cassii in memoriam revocassent, in littus ante urbem cum gladiis exierunt, ubi Malichum circumseptum, multis datis vulneribus, interficiunt. Hyrcanus autem statim, animo defectus præ stupore, concidit; quumque ægre ad se rediisset, quærit ab Herode, quisnam Malichum occidisset. Et cum unus e tribunis respondisset, « Cassius, qui id imperaverat », « Cassius igitur, inquit, et me et patriam meam

ἔφη, κἀμὲ καὶ τὴν πατρίδα μου σώζει, τὸν ἀμφοτέρων ἐπίβουλον ἀνελών· » εἴτε δὲ φρονῶν Ὑρκανὸς οὕτως εἴθ' ὑπὸ δέους ὁμόσε τῇ γε πράξει χωρῶν εἶπεν, ἄδηλον ἦν. Ἀλλὰ γὰρ Μάλιχον μὲν οὕτως Ἡρώδης μετῆλθεν.

ΚΕΦ. ΙΒ'.

Κασσίου δὲ ἀναχωρήσαντος ἐκ τῆς Συρίας, πάλιν στάσις ἐν Ἱεροσολύμοις γίνεται, Φέλικος μετὰ στρατιᾶς ἐπαναστάντος Φασαήλῳ, καὶ κατὰ τὴν ὑπὲρ Μαλίχου τιμωρίαν ἀμύνεσθαι θέλοντος Ἡρώδην εἰς τὸν ἀδελφόν. Ἡρώδης δὲ ἔτυχε μὲν ὢν παρὰ Φαβίῳ τῷ στρατηγῷ κατὰ Δαμασκὸν, ὡρμημένος δὲ βοηθεῖν ὑπὸ νόσου κατείχετο. Κἀν τούτῳ Φασάηλος, καθ' ἑαυτὸν Φέλικος περιγενόμενος, Ὑρκανὸν ὠνείδιζεν εἰς ἀχαριστίαν, ὧν τε Φέλικι συμπράξειε, καὶ ὅτι περιορῴη τὸν ἀδελφὸν τὸν Μαλίχου τὰ φρούρια καταλαμβάνοντα· πολλὰ γὰρ ἤδη κατείληπτο, καὶ τὸ πάντων ὀχυρώτατον, Μασάδα.

β'. Οὐ μὴν αὐτῷ τι πρὸς τὴν Ἡρώδου βίαν ἤρκεσεν, ὃς ἀναρρωσθεὶς τά τε ἄλλα παραλαμβάνει, κἀκεῖνον ἐκ τῆς Μασάδας ἱκέτην ἀφῆκεν. Ἐξήλασε δὲ καὶ ἐκ τῆς Γαλιλαίας Μαρίωνα τὸν Τυρίων τύραννον, ἤδη τρία κατεσχηκότα τῶν ἐρυμάτων· τοὺς δὲ ληφθέντας Τυρίους ἔσωσε μὲν πάντας, ἔστι δ' οὓς καὶ δωρησάμενος ἀπέπεμψεν, εὔνοιαν ἑαυτῷ παρὰ τῆς πόλεως καὶ τῷ τυράννῳ μῖσος παρασκευαζόμενος. Ὁ δὲ Μαρίων ἠξίωτο μὲν τῆς τυραννίδος ὑπὸ Κασσίου, τυραννίσι πᾶσαν διαλαβόντος τὴν Συρίαν· κατὰ δὲ τὸ πρὸς Ἡρώδην ἔχθος συγκατήγαγεν Ἀντίγονον τὸν Ἀριστοβούλου, καὶ τὸ πλέον διὰ Φάβιον, ὃν Ἀντίγονος χρήμασι προσποιησάμενος βοηθὸν εἶχε τῆς καθόδου. Χορηγὸς δ' ἦν ἁπάντων ὁ κηδεστὴς Πτολεμαῖος Ἀντιγόνῳ.

γ'. Πρὸς οὓς Ἡρώδης ἀντιταξάμενος ἐπὶ τῶν ἐμβολῶν τῆς Ἰουδαίας, κρατεῖ τῇ μάχῃ, καὶ τὸν Ἀντίγονον ἐξελάσας, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα πᾶσιν ἀγαπητὸς ὢν ἐπὶ τῷ κατορθώματι. Καὶ γὰρ οἱ μὴ προσέχοντες πάλαι τότε ᾠκείωντο διὰ τὴν πρὸς Ὑρκανὸν ἐπιγαμίαν αὐτῷ. Πρότερον μὲν γὰρ ἔκτο γυναῖκα τῶν ἐπιχωρίων, οὐκ ἄσημον (Δωρὶς ἐκαλεῖτο), ἐξ ἧς ἐγέννησεν Ἀντίπατρον· τότε δὲ γήμας τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, θυγατριδῆν τε Ὑρκανοῦ Μαριάμμην, οἰκεῖος τῷ βασιλεῖ γίνεται.

δ'. Ἐπεὶ δὲ Κάσσιον περὶ Φιλίππους ἀνελόντες ἀνεχώρησαν, εἰς μὲν Ἰταλίαν Καῖσαρ, ἐπὶ δὲ τὴν Ἀσίαν Ἀντώνιος, πρεσβευομένων τῶν ἄλλων πόλεων πρὸς Ἀντώνιον εἰς Βιθυνίαν, ἦκον καὶ Ἰουδαίων οἱ δυνατοὶ, κατηγοροῦντες Φασαήλου τε καὶ Ἡρώδου, βίᾳ μὲν αὐτοὺς κρατεῖν τῶν πραγμάτων, ὄνομα δὲ μόνον περιεῖναι Ὑρκανῷ τίμιον. Πρὸς ἃ παρὼν Ἡρώδης καὶ τεθεραπευκὼς οὐκ ὀλίγοις Ἀντώνιον χρήμασιν οὕτω διέθηκεν, ὡς μηδὲ λόγου τῶν ἐχθρῶν ἀνέχεσθαι. Καὶ τότε μὲν οὕτω διελύθησαν.

ε'. Αὖθις δὲ οἱ ἐν τέλει Ἰουδαίων ἑκατὸν ἄνδρες

servat incolumem, qui amborum insidiatorem peremit: » utrum autem ex animo ista dixerit, an quod præ timore facinus probaret, incertum est. Sed enim Malichum hoc modo ultus est Herodes.

CAP. XII. (X.)

At postquam Cassius e Syria discessit, iterum Hierosolymis orta est seditio, facto in Phasaelum impetu a Felice cum exercitu, ut qui vellet Malichi necem ulcisci Herodis culpam in fratrem persequendo. Erat autem Herodes quidem Damasci, apud Fabium ducem; quumque magno desiderio teneretur auxilium ferendi, adversa valetudine impediebatur. Interea Phasaelus etiam suis copiis superavit Felicem, probrumque ingrati objiciebat Hyrcano, et ob ea quibus Felici studuisset, quodque Malichi fratrem castella occupare sivisset: *jam enim multa tenuerat, omniumque validissimum*, Masadam.

2. Non tamen ei quicquam satis præsidii fuit contra Herodis vim; qui mox, ut convaluit, et alia recepit, et illum ex Masada supplicem dimisit. Præterea Marionem Tyriorum tyrannum, tribus jam castellis potitum, ex Galilæa pepulit: Tyriisque, quos ceperat, vitam concessit omnibus, nonnullis etiam dona dedit et abire permisit, et sibimet civitatis benevolentiam concilians, ejusdemque odium in tyrannum concitans. Marion autem a Cassio quidem obtinuerat tyrannidem, qui Syriam omnem tyrannidibus occupaverat: ex suo vero in Herodem odio Antigono Aristobuli filio opem ferebat, eoque magis propter Fabium, quem Antigonus sibi pecunia conciliatum reditus adjutorem habebat. Cuncta vero Antigono suppeditabat Ptolemæus affinis.

3. Adversus istos quum aciem in ipso aditu Judææ instruxisset Herodes, pugna fit superior, fugatoque Antigono reversus est Hierosolyma, ex re præclare gesta omnibus gratus acceptusque. Etenim qui antea ei parum favebant, tunc sese ei adjunxerunt propter illius cum Hyrcano affinitatem. Nam prius quidem ex indigenis habuerat uxorem, non ignobilem, quæ Doris vocabatur; ex qua sustulit Antipatrum: tunc autem, in matrimonium ducta Mariamne, filia Alexandri Aristobuli filii, Hyrcanique ex filia nepte, regi necessitudine conjungitur.

4. Sed ubi, Cassio circa Philippos interfecto, discesserunt, Cæsar quidem in Italiam, Antonius vero in Asiam, quum legati ab aliis civitatibus ad Antonium missi essent in Bithyniam, veniebant etiam Judæorum primates, qui Phasaelum et Herodem accusarent, dicentes illos quidem rerum summam vi tenere, Hyrcano vero tantum superesse nomen honorificum. Istis quum interesset Herodes et magna pecunia Antonium sibi conciliasset, ita eum affecit, ut inimicis ne dicendi quidem potestatem faceret. Et tunc quidem ita dimissi sunt.

5. Denuo autem e Judæorum primariis centum viri An-

ἦκον εἰς τὴν πρὸς Ἀντιόχειαν Δάφνην ἐπ' Ἀντώνιον, ἤδη τῷ Κλεοπάτρας ἔρωτι δεδουλωμένον· οἱ, προστησάμενοι τοὺς ἀξιώματι καὶ λόγῳ σφῶν δυνατωτάτους, κατηγόρουν τῶν ἀδελφῶν. Ὑπήντα δὲ Μεσσάλας ἀπολογούμενος, συμπαρεστῶτος Ὑρκανοῦ διὰ τὸ κῆδος. Καὶ Ἀντώνιος ἀκούσας ἑκατέρων Ὑρκανοῦ διεπυνθάνετο τοὺς ἐπιτηδειοτέρους ὄντας ἄρχειν. Τοῦ δὲ τοὺς περὶ τὸν Ἡρώδην προκρίναντος, ἡσθείς (ἦν γὰρ ἤδη καὶ ξένος αὐτοῖς πατρῷος δεχθεὶς ὑπ' Ἀντιπάτρου φιλοφρόνως, ὅτε εἰς τὴν Ἰουδαίαν σὺν Γαβινίῳ παρέβαλε) τετράρχας ἀποδείκνυσι τοὺς ἀδελφοὺς, πᾶσαν διοικεῖν τὴν Ἰουδαίαν ἐπιτρέπων.

ς'. Προσαγαναχτούντων δὲ τῶν πρέσβεων, πεντεκαίδεκα μὲν συλλαβὼν εἵργνυσιν, οὓς καὶ ἀνελεῖν ὥρμησε· τοὺς δὲ λοιποὺς μεθ' ὕβρεως ἀπήλασε. Πρὸς ὃ μείζων ἐν τοῖς Ἱεροσολύμοις γίνεται ταραχή. Χιλίους γοῦν πάλιν ἔπεμψαν πρέσβεις εἰς Τύρον, ἔνθα διέτριβεν Ἀντώνιος ἐπὶ Ἱεροσολύμων ὡρμημένος· ἐπὶ τούτους κεκραγότας ἐκπέμπει τὸν ἄρχοντα τῶν Τυρίων, κολάζειν προστάξας οὓς ἂν λάβῃ, συγκατασκευάζειν τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ κατασταθεῖσι τετράρχαις.

ζ'. Πρὸ δὲ τούτου πολλὰ παρῄνει προελθὼν ἐπὶ τὸν αἰγιαλὸν Ἡρώδης σὺν Ὑρκανῷ, μήθ' ἑαυτοῖς ἀπωλείας αἰτίους, μήτε τῇ πατρίδι πολέμου γίνεσθαι φιλονεικοῦντας ἀκρίτως. Τῶν δὲ ἔτι μᾶλλον ἀγαναχτούντων, Ἀντώνιος ἐκπέμψας ὁπλίτας, πολλοὺς μὲν ἀπέκτεινε, πολλοὺς δὲ ἔτρωσεν· ὧν οἵ τε πεσόντες ταφῆς καὶ οἱ τραυματίαι θεραπείας ἠξιώθησαν ὑπὸ Ὑρκανοῦ· οὐ μὴν οἱ διαφυγόντες ἠρέμουν, ἀλλὰ τὰ μετὰ τὴν πόλιν συντάρασσοντες, παρώξυναν τὸν Ἀντώνιον, ὥστε καὶ τοὺς δεσμώτας ἀποκτεῖναι.

ΚΕΦ. ΙΓ'.

Μετὰ δὲ ἔτη δύο Βαρζαφάρνου τοῦ Πάρθων σατράπου σὺν Πακόρῳ τῷ βασιλέως υἱῷ Συρίαν κατασχόντος Λυσανίας διαδεδεγμένος ἤδη τὴν ἀρχὴν, τοῦ πατρὸς τελευτήσαντος (Πτολεμαῖος δ' ἦν οὗτος ὁ Μενναίου), πείθει τὸν σατράπην ὑποσχέσει χιλίων ταλάντων καὶ πεντακοσίων γυναικῶν καταγαγεῖν ἐπὶ βασιλείᾳ τὸν Ἀντίγονον, καταλῦσαι δὲ τὸν Ὑρκανόν. Τούτοις ὑπαχθεὶς Πάκορος αὐτὸς μὲν ἦει κατὰ τὴν παράλιον, Βαρζαφάρνην δὲ διὰ τῆς μεσογείου προσέταξεν ἐμβαλεῖν. Τῶν δ' ἐπιθαλαττίων Τύριοι Πάκορον οὐκ ἐδέξαντο, καίτοι Πτολεμαέων καὶ Σιδωνίων δεδεγμένων. Ὁ δὲ οἰνοχόῳ τινὶ τῶν βασιλικῶν ὁμωνύμῳ μοῖραν τῆς ἵππου παραδοὺς, ἐμβαλεῖν ἐκέλευσεν εἰς τὴν Ἰουδαίαν, κατασκεψόμενόν τε τὰ τῶν πολεμίων, καὶ πρὸς ἃ δέοι βοηθήσοντα Ἀντιγόνῳ.

β'. Τῶν δὲ λῃζομένων τὸν Κάρμηλον, πολλοὶ Ἰουδαῖοι συνδραμόντες πρὸς Ἀντίγονον προθύμους ἑαυτοὺς ἐπὶ τὴν εἰσβολὴν παρεῖχον. Ὁ δ' αὐτοὺς ἐπὶ τὸν καλούμενον Δρυμὸν προέπεμψε, τὸ χωρίον καταλαβεῖν· ἐν ᾧ γενομένης συμβολῆς, ὠσάμενοι τοὺς πολεμίους καὶ διώξαντες ἐπὶ Ἱεροσολύμων ἔθεον· γενόμενοι δὲ

tonium, Cleopatræ amori mancipatum, ad Daphnen Antiochiæ convenerunt: qui, factis sibi ductoribus e suis dignitate et eloquentia plurimum valentibus, in fratres accusationem instituunt. Occurrebat autem eis Messala juvenum causam agens, Hyrcano adstante propter affinitatem. Auditis deinde utrisque ab Hyrcano quæsivit Antonius, utri ad imperandum magis essent idonei. Quumque is Herodem et suos prætulisset, lætatus (nam cum patre illorum jam olim hospitium fecerat, summa cum humanitate ab Antipatro exceptus, eo tempore quo in Judæam cum Gabinio trajecerat) fratres tetrarchas constituit, illis permittens Judæam omnem imperio regere.

6. Legatis autem id ægre ferentibus, quindecim eorum comprehensos in custodiam dedit, quos etiam occidere voluit: reliquos vero cum contumelia abegit. Unde major tumultus Hierosolymis excitatur. Denique mille legatos iterum Tyrum miserunt; ubi commorabatur Antonius, quum vellet in Hierosolyma irruere. Adversus hos, quum clamorem sustulissent, mittit Tyriorum administratorem, eique præcepit, ut de iis quos caperet supplicium sumeret, et illis principatum confirmaret qui ab ipso tetrarchæ erant constituti.

7. Ante hæc autem Herodes, usque ad littus cum Hyrcano progressus, multis eos hortabatur, ne aut sibimet exitii auctores fierent, aut patriæ belli, dum temere et inconsulto ad contentionem venirent. Illis autem magis adhuc indignantibus, Antonius, missis armatis, multos occidit, multosque vulneravit: quorum et mortuos sepultura et saucios curatione dignatus est Hyrcanus. Non tamen ii qui fuga dilapsi sunt quietos se tenebant, sed civitatem conturbando adeo Antonium exacerbarunt, ut etiam vinctos interfecerit.

CAP. XIII. (XI.)

Biennio autem post, quum Barzapharnes Parthorum satrapa et Pacorus regis filius Syriam occupassent, Lysanias qui in principatum successerat post mortem patris (ille autem Ptolemæus erat Mennæi filius), satrapæ persuadet, ipsi mille talenta et quingentas mulieres pollicendo, Antigonum in regnum reducere et Hyrcanum deturbare. His inductus Pacorus ipse quidem per oram maritimam profectus est, Barzapharni vero præcepit per mediterranea impressionem facere. Sed maritimorum Tyrii Pacorum excluserunt, quamvis Ptolemaidenses et Sidonii eum admiserint. Ille vero, quum pocillatori cuidam regio, ipsi cognomini, equitatus partem tradidisset, jussit irruptionem facere in Judæam, ut et res hostium specularetur, et Antigonum, si quidem opus esset, adjuvaret.

2. Illis autem Carmelum populantibus, multi Judæi ad Antigonum confluebant, seque paratos esse ostendebant una cum eo irrumpere. Ille vero ad locum qui Drymus appellatur eos præmisit, ut regionem occuparent; ubi pugna commissa, depulsisque hostibus et fugatis, Hierosolyma cursu petebant; auctique plurium accessione usque ad re-

πλείους μέχρι τῶν βασιλείων προῆλθον. Ὑρκανοῦ δὲ καὶ Φασαήλου δεξαμένων αὐτοὺς κρατερῷ στίφει, μάχη κατὰ τὴν ἀγορὰν συρρήγνυται, καθ' ἣν τρεψάμενοι τοὺς πολεμίους οἱ περὶ Ἡρώδην κατακλείουσιν εἰς τὸ ἱερὸν, καὶ φρουροὺς αὐτῶν ἄνδρας ἑξήκοντα ταῖς πλησίον οἰκίαις ἐγκατέστησαν. Τούτους μὲν οὖν ὁ στασιάζων πρὸς τοὺς ἀδελφοὺς λαὸς ἐπελθὼν ἐμπίπρησιν. Ἡρώδης δὲ τοῦ δήμου πολλοὺς κατ' ὀργὴν τῶν ἀπολωλότων ἀναιρεῖ συμβαλών· καὶ καθ' ἡμέραν ἐπεκθέοντων ἀλλήλοις κατὰ λόχους φόνος ἦν ἀδιάλειπτος.

γ'. Ἐνστάσης δὲ ἑορτῆς, ἣ Πεντηκοστὴ καλεῖται, τά τε περὶ τὸ ἱερὸν πάντα καὶ ἡ πόλις ὅλη πλήθους τῶν ἀπὸ τῆς χώρας ἀναπίμπλαται τὸ πλέον ὁπλιτῶν. Καὶ Φασάηλος μὲν τὸ τεῖχος, Ἡρώδης δὲ μετ' οὐ πολλῶν ἐφρούρει τὰ βασίλεια, καὶ τοῖς πολεμίοις ἐπιδραμὼν ἀσυντάκτοις κατὰ τὸ προσάρκτιον, πλείστους μὲν ἀναιρεῖ, τρέπεται δὲ πάντας· καὶ τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸ ἱερὸν, τοὺς δὲ εἰς τὸ ἔξω χαράκωμα συγκλείει. Κἀν τούτῳ διαλλακτὴν μὲν Ἀντίγονος παρακαλεῖ Πάκορον εἰσαφεῖναι. Φασάηλος δὲ πεισθεὶς τῇ τε πόλει καὶ ξενίᾳ τὸν Πάρθον εἰσδέχεται μετὰ πεντακοσίων ἱππέων, προφάσει μὲν ἥκοντα τοῦ παῦσαι τὴν στάσιν, τὸ δ' ἀληθὲς Ἀντιγόνῳ βοηθόν. Τὸν γοῦν Φασάηλον ἐνεδρεύων ἀνέπεισε πρὸς Βαρζαφάρνην πρεσβεύσασθαι περὶ καταλύσεως, καίτοι γε πολλὰ ἀποτρέποντος Ἡρώδου καὶ παραινοῦντος ἀνελεῖν τὸν ἐπίβουλον, ἀλλὰ μὴ ταῖς ἐπιβουλαῖς ἑαυτὸν ἐκδιδόναι· φύσει γὰρ ἀπίστους εἶναι τοὺς βαρβάρους. Ἔξεισι δ' Ὑρκανὸν παραλαβὼν καὶ Πάκορος, ὡς ἧττον ὑποπτεύοιτο, καὶ καταλιπὼν παρ' Ἡρώδῃ τινὰς τῶν ἐλευθέρων καλουμένων ἱππέων, τοῖς λοιποῖς προέπεμπε Φασάηλον.

δ'. Ὡς δ' ἐγένοντο κατὰ τὴν Γαλιλαίαν, τοὺς μὲν ἐπιχωρίους ἀφεστῶτας καὶ ἐν τοῖς ὅπλοις ὄντας καταλαμβάνουσι, τῷ σατράπῃ δ' ἐνετύγχανον πανούργως σφόδρα, καὶ ταῖς φιλοφρονήσεσι τὴν ἐπιβουλὴν καλύπτειν ἐνεκελεύοντο. Δῶρα γοῦν δοὺς αὐτοῖς, ἔπειτ' ἀναχωροῦντας ἐλόχα. Τοῖς δὲ αἴσθησις γίνεται τῆς ἐπιβουλῆς, καταχθεῖσιν εἴς τι τῶν παραθαλασσίων χωρίων, ὃ καλεῖται Ἐκδίππων. Ἐκεῖ γὰρ τήν τε ὑπόσχεσιν ἤκουσαν τῶν χιλίων ταλάντων, καὶ ὡς Ἀντίγονος τὰς πλείστας τῶν παρ' αὐτοῖς γυναικῶν ἐν ταῖς πεντακοσίαις καθωσίωσε Πάρθοις, ὅτι τε προλοχίζοιντο μὲν αὐτοῖς αἱ νύκτες ὑπὸ τῶν βαρβάρων ἀεὶ, πάλαι δ' ἂν καὶ συνελήφθησαν, εἰ μὴ περιέμενον ἐν Ἱεροσολύμοις Ἡρώδην πρότερον λαβεῖν, ὡς μὴ προπυθόμενος τὰ κατ' αὐτοὺς φυλάξαιτο. Ταῦτ' οὐκέτι λόγος ἦν μόνον, ἀλλὰ καὶ φύλακας ἤδη πόρρωθεν αὐτῶν ἔβλεπον.

ε'. Οὐ μὴν Φασάηλος, καίτοι πολλὰ παραινοῦντος Ὀφελλίου φεύγειν (πέπυστο γὰρ οὗτος παρὰ Σαραμάλλα τοῦ πλουσιωτάτου τότε Σύρων τὴν σύνταξιν τῆς ἐπιβουλῆς ὅλην), καταλιπεῖν Ὑρκανὸν ὑπέμεινεν, ἀλλὰ τῷ σατράπῃ προσελθὼν ἀντικρυς ὠνείδιζε τὴν ἐπιβουλὴν, καὶ μάλισθ' ὅτι γένοιτο τοιούτος χρημάτων ἕνεκεν. Πλείω γε μὴν αὐτὸς ὑπὲρ σωτηρίας ὑπισχνεῖται δώσειν

giam procedebant. Quum autem eos valida manu excepissent Hyrcanus et Phasaelus, in foro prælio confligitur : in quo hostibus vi Herodianorum in fugam versis, eos in fanum concludunt, virosque sexaginta, qui illos custodirent, in vicinis domibus collocarunt. Ceterum populus, seditionem in fratres faciens, illos aggressus concremavit. Herodes autem, ob peremptos ira excandescens, pugna populo conserta, multos illorum interficit : et aliis quotidie in alios turmatim incursantibus, continua facta est cædes.

3. At festo instante, quod Pentecoste appellatur, loca omnia circa templum et tota urbs plebe rustica repleta est et pleraque armata. Et Phasaelus quidem muros, Herodes vero cum paucis regiam tutabatur, factoque in hostes inordinatos incursu ad urbis partem borealem, complures quidem perimit, universos vero in fugam vertit, et alios in urbem, alios in fanum, rursus alios in vallum exterius concludit. Interea supplex petit Antigonus ut Pacorus pacis arbiter in urbem admittatur. Atque Phasaelus exoratus urbe et hospitio Parthum cum equitibus quingentis excipit, specie quidem ad seditionem componendam venientem, re autem vera ad opem Antigono ferendam. Denique Phasaelum fraude doloque perpulit ut ad Barzapharnem legatus de bello finiendo proficisceretur, quamvis multum dissuadente Herode et hortante ut insidiatorem e medio tolleret, sed non se ipsum ejus insidiis capi pateretur; natura quippe barbaros esse perfidos. Exiit autem Pacorus cum Hyrcano, quo minus suspectus esset, relictisque apud Herodem nonnullis equitibus, qui Eleutheri (*liberi*) vocantur, cum ceteris Phasaelum deducebat.

4. Sed ubi ad Galilæam venerunt, indigenas quidem ad defectionem perductos atque armatos offendunt, satrapam vero callide admodum adeunt, et adhortantur ut amicissime eos tractando insidias tegeret. Itaque primum eos muneribus donavit, deinde discedentibus insidiabatur. Illi autem, in maritimum quendam locum deducti, cui nomen Ecdippôn, fraudem intelligunt. Ibi enim de mille talentis promissis audierunt, et quod Antigonus quingentarum mulierum maximam partem e suis devovisset Parthis, quodque sibi semper a barbaris noctu præstruerentur insidiæ, et jam diu comprehensi fuissent, nisi exspectassent donec Hierosolymis captus foret Herodes, ne, si præscivisset quid de illis fieret, sibi cavere in mentem ei veniret. Neque tum verba istæc erant, sed jam custodes procul ab ipsis conspiciebant.

5. Non tamen Phasaelus, quamvis eum multis moneret Ofellius ut aufugeret, (nam ille a Saramalla, qui tum erat Syrorum locupletissimus, omnia de compositis insidiis audiverat,) Hyrcanum deserere sustinuit, sed ad satrapam profectus, ei in os exprobrabat insidias, et maxime quod pecuniæ gratia tam perfidus exstitisset. Atqui ipse plus pro salute daturum esse promittebat quam Antigonus pro

ὧν Ἀντίγονος ὑπὲρ βασιλείας ὑπέσχηται. Πρὸς ταῦτα πανούργως ὁ Πάρθος ἀπολογίαις τε καὶ ὅρκοις ἀποσκευασάμενος τὴν ὑποψίαν ᾤχετο πρὸς Πάκορον. Εὐθέως δὲ τῶν καταλειφθέντων Πάρθων οἷς προσετέτακτο Φασάηλόν τε καὶ Ὑρκανὸν συνελάμβανον, τά τε ἄλλα πρὸς τῇ ἐπιορκίᾳ καὶ τὸ ἄπιστον αὐτοῖς καταρωμένους.

ς'. Ἐν δὲ τούτῳ καὶ τὸν Ἡρώδην ὁ πεμφθεὶς οἰνοχόος ἐπεβούλευε συλλαβεῖν, ἔξω τοῦ τείχους ἀπατήσας προελθεῖν, ὥσπερ ἐντολὰς εἶχεν. Ὁ δ' ἀπ' ἀρχῆς ὑποπτεύων τοὺς βαρβάρους, καὶ τότε πεπυσμένος εἰς τοὺς πολεμίους ἐμπεπτωκέναι τὰ μηνύοντα τὴν ἐπιβουλὴν αὐτῷ γράμματα, προελθεῖν οὐκ ἐβούλετο, καίτοι μάλα ἀξιοπίστως τοῦ Πακόρου φάσκοντος δεῖν αὐτὸν ὑπαντῆσαι τοῖς τὰς ἐπιστολὰς κομίζουσιν· οὔτε γὰρ ἐαλωκέναι τοῖς πολεμίοις αὐτὰς, καὶ περιέχειν οὐκ ἐπιβουλὴν, ἀλλ' ὁπόσα διεπράξατο Φασάηλος. Ἔτυχε δὲ παρ' ἄλλων προακηκοὼς τὸν ἀδελφὸν συνειλημμένον, καὶ προσῄει Ὑρκανοῦ θυγάτηρ Μαριάμμη, συνετωτάτη γυναικῶν, καταντιβολοῦσα μὴ προϊέναι, μηδ' ἐμπιστεύειν ἑαυτὸν ἤδη φανερῶς ἐπιχειροῦσι τοῖς βαρβάροις.

ζ'. Ἔτι δὲ τῶν περὶ Πάκορον σκεπτομένων πῶς ἂν κρύφα τὴν ἐπιβουλὴν ἀπαρτίσειαν (οὐ γὰρ ἐκ τοῦ φανεροῦ οἷόντε ἦν ἀνδρὸς οὕτω συνετοῦ περιγενέσθαι), προλαβὼν Ἡρώδης μετὰ τῶν οἰκειοτάτων προσώπων, νύκτωρ ἐπὶ Ἰδουμαίας ἐχώρει λάθρα τῶν πολεμίων. Αἰσθόμενοι δ' οἱ Πάρθοι κατεδίωκον. Κἀκεῖνος τὴν μὲν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν καθωμολογημένην παῖδα μετὰ τῆς μητρὸς καὶ τοῦ νεωτάτου τῶν ἀδελφῶν προστάξας ὁδεύειν, αὐτὸς ἀσφαλῶς μετὰ τῶν θεραπόντων ἀνέκοπτε τοὺς βαρβάρους, καὶ πολλοὺς κατὰ πᾶσαν προσβολὴν ἀποκτείνας εἰς Μασάδαν τὸ φρούριον ἀφῖκτο.

η'. Καὶ βαρυτέρους κατὰ τὴν φυγὴν Πάρθων Ἰουδαίους ἐπείρασεν, ἐνοχλήσαντας μὲν διηνεκῶς, ἀπὸ δ' ἑξήκοντα τῆς πόλεως σταδίων καὶ παραταξαμένους ἐπιεικῶς πολὺν χρόνον. Ἔνθα κρατήσας Ἡρώδης καὶ πολλοὺς αὐτῶν ἀποκτείνας, αὖθις εἰς μνήμην τοῦ κατορθώματος ἔκτισε τὸ χωρίον καὶ βασιλείοις πολυτελεστάτοις ἐκόσμησε, καὶ ἀκρόπολιν ὀχυρωτάτην ἀνεδείματο, Ἡρώδειόν τε ἐκάλεσεν ἀφ' ἑαυτοῦ. Τηνικαῦτα γε μὴν φεύγοντες, καθ' ἡμέραν αὐτῷ προσεγίνοντο πολλοί· καὶ κατὰ Θρῆσαν γενομένῳ τῆς Ἰδουμαίας Ἰώσηπος ἀδελφὸς ὑπαντήσας, συνεβούλευε τοὺς πολλοὺς τῶν ἑπομένων ἀποφορτίσασθαι· μὴ γὰρ ἂν τοσοῦτον ὄχλον δέξασθαι τὴν Μασάδαν. Ἦσαν δ' ὑπὲρ ἐννεακισχιλίους. Πεισθεὶς οὖν Ἡρώδης τοὺς μὲν βαρυτέρους τῆς χρείας διαφῆκεν ἀνὰ τὴν Ἰδουμαίαν, δοὺς ἐφόδια· μετὰ δὲ τῶν ἀναγκαιοτάτων τοὺς ἀλκιμωτάτους κατασχὼν εἰς τὸ φρούριον διασώζεται. Καταλιπὼν δ' ἐνταῦθα ταῖς γυναιξὶν ὀκτακοσίους φύλακας, καὶ διαρκῆ τἀπιτήδεια πρὸς πολιορκίαν, αὐτὸς εἰς τὴν Ἀραβικὴν Πέτραν ἠπείγετο.

regno promiserit. Ad hæc Parthus astute admodum se gerit, quumque id egisset ut excusationibus et crebro jurejurando omnem a se suspicionem dimoveret, ad Pacorum ibat. Ac statim Parthorum qui remanserant quidam, quibus jussum erat, Phasaelum atque Hyrcanum comprehendunt, et ob alia præter perjurium et ob perfidiam eos detestantes.

6. Interea autem et Herodem pocillator, qui missus erat, per insidias capere moliebatur, extra murum fraude ipsum deducendo, prout in mandatis habebat. Ille vero, ut qui jam inde a principio barbaros suspicaretur, et tunc audisset in hostium manus incidisse literas quæ insidias ei indicarent, prodire nolebat, quanquam causam satis idoneam Pacorus obtenderet, oportere eum literas afferentibus ob viam ire : non enim eas ab hostibus esse interceptas, aut quicquam de insidiis, sed quæ Phasaelus gessisset, illis contineri. Jam dudum autem ab aliis acceperat Herodes, fratrem esse comprehensum, ipsumque adierat Hyrcani filia Mariamne, mulierum sapientissima, orans atque obsecrans ut nec prodiret, neque barbaris se crederet jam palam ipsi perniciem machinantibus.

7. Adhuc autem Pacoro suisque deliberantibus, quonam tandem pacto insidias adornarent (nec enim fieri poterat ut tantæ sapientiæ vir ex aperto circumveniretur), nocte Herodes assumptis sibi propinquissimis in Idumæam insciis hostibus se conferebat. Quod quum rescirent Parthi, persequebantur. Et ille quidem, quum matrem et sororem desponsatamque puellam cum matre et fratre suo natu minimo via incedere jussisset, ipse cum famulis caute arcebat barbaros, multisque, quoties impetum in eum facerent, interemptis, ad Masadam castellum perveniebat.

8. Judæos autem in fuga Parthis infestiores expertus est, qui ei quidem molestias perpetuo crearunt, sexagesimo vero ab urbe stadio cum eo aliquamdiu justa acie dimicarunt : ubi Herodes, quum eos superasset multosque interfecisset, postea in memoriam rei præclare gestæ locum ædificavit et regia magnificentissima exornavit, arcemque munitissimam condidit, ac de suo nomine Herodeum appellavit. Et tunc quidem quum fugerent, quotidie ei multi se adjungebant, quumque ad Thresam Idumææ venisset, occurrit ei frater ejus Josephus, et consilium dedit ut turbæ sequentium majorem partem dimitteret : haud enim posse Masadam tantam multitudinem capere. Erant autem supra novem millia. Ei obsecutus Herodes, annis graviores quam ut usui esse possent per Idumæam dimisit, dato illis viatico; et cum maxime necessariis et robustissimis, quos secum retinuit, in castellum salvus evasit. Deinde octoginta ibi relictis in mulierum custodiam, itemque rerum omnium ad obsidionem necessariarum copia, ipse in Petram Arabiæ ire contendebat.

θ'. Πάρθοι δ' ἐν Ἱεροσολύμοις ἐφ' ἁρπαγὴν τραπόμενοι, τῶν φυγόντων εἰς τὰς οἰκίας εἰσέπιπτον καὶ τὸ βασίλειον, ἀπεχόμενοι μόνον τῶν Ὑρκανοῦ χρημάτων· ἦν δ' οὐ πλείω τριακοσίων ταλάντων. Ἐπετύγχανον δὲ καὶ τῶν ἄλλων οὐχ ὅσοις ἤλπισαν· ὁ γὰρ Ἡρώδης ἐκ πολλοῦ τὴν ἀπιστίαν τῶν βαρβάρων ὑφορώμενος, εἰς τὴν Ἰδουμαίαν τὰ λαμπρότατα τῶν κειμηλίων προανεσκεύαστο, καὶ τῶν αὐτῷ προσεχόντων ὁμοίως ἕκαστος. Πάρθοι δὲ μετὰ τὰς ἁρπαγὰς ἐπὶ τοσοῦτον ὕβρεως ἐχώρησαν, ὡς ἐμπλῆσαι μὲν ἀκηρύκτου πολέμου τὴν χώραν ἅπασαν, ἀνάστατον δὲ ποιῆσαι τὴν Μαρισσαίων πόλιν, μὴ μόνον τε καταστῆσαι βασιλέα Ἀντίγονον, ἀλλὰ καὶ παραδοῦναι αὐτῷ Φασάηλον καὶ Ὑρκανὸν δεσμώτας αἰκίσασθαι. Ὁ δὲ Ὑρκανοῦ μὲν προσπεσόντος αὐτὸς τὰ ὦτα λωβᾶται τοῖς ὀδοῦσιν, ὡς μηδὲ αὖθις ἐν μεταβολῇ ποτὲ δύναιτο τὴν ἀρχιερωσύνην ἀναλαβεῖν· δεῖ γὰρ ὁλοκλήρους ἀρχιερᾶσθαι.

ι'. Τῆς Φασαήλου δὲ ἀρετῆς ὑστερίζει, φθάσαντος πέτρᾳ προσαράξαι τὴν κεφαλὴν, ὥς γε σιδήρου καὶ χειρῶν εἴργετο. Κἀκεῖνος μὲν, Ἡρώδου γνήσιον ἑαυτὸν ἀποδείξας ἀδελφὸν, καὶ Ὑρκανὸν ἀγεννέστατον, ἀνδρειότατα θνήσκει, ποιησάμενος τὴν καταστροφὴν τοῖς κατὰ τὸν βίον ἔργοις πρέπουσαν. Κατέχει δὲ καὶ ἄλλος λόγος, ὡς ἀνενέγκαι μὲν ἐκ τῆς τότε πληγῆς, πεμφθεὶς δ' ἰατρὸς ὑπ' Ἀντιγόνου, θεραπεῦσαι δῆθεν αὐτὸν, ἐμπλήσειε τὸ τραῦμα δηλητηρίων φαρμάκων, καὶ διαφθείρειεν αὐτόν. Ὁπότερον δ' ἂν ἀληθὲς ᾖ, τὴν ἀρχὴν ἔχει λαμπράν. Φασὶ γοῦν αὐτὸν, καὶ πρὶν ἐκπνεῦσαι, πυθόμενον παρὰ γυναίου τινὸς ὡς Ἡρώδης διαφύγοι, « νῦν » εἰπεῖν « εὔθυμος ἄπειμι, τὸν μετελευσόμενον τοὺς ἐχθροὺς ζῶντα καταλιπών. »

ια'. Ὁ μὲν οὖν οὕτω τελευτᾷ. Πάρθοι δὲ, καίτοι διημαρτηκότες ὧν μάλιστα ἐπεθύμουν γυναικῶν, καθιστᾶσι μὲν ἐν Ἱεροσολύμοις Ἀντιγόνῳ τὰ πράγματα, δεσμώτην δ' Ὑρκανὸν ἀνάγουσιν εἰς τὴν Παρθυηνήν.

ΚΕΦ. ΙΔ'.

Ἡρώδης δὲ συντονώτερον ἤλαυνεν εἰς τὴν Ἀραβίαν, ὡς ἔτι τἀδελφοῦ ζῶντος ἐπειγόμενος χρήματα παρὰ τοῦ βασιλέως λαβεῖν, οἷς μόνοις πείσειν ὑπὲρ Φασαήλου τὴν τῶν βαρβάρων ἤλπισε πλεονεξίαν. Ἐλογίζετο γὰρ, εἰ τῆς πατρῴας φιλίας ἀμνημονέστερος ὁ Ἄραψ γένοιτο καὶ τοῦ δοῦναι δωρεὰν μικρολογώτερος, δανείσασθαι παρ' αὐτοῦ τὰ λύτρα ῥύσιον θεὶς τὸν τοῦ λυτρουμένου παῖδα· καὶ γὰρ ἐπήγετο τὸν ἀδελφιδοῦν ὄντα ἐτῶν ἑπτά· τάλαντα δὲ ἦν ἕτοιμος τριακόσια δοῦναι, προστησάμενος Τυρίους παρακαλοῦντας. Τὸ χρεὼν δ' ἄρα τὴν αὐτοῦ σπουδὴν ἐφθάκει, καὶ Φασαήλου τεθνηκότος εἰς κενὸν Ἡρώδης φιλάδελφος ἦν. Οὐ μὴν οὐδὲ παρὰ Ἄραψιν ηὕρισκε φιλίαν μένουσαν. Ὁ γοῦν βασιλεὺς αὐτῶν Μάλιχος προπέμψας κατὰ τάχος ἐκ τῆς χώρας προσέτασσεν ἀναστρέφειν, προφάσει μὲν χρώμενος Πάρθοις (ἐπικηρυκεύσασθαι γὰρ αὐτοὺς ἐκβαλεῖν

9. Parthi autem, Hierosolymis ad direptionem versi, in fugientium domos irruebant, itidemque in regiam, tantum ab Hyrcani pecuniis abstinentes; erant autem non supra talenta trecenta. Quin et ceterorum res offenderunt spe sua minores: nam Herodes jam pridem barbarorum perfidiam suspicans, e supellectile sua splendidissima quæque antea in Idumæam deportanda curaverat; atque affinium ejus quisque similiter fecerat. Ceterum Parthi post istam direptionem eo injuriarum processerunt, ut regionem omnem bello acri et non indicto compleverint, et Marissæorum urbem funditus everterint, atque non solum Antigonum regem constituerint, verum etiam Phasaelum et Hyrcanum vinctos ei tradiderint ut cruciarentur. At ille Hyrcani quidem, genibus ejus advoluti, auriculas ipsemet mordicus abstulit, ut nunquam in posterum, si rerum mutatio accideret, possit pontificatum recipere: nam integros esse oportet qui isto munere funguntur.

10. Verum Antigonum prævenit virtus Phasaeli, qui caput ad saxum allidere occupaverat, quum nec ferri copiam nec manus liberas haberet. Atque ille quidem, quum sese fratrem Herodis germanum ostendisset, et Hyrcanum abjectissimum, viriliter admodum magnoque animo moritur, exitu facto convenienter iis quæ in vita gesserat. Alii autem ferunt quod ex illa quidem plaga melius se habuerit, sed medicus missus ab Antigono, specie eum curandi, venenatis medicamentis vulnus impleverit, ipsumque perremerit. Utrum autem horum verum sit, præclarum habet initium. Denique aiunt ipsum, priusquam animam efflaret, audito a quadam muliercula quod Herodes evaserit, dixisse, « nunc lubenti animo discedo, qui ultorem inimicorum in vivis reliquerim. »

11. Et ille quidem hunc exitum habuit. Parthi autem, quamvis mulierum, quas maxime cupiebant, spes eos frustrata esset, res tamen Hierosolymis in Antigoni gratiam constituunt, vinctumque in Parthiam Hyrcanum abducunt.

CAP. XIV. (XI.)

Herodes autem eo magis properabat in Arabiam, quasi adhuc vivo fratre suo festinans ut pecunias a rege acciperet, quibus solis pro Phasaelo exoratum iri sperabat Parthorum avaritiam. Etenim cogitabat, si Arabs minus memor esset paternæ amicitiæ, animoque illiberaliori quam ut aliquid dono daret, fore ut mutuum ab eo sumeret redemptionis pretium, ipsius filio quem vellet redimere pignori oppositum: nam et fratris filium septennem secum ducebat, trecentaque talenta dare decreverat, Tyriis interpositis qui pro eo intercederent. Sed studium ejus prævenerat fati decretum, et mortuo Phasaelo nequicquam fratrem amore prosequebatur Herodes. Non tamen vel apud Arabas amicitiam sibi manentem reperiebat. Namque rex eorum Malichus nunciis præmissis quamprimum e regione reverti jubebat Parthos quidem in causa esse simulans (illos quip-

Ἡρώδην τῆς Ἀραβίας), τῷ δὲ ὄντι προαιρούμενος κατασχεῖν τὰ Ἀντιπάτρου χρέα, καὶ μηδὲν εἰς τὰς ἐκείνου δωρεὰς ἀντιπαρασχεῖν χρήζουσι τοῖς τέκνοις δυσωπεῖσθαι. Συμβούλοις δ' ἐχρῆτο τῆς ἀναιδείας τοῖς ὁμοίως ἀποστερεῖν τὰς Ἀντιπάτρου παρακαταθήκας ἐθέλουσιν· ἦσαν δὲ περὶ αὐτὸν οἱ δυνατώτατοι.

β'. Ἡρώδης μὲν δὴ πολεμίους τοὺς Ἄραβας εὑρὼν δι' ἃ φιλτάτους ἤλπισε, καὶ τοῖς ἀγγέλοις ἀποχρινάμενος ὡς ὑπηγόρευε τὸ πάθος, ὑπέστρεψεν ἐπ' Αἴγυπτον. Καὶ τὴν μὲν πρώτην ἑσπέραν κατά τι τῶν ἐπιχωρίων ἱερῶν αὐλίζεται, τοὺς ἀπολειφθέντας ἀναλαβών· τῇ δ' ἑξῆς εἰς Ῥινοκούρουραν προσελθόντι τὰ περὶ τὴν ἀδελφοῦ τελευτὴν ἀπαγγέλλεται. Προσλαβὼν δὲ πένθους ὅσον ἦν, ὡς ἀπεθήκατο φροντίδας, ἦει προσωτέρω. Καὶ δὴ βραδέως ὁ Ἄραψ μετανοήσας ἔπεμψε διὰ τάχους τοὺς ἀνακαλέσοντας τὸν ὑβρισμένον. Ἔφθανε δὲ καὶ τούτους Ἡρώδης εἰς Πηλούσιον ἀφικόμενος, ἔνθα τῆς παρόδου μὴ τυγχάνων ὑπὸ τῶν ἐφορμούντων τοῖς ἡγεμόσιν ἐντυγχάνει. Κἀκεῖνοι, τήν τε φήμην καὶ τὸ ἀξίωμα τἀνδρὸς αἰδεσθέντες, προπέμπουσιν αὐτὸν εἰς Ἀλεξάνδρειαν. Ὁ δὲ παρελθὼν εἰς τὴν πόλιν ἐδέχθη μὲν λαμπρῶς ὑπὸ Κλεοπάτρας, στρατηγὸν ἐλπιζούσης ἕξειν εἰς ἃ παρεσκευάζετο· διακρουσάμενος δὲ τὰς παρακλήσεις τῆς βασιλίδος, καὶ μήτε τὴν ἀκμὴν τοῦ χειμῶνος ὑποδείσας μήτε τοὺς κατὰ τὴν Ἰταλίαν θορύβους, ἐπὶ Ῥώμης ἔπλει.

γ'. Κινδυνεύσας δὲ περὶ τὴν Παμφυλίαν, καὶ τοῦ φόρτου τὸ πλεῖον ἐκβαλών, μόλις εἰς Ῥόδον διασώζεται, σφόδρα τῷ πρὸς Κάσσιον πολέμῳ τετρυχωμένην. Δεχθεὶς δὲ ὑπὸ Πτολεμαίου καὶ Σαππινίου τῶν φίλων, καίπερ ἐν ἀπορίᾳ χρημάτων ὤν, ναυπηγεῖται τριήρη μεγίστην. Ἐν ᾗ μετὰ τῶν φίλων εἰς Βρεντέσιον καταπλεύσας, κἀκεῖθεν εἰς Ῥώμην ἐπειχθεὶς, πρώτῳ διὰ τὴν πατρῴαν φιλίαν ἐνετύγχανεν Ἀντωνίῳ, καὶ τάς τε αὐτοῦ καὶ τοῦ γένους συμφορὰς ἐκδιηγεῖται· ὅτι τε τοὺς οἰκειοτάτους ἐν φρουρίῳ καταλιπὼν πολιορκουμένους διὰ χειμῶνος πλεύσειεν ἐπ' αὐτὸν ἱκέτης.

δ'. Ἀντωνίου δὲ ἥπτετο πρὸς τὴν μεταβολὴν οἶκτος, καὶ κατὰ μνήμην μὲν τῆς Ἀντιπάτρου ξενίας, τὸ δὲ ὅλον καὶ διὰ τὴν αὐτοῦ τοῦ παρόντος ἀρετὴν ἔγνωκε τότε βασιλέα καθιστᾶν Ἰουδαίων, ὃν πρότερον αὐτὸς ἐποίησε τετράρχην. Ἐνῆγε δ' οὐκ ἔλαττον τῆς εἰς Ἡρώδην φιλοτιμίας ἡ πρὸς Ἀντίγονον διαφορά· τοῦτον γὰρ δὴ στασιώδη τε καὶ Ῥωμαίων ἐχθρὸν ὑπελάμβανε. Καίσαρα μὲν οὖν εἶχεν ἑτοιμότερον αὐτοῦ, τὰς Ἀντιπάτρου στρατείας ἀνανεούμενον, ἃς κατ' Αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, τήν τε ξενίαν, καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, ὁρῶντά γε μὴν καὶ τὸ Ἡρώδου δραστήριον. Συνῆγε δὲ καὶ τὴν βουλὴν, ἐν ᾗ Μεσσάλας καὶ μετ' αὐτὸν Ἀτρατῖνος, παραστησάμενοι τὸν Ἡρώδην, τάς τε πατρῴας εὐεργεσίας καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους εὔνοιαν διεξῆσαν, ἀποδεικνύντες ἅμα καὶ πολέμιον τὸν Ἀντίγονον, ἐξ ὧν οὐ μόνον διηνέχθη τάχιον, ἀλλ' ὅτι καὶ τότε διὰ Πάρθων λάβοι τὴν ἀρχὴν,

pe per legatos petiisse ut Herodem Arabia pelleret), re autem vera secum statuens quæ debita erant Antipatro nequaquam persolvere, et nihil omnino flecti ad gratiam aliquam liberis ejus ad inopiam redactis pro beneficiis acceptis referendam. Impudentiæ vero suasores habebat quibus in animo erat similiter Antipatri depositum intervertere: erant autem isti primates.

2. Proinde Herodes ubi Arabas ex ea sibi causa hostes esse deprehendit, unde amicissimos fore existimabat, atque tale responsum nunciis dederat quale dolor ei suggessit, iter convertit in Ægyptum. Et prima quidem vespera in fanum quoddam rusticanum divertit, ut reciperet quos reliquerat. Postero autem die quum Rhinocururam pervenisset, fratris mors ei nunciatur: et quum justo dolori indulsisset, deposita cura perrexit. At vero, quum Arabem sero facti pœnituisset, quam celerrime misit qui revocarent eum quem contumeliose tractaverat. Herodes autem eos etiam longe præcurrens in Pelusium pervenerat, ubi transitu prohibitus ab iis qui in statione erant, loci rectores convenit. Atque illi famam viri et dignitatem reveriti Alexandriam eum deducunt. Ingressus autem civitatem splendide a Cleopatra exceptus est, spei plena fore ut ducem haberet ad ea quæ paraverat; verum quum reginæ preces rejecisset, nihilque subveritus esset aut tempestatis asperitatem aut tumultus in Italia, Romam navigabat.

3. Circa Pamphyliam vero periclitatus, et majori parte oneris ejecta, ægre in Rhodum, bello adversus Cassium vehementer vexatam, evadit incolumis. Ab amicis vero Ptolemæo et Sappinio exceptus, licet pecuniæ inops fuerit, triremem maximam ædificat. Qua conscensa inde cum amicis solvit et Brundusium appulit, atque inde continuo Romam profectus Antonium, propter amicitiam quæ ei cum patre intercessit, primum adibat, eique tam suas quam familiæ suæ calamitates exponit, quodque, suis maxime necessariis in castello obsidione cincto relictis, per medias tempestates supplex ad eum navigasset.

4. Tantæ autem mutationis misericordia commovetur Antonius, Antipatri quidem recordatione cujus usus fuerat hospitio, maxime vero propter ipsius etiam qui præsens aderat virtutem, tunc proposuit eum Judæorum regem constituere, quem ipse tetrarcham antea fecerat. Ceterum non minus quam suo erga Herodem studio, odio in Antigonum pertrahebatur: namque hunc et seditiosum et Romanis inimicum esse suspicabatur. Immo vero Cæsarem *Augustum* illo etiam multo paratiorem habebat, memoria repetentem Antipatri militiam, qua in Ægypto cum ipsius patre functus fuerat, ejusque hospitium, et in omnibus benevolentiam, quum et præter hæc Herodis quoque strenuitatem cerneret. Porro senatum convocabat, in quo Messala et post eum Atratinus, producto Herode, et patris ipsius beneficia erga Romanos et benevolentiam narrando percensuerunt, simulque hostem Antigonum demonstrantes, non solum quod intra breve tempus is dissidere cœpisset, sed etiam quod tunc

Ῥωμαίους ὑπεριδών. Τῆς δὲ συγκλήτου πρὸς ταῦτα κεκινημένης, ὡς παρελθὼν Ἀντώνιος καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον βασιλεύειν Ἡρώδην συμφέρειν ἔλεγεν, ἐπιψηφίζονται πάντες. Λυθείσης δὲ τῆς βουλῆς, Ἀντώνιος μὲν καὶ Καῖσαρ μέσον ἔχοντες Ἡρώδην ἐξῆεσαν· προῆγον δὲ σὺν ταῖς ἄλλαις ἀρχαῖς οἱ ὕπατοι, θύσοντές τε καὶ τὸ δόγμα ἀναθήσοντες εἰς τὸ Καπετώλιον. Τὴν δὲ πρώτην Ἡρώδου τῆς βασιλείας ἡμέραν, Ἀντώνιος εἱστία αὐτόν.

ΚΕΦ. ΙΕ'.

Παρὰ δὲ τὸν χρόνον τοῦτον Ἀντίγονος ἐπολιόρκει τοὺς ἐν Μασάδᾳ, τοῖς μὲν ἄλλοις ἐπιτηδείοις διαρκουμένους, σπανίζοντας δὲ ὕδατος. Διὸ καὶ Ἰώσηπος, ὁ ἀδελφὸς Ἡρώδου, σὺν διακοσίοις τῶν οἰκείων δρασμὸν ἐβουλεύετο εἰς Ἄραβας, ἀκηκοὼς τῶν εἰς Ἡρώδην ἁμαρτημάτων Μαλίχῳ μεταμέλειν. Κἂν ἔφθη καταλιπὼν τὸ φρούριον, εἰ μὴ περὶ τὴν νύκτα τῆς ἐξόδου συνέβη πλεῖστον ὕσαι· τῶν γὰρ ἐκδοχείων ὕδατος ἀναπλησθέντων οὐκέτ' ἔχρῃζε φυγῆς, ἀλλ' ἐπεξῆεσαν ἤδη τοῖς περὶ Ἀντίγονον· καὶ τὰ μὲν φανερῶς συμπλεκόμενοι, τὰ δὲ λοχῶντες συχνοὺς διέφθειρον. Οὐ μὴν ἐν ἅπασιν εὐστόχουν, ἔστι δ' ὅπη καὶ αὐτοὶ πταίοντες ἀνέστρεφον.

β'. Κἀν τούτῳ Βεντίδιος ὁ Ῥωμαίων στρατηγός, πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν, μετ' ἐκείνους εἰς Ἰουδαίαν παρέβαλε, λόγῳ μὲν ὡς βοηθήσων τοῖς περὶ Ἰώσηπον, ἔργῳ δ' Ἀντίγονον ἀργυριούμενος. Ἔγγιστα γοῦν Ἱεροσολύμων αὐλισάμενος, ὡς ἐνεπλήσθη χρημάτων, αὐτὸς μὲν ἀνεχώρει μετὰ τῆς πλείστης δυνάμεως· Σίλωνα δὲ σὺν μέρει καταλέλοιπεν, ὡς μὴ κατάφωρον τὸ λῆμμα ποιήσειε πάντας ἀπαναστήσας. Ἀντίγονος δὲ πάλιν ἐλπίζων Πάρθους ἐπαμύνειν αὐτῷ, καὶ Σίλωνα τέως ἐθεράπευσεν, ὡς μηδὲν ἐνοχλοίη πρὸς τὰς ἐλπίδας.

γ'. Ἤδη δὲ Ἡρώδης καταπεπλευκὼς ἐκ τῆς Ἰταλίας εἰς Πτολεμαΐδα, καὶ συναγηοχὼς δύναμιν οὐκ ὀλίγην ξένων τε καὶ ὁμοφύλων, ἔλαυνε διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον, συλλαμβανόντων Βεντιδίου τε καὶ Σίλωνος, οὓς Δέλλιος, ὑπ' Ἀντωνίου πεμφθείς, Ἡρώδην συγκατάγειν ἔπεισεν. Ἐτύγχανε δὲ Βεντίδιος μὲν ἐν ταῖς πόλεσι τὰς διὰ Πάρθους ταραχὰς καθιστάμενος, Σίλων δ' ἐν Ἰουδαίᾳ, χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. Οὐ μὴν Ἡρώδης ἰσχύος ἠπόρει, προϊόντι δὲ αὐτῷ καθ' ἡμέραν ηὔξετο τὰ τῆς δυνάμεως, καὶ πλὴν ὀλίγων, πᾶσα ἡ Γαλιλαία προσέθετο. Προὔκειτο μὲν οὖν τὸ ἀναγκαιότατον ἀγώνισμα Μασάδα, καὶ τὸ ῥύσασθαι πρῶτον τοὺς οἰκείους ἐκ τῆς πολιορκίας. Γίνεται δ' ἐμπόδιον Ἰόπη· ταύτην γὰρ ἐχρῆν πολεμίαν οὖσαν ἐξελεῖν πρότερον, ὡς μὴ χωροῦντος ἐπὶ Ἱεροσολύμων κατὰ νώτου τι τοῖς ἐχθροῖς ἔρυμα καταλίποιτο. Συνῆπτε δὲ καὶ Σίλων ἀσμένως τῆς ἀπαναστάσεως πρόφασιν εὑρών. Ὡς δὲ προσέκειντο Ἰουδαῖοι διώκοντες, ἐπὶ τούτους Ἡρώδης ἐκδραμὼν μετ' ὀλίγου

contemptis Romanis a Parthis regnum accepisset. His autem commoto senatu, quum Antonius in medium progressus dixisset quod etiam ad Parthicum bellum expediret ut rex fiat Herodes, omnes assentiunt. Dimisso autem senatu, medium Herodem stipantes Antonius et Cæsar exierunt, consules vero eos deducebant, una cum aliis magistratibus, ad sacrificandum et decretum in Capitolio reponendum. Ac primo regni Herodis die convivio eum excipiebat Antonius.

CAP. XV. (XII.)

Toto autem hoc tempore Antigonus eos qui in Masadam inclusi erant, oppugnabat, ceteris quidem victui necessariis abundantes, sed aquæ penuria laborantes. Quare etiam Josephus frater Herodis cum ducentis suorum ad Arabas fugere decrevit, quod audierat Malichum commissorum in Herodem pœnitere. Et protenus castellum reliquisset, nisi nocte, qua exiturus erat, largiter pluere contigisset : nam cisternis aqua repletis, illi non amplius opus erat fuga; sed in Antigonianos eruptionem fecerunt, et partim prælio aperto, partimque insidiis multos occiderunt. Non tamen illis omnia ad votum cedebant, sed et ipsi aliquando victi pedem referebant.

2. Interea Ventidius Romanorum dux, missus ad Parthos Syria arcendos, post illos in Judæam venit, verbo quidem ut Josepho et sociis ejus auxilium ferret, re autem vera ut Antigonum pecunia mulctaret. Itaque quum proxime Hierosolyma tetendisset, ubi primum affatim pecuniæ acceperat, ipse quidem cum copiarum parte majori discessit, Silonem vero cum parte reliquit, ne quæstum sordidum palam faceret, si omnes abduxisset. Antigonus autem sperans iterum Parthos sibi succurrere, Silonem etiam interea coluit, ne qua re spem suam turbaret et impediret.

3. Jam vero Herodes, quum ab Italia Ptolemaidem navigasset, et copias non mediocres partim externorum, partim popularium contraxisset, properabat per Galilæam adversus Antigonum, adjuvantibus Ventidio et Silone, quibus Dellius ab Antonio missus persuasit ut Herodi reducendo operam darent. Et Ventidius quidem in eo erat ut excitatas propter Parthos in urbibus turbas componeret, Silo vero in Judæa *manebat*, pecuniis ab Antigono *corruptus*. Non tamen Herodes virium egebat, sed ipsi progredienti quotidie copiæ augebantur, omnisque Galilæa, paucis exceptis, stabat ab ejus partibus. Et ei quidem maxime incumbebat ut Masada potiri contenderet, et ante omnia affines suos obsidione liberaret. Sed impedimento erat Jope : nam illa, quum hostis esset, prius capienda erat, ne qua a tergo relinqueretur hostibus munitio, dum Hierosolyma peteret. Atque his Silo se libenter adjunxit, cur exercitum moveret causam nactus. Quum autem illi persequentes

στίφους τρέπεται ταχέως, καὶ Σίλωνα διασώζει κακῶς ἀμυνόμενον.

δ'. Ἔπειτα Ἰόπην ἑλὼν πρὸς τὴν Μασάδαν ῥυσόμενος τοὺς οἰκείους ἠπείγετο. Καὶ τῶν ἐπιχωρίων οὓς μὲν πατρῴα φιλία προσῆγεν, οὓς δὲ τὸ αὐτοῦ κλέος, οὓς δὲ τῆς ἐξ ἀμφοῖν εὐεργεσίας ἀμοιβή, πλείστους γε μὴν ἐλπὶς, ὡς ἐκ βασιλέως βεβαίου. Δυσκίνητος δὲ ἤδη δύναμις ἤθροιστο. Προϊόντα δ' Ἀντίγονος ἐνήδρευε, ταπιτήδεια τῶν παρόδων προλοχίζων, ἐν οἷς οὐδὲν ἦ μικρὰ τοὺς πολεμίους ἔβλαπτεν. Ἡρώδης δὲ τούς τε ἐκ Μασάδας οἰκείους παραλαβὼν ῥᾳδίως καὶ Ῥῆσαν τὸ φρούριον, ἦει πρὸς τὰ Ἱεροσόλυμα. Συνῆπτε δὲ αὐτῷ τὸ μετὰ Σίλωνος στρατιωτικὸν, καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες.

ε'. Στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν κλίμα τοῦ ἄστεος, οἱ ταύτῃ φύλακες ἐτόξευόν τε καὶ ἐξηκόντιζον αὐτούς· ἄλλοι δὲ, κατὰ στῖφος ἐκθέοντες ἀπεπειρῶντο τῶν προτεταγμένων. Ἡρώδης δὲ τὸ μὲν πρῶτον κηρύσσειν περὶ τὸ τεῖχος ἐκέλευεν, ὡς ἐπ' ἀγαθῷ τε παρείη τοῦ δήμου καὶ ἐπὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μήτε τοὺς φανεροὺς ἐχθροὺς ἀμυνόμενος, δώσων δὲ καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν. Ἐπεὶ δὲ ἀντιπαρηγοροῦντες οἱ περὶ τὸν Ἀντίγονον οὔτε κατακούειν τῶν κηρυγμάτων εἴων τινὰς οὔτε μεταβάλλεσθαι, τὸ λοιπὸν ἀμύνασθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπε τοῖς σφετέροις· οἱ δὲ ταχέως ἅπαντας ἀπὸ τῶν πύργων ἐτρέψαντο τοῖς βέλεσιν.

ς'. Ἔνθα δὴ καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν. Ἐπισκευασάμενος γὰρ πολλοὺς τῶν στρατιωτῶν, σπάνιν ἐπιτηδείων ἀναβοᾶν, καὶ χρήματά τε εἰς τροφὰς ἀπαιτεῖν, ἀπάγειν τε σφᾶς χειμεριοῦντας εἰς τοὺς ἐπιτηδείους τόπους, ἐπειδὴ τὰ περὶ τὴν πόλιν ἦν ἔρημα, πάντα τῶν περὶ Ἀντίγονον προανασκευασαμένων, ἐκίνει τε τὸ στρατόπεδον καὶ ἀναχωρεῖν ἐπειρᾶτο. Ἡρώδης δ' ἐντυγχάνων τοῖς τε ὑπὸ τὸν Σίλωνα ἡγεμόσι, καὶ κατὰ πλῆθος τοῖς στρατιώταις, ἐδεῖτο μὴ καταλιπεῖν αὐτὸν, ὑπό τε Καίσαρος καὶ Ἀντωνίου καὶ τῆς συγκλήτου προπεμφθέντα· λύσειν γὰρ αὐθημερὸν αὐτῶν τὰς ἀπορίας. Καὶ μετὰ τὴν δέησιν εὐθέως ὁρμήσας αὐτὸς εἰς τὴν χώραν, τοσαύτην αὐτοῖς ἐπιτηδείων ἀφθονίαν ἐκόμισεν, ὡς πάσας ἀποκόψαι τὰς Σίλωνος προφάσεις. Εἴς τε τὰς ἑξῆς ἡμέρας μὴ διαλιπεῖν τὴν χορηγίαν προνοούμενος, ἐπέστελλε τοῖς περὶ Σαμάρειαν (ᾠκείωτο δὲ ἡ πόλις αὐτῷ) σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ βοσκήματα κατάγειν εἰς Ἱεριχοῦντα. Ταῦτ' ἀκούσας Ἀντίγονος διέπεμψε περὶ τὴν χώραν, εἴργειν καὶ λοχᾶν τοὺς σιτηγοὺς κελεύων. Οἱ δ' ὑπήκουον καὶ πολὺ πλῆθος ὁπλιτῶν ὑπὸ τὴν Ἱεριχοῦντα συνηθροίσθη· διεκαθέζοντο δ' ἐπὶ τῶν ὀρέων παραφυλάσσοντες τοὺς ταπιτήδεια ἐκκομίζοντας. Οὐ μὴν Ἡρώδης ἠρέμει, δέκα δὲ σπείρας ἀναλαβὼν, ὧν πέντε μὲν Ῥωμαϊκαὶ, πέντε δ' Ἰουδαίων ἦσαν, ἔχουσαι καὶ μισθοφόρους μιγάδας, πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν Ἱεριχοῦντα παραγίνεται. Καὶ τὴν μὲν πό-

instarent Judæi, hos excurrens Herodes cum parva manu cito in fugam vertit, et Silonem servat ægre se defendentem.

4. Deinde capta Jope, suos liberaturus ad Masadam festinabat. Et ex indigenis alii quidem propter paternam amicitiam illi se adjungebant, alii vero propter ipsius gloriam, et nonnulli ut utrique ob beneficia gratiam referrent : plurimi vero propter spes, quas in eo, ut in rege deinceps certo futuro, habebant. Jamque validissimæ coactæ erant copiæ. Sed quum procederet, ei insidiabatur Antigonus, loca opportuna occultis militibus occupans, quibus nihil aut parum admodum hostibus nocebat. Herodes autem, et suis ex Masada facile receptis et Resa castello capto, Hierosolyma adibat. Ipsi vero sese junxerunt Silonis milites, cum multis ex civitate tanta potentia perterritis.

5. Quum autem ad urbis partem occidentalem castra fecisset, qui illac dispositi erant custodes sagittis eos et missilibus impetebant, alii vero turmatim excurrentes exercitus in acie positos tentabant. Herodes autem primum quidem proclamari jussit circa mœnia, sese et propter populi commodum et civitatis salutem adesse, ne ab apertis quidem adversariis pœnas repetiturum, sed etiam inimicissimorum in se peccata oblivioni daturum. Deinde vero quum vociferationibus ex adverso obstarent Antigoniani, quominus aut præcones exaudire aut sententiam mutare quispiam posset, quod reliquum erat, suis imperat Antigonus hostes a mœnibus arcere : atque illi statim sagittis cunctos e turribus in fugam verterunt.

6. Ibi sane et Silo palam fecit se pecunia corruptum esse. Nam quum multos e militibus instruxisset, qui et clamitarent commeatus esse penuriam, et pecuniam ad alimoniam peterent, seque in idonea loca ad hibernandum deduci postularent, quandoquidem vastati erant agri circa urbem, cunctis ab Antigoni militibus antea sublatis, et exercitum movebat et discedere conabatur. Verum Herodes et duces Siloni subjectos conveniens et milites in magna multitudine, rogabat ne se derelinquerent, paulo ante missum a Cæsare et Antonio et senatu : se enim eo ipso die ab inopia eos liberaturum esse. Ac post eas preces in agros profectus, tantam eis commeatus copiam apportavit, ut omnes Siloni prætextus occluderet. Atque providens ne deinceps cibariis milites deficerentur, imperabat Samariæ civibus (nam ei sese adjunxerat urbs ista) ut frumentum et vinum et oleum et pecudes Hierichuntem deportarent. Hæc ubi audivit Antigonus, per agros dimisit qui frumentatores prohibendos et circumveniendos esse juberent. Atque istis obtemperatum est, ac ingens armatorum multitudo ad Hierichuntem coacta est, et hinc inde montibus insidebant, ut illos observarent qui commeatus exportabant. Non tamen Herodes quietem agebat, sed assumptis decem cohortibus, quarum quinque Romanorum, alteræ Judæorum erant, quibus permiscebantur etiam aliquot mercede conducti, ac præterea equites nonnulli, Hierichuntem pervenit. Et urbem quidem vacuam reperit,

λιν καταλελειμμένην εὑρίσκει, πεντακοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς, αὐτοὺς μὲν οὖν ἀπολύει λαβών· Ῥωμαῖοι δ' εἰσπεσόντες, τὸ λοιπὸν ἄστυ διήρπασαν, πλήρεις καταλαμβάνοντες τὰς οἰκίας παντοίων κειμηλίων. Ἱεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε, καὶ χειμεριοῦσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας διαφῆκεν Ἰδουμαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν. Ἐπέτυχε δὲ καὶ Ἀντίγονος παρὰ τῆς Σίλωνος δωροδοκίας, ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις, θεραπεύων Ἀντώνιον.

ΚΕΦ. ΙϚ'.

Καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον, ἀνειμένοι τῶν ὅπλων. Ἡρώδης δ' οὐκ ἠρέμει, ἀλλὰ τὴν μὲν Ἰδουμαίαν δισχιλίοις πεζοῖς καὶ τετρακοσίοις ἱππεῦσι διελάμβανε, πέμψας τὸν ἀδελφὸν Ἰώσηπον, ὡς μή τι νεωτερισθείη πρὸς Ἀντιγόνου· αὐτὸς δὲ τὴν μητέρα, καὶ ὅσους ἐκ Μασάδας οἰκείους ἐξήγαγε, μεταγαγὼν εἰς Σαμάρειαν, καὶ καταστησάμενος ἀσφαλῶς, ἦει τὰ λοιπὰ τῆς Γαλιλαίας καταστρεψόμενος καὶ τὰς Ἀντιγόνου φρουρὰς ἐξελάσων.

β'. Πρὸς δὲ τὴν Σέπφωριν ἐν νιφετῷ σφοδροτάτῳ διανύσας, ἀκμητὶ παραλαμβάνει τὴν πόλιν, πρὸ τῆς ἐφόδου τῶν φυλάκων ἐκφυγόντων. Ἔνθα τοὺς ἐπομένους ὑπὸ τοῦ χειμῶνος κακωθέντας ἀναλαβών (πολλὴ δ' ἦν ἀφθονία τῶν ἐπιτηδείων) ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ὥρμητο λῃστὰς, οἳ πολλὴν τῆς χώρας κατατρέχοντες οὐκ ἐλάττω κακὰ πολέμου διετίθεσαν τοὺς ἐπιχωρίους. Προπέμψας δὲ πεζῶν τρία τέλη καὶ μίαν ἴλην ἱππέων πρὸς Ἄρβηλα κώμην, αὐτὸς μετὰ τεσσαράκοντα ἡμέρας ἐπῆλθε μετὰ τῆς λοιπῆς δυνάμεως. Οὐ μὴν πρὸς τὴν ἔφοδον ἔδεισαν οἱ πολέμιοι, μετὰ δὲ τῶν ὅπλων ἀπήντων, τὴν μὲν ἐμπειρίαν πολεμικὴν ἔχοντες, τὸ δὲ θράσος λῃστρικόν. Συμβαλόντες γοῦν τῷ σφετέρῳ δεξιῷ τὸ εὐώνυμον κέρας τῶν Ἡρώδου τρέπονται. Περιελθὼν δὲ ταχέως Ἡρώδης ἐκ τοῦ καθ' ἑαυτὸν δεξιοῦ, προσεβοήθει, καὶ τὸ μὲν οἰκεῖον ἐπέστρεφεν ἐκ τῆς φυγῆς, τοῖς δὲ διώκουσιν ἐμπίπτων, ἀνέκοπτε τὴν ὁρμὴν, μέχρι τὰς κατὰ στόμα προσβολὰς μὴ φέροντες ἐνέκλιναν.

γ'. Ὁ δὲ ἕως Ἰορδάνου κτείνων εἵπετο, καὶ πολὺ μὲν αὐτῶν μέρος διέφθειρεν, οἱ λοιποὶ δ' ὑπὲρ τὸν ποταμὸν ἐσκεδάσθησαν, ὥστε τὴν Γαλιλαίαν κεκαθάρθαι φόβων, πλὴν καθόσον οἱ τοῖς σπηλαίοις ἐμφωλεύοντες ὑπελείποντο, καὶ ἐπὶ τούτοις ἔδει διατριβῆς. Διὸ δὴ πρῶτον τοῖς στρατιώταις τὰς ἐκ τῶν πεπονημένων ἐπικαρπίας ἀπεδίδου, διανέμων ἑκάστῳ δραχμὰς ἑκατὸν πεντήκοντα ἀργυρίου, καὶ τοῖς ἡγεμόσι πολυπλασίονα διέπεμψεν εἰς οὓς ἐχειμέριζον σταθμούς. Φερώρᾳ δὲ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπέστελλε τῆς τε ἀγορᾶς αὐτοῖς ποιεῖσθαι πρόνοιαν καὶ τειχίζειν Ἀλεξάνδρειον. Κἀκεῖνος ἀμφοτέρων ἐπεμελήθη.

δ'. Ἐν δὲ τούτῳ περὶ μὲν Ἀθήνας διῆγεν Ἀντώνιος·

quingentos vero homines cum uxoribus et liberis arces occupasse: et ipsos quidem captos dimittit, Romani vero, facto in reliquam urbem impetu, eam diripuerunt, domos omnigenis opibus refertas deprehendentes. Et rex quidem, relicto Hierichunte præsidio, reversus est, Romanumque exercitum in civitates, quæ deditionem fecerant, Idumææ et Galilææ et Samariæ hiematurum dimisit. Etiam Antigonus a Silone impetravit pecuniis corrupto, ut partem exercitus intra Lydda acciperet, captans Antonii gratiam.

CAP. XVI. (XII.)

Et Romani quidem in magna rerum abundantia vivebant, dum ab armis quiescerent. At Herodes otium non agebat, sed Idumæam peditibus bis mille et equitibus quadringentis occupabat, misso illuc fratre Josepho, ne quid novi ab Antigono tentaretur. Ipse autem, matre cum aliis quos ex Masada liberaverat affinibus suis in Samariam translata, ibique in tuto collocata, in Galilæam contendit, ut cetera ejus expugnaret, atque Antigoni præsidia inde abigeret.

2. Quumque Sepphorin, licet vehementissime ningeret, pervenisset, facillime civitatem accipit, custodibus ejus, antequam in eam impressionem faceret, fuga dilapsis. Ibique suis militibus, quos hiems afflixerat, recreatis (nam summa erat commeatus copia), adversus latrones in speluncis degentes profectus est, qui, magnam regionis partem incursionibus vexantes, non minoribus quam si bellum grassaretur cladibus incolas afficiebant. Præmissis autem tribus peditum cohortibus et equitum turma in vicum Arbelam, ipse quadragesimo die cum reliquis copiis supervenit. Nec tamen ejus incursum hostes extimuere, sed armati obviam ibant, bellica peritia freti et latrocinali ferocitate. Prælio autem commisso, dextra ipsorum aciei pars in fugam vertit Herodis sinistram. At Herodes, quum e dextro suo cornu celeriter hostes circuivisset, opem ferebat, et non solum suos e fuga revocabat, sed in persequentes irruendo impetum illorum repressit, usque dum plagas cominus illatas non sustinentes terga darent.

3. Atque ille eos ad Jordanem usque cædendo persequebatur, et magnam illorum partem perimebat, reliqui vero fluvio trajecto diversis viis dilapsi sunt: quare contigit Galilæam omni metu liberari, nisi ab iis qui relicti erant in speluncis latitantes, eorumque causa necesse erat ut diutius ibi moraretur. Quamobrem primum militibus ex laboribus suis fructum reddebat, centum et quinquaginta argenti drachmas singulis dividendo, ducibusque multo plures misit in stationes ubi hiemabant. Pheroræ autem, fratrum suorum natu minimo, mandabat ut, quod ad rerum venalium copiam attineret, illis prospiceret et consuleret, et Alexandrium communiret. Atque ille rem utramque curabat.

4. Eodem autem tempore Athenis quidem commorabatur

Βεντίδιος δ' ἐπὶ τὸν πρὸς Πάρθους πόλεμον Σίλωνά τε καὶ Ἡρώδην μετεπέμπετο, καταστήσασθαι πρότερον ἐπιστέλλων τὰ περὶ Ἰουδαίαν. Ἡρώδης μὲν ἀσμένως Σίλωνα πρὸς Βεντίδιον ἀπολύσας, αὐτὸς ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ἐστράτευσεν. Τὰ δὲ σπήλαια ταῦτα πρὸς ἀποκρήμνοις ὄρεσιν ἦν οὐδαμόθεν προσιτὰ, πλαγίας δὲ ἀνόδους μόνον ἔχοντα στενοτάτας· ἡ δὲ κατὰ μέτωπον αὐτῶν πέτρα κατέτεινεν εἰς βαθυτάτας φάραγγας, ὄρθιος ἐπιρρέπουσα ταῖς χαράδραις, ὥστε τὸν βασιλέα μέχρι πολλοῦ μὲν ἀπορεῖν πρὸς τὸ ἀμήχανον τοῦ τόπου, τελευταῖον δ' ἐπινοίᾳ χρήσασθαι σφαλερωτάτῃ. Τοὺς γοῦν ἀλκίμους καθιμῶν ἐν λάρναξιν ἐνίει τοῖς στομίοις· οἱ δὲ ἀπέσφαττόν τε αὐτοὺς σὺν γενεαῖς καὶ πῦρ ἐνίεσαν τοῖς ἀμυνομένοις. Βουληθεὶς δ' ἐξ αὐτῶν καὶ περισῶσαί τινας Ἡρώδης, ἐκήρυξεν ἀποχωρεῖν πρὸς αὐτόν. Τῶν δὲ ἐθελούσιος μὲν οὐδεὶς προσέθετο, καὶ τῶν βιαζομένων δὲ πολλοὶ τῆς αἰχμαλωσίας προείλοντο θάνατον. Ἔνθα καὶ τῶν γηραιῶν τις ἑπτὰ παίδων πατὴρ μετὰ τῆς μητρὸς δεομένους τοὺς παῖδας ἐπιτρέψαι σφίσιν ἐξελθεῖν ἐπὶ δεξιᾷ, κτείνει τρόπῳ τοιῷδε· καθ' ἕνα προϊέναι κελεύσας αὐτὸς ἵστατο παρὰ τὸ στόμιον, καὶ τὸν ἀεὶ προϊόντα τῶν υἱῶν ἀπέσφαττεν. Ἐξ ἀπόπτου δὲ Ἡρώδης ἀποβλέπων τῷ τε πάθει συνεχεῖτο καὶ τῷ πρεσβύτῃ δεξιὰν ὤρεγε, φείσασθαι τῶν τέκνων παρακαλῶν. Ὁ δὲ, πρὸς οὐδὲν ἐνδοὺς τῶν λεγομένων, ἀλλὰ καὶ προσονειδίσας τὸν Ἡρώδην εἰς ταπεινότητα, ἐπὶ τοῖς παισὶν ἀναιρεῖ καὶ τὴν γυναῖκα, καὶ καταβαλὼν κατὰ τοῦ κρημνοῦ τοὺς νεκροὺς τὸ τελευταῖον καὶ ἑαυτὸν ἔρριψεν.

ε'. Χειροῦται μὲν οὕτω τὰ σπήλαια καὶ τοὺς ἐν αὐτοῖς Ἡρώδης· καταλιπὼν δὲ τοῦ στρατοῦ μοῖραν ὅσην ἀποχρήσειν ὑπελάμβανε πρὸς τὰς ἐπαναστάσεις, καὶ Πτολεμαῖον ἐπ' αὐτῆς, ἐπὶ Σαμάρειαν ὑπέστρεφεν, ὁπλίτας μὲν τρισχιλίους, ἱππεῖς δὲ ἄγων ἑξακοσίους ἐπ' Ἀντίγονον. Ἔνθα πρὸς τὴν ἀποχώρησιν αὐτοῦ λαβόντες ἄδειαν, οἷς ἔθος ἦν θορυβεῖν τὴν Γαλιλαίαν, κτείνουσι μὲν Πτολεμαῖον τὸν στρατηγὸν ἀδοκήτως προσπεσόντες, ἐπόρθουν δὲ τὴν χώραν ποιούμενοι τὰς ἀναφυγὰς εἰς τὰ ἕλη καὶ τὰ δυσερεύνητα τῶν χωρίων. Πυθόμενος δὲ Ἡρώδης τὴν ἐπανάστασιν, διὰ τάχους ἐπεβοήθει, καὶ πολὺ μὲν αὐτῶν πλῆθος διέφθειρε, τὰ φρούρια δὲ πάντα πολιορκίας ἐξελὼν, ἐπιτίμιον τῆς μεταβολῆς εἰσεπράξατο παρὰ τῶν πολεμίων ἑκατὸν τάλαντα.

ς'. Ἤδη δὲ Πάρθων μὲν ἐξεληλαμένων, ἀνῃρημένου δὲ Πακόρου, Βεντίδιος, ἐπιστείλαντος Ἀντωνίου συμμάχους, πέμπει Ἡρώδῃ κατὰ Ἀντιγόνου χιλίους ἱππεῖς καὶ δύο τάγματα. Τούτων τὸν στρατηγὸν Μαχαιρᾶν Ἀντίγονος ἱκέτευε δι' ἐπιστολῶν ἑαυτῷ βοηθὸν ἀφικέσθαι, πολλὰ περί τε τῆς Ἡρώδου βίας καὶ ἐπηρείας τῆς βασιλείας ἀποδυρόμενος, καὶ χρήματα δώσειν ὑπισχνούμενος. Ὁ δέ (οὐ γὰρ κατεφρόνει τοῦ πέμψαντος, ἄλλως τε καὶ πλεῖον Ἡρώδου διδόντος) εἰς μὲν τὴν προδοσίαν οὐχ ὑπήκουσεν, ὑποκρινόμενος

Antonius: Ventidius vero Silonem et Herodem ad bellum contra Parthos accersebat, illis imperans ut prius Judææ res componerent. Herodes quidem libenter Silonem Ventidio dimisit, ipse vero adversus latrones speluncas tenentes expeditionem fecit. Istæ autem speluncæ in montibus erant præruptis, undique inaccessæ, et obliquas tantum et perangustas quibus ascenditur vias habentes: rupesque ab earum fronte in valles profundissimas se porrigebat, recta et confragosa declivitate, ut aliquamdiu quidem rex propter loci difficultatem quid agendum esset dubitaret, tandemque strategemate uteretur admodum periculoso. Nam robustissimos arculis demissos in speluncarum ostia immittit: atque illi latrones cum familiis mactabant, ignemque repugnantibus injiciebant. Quumque ex illis nonnullos conservare vellet Herodes, ut ad se accederent per præconem jussit. Eorum autem nemo ultro se tradidit, et multi, qui vi coacti id fecerant, servituti mortem prætulerunt. Ubi etiam e senibus quidam, septem natorum pater, orantes cum matre liberos, ut sibi fide dextraque data egredi permitteret, hoc modo occidit: quum singulos exire jussisset, ipse in ostio stabat, et ut filiorum quisque progressus est, eum jugulabat. Herodes autem e specula hæc prospiciens, dolore afficiebatur, senique dextram porrigebat, orans obsecransque ut liberis parceret. Ille vero, quum nihil precibus ejus concessisset, sed et convicia jecisset in Herodem ob generis humilitatem, post liberos etiam uxorem interficit, quumque corpora mortuorum in præceps devolvisset, postremo et semetipsum dejecit.

5. Ita quidem speluncas et qui in illis erant subigit Herodes, quumque exercitus partem tantam reliquisset, quantam ad seditionem comprimendam satis esse arbitraretur, eique Ptolemæum præfecisset, in Samariam reversus est, peditum tria millia et equites sexcentos adversus Antigonum ducens. Jam post ejus discessum licentiam nacti, qui Galilæam turbare consueverunt, Ptolemæum quidem ducem ex improviso adorti interficiunt, agros autem vastabant, fuga se recipientes in paludes et loca scrutatu difficilia. Herodes autem, quum motus istos et tumultus inaudivisset, ad auxilium ferendum properabat, et magnam seditiosorum multitudinem peremit; ubi vero castella omnia obsidione liberaverat, ob hanc rerum perturbationem hostibus centum talentorum mulctam irrogavit.

6. Interim, Parthis jam expulsis et Pacoro occiso, Ventidius jussu Antonii equites mille duasque legiones in auxilium mittit Herodi. Eorum autem ducem Machæram, ut se adjutum veniret, per epistolas rogabat Antigonus, multa et de Herodis violentia et de injuriis regno allatis conquerens, et pecuniam se ei daturum esse promittens. Ille vero (haud enim eum qui ad ipsum miserat contemnendum putabat, præsertim quum et plura daret Herodes) in proditione quidem ei non paruit, simulata vero amicitia

δὲ φιλίαν κατάσκοπος ἦει τῶν Ἀντιγόνου πραγμάτων, Ἡρώδῃ μὴ πεισθεὶς ἀποτρέποντι. Προαισθόμενος δὲ αὐτοῦ τὴν διάνοιαν Ἀντίγονος τήν τε πόλιν ἀπέκλεισε καὶ ἀπὸ τῶν τειχῶν ὡς πολέμιον ἠμύνατο, μέχρις αἰδούμενος Μαχαιρᾶς εἰς Ἀμμαοῦντα πρὸς Ἡρώδην ἐχώρει, καὶ πρὸς τὴν διαμαρτίαν τεθυμωμένος, ὅσοις ἐπετύγχανεν Ἰουδαίοις ἀνῄρει, μηδεμίαν τῶν Ἡρωδείων φειδὼ ποιούμενος, ἀλλ' ὡς Ἀντιγονείοις χρώμενος ἅπασιν.

ζ'. Ἐφ' οἷς χαλεπήνας Ἡρώδης ὥρμησε μὲν ἀμύνασθαι Μαχαιρᾶν ὡς πολέμιον· κρατήσας δὲ τῆς ὀργῆς ἦλαυνε πρὸς Ἀντώνιον κατηγορήσων τῆς Μαχαιρᾶ παρανομίας. Ὁ δὲ ἐν διαλογισμῷ τῶν ἡμαρτημένων γενόμενος ταχέως μεταδιώκει τε τὸν βασιλέα καὶ πολλὰ δεηθεὶς ἑαυτῷ διαλλάττει. Οὐ μὴν Ἡρώδης ἐπαύσατο τῆς πρὸς Ἀντώνιον ὁρμῆς· ἀκηκοὼς δὲ αὐτὸν μετὰ πολλῆς δυνάμεως προσπολεμοῦντα Σαμοσάτοις (πόλις δέ ἐστιν Εὐφράτου πλησίον καρτερά), θᾶττον ἠπείγετο, τὸν καιρὸν ἐπιτήδειον ὁρῶν πρός τε ἐπίδειξιν ἀνδρείας καὶ τοῦ μᾶλλον ἀρέσασθαι τὸν Ἀντώνιον. Γίνεται γοῦν ἐπελθὼν τέλος αὐτοῖς τῆς πολιορκίας, πολλοὺς μὲν τῶν βαρβάρων ἀποκτείνας, πολλὴν δὲ ἀποτεμόμενος λείαν· ὥστε τὸν μὲν Ἀντώνιον, θαυμάζοντα καὶ πάλαι τῆς ἀρετῆς αὐτὸν, τότε μᾶλλον οὕτως ἔχειν, καὶ πολὺ προσθεῖναι ταῖς τε ἄλλαις τιμαῖς αὐτοῦ καὶ ταῖς εἰς τὴν βασιλείαν ἐλπίσιν, Ἀντίοχον δὲ τὸν βασιλέα ἀναγκασθῆναι τὰ Σαμόσατα παραδοῦναι.

ΚΕΦ. ΙΖ'.

Κἀν τούτῳ θραύεται τὰ κατὰ τὴν Ἰουδαίαν Ἡρώδου πράγματα. Κατελελοίπει μὲν γὰρ Ἰώσηπον τὸν ἀδελφὸν ἐπὶ τῶν ὅλων, παραγγείλας μηδὲν μέχρι τῆς ὑποστροφῆς αὐτοῦ παρακινεῖν πρὸς Ἀντίγονον· οὐ γὰρ δὴ βέβαιον εἶναι Μαχαιρᾶν σύμμαχον ἐξ ὧν ἔδρασεν. Ὁ δὲ ὡς ἤκουσεν ὄντα πορρωτάτω τὸν ἀδελφὸν, ἀμελήσας τῶν παραγγελμάτων ἐπὶ Ἱεριχοῦντος ἐχώρει μετὰ πέντε σπειρῶν, ἃς συνέπεμψε Μαχαιρᾶς· ἦει δὲ τὸν σῖτον ἁρπάσων ἐν ἀκμῇ τοῦ θέρους. Ἐπιθεμένων δ' ἐν τοῖς ὄρεσι καὶ ταῖς δυσχωρίαις τῶν ἐναντίων, αὐτός τε θνήσκει, μάλα γενναῖος ἐν τῇ μάχῃ φανείς, καὶ τὸ Ῥωμαϊκὸν πᾶν διαφθείρεται. Νεοσύλλεκτοι γὰρ ἐκ τῆς Συρίας ἦσαν αἱ σπεῖραι, καὶ οὐδὲν αὐταῖς ἀνεκέκρατο τῶν πάλαι στρατιωτῶν καλουμένων, ἐπαμύνειν τοῖς ἀπείροις πολέμου δυνάμενον.

β'. Ἀντιγόνῳ δὲ οὐκ ἀπέχρησεν ἡ νίκη, προῆλθε δὲ εἰς τοσοῦτον ὀργῆς, ὥστε καὶ νεκρὸν αἰκίσασθαι τὸν Ἰώσηπον. Κρατήσας γοῦν τῶν σωμάτων ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ, καίτοι πεντήκοντα τάλαντα λύτρον αὐτῆς Φερώρα τἀδελφοῦ διδόντος. Τὰ δὲ τῆς Γαλιλαίας μετὰ τὴν Ἀντιγόνου νίκην ἐνεωτερίσθη πρὸς τοσοῦτον ὥστε τοὺς τὰ Ἡρώδου φρονοῦντας τῶν δυνατῶν προσάγοντες εἰς τὴν λίμνην κατέδυσαν οἱ προσέχοντες Ἀντιγόνῳ. Μετεβάλλετο δὲ πολλὰ καὶ τῆς Ἰδουμαίας, ἔνθα Μαχαιρᾶς ἀνετείχιζέ τι τῶν ἐρυμάres Antigoni exploratum ivit, Herodi id dissuadenti nihil obsequutus. Antigonus autem, qui præsensit quo animo veniret, et civitate eum exclusit, et tanquam hostem a mœnibus propulsavit, usque adeo ut Machæram puderet et in Ammauntem ad Herodem se reciperet : iratusque quod res tam male ceciderint, in quoscunque Judæos incurrebat, illos occidebat, ne Herodianis quidem vel minimum parcens, sed in omnes, tanquam Antigoniani essent, sæviens.

7. Ista quum ægre tulisset Herodes, voluit quidem Machæram tanquam hostem propellere : iracundia vero cohibita ad Antonium properabat, Machæræ iniquitatem accusaturus. At ille, quum sua secum reputasset delicta, et regem celeriter insequebatur, multisque precibus effecit ut secum in gratiam rediret. Non tamen Herodes ad Antonium velle ire destitit. Sed quum audisset eum magnis viribus oppugnare Samosata (urbs autem est juxta Euphratem valida), eo magis accelerabat, tempus idoneum esse animadvertens quo et fortitudinem demonstraret et Antonio impensius placeret. Denique ubi primum ad eum venit, finem attulit obsidioni, multis barbaris interfectis amplaque præda ablata, ut Antonius quidem, quanquam ejus virtutem antea miraretur, tunc tamen magis eum suspiceret, multumque et ad alios ejus honores et ad spem regni adderet, rex vero Antiochus Samosatorum deditionem facere coactus esset.

CAP. XVII. (XIII.)

Dum hæc gerebantur, res Herodis in Judæa fractæ sunt. Reliquerat quidem Josephum fratrem suum, qui omnia procuraret, cui mandaverat ut ante ipsius reditum nihil quicquam adversus Antigonum moveret. Machæram enim nequaquam firmum habiturum esse socium, quod intelligi possit ex iis quæ fecerit. Ille vero, ubi fratrem longissime abesse rescivit, mandatorum immemor, cum quinque cohortibus, quas cum aliis miserat Machæras, Hierichuntem proficiscebatur. Ibat enim, quum æstas esset adulta, segetes direpturus. Adversariis autem in montibus et locis difficilibus eum adortis, et ipse, quum se in prælio strenuum fortemque admodum ostendisset, occumbit, Romanique ad unum omnes occiduntur. Nam cohortes erant ex Syria non ita pridem collectæ, nec veteranos ullos secum permistos habebant, qui belli imperitis opitulari possent.

2. Antigonus autem victoria minime contentus fuit, sed eo iracundiæ processit, ut Josephum etiam mortuum indigne tractaret. Corporibus enim potitus illius caput abscindit, quamvis frater ejus Pheroras id quinquaginta talentis redimere voluerit. Adeo autem novatæ sunt res Galilææ post Antigoni victoriam, ut primates qui ab Herode stabant ad lacum productos demergerent qui Antigono favebant. Multa etiam in Idumæa mutabantur, ubi Machæras cujusdam castelli, cui nomen est Gittha, mœnia instaurabat.

των· Γιτθᾶ καλεῖται. Τούτων δὲ οὐδέπω πέπυστο Ἡρώδης. Μετὰ γὰρ τὴν Σαμοσάτων ἅλωσιν Ἀντώνιος μὲν καταστήσας ἐπὶ τῆς Συρίας Σόσσιον, καὶ προστάξας Ἡρώδῃ βοηθεῖν ἐπ' Ἀντίγονον, αὐτὸς εἰς Αἴγυπτον ἀνεχώρησε, Σόσσιος δὲ δύο μὲν τάγματα προαπέστειλεν εἰς Ἰουδαίαν Ἡρώδῃ συμμαχῶν, αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ἠκολούθει σχεδόν.

γ'. Ὄντι δὲ Ἡρώδῃ κατὰ τὴν πρὸς Ἀντιόχειαν Δάφνην, ὄνειροι σαφεῖς τὸν τοῦ ἀδελφοῦ θάνατον προσημαίνουσι, καὶ μετὰ ταραχῆς ἐκθορόντι τῆς κοίτης εἰσῆεσαν ἄγγελοι τῆς συμφορᾶς. Ὁ δὲ ὀλίγον μὲν προσοιμώξας τῷ πάθει, τὸ πλεῖον δὲ τοῦ πένθους ὑπερθέμενος, ἐπὶ τοὺς ἐχθροὺς ἠπείγετο. Ποιούμενος δὲ τὴν πορείαν ὑπὲρ δύναμιν, καὶ διανύσας ἐπὶ τὸν Λίβανον, ὀκτακοσίους μὲν τῶν περὶ τὸ ὄρος προσλαμβάνει συμμάχους, Ῥωμαίων δὲ ἓν τάγμα ταύτῃ συνῆψε. Μεθ' ὧν ὠ περιμείνας ἡμέραν εἰς τὴν Γαλιλαίαν ἐνέβαλε, τούς τε πολεμίους ὑπαντιάσαντας εἰς ὃ καταλελοίπεσαν χωρίον τρέπεται. Καὶ προσέβαλλε μὲν συνεχῶς τῷ φρουρίῳ, πρὶν δὲ ἑλεῖν, χειμῶνι βιασθεὶς χαλεπωτάτῳ, ταῖς πλησίον ἐνστρατοπεδεύεται κώμαις. Ἐπεὶ δ' αὐτῷ μετ' ὀλίγας μὲν ἡμέρας καὶ τὸ δεύτερον παρ' Ἀντωνίῳ τάγμα συνέμιξε, δείσαντες τὴν ἰσχὺν οἱ πολέμιοι διὰ νυκτὸς ἐξέλιπον τὸ ἔρυμα.

δ'. Καὶ τὸ λοιπὸν ἦει διὰ Ἰεριχοῦντος σπεύδων ἧ τάχιστα τοὺς τἀδελφοῦ φονεῖς μετελθεῖν. Ἔνθα καὶ δαιμόνιον αὐτῷ συμβαίνει τέρας, ἐξ οὗ παρ' ἐλπίδα σωθεὶς ἀνδρὸς θεοφιλεστάτου δόξαν ἀπηνέγκατο. Πολλοὶ μὲν γὰρ αὐτῷ τῶν ἐν τέλει κατ' ἐκείνην συνειστιάθησαν τὴν ἑσπέραν· διαλυθέντος δὲ τοῦ συμποσίου, μετὰ τὸ πάντας ἐξελθεῖν εὐθέως ὁ οἶκος συνέπεσεν. Τοῦτο καὶ κινδύνων καὶ σωτηρίας κοινὸν ἐπὶ τῷ μέλλοντι πολέμῳ κρίνας εἶναι σημεῖον, ὑπὸ τὴν ἕω διεκίνει τὴν στρατιάν· καὶ τῶν ἐναντίων εἰς ἑξακισχιλίους ἀπὸ τῶν ὀρῶν καταῤῥέχοντες ἀπεπειρῶντο τῶν προτεταγμένων, κατὰ χεῖρα μὲν συμπλέκεσθαι τοῖς Ῥωμαίοις οὐ σφόδρα θαῤῥοῦντες, πόῤῥωθεν δὲ χερμάσι καὶ παλτοῖς ἔβαλλον, ὥστε συχνοὺς κατατιτρώσκειν. Ἐν ᾧ καὶ αὐτὸς Ἡρώδης παρελαύνων παλτῷ κατὰ τὴν πλευρὰν ἀκοντίζεται.

ε'. Βουλόμενος δὲ ὁ Ἀντίγονος μὴ μόνον τόλμῃ τῶν σφετέρων, ἀλλὰ καὶ πλήθει περιεῖναι δοκεῖν, Πάππον τινὰ τῶν ἑταίρων μετὰ στρατιᾶς ἐπὶ Σαμάρειαν ἐπιπέμπει. Τούτων μὲν οὖν ἦν Μαχαιρᾶς ἀγώνισμα. Ἡρώδης δὲ τὴν πολεμίαν καταδραμὼν πέντε μὲν πολίχνας καταστρέφεται, δισχιλίους δὲ τῶν ἐν αὐταῖς διαφθείρει, καὶ τὰς οἰκίας ἐμπρήσας ὑπέστρεψεν ἐπὶ τὸ στρατόπεδον· ἤδιστο δὲ περὶ τὴν καλουμένην Κανᾶ κώμην.

ς'. Προσεγίνετο δ' αὐτῷ καθ' ἡμέραν πολὺ πλῆθος Ἰουδαίων ἔκ τε αὐτῆς Ἰεριχοῦντος καὶ τῆς ἄλλης χώρας, οἱ μὲν διὰ μῖσος τὸ πρὸς Ἀντίγονον, οἱ δ' ἐπὶ τοῖς αὐτοῦ κατορθώμασι κεκινημένοι. Τούς γε μὴν πολλοὺς ἐνῆγεν ἐπιθυμία μεταβολῆς ἄλογος. Καὶ ὁ

Ista autem nondum audierat Herodes. Captis enim Samosatis Antonius, quum Syriæ præfecisset Sossium, eique mandasset ut Herodem adjuvaret contra Antigonum, ipse discessit in Ægyptum, Sossius vero duas legiones Herodi auxiliares præmisit in Judæam, ipseque cum reliquis copiis e vestigio subsequebatur.

3. Ceterum Herodi, quum apud Daphnen Antiochiæ esset somnia manifesta fratris mortem præsignificant; quumque turbatus e lecto exsiluisset, ingressi sunt calamitatis nuncii. Ille vero, quum paululum quidem lamentis ob id quod acciderat indulsisset, luctus vero partem majorem distulisset, in hostes properabat. Itinere autem ultra vires accelerato, ubi ad Libanum pervenit, octingentos quidem montis accolas in auxilium assumit, quum unam Romanorum legionem illic collegisset. Cum quibus, non exspectata luce, irruptionem in Galilæam faciebat, hostesque obviam progressos in locum quem reliquerant avertit. Et continuo quidem castellum oppugnabat, prius vero quam id caperet, gravissima tempestate adactus in proximis pagis castra metatur. Quum autem paucis post diebus et altera legio ab Antonio missa sese ei adjunxisset, hostes viribus ejus perterriti munimentum nocte deserebant.

4. Postea per Hierichuntem ire contendebat, ut quamprimum fratris interfectores ulcisci posset. Ubi ei mirabile quiddam et prodigiosum accidit, ex quo præter spem ereptus atque servatus passim credebatur esse vir Deo carus dilectusque. Nam vespera quidem illa multos e primatibus ad cœnam adhibuit, finitoque convivio, quum omnes exiissent, cœnaculum concidit. Hoc ipsum salutis pariter ac periculorum in bello quod gerendum erat indicium esse ratus, prima luce exercitum educit: atque hostium sex circiter millia, qui de montibus decurrebant, prima agmina lacessebant, ad manus quidem cum Romanis conserendas non satis audaces, sed lapides ac tela in eos eminus jacientes, quibus aliquammulti vulnerati erant. Qua velitatione et ipsi Herodi inter obequitandum latus jaculo transfigitur.

5. Antigonus autem, se non solum suorum audacia, sed etiam numero superiorem videri volens, Pappum e sociis unum cum manu militum in Samariam mittit. Et istis quidem id negotii erat, ut cum Machæra contenderent. At Herodes, quum hostium regionem incursionibus vexasset, urbeculas quinque subjugat, duoque hominum millia ex habitantibus interficit, domibusque incensis in castra revertitur. Stativa autem habuit ad vicum Cana appellatum.

6. In dies autem singulos magna multitudo Judæorum tam ex ipsa Hierichunte quam ex cetera regione ei accedebat, partim pro odio in Antigonum, partim vero rebus ab Herode præclare gestis eo adducti. Ceterum majorem partem impellebat rerum mutandarum cupiditas insana. Atque

μὲν ἠπείγετο συμβαλεῖν, οἱ δὲ περὶ Πάππον οὔτε πρὸς τὸ πλῆθος οὔτε περὶ τὴν ὁρμὴν ὑποδείσαντες αὐτοῦ προθύμως ἀντεπεξῆλθον. Γενομένης δὲ τῆς παρατάξεως, τὰ μὲν ἄλλα μέρη πρὸς ὀλίγον ἀντέσχον, Ἡρώδης δὲ κατὰ μῆνιν τοῦ φονευθέντος ἀδελφοῦ παραβαλλόμενος, ὡς ἂν τίσαιτο τοὺς αἰτίους τοῦ φόνου, ταχέως τῶν καθ' ἑαυτὸν ἐκράτει, καὶ μετ' ἐκείνους ἐπὶ τὸ συνεστὸς ἀεὶ τρεπόμενος ἅπαντας διώκει. Φόνος τε ἦν πολὺς, τῶν μὲν εἰς τὴν κώμην συνεξωθουμένων ἐξ ἧς ὥρμηντο, τοῦ δὲ προσκειμένου τοῖς ὑστάτοις καὶ κτείνοντος ἀπείρους. Συνεισπίπτει δὲ τοῖς πολεμίοις εἴσω, καὶ πᾶσα μὲν ὁπλιτῶν οἰκία νένακτο, τὰ τέγη δὲ ἦν ὕπερθεν ἀμυνομένων κατάπλεα. Κἀπειδὴ περιῆν τῶν ἔξωθεν, τὰς οἰκήσεις σπαράττων εἶλκε τοὺς ἔνδοθεν· καὶ τοῖς μὲν πολλοῖς ἐπικατασείων τοὺς ὀρόφους ἀθρόως ἀνῄρει, τοὺς ὑποφυγόντας δὲ τῶν ἐρειπίων οἱ στρατιῶται ξιφήρεις ἀνεδέχοντο, καὶ τοσοῦτον ἐσωρεύθη νεκρῶν πλῆθος, ὥστε τὰς ὁδοὺς ἀποφραγῆναι τοῖς κρατοῦσι. Ταύτην τὴν πληγὴν οὐκ ἤνεγκαν οἱ πολέμιοι· τὸ γοῦν ἐπισυλλεγόμενον αὐτῶν πλῆθος ὡς ἐθεάσατο τοὺς ἀνὰ τὴν κώμην διεφθαρμένους, εἰς φυγὴν διεσκεδάσθη. Κἂν εὐθέως τῇ νίκῃ τεθαρρηκὼς Ἡρώδης ἐπὶ Ἱεροσολύμων ἤλασεν, εἰ μὴ χειμῶνι διεκωλύθη σφοδροτάτῳ. Τοῦτο τὸ ἐμπόδιον ἐκείνῳ τε παντελοῦς κατορθώματος καὶ ἤττης τῷ Ἀντιγόνῳ κατέστη, βουλευομένῳ καταλιπεῖν ἤδη τὴν πόλιν.

ζ'. Ἡρώδης δὲ πρὸς ἑσπέραν ἤδη τοὺς φίλους κεκμηκότας ἐπὶ θεραπείᾳ τοῦ σώματος διαφείς, καὶ αὐτὸς ὡς ἦν ἔτι θερμὸς ἐκ τῶν ὅπλων λουσόμενος ἦει στρατιωτικώτερον· εἷς γοῦν αὐτῷ παῖς εἵπετο. Καὶ πρὶν εἰς τὸ βαλανεῖον εἰσελθεῖν, ἐναντίον αὐτοῦ τις ἐκτρέχει τῶν πολεμίων ξιφήρης, ἔπειτα δεύτερος καὶ τρίτος καὶ ἐξῆς πλείους. Οὗτοι καταπεφεύγεσαν μὲν ἐκ τῆς παρατάξεως εἰς τὸ βαλανεῖον ὡπλισμένοι· τέως δὲ ὑποπεπτηκότες καὶ διαλανθάνοντες, ὡς ἐθεάσαντο τὸν βασιλέα, λυθέντες ὑπ' ἐκπλήξεως αὐτὸν μὲν παρέτρεχον γυμνὸν ὄντα τρέμοντες, ἐπὶ δὲ τὰς ἐξόδους ἐχώρουν. Τῶν μὲν οὖν ἄλλων οὐδεὶς παρῆν κατὰ τύχην ὁ συλληψόμενος τοὺς ἄνδρας, Ἡρώδῃ δὲ ἀπέχρη τὸ μηδὲν παθεῖν, ὥστε διαφεύγουσι πάντες.

η'. Τῇ δ' ὑστεραίᾳ Πάππον μὲν τὸν Ἀντιγόνου στρατηγὸν καρατομήσας (ἀνῄρητο δὲ ἐπὶ τῆς παρατάξεως), πέμπει τὴν κεφαλὴν Φερώρᾳ τῷ ἀδελφῷ, ποινὴν τοῦ φονευθέντος αὐτῶν ἀδελφοῦ· καὶ γὰρ οὗτος ἦν ὁ τὸν Ἰώσηπον ἀνελών. Λωφήσαντος δὲ τοῦ χειμῶνος ἤλαυνεν ἐπὶ Ἱεροσολύμων, καὶ μέχρι τοῦ τείχους ἀγαγὼν τὴν δύναμιν (συνήγετο δὲ αὐτῷ τρίτον ἔτος ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀπεδέδεικτο) πρὸ τοῦ ἱεροῦ στρατοπεδεύεται· ταύτῃ γὰρ ἦν ἐπίμαχον, καθ' ὃ καὶ πρὶν εἶλε Πομπήιος τὴν πόλιν. Διελὼν δὲ εἰς ἔργα τὴν στρατιὰν καὶ τεμὼν τὰ προάστεια, τρία μὲν ἐγείρει χώματα, καὶ πύργους ἐποικοδομεῖν αὐτοῖς κελεύσας, καταλιπὼν τοὺς ἀνυστικωτάτους τῶν ἑταίρων ἐπὶ τῶν ἔργων, αὐτὸς εἰς Σαμάρειαν ἦει τὴν Ἀλεξάνδρου τοῦ Ἀριστο-

ille quidem, ut congrederetur, festinabat, Pappus vero ejusque milites, neque multitudine neque impetu perterriti, alacriter obviam prodierunt. Pugna autem commissa, aciei quidem pars altera paulisper resistebat, at Herodes ex fraternæ necis recordatione intrepide se periculo objiciens, ac si ipsos necis auctores ulciscatur, sibi oppositos illico superat, ac deinde post illos continuo integros adortus, omnes in fugam versos persequitur. Et multa erat cædes, illis in vicum unde exierant compulsis, ipso novissimis instante et innumeros occidente. Postremo autem una cum hostibus intro irrumpit, erantque domus quidem omnes armatis refertæ, sed tecta superiora eorum plena qui se defendebant. Et quum foris deprehensos superasset, ædibus dilaceratis, abditos in iis extrahebat : atque tecta quidem in plurimos dejiciens magnam stragem edidit, quotquot vero ruinam subterfugerant milites gladiis excipiebant; et tanta mortuorum multitudo in cumulos congesta erat, ut ipsis victoribus viæ obstruerentur. Hanc plagam non tulerunt hostes, adeo ut vulgus illorum confluens, ubi cæsorum numerum in vico conspexerunt, in fugam se disjecerint. Statimque Herodes, sumpto ex victoria animo, ad Hierosolyma perrexisset, nisi hiems asperrima eum prohibuisset. Hæc ei quominus victoria perficeretur obstitit, et ne penitus opprimeretur Antigonus, qui de civitate jam deserenda cogitabat.

7. Herodes autem ad vesperam, quum jam defatigatos amicos corporis reficiendi gratia dimisisset, et ipse, ut erat ab armis calidus, instar militis gregarii lavatum ibat, adeoque unus tantum puer eum sequebatur. Et priusquam balneum intraret, ejus in conspectu quidam ex hostibus stricto gladio se proripiebat, deinde alter, itidemque tertius, et deinceps plures. Et isti quidem ex acie in balneum armati confugerant : tum autem metu perculsi et latitantes, ubi regem viderunt, animo defecti præ stupore, ipsum quidem inermem trementes prætereunt, exitus vero cursu petebant. Porro quum ita ceciderit ut ex aliis nemo adesset qui homines comprehenderet, eoque contentus esset Herodes, quod nihil mali pateretur, fiebat ut omnes salvi effugerent.

8. Postero autem die Pappi Antigoni ducis (in prælio autem sublatus erat), caput amputat, idque Pheroræ fratri suo mittit, pœnam et piaculum ob fratris ipsorum cædem : nam et is erat qui Josephum interfecerat. Quum autem hiems mitior esse cœpisset, Hierosolyma ire properabat, murisque admoto milite (anfius autem tertius vertebatur ex quo Romæ rex declaratus fuerat), ante fanum castra collocat : nam hac parte facilior erat expugnatio, quaque antea urbem ceperat Pompejus. Exercitu autem diviso suisque operibus cuique parti assignatis, et excisis in suburbiis arboribus, tres quidem aggeres erigit : quumque turres super eos ædificari jussisset, relictis qui operibus instarent commilitonum impigerrimis, ipse Samariam adibat, sibi uxorem ut acciperet Alexandri filii Aristobuli filiam,

βούλου μετιὼν θυγατέρα, καθωμολογημένην, ὡς ἔφαμεν, αὐτῷ, καὶ πάρεργον ποιεῖται τῆς πολιορκίας τὸν γάμον· ἤδη γὰρ ὑπερηφάνει τοὺς πολεμίους.

θ'. Γήμας δὲ ὑπέστρεψεν ἐπὶ Ἱεροσολύμων μετὰ μείζονος δυνάμεως· συνῆπτε δὲ αὐτῷ καὶ Σόσσιος μετὰ πλείστης στρατιᾶς, ἱππέων τε καὶ πεζῶν, ἣν προεκπέμψας διὰ τῆς μεσογείου, τὴν πορείαν αὐτὸς διὰ Φοινίκης ἐποιήσατο. Συναθροισθείσης δὲ τῆς ὅλης δυνάμεως, εἰς ἕνδεκα μὲν τέλη πεζῶν, ἱππεῖς δὲ ἑξακισχιλίους δίχα τῶν ἀπὸ Συρίας συμμάχων, οἱ μέρος οὐκ ὀλίγον ἦσαν, καταστρατοπεδεύονται τοῦ βορείου τείχους πλησίον, αὐτὸς μὲν πεποιθὼς τοῖς τῆς συγκλήτου δόγμασι, δι' ὧν βασιλεὺς ἀπεδέδεικτο, Σόσσιος δὲ Ἀντωνίῳ τῷ πέμψαντι τὴν ὑπ' αὐτῷ στρατιὰν Ἡρώδῃ σύμμαχον.

ei, uti diximus, desponsatam; et præter susceptum obsidionis opus nuptias agitat, quippe jam hostes despiciebat.

9. Ubi autem eam duxit, Hierosolyma reversus est, militibus auctus; eique se conjungebat Sossius cum magna equitum peditumque manu; quibus per mediterranea præmissis, ipse per Phœnicen iter fecit. Universis autem copiis congregatis, ad peditum legiones undecim, equitumque sex millia, præter alia e Syria auxilia, quæ pars erant exercitus non exigua, prope murum septentrionalem castra metantur: ipse quidem Herodes senatusconsulto fretus quo rex fuerat declaratus, Sossius vero Antonii mandato, qui ipsum cum militibus quibus præerat Herodi in auxilium miserat.

ΚΕΦ. ΙΗ'.

exstructis, ut ædificia non solum intus essent aspectu splendida, sed et exteriores parietes et maceriæ et tecta pretiosis largiter circumfusa essent ornamentis. Magnam etiam aquæ copiam ingenti impensa e longinquo induxit, et ducentis gradibus e marmore candidissimo ascensum distinxit. Erat enim tumulus modice excelsus, totusque manu factus. Denique alia ad imum ejus palatia ædificavit, quæ et impedimenta et amicos recipere possent, adeo ut pro rerum omnium copia castellum civitas esse videretur, circuitu vero domus regia.

11. Quum autem tanta exstruxisset, plerisque etiam exterarum civitatum animi sui magnitudinem patefecit. Namque apud Tripolin et Damascum et Ptolemaidem gymnasia, Bybli autem murum, exedras vero et porticus templa et fora Beryti ac Tyri ædificavit, nec non apud Sidonem et Damascum theatra, maritimis etiam Laodicensibus aquæductum fecit, atque Ascalonitis balneas et fontes magnificos, prætereaque peristylia tam opere quam magnitudine suspicienda: nonnullis etiam lucos et loca irrigua dicavit. Multæ autem civitates, quasi ad regnum ejus pertinerent, etiam agros ab eo acceperunt; alias vero gymnasiorum præfecturas reditibus annuis et perpetuis dotavit, constituens, quemadmodum Cois, ut nunquam præmia deessent. Porro frumentum egenis omnibus suppeditavit; et Rhodiis ad classem parandam instruendamque pecunias sæpe multisque in locis præbuit: quumque incensum esset Pythium templum, in melius suis sumptibus denuo ædificavit. Quid opus est ejus in Lycios et Samios liberalitatem memorare, aut largitionem per Ioniam omnem, pro cujusque necessitate ab eo factam? Nonne etiam Athenienses et Lacedæmonii, Nicopolitani et in Mysia Pergamus Herodis sunt plena donariis? nonne Antiochensium in Syria plateam, quum cœno oppleta ab omnibus vitaretur, per viginti stadia in longitudinem stravit polito marmore, et ad effugiendos imbres porticu ejusdem longitudinis eam ornavit?

12. Sed hæc propria quis dixerit illorum, quibus ea contulit, populorum: quod autem Eleis donavit, munus erat non solum Græciæ commune, sed et toti terrarum orbi, in quem ludorum Olympiacorum gloria pervasit. Nam quum istos propter pecuniæ inopiam fere interiisse videret, et quod reliquum erat veteris Græciæ in nihilum delabi, non solum agonotheta ipse factus est eo lustro, in quod, quum Romam navigaret, incidit, sed etiam in perpetuum pecuniarum reditus suppeditavit, ut nunquam ejus memoria agonothetæ munere fungi desineret. Infinitum autem foret debitorum tributorumve remissiones percensere, quemadmodum Phasaelitas et Balaneotas, aliaque circa Ciliciam municipia annuis pensionibus levavit. Ceterum animi ejus magnitudinem non paululum fregit timor, ne quam haberet invidiam, aut majus aliquid aucupari videretur, quod beneficiis amplioribus civitates affecerit, quam qui illarum essent domini.

13. Quin et ea corporis exercitatione usus est, quæ maxime animæ conveniret, in venatione quidem semper optime se gerens, quod ob equitandi peritiam res ei suc-

ἡμέρᾳ ποτὲ τεσσαράκοντα θηρίων ἐκράτησεν. Ἔστι δὲ καὶ συοτρόφος μὲν ἡ χώρα, τὸ πλέον δ' ἐλάφων καὶ ὄνων ἀγρίων εὔπορος. Πολεμιστὴς δὲ ἀνυπόστατος· πολλοὶ γοῦν κἀν ταῖς γυμνασίαις αὐτὸν κατεπλάγησαν, ἀκοντιστήν τε ἰθυβολώτατον καὶ τοξότην εὐστοχώτατον ἰδόντες. Πρὸς δὲ τοῖς ψυχικοῖς καὶ τοῖς σωματικοῖς προτερήμασιν, ἐχρήσατο δεξιᾷ καὶ τύχῃ. Καὶ γὰρ σπανίως ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν πταισμάτων οὐκ αὐτὸς αἴτιος, ἀλλ' ἢ προδοσία τινῶν, ἢ προπέτεια στρατιωτῶν ἐγένετο.

ΚΕΦ. ΚΒ'.

Τάς γε μὴν ὑπαίθρους εὐπραγίας ἡ τύχη τοῖς κατ' οἶκον ἀνιαροῖς ἐνεμέστησε, καὶ κακοδαιμονεῖν ἐκ γυναικὸς ἤρξατο, περὶ ἣν μάλιστα ἐσπούδασεν. Ἐπειδὴ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθεν, ἀποπεμψάμενος ἣν ἰδιώτης ὢν ἦκτο γαμετὴν, ᾗ γένος ἦν ἐξ Ἱεροσολύμων, Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, δι' ἣν αὐτῷ στασιασθῆναι συνέβη τὸν οἶκον, καὶ τάχιον μὲν, μάλιστα δὲ μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. Πρῶτον μὲν γὰρ τὸν ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον διὰ τοὺς ἐκ Μαριάμμης ἐφυγάδευσε τῆς πόλεως, μόναις ταῖς ἑορταῖς ἀφεὶς κατιέναι. Ἔπειτα τὸν πάππον τῆς γυναικὸς Ὑρκανὸν, ἐκ Πάρθων πρὸς αὐτὸν ἐλθόντα, δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ἡχμαλωτίσατο μὲν Βαρζαφάρνης καταδραμὼν Συρίαν, ἐξητήσαντο δὲ κατ' οἶκτον οἱ ὑπὲρ Εὐφράτην ὁμοεθνεῖς. Καὶ εἴ γε τούτοις ἐπείσθη, παραινοῦσι μὴ διαβῆναι πρὸς Ἡρώδην, οὐκ ἂν παραπώλετο. Δέλεαρ δὲ αὐτῷ θανάτου τῆς υἱωνῆς ὁ γάμος κατέστη. Τούτῳ γὰρ πεποιθὼς καὶ περισσόν τι τῆς πατρίδος ἐφιέμενος ἦκε. Παρώξυνε δὲ Ἡρώδην, οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας, ἀλλ' ἐπειδὴ τὸ βασιλεύειν ἐπέβαλλεν αὐτῷ.

β'. Τῶν δὲ ἐκ Μαριάμμης πέντε τέκνων αὐτῷ γενομένων δύο μὲν θυγατέρες, τρεῖς δὲ ἦσαν υἱεῖς. Καὶ τούτων ὁ νεώτατος μὲν ἐν Ῥώμῃ παιδευόμενος τελευτᾷ· δύο δὲ τοὺς πρεσβυτέρους βασιλικῶς ἦγε, διά τε τὴν μητρῴαν εὐγένειαν καὶ ὅτι βασιλεύοντι γεγόνεισαν αὐτῷ. Τὸ δὲ τούτων ἰσχυρότερον, ὁ Μαριάμμης ἔρως συνήργει, καθ' ἡμέραν ἐκκαίων Ἡρώδην λαβρότερον, ὡς μηδενὸς τῶν διὰ τὴν στεργομένην λυπηρῶν αἰσθάνεσθαι· τοσοῦτον δὲ ἦν μῖσος εἰς αὐτὸν τῆς Μαριάμμης, ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. Ἔχουσα δὲ τὴν μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν ἐκ τοῦ φιλεῖσθαι, φανερῶς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον Ὑρκανὸν καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον. Οὐδὲ γὰρ τούτου καίπερ ὄντος παιδὸς ἐφείσατο, δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἑπτακαιδεκαέτει, μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως, ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι καὶ τῷ βωμῷ προσελθόντι καθ' ἑορτὴν ἄθρουν ἐπεδάκρυσε τὸ πλῆθος· πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς εἰς Ἰεριχοῦντα, ἐκεῖ δὲ, κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος ἐν κολυμβήθρᾳ τελευτᾷ.

γ'. Διὰ ταῦτα Ἡρώδην τε ὠνείδιζεν ἡ Μαριάμμη

cesserit : uno quippe die aliquando feras quadraginta subegit. Est autem aprorum altrix illa regio, magis vero cervis et onagris abundat. Bellator vero erat cui nemo esset resistendo : adeo ut in gymnasiorum exercitiis eum pertimescerent, quum ipsum vidissent maxime omnium recta jaculari, et sagittando quam minime a scopo aberrare. Præter animi autem corporisque virtutem præcellentem, fortuna quoque usus est secunda. Nam et raro male ei res ceciderunt in bello, et si quando acie victus fuerit, non ipsius culpa, sed aut proditione quorundam aut temeritate militum factum est.

CAP. XXII. (XVII.)

Ceterum dum foris res ei succederent, domesticis molestiis eum persequuta est fortuna, quodque adversis casibus conflictaretur, in causa erat mulier, quam maxime dilexerat. Nam postquam adeptus est imperium, dimissa quam privatus uxorem duxerat, quæ genere erat Hierosolymitana, nomine Doris, Mariamnen sibi matrimonio jungit, filiam Alexandri, Aristobuli filii : unde contigit domum ejus seditionibus agitari, et antea quidem, maxime vero post ejus a Roma reditum. Nam primum quidem Antipatrum, filium quem e Doride susceperat, civitate expulit, in gratiam illorum quos e Mariamne genuerat, solis festis diebus eo commeandi potestate concessa. Deinde Hyrcanum, avum conjugis, ex Parthis ad ipsum reversum, propter insidiarum suspicionem sustulit, quem captum quidem occupata Syria Barzapharnes abduxerat, gentiles vero Transeuphratenses, sortem ejus miserati, sibi dari petierant. Et si horum monitis paruisset, ne ad Herodem transiret hortantium, nequaquam periisset. Verum mortis ejus incitamentum fuit neptis matrimonium. Nam hoc fretus, multoque magis patriam desiderans, veniebat. Herodem autem commovit, non quod regnum sibi vindicaret, sed quod regnare ipsi jure deberetur.

2. Quinque autem liberorum, quos ex Mariamne susceperat, duo quidem feminæ, tres vero mares erant. Atque horum natu minimus dum educatur Romæ moritur : duos autem grandiores, et propter matris nobilitatem, et quod ipsi in imperio geniti essent, regie instituebat. Verum, quod istis fortius erat, ad hoc conferebat amor Mariamnes, qui in dies Herodem vehementius urebat, ut eorum nihil sentiret quæ propter dilectam ipsi dolerent : tantum autem in eum Mariamnes erat odium, quantus illius erga ipsam amor. Illa igitur ex rebus quidem ipsis probabiles habens inimicitiarum causas, ex eo vero quod amaretur loquendi libertatem, coram ei objiciebat quæ in avum suum Hyrcanum fratremque Aristobulum perpetraverat. Nec enim huic, quanquam puer erat, pepercit Herodes, dato quidem ipsi, quum annorum esset septemdecim, pontificatu, eo vero post honorem acceptum statim occiso, quoniam populus ei sacra veste induto, quum ad aram festo die ascendisset, frequens illacrimavit. Noctu igitur mittitur puer Hierichuntem, atque ibi a Gallis, quibus id negotii mandatum erat, in piscinam immersus interiit.

3. Ob ista Mariamne probra in Herodem jaciebat, soro-

καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα δειναῖς ἐξύβριζε λοιδορίαις. Ἀλλ' ὁ μὲν πεφίμωτο τοῖς ἱμέροις. Δεινὴ δὲ τὰς γυναῖκας ἀγανάκτησις εἰσῆει, καὶ πρὸς ὃ μάλιστα κινήσειν τὸν Ἡρώδην ἔμελλον, εἰς μοιχείαν διέβαλλον αὐτήν· ἄλλα τε πολλὰ πρὸς τὸ πιθανὸν ἐνσκευαζόμεναι καὶ κατηγοροῦσαι, διότι τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν εἰς Αἴγυπτον Ἀντωνίῳ, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀποῦσαν δείξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι καὶ βιάζεσθαι δυναμένῳ. Τοῦτο ὥσπερ σκηπτὸς ἐμπεσὼν ἐτάραξεν Ἡρώδην, μάλιστα μὲν διὰ τὸν ἔρωτα ζηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας δεινότητα, δι' ἣν Λυσανίας τε ὁ βασιλεὺς ἀνῄρητο καὶ Μάλιχος ὁ Ἄραψ. Οὐ γὰρ ἀφαιρέσει γαμετῆς ἐμέτρει τὸν κίνδυνον, ἀλλὰ θανάτῳ.

δ'. Μέλλων οὖν ἀποδημήσειν Ἰωσήπῳ τῷ ἀνδρὶ Σαλώμης τῆς ἀδελφῆς αὐτοῦ (πιστὸς δὲ ἦν καὶ διὰ τὸ κῆδος εὔνους) παρατίθεται τὴν γυναῖκα, κρύφα δοὺς ἐντολὰς ἀναιρεῖν αὐτὴν εἰ κἀκεῖνον Ἀντώνιος. Ὁ δὲ Ἰώσηπος οὔ τι κακοήθως, ἀλλὰ τὸν ἔρωτα τοῦ βασιλέως παραστῆσαι τῇ γυναικὶ βουλόμενος, ὡς οὐδὲ ἀποθανὼν αὐτῆς ὑπομένοι διαζευχθῆναι, τὸ ἀπόρρητον ἐκφέρει. Κἀκείνη πρὸς ἐπανήκοντα τὸν Ἡρώδην, πολλά τε περὶ τοῦ πρὸς αὐτὴν πόθου ἐν ταῖς ὁμιλίαις ἐπομνύμενον καὶ ὡς οὐδὲν ἐρασθείη ποτὲ γυναικὸς ἄλλης, « πάνυ γοῦν, εἶπε, ταῖς πρὸς Ἰώσηπον ἐντολαῖς ἐπεδείξω τὸν εἰς ἡμᾶς ἔρωτα, κτεῖναί με προστάξας. »

ε'. Ἔκφρων εὐθέως ἀκούσας τὸ ἀπόρρητον ἦν, καὶ οὐκ ἄν ποτε τὸν Ἰώσηπον ἐξαγγεῖλαι τὴν ἐντολὴν φάμενος, εἰ μὴ διαφθείρειεν αὐτήν, ἐνεθουσία τῷ πάθει, καὶ τῆς κοίτης ἐξαλλόμενος, ἀνέδην ἐν τοῖς βασιλείοις ἀνειλεῖτο. Κἀν τούτῳ Σαλώμη ἡ ἀδελφὴ τὸν καιρὸν εἰς τὰς διαβολὰς ἁρπάσασα τὴν εἰς τὸν Ἰώσηπον ἐβεβαίωσεν ὑποψίαν. Ὁ δὲ, ὑπ' ἀκράτου ζηλοτυπίας ἐκμανείς, παραχρῆμα κτείνειν προσέταξεν ἀμφοτέρους. Μετάνοια δ' εὐθέως εἶπετο τῷ πάθει, καὶ τοῦ θυμοῦ πεσόντος ὁ ἔρως πάλιν ἀνεζωπυρεῖτο. Τοσαύτη δὲ ἦν φλεγμονὴ τῆς ἐπιθυμίας, ὡς μηδὲ τεθνάναι δοκεῖν αὐτὴν, ὑπὸ δὲ κακώσεως ὡς ζώσῃ προσλαλεῖν, μέχρι τῷ χρόνῳ διδαχθεὶς τὸ πένθος ἀνάλογον [τὴν λύπην] ἔσχε τῇ πρὸς περιοῦσαν διαθέσει.

ΚΕΦ. ΚΓ'.

Κληρονομοῦσι δὲ τῆς μητρῴας οἱ παῖδες ὀργῆς, καὶ τοῦ μύσους ἔννοιαν λαμβάνοντες ὡς πολέμιον ὑφεώρων τὸν πατέρα, καὶ πρότερον μὲν ἐπὶ Ῥώμης παιδευόμενοι, πλέον δὲ ὡς εἰς Ἰουδαίαν ὑπέστρεψαν. Συνηνδροῦτο δ' αὐτῶν ταῖς ἡλικίαις ἡ διάθεσις. Ἐπεὶ δὲ γάμων ἔχοντες ὥραν, ὁ μὲν τῆς τηθίδος Σαλώμης, ἡ τῆς μητρὸς αὐτῶν κατηγόρησεν, ὁ δὲ ἔγημεν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως θυγατέρα, προσελάμβανον ἤδη τῷ μίσει καὶ παρρησίαν. Ἐκ δὲ τοῦ θράσους αὐτῶν ἀφορμὰς οἱ διαβάλλοντες ἐλάμβανον, καὶ φανερώτερον ἤδη τῷ βασιλεῖ διελέγοντό τινες, ὡς ἐπιβουλεύοιτο μὲν ὑπ' ἀμφοτέρων τῶν υἱῶν, ὁ δὲ Ἀρχελάῳ κηδεύσας

remque ejus et matrem atrocibus conviciis proscindebat. Sed illi quidem præ amore os erat occlusum. Gravis autem indignatio mulieres subiit, et, quo maxime Herodi iram concitarent, insimulabant eam adulterii, et alia multa ad fidem faciendam instruentes, eamque accusantes, quod in Ægyptum imaginem suam misisset Antonio, et ex immoderata libidine semet absentem viro ostendi curasset, mulierum desiderio furenti et quivim posset adhibere. Hoc ipsum veluti fulmen emissum perturbavit Herodem, maxime quidem amoris causa zelotypia inflammatum, insuperque secum reputantem Cleopatræ sævitiam, cujus gratia et Lysanias rex et Malichus Arabs erant perempti. Non enim ex eo quod futurum esset ut conjux sibi eriperetur, sed quod mortis discrimen adiret, periculum metiebatur.

4. Itaque peregre profecturus Josepho, Salomes sororis suæ marito, quem fidum habebat et ex affinitate benevolum, uxorem commendat, mandato ei clam ut illam interficeret, si modo ipsum occideret Antonius. Verum Josephus non maligne, sed regis amorem mulieri demonstrare volens, quomodo ille ab ea semet ne mortuum quidem disjungi pateretur, arcanum enunciat. Atque illa, quum reversus esset Herodes, multaque inter colloquendum de suo illius desiderio juraret, quodque nunquam aliam mulierem adeo deamaret, « valde, inquit, tuum erga nos amorem patefecisti mandatis Josepho datis, quibus ut me occideret præcepisti. »

5. Herodes, quum arcanum audiisset, illico mentis impos erat, dicensque Josephum sua mandata non fuisse proditurum, nisi eam stuprasset, præ dolore insaniebat, atque stratis exiliens ultro citroque cursabat in regia. Intereaque soror ejus Salome, arrepto tempore ad criminandum suspicionem de Josepho confirmavit. Ille vero ex immoderata zelotypia in furorem actus e vestigio utrumque necari jussit. At continuo insaniam excipiebat pœnitentia, iraque residente amor iterum exsuscitatur. Tanta autem ejus cupiditate ardebat, ut mortuam vix aut ne vix quidem esse crederet, sed præ ægritudine eam, quasi adhuc viveret, alloqueretur; donec tempore edoctus, luctus [mœroris] magnitudine eum, quo superstitem dilexerat, æquavit affectum.

CAP. XXIII. (XVII.)

Maternæ autem iracundiæ hæredes succedunt filii, et immanitatem sceleris reputantes non aliter patrem quam si hostis esset suspectum habebant, idque et antea quum Romæ in studiis versarentur, et multo magis postquam in Judæam erant reversi. Atque una cum ætatibus illorum adolevit affectus. Posteaquam vero conjugio maturi, unus amita Salomes, quæ matrem eorum accusavit, alter Archelai Cappadocum regis filiam duxerat, tum odio etiam loquendi libertatem adjungebant. Ex illa autem audacia calumniandi ansa arrepta est, et mox apertius quidam apud regem dicebant quod ei a filio quidem utroque struerentur insidiæ; ille vero, qui Archelai gener erat, socero fretus etiam fugam

καὶ φεύγειν παρασκευάζοιτο, τῷ πενθερῷ πεποιθώς, ἵνα ἐπὶ Καίσαρος αὐτοῦ κατηγορήσῃ. Ἀναπλησθεὶς δὲ τῶν διαβολῶν Ἡρώδης ὥσπερ ἐπιτείχισμα τοῖς υἱοῖς κατάγει τὸν ἐκ τῆς Δωρίδος Ἀντίπατρον, καὶ πάντα τρόπον προτιμᾶν ἄρχεται.

β'. Τοῖς δὲ ἀφόρητος ἦν ἡ μεταβολὴ, καὶ τὸν ἐξ ἰδιώτιδος μητρὸς ὁρῶντες προκόπτοντα, διὰ τὴν αὐτῶν εὐγένειαν οὐκ ἐκράτουν τῆς ἀγαναxτήσεως· ἐφ' ἑκάστου δὲ τῶν ἀνιαρῶν τὴν ὀργὴν ἐξέφαινον. Ὡς δὲ οἱ μὲν καθ' ἡμέραν προσίσταντο μᾶλλον, ὁ δὲ Ἀντίπατρος ἤδη καὶ δι' αὐτὸν ἐσπουδάζετο, δεινότατος μὲν ὢν ἐν ταῖς πρὸς τὸν πατέρα κολακείαις, διαβολὰς δὲ κατὰ τῶν ἀδελφῶν ποικίλας ἐνσκευαζόμενος, καὶ τὰ μὲν αὐτὸς λογοποιῶν, τὰ δὲ τοὺς ἐπιτηδείους φημίζειν καθιείς, μέχρι παντάπασι τοὺς ἀδελφοὺς ἀπέρρηξε τῆς βασιλικῆς ἐλπίδος. Καὶ γὰρ ἐν ταῖς διαθήκαις καὶ φανερῶς αὐτὸς ἦν ἤδη διάδοχος· ὡς βασιλεὺς γοῦν ἐπέμφθη καὶ πρὸς Καίσαρα, τῶ τε κόσμῳ καὶ ταῖς ἄλλαις θεραπείαις, πλὴν διαδήματος, χρώμενος. Χρόνῳ δὲ ἐξίσχυσεν εἰσαγαγεῖν ἐπὶ τὴν Μαριάμμης κοίτην τὴν μητέρα· δυσὶ δὲ ὅπλοις κατὰ τῶν ἀδελφῶν χρώμενος, κολακείᾳ καὶ διαβολῇ, τὸν βασιλέα καὶ περὶ θανάτου τῶν υἱῶν ὑπειργάσατο.

γ'. Τὸν γοῦν Ἀλέξανδρον σύρας μέχρι Ῥώμης ὁ πατὴρ τῆς ἐφ' ἑαυτῷ φαρμακείας ἔκρινεν ἐπὶ Καίσαρος. Ὁ δὲ εὑρὼν μόλις ὁλοφυρμοῦ παρρησίαν, καὶ δικαστὴν ἐμπειρότερον Ἀντιπάτρου καὶ Ἡρώδου φρονιμώτερον, τὰ μὲν ἁμαρτήματα τοῦ πατρὸς αἰδημόνως ὑπεστείλατο, τὰς δὲ αὐτοῦ διαβολὰς ἰσχυρῶς ἀπεδύσατο· καθαρὸν δὲ καὶ τὸν ἀδελφὸν ἀποδείξας κοινωνοῦντα τῶν κινδύνων, οὕτως ἤδη τό τε Ἀντιπάτρου πανοῦργον καὶ τὴν αὐτῶν ἀτιμίαν ἀπωδύρετο. Συνήργει δὲ αὐτῷ μετὰ καθαροῦ τοῦ συνειδότος ἡ περὶ λόγους ἰσχύς· ἦν γὰρ δὴ δεινότατος εἰπεῖν. Καὶ τὸ τελευταῖον φάμενος ὡς τῷ πατρὶ κτείνειν αὐτοὺς ἔστιν, εἰ δὴ προτίθεται τὸ ἔγκλημα, προήγαγε μὲν εἰς δάκρυα πάντας, τὸν δὲ Καίσαρα διέθηκεν οὕτως ὡς ἀπογνῶναι μὲν αὐτῶν τὰ κατηγορημένα, διαλλάξαι δὲ Ἡρώδην εὐθέως. Αἱ διαλλαγαὶ δὲ ἐπὶ τούτοις ἦσαν, ὥστε ἐκείνους μὲν τῷ πατρὶ πάντα πειθαρχεῖν, τὸ δὲ τὴν βασιλείαν καταλιπεῖν ᾧ βούλεται.

δ'. Μετὰ ταῦτα δὲ ἀπὸ Ῥώμης ὑπέστρεφεν ὁ βασιλεὺς, τῶν μὲν ἐγκλημάτων ἀφεικέναι τοὺς υἱεῖς δοκῶν, τῆς δὲ ὑπονοίας οὐκ ἀπηλλαγμένος. Παρηκολούθει γὰρ Ἀντίπατρος, ἡ τοῦ μίσους ὑπόθεσις, ἀλλ' εἴς γε τὸ φανερὸν τὴν ἀπέχθειαν οὐκ ἐξέφερε, τὸν διαλλακτὴν αἰδούμενος. Ὡς δὲ τὴν Κιλικίαν παραπλέων κατῆρεν εἰς Ἐλεοῦσαν, εἱστία μὲν αὐτοὺς φιλοφρόνως Ἀρχέλαος, ὑπὲρ τῆς τοῦ γαμβροῦ σωτηρίας εὐχαριστῶν, καὶ ταῖς διαλλαγαῖς ἐφηδόμενος, ὡς ἂν καὶ τάχιον γεγραφὼς τοῖς ἐπὶ Ῥώμης φίλοις, συλλαμβάνεσθαι περὶ τὴν δίκην Ἀλεξάνδρῳ. Προπέμπει δὲ μέχρι Ζεφυρίου, δῶρα δοὺς μέχρι τριάκοντα ταλάντων.

ε'. Ὡς δὲ εἰς Ἱεροσόλυμα Ἡρώδης ἀφικνεῖται, συναγαγὼν τὸν λαὸν, καὶ τοὺς τρεῖς υἱεῖς παραστησάμε-

pararet, ipsum apud Cæsarem accusaturus. Herodes autem, quum criminationum satis superque accepisset, Antipatrum ex Doride susceptum, veluti propugnaculo sibi futurum adversus filios, ad se adducit, ejusque rationem modis omnibus habere cœpit.

2. Illis autem intoleranda erat hæc rerum mutatio; quumque viderent matre privata natum adeo proficere, tantos eis sua nobilitas stimulos subdidit, ut indignationem cohibere non possent; sed ob quodcunque grave illis et molestum iram suam palam faciebant. At quum illi in dies magis infesto et inimico essent animo, Antipater jam studiose omnia ipse agebat, ut qui optime norit patrem adulari, et varias in fratres suos calumnias pararet, quasdam ipsemet spargens, alias vero necessariis suis divulgandas submittens : donec spem regni omnem fratribus præciderit. Nam et in testamento et aperte quoque jam ipse erat successor : denique tanquam rex etiam ad Cæsarem missus est, et ornatu et cetero præter diadema cultu instructus. Tempore autem brevi tantum gratia valuit, ut matrem suam in lecto Mariamnes collocaret : geminisque armis contra fratres usus, blanditiis et calumniis, clam effecit ut rex etiam de filiorum nece cogitaret.

3. Quapropter pater quum Alexandrum secum Romam duxisset, veneni sibi parati reum apud Cæsarem postulavit. Ille autem, quum ægre eo confidentiæ devenisset ut calamitatem deploraret, et judicem habens Antipatro peritiorem et Herode prudentiorem, delicta quidem patris verecunde suppressit, jactas vero in ipsum criminationes fortiter diluit : quumque fratrem periculorum consortem sceleris purum demonstrasset, tum mox de Antipatri calliditate et de contumeliis et injuriis sibi illatis questus est. Non solum autem ipsum adjuvabat conscientia intemerata, sed et verborum vis : nam acerrimus erat in dicendo. Postremo quum dixisset, patri licere occidere ipsos, si scilicet crimen objiceret, fecit ut omnes lacrimas profunderent; Cæsar vero ita affectus est, ut accusationem in eos institutam rejecerit et Herodem illis reconciliarit. Ea autem lege facta est reconciliatio, ut adolescentes quidem patri in omnibus obsequerentur, illi vero liberum esset regnum relinquere cui vellet.

4. Post hæc igitur rex Roma reversus est, ita ut videretur filiis quidem criminationes remisisse, haud vero ab omni suspicione liber. Eum enim comitatus est Antipater, odii causa et fundamentum; sed reconciliatorem veritus palam proferre inimicitias non audebat. Ceterum quum juxta Ciliciam navigans ad Eleusam appulerit, eos quidem Archelaus convivio perhumaniter excipiebat, pro incolumitate generi gratias referens, et ob concordiam redintegratam hilaritatem suam ostendens : quippe nihil moratus amicis Romæ scripserat ut in judicio Alexandrum adjuvarent. Quin et Zephyrium usque deduxit, talentis etiam triginta donatum.

5. Postea vero quam Hierosolyma pervenit Herodes, populo convocato, tribusque filiis ipsi adstantibus, pro-

νος, ἀπελογεῖτο περὶ τῆς ἀποδημίας· καὶ πολλὰ μὲν ηὐχαρίστει τῷ Θεῷ, πολλὰ δὲ Καίσαρι καταστησαμένῳ τὸν οἶκον αὐτοῦ τεταραγμένον, καὶ μεῖζόν τι τοῖς υἱοῖς παρασχόντι τῆς βασιλείας τὴν ὁμόνοιαν, « ἣν αὐτὸς, ἔφη,
« συναρμόσω μᾶλλον. Ὁ μὲν γὰρ κύριον ἐμὲ τῆς ἀρ-
« χῆς καὶ διαστὴν τοῦ διαδόχου κατέστησεν, ἐγὼ δὲ,
« μετὰ τοῦ συμφέροντος ἑμαυτῷ κἀκεῖνον ἀμειβόμενος,
« τούσδε τοὺς τρεῖς παῖδας ἀποδείκνυμι βασιλέας, καὶ
« τῆς γνώμης πρῶτον τὸν Θεὸν σύμψηφον, ἔπειτα καὶ
« ὑμᾶς παρακαλῶ γενέσθαι. Τῷ μὲν γὰρ ἡλικία,
« τοῖς δὲ εὐγένεια τὴν διαδοχὴν προξενεῖ. Τό γε μὴν
« μέγεθος τῆς βασιλείας ἀρκεῖ καὶ πλείοσιν. Οὓς δὲ
« Καῖσαρ μὲν ἔγνωσε, καθίστησι δὲ πατὴρ, ὑμεῖς τη-
« ρήσατε, μήτε ἀδίκους μήτε ἀνωμάλους τὰς τιμὰς
« διδόντες, ἑκάστῳ δὲ κατὰ πρεσβεῖον. Οὐ γὰρ το-
« σοῦτον εὐφρανεῖ τις τὸν παρ' ἡλικίαν θεραπευόμενον,
« ὅσον ὀδυνήσει τὸν ἀτιμούμενον. Οὕς γε μὴν ἑκάστῳ
« συνεῖναι δεήσει συγγενεῖς καὶ φίλους, ἐγὼ διανεμῶ,
« καὶ τῆς ὁμονοίας ἐκείνους ἐγγυητὰς καταστήσομαι,
« σαφῶς ἐπιστάμενος ὅτι τὰς στάσεις καὶ τὰς φιλονει-
« κίας γεννῶσιν αἱ τῶν συνδιατριβόντων κακοήθειαι· κἂν
« ὦσιν οὗτοι χρηστοὶ, τηροῦσι τὰς στοργάς. Ἀξιῶ δὲ
« οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς ἐν τῇ στρατιᾷ μου
« ταξιάρχους, ἐν ἐμοὶ μόνῳ τὰς ἐλπίδας ἔχειν ἐπὶ τοῦ
« παρόντος. Οὐ γὰρ βασιλείαν, ἀλλὰ τιμὴν βασιλείας
« τοῖς υἱοῖς παραδίδωμι· καὶ τῶν μὲν ἡδέων ὡς ἄρχον-
« τες ἀπολαύσουσι, τὸ βάρος δὲ τῶν πραγμάτων ἐμόν
« ἐστι, κἂν μὴ θέλω. Σκεπτέσθω δὲ ἕκαστος τήν τε
« ἡλικίαν μου καὶ τὴν ἀγωγὴν τοῦ βίου, καὶ τὴν εὐσέ-
« βειαν. Οὔτε γὰρ οὕτως εἰμὶ γέρων ὥστ' ἂν ἀπελπι-
« σθῆναι ταχέως, οὔτε εἰς τρυφὴν ἐκδιαιτώμενος, ἣ καὶ
« νέους ἐπιτέμνεται· τό τε θεῖον οὕτω τεθεραπεύκαμεν
« ὥστε ἂν ἐπὶ μήκιστον βίου προελθεῖν. Ὁ δὲ τοὺς
« ἐμοὺς παῖδας θεραπεύων ἐπὶ τῇ ἐμῇ καταλύσει, δώ-
« σει μοι καὶ περὶ ἐκείνων δίκας. Οὐ γὰρ ἐγὼ φθονῶν
« τοῖς ἐξ ἐμοῦ γεγεννημένοις ἀνακόπτω τὴν εἰς αὐτοὺς
« φιλοτιμίαν, ἐπιστάμενος δὲ τοῖς νέοις γίνεσθαι τὰς
« σπουδὰς θράσους ἐφόδιον. Εἴ γε μὴν ἕκαστος ἐνθυ-
« μηθείη τῶν προσιόντων ὅτι χρηστὸς μὲν ὢν παρ' ἐμοῦ
« λήψεται τὴν ἀμοιβὴν, στασιάζων δὲ καὶ παρὰ τῷ θε-
« ραπευομένῳ τὸ κακόηθες ἀνόνητον ἕξει, πάντας οἶμαι
« τὰ ἐμὰ φρονήσειν, τουτέστι τὰ τῶν ἐμῶν υἱῶν· καὶ
« γὰρ τούτοις συμφέρει κρατεῖν ἐμὲ κἀμὲ τούτοις ὁμο-
« νοεῖν. Ὑμεῖς δὲ, ὦ παῖδες ἀγαθοὶ, πρῶτον μὲν ἐνθυ-
« μούμενοι τὴν ἱερὰν φύσιν, ἧς καὶ παρὰ θηρίοις αἱ στορ-
« γαὶ μένουσιν, ἔπειτα τὸν ποιησάμενον ἡμῶν τὰς διαλ-
« λαγὰς Καίσαρα, τρίτον ἐμὲ τὸν ἐν οἷς ἔξεστιν ἐπιτάσ-
« σειν παρακαλοῦντα, μείνατε ἀδελφοί. Δίδωμι δὲ
« ὑμῖν ἐσθῆτά τε ἤδη καὶ θεραπείαν βασιλικήν· ἐπεύ-
« χομαι δὲ καὶ τῷ Θεῷ τηρῆσαι τὴν ἐμὴν κρίσιν, ἂν
« ὁμονοῆτε ». Ταῦτα εἰπὼν, καὶ φιλοφρόνως ἕκαστον κατασπασάμενος τῶν υἱῶν, διέλυσε τὸ πλῆθος, τοὺς μὲν συνευχομένους τοῖς εἰρημένοις, ὅσοι δὲ ἐπεθύμουν μεταβολῆς, μηδὲ ἀκηκοέναι προσποιουμένους.

fectionis suæ rationem reddit : et multas quidem Deo gratias agebat, multas vero Cæsari, qui domus suæ perturbationem sedaverit atque restinxerit; et, quod regno majus, filiis auctor fuerit concordiæ, « quam ego, inquit, arctius
« adhuc coagmentare studebo. Nam is quidem me regni
« dominum et de successore judicem constituit, ego vero,
« quod mei intersit, illi etiam gratias referens, hos tres
« filios reges designo, atque huic sententiæ primum Deum
« suffragatorem fieri precor, deinde et vos. Namque huic
« ætas, illis generis nobilitas successionem conciliat. Porro
« regni ea magnitudo est, ut etiam pluribus sufficiat. Quos
« autem Cæsar conjunxit et pater constituit, vos velim
« observare, neque injustis neque disparibus eos colentes
« honoribus, sed quemque pro nascendi ordine. Non enim
« tanta quis afficiet eum lætitia qui præter ætatis præroga-
« tivam colitur, quantum ei, quem despicit, doloris affe-
« ret. Ceterum ex consanguineis et amicis, quos oporte-
« bit cum singulis versari, ego illis adjungam, et concordiæ
« sponsores constituam, ut qui probe norim, dissidia et
« contentiones ex malignis ingeniis eorum quibuscum agunt
« proficisci : hosque, si boni fuerint, mutuum amorem
« tueri. Non istos autem tantum oro et obtestor, sed et
« ordinum ductores in exercitu meo, ut in me solo spem
« habeant in præsentia. Non enim regnum, sed regni
« honorem filiis trado : et jucundis quidem, quasi in im-
« perio essent, perfruentur, rerum vero onus, tametsi
« nolim, meum erit. Consideret autem quisque ætatem
« meam, vitæque institutum, necnon pietatem. Nam ne-
« que senex adeo sum, ut de me vita desperari debeat, ne-
« que voluptatibus assuetus, quæ et juvenum poplites suc-
« cidunt : quin et Deum ita coluimus, ut vita quam longis-
« sima frui non dubitemus. Quotus vero quisque filios meos
« observabit vitæ meæ exitum exspectans, sciat is se pro-
« pterea mihi pœnas daturum esse. Ego enim nequaquam,
« ac si inviderem ex me genitis, impedio quominus alii eos
« honore prosequantur, sed quod norim, ejusmodi studia
« in adolescentibus ferociam alere. Itaque si cogitare velint
« qui ad eos se conferunt, quod, quicunque bene se gesse-
« rit, gratiam a me relatam habebit, dissidia vero serenti
« nihil profuturam esse malitiam, etiam apud eum cui leno-
« cinatur, omnes profecto meis, hoc est filiorum meorum,
« rebus studebunt. Nam et ipsis expedit me regnare, me-
« que cum illis concordare. Vos autem, o boni filii, vo-
« biscum cogitantes sacra naturæ vincula, quibus etiam
« feræ invicem conciliantur et amore continentur, deinde
« Cæsarem, qui gratiæ redintegrandæ auctor erat, tertio
« me ipsum, qui rogare malo quum possim jubere, manete
« fratres. Jam inde autem vobis do vestem et cultum re-
« gium : Deumque obsecro ut meum tueatur conservetque
« judicium, si concordes eritis. » Ista loquutus unumquem-que filiorum peramanter complexus est, et populum dimisit, alios quidem precantes ut dictis respondeat eventus, alios vero, qui mutationis cupidi erant, ne audiisse quidem se quicquam simulantes.

ΚΕΦ. ΚΔ'.

Συναπτήει δὲ τοῖς ἀδελφοῖς ἡ στάσις, καὶ χείρους τὰς ἐπ' ἀλλήλοις ὑπονοίας ἔχοντες ἀπηλλάγησαν, Ἀλέξανδρος μὲν καὶ Ἀριστόβουλος ὀδυνώμενοι κεκυρωμένον Ἀντιπάτρῳ τὸ πρεσβεῖον, Ἀντίπατρος δὲ καὶ τοῦ δευτερεύειν νεμεσῶν τοῖς ἀδελφοῖς. Ἀλλ' ὁ μὲν, ποικιλώτατος ὢν τὸ ἦθος, ἐχεμυθεῖν τε ἤδει καὶ πολλῷ τῷ πανούργῳ χρώμενος τὸ πρὸς αὐτοὺς ἐκάλυπτε μῖσος· τοῖς δὲ δι' εὐγένειαν πᾶν τὸ νοηθὲν ἦν ἐπὶ γλώσσης. Καὶ παροξύνοντες μὲν ἐνέκειντο πολλοί, πλείους δὲ τῶν φίλων παρεδύνοντο κατάσκοποι. Πᾶν δὲ τὸ παρ' Ἀλεξάνδρῳ λαληθὲν εὐθέως ἦν παρ' Ἀντιπάτρῳ, καὶ μετὰ προσθήκης μετέβαινεν ἀπὸ Ἀντιπάτρου πρὸς Ἡρώδην. Οὔτε δ' ἁπλῶς φθεγξάμενος ὁ νεανίας ἀνυπεύθυνος ἦν, ἀλλ' εἰς διαβολὴν τὸ ῥηθὲν ἐστρέφετο, καὶ μετρίως παρρησιασαμένου μέγιστα τοῖς ἐλαχίστοις προσεπλάττετο. Καθίει δὲ Ἀντίπατρος ἀεὶ τοὺς ἐρεθίζοντας, ὅπως αὐτὸ τὸ ψεῦδος ἔχοι τὰς ἀφορμὰς ἀληθεῖς· κἀκ τῶν φημιζομένων ἕν τι διελεγχθὲν ἅπασι πίστιν ἐπετίθει. Καὶ τῶν μὲν αὐτοῦ φίλων ἡ φύσει στεγανώτατος ἦν ἕκαστος, ἢ κατεσκευάζετο δωρεαῖς, ὡς μηδὲν ἐκφέρεσθαι τῶν ἀπορρήτων· καὶ τὸν Ἀντιπάτρου βίον οὐκ ἂν ἁμάρτοι τις εἰπὼν κακίας μυστήριον. Τοὺς γὰρ Ἀλεξάνδρῳ συνόντας χρήμασι διαφθείρων, ἢ κολακείαις ὑπιών, αἷς πάντα κατειργάσατο, ἐπεποιήκει προδότας, καὶ τῶν πραττομένων ἢ λαλουμένων φῶρας. Πάντα δὲ πριεσχεμμένως δραματουργῶν τὰς πρὸς Ἡρώδην ὁδοὺς ταῖς διαβολαῖς ἐποιεῖτο τεχνικωτάτας, αὐτὸς μὲν ἀδελφοῦ προσωπεῖον ἐπικείμενος, καθιεὶς δὲ μηνυτὰς ἑτέρους. Κἀπειδάν ἀπαγγελθείη τι κατὰ Ἀλεξάνδρου, παρελθὼν ὑπεκρίνετο, καὶ διασύρειν τὸ ῥηθὲν ἀρξάμενος, ἔπειτα κατεσκεύαζεν ἡσυχῇ, καὶ πρὸς ἀγανάκτησιν ἐξῆγε τὸν βασιλέα. Πάντα δ' εἰς ἐπιβουλὴν ἀνήγετο, καὶ τὸ δοκεῖν τῇ σφαγῇ τοῦ πατρὸς ἐφεδρεύειν Ἀλέξανδρον· οὐδὲν γὰρ οὕτω πίστιν ἐχορήγει ταῖς διαβολαῖς ὡς ἀπολογούμενος Ἀντίπατρος ὑπὲρ αὐτοῦ.

β'. Τούτοις Ἡρώδης ἐξαγριούμενος, ὅσον ὑφῄρει καθ' ἡμέραν τῆς πρὸς τὰ μειράκια στοργῆς, τοσοῦτον Ἀντιπάτρῳ προσετίθει. Συναπέκλιναν δὲ καὶ τῶν κατὰ τὸ βασίλειον οἱ μὲν ἑκόντες, οἱ δὲ ἐξ ἐπιτάγματος, ὥσπερ Πτολεμαῖος ὁ τιμιώτατος τῶν φίλων, οἵ τε ἀδελφοὶ τοῦ βασιλέως, καὶ πᾶσα ἡ γενεά. Πάντα γὰρ Ἀντίπατρος ἦν· καὶ, τὸ πικρότατον Ἀλεξάνδρῳ, πάντα ἦν ἡ Ἀντιπάτρου μήτηρ, σύμβουλος κατ' αὐτῶν, μητρυιᾶς χαλεπωτέρα, καὶ πλεῖόν τι προγόνων μισοῦσα τοὺς ἐκ βασιλίδος. Πάντες μὲν οὖν ἐπὶ ταῖς ἐλπίσιν ἐθεράπευον Ἀντίπατρον ἤδη, συναφίστα δὲ ἕκαστον τὰ τοῦ βασιλέως προστάγματα, παραγγείλαντος τοῖς τιμιωτάτοις μήτε προσιέναι μήτε προσέχειν τοῖς περὶ Ἀλέξανδρον. Φοβερὸς δὲ ἦν οὐ μόνον τοῖς ἐκ τῆς βασιλείας, ἀλλὰ καὶ τοῖς ἔξωθεν φίλοις· οὐδενὶ γὰρ βασιλέων τοσαύτην Καῖσαρ ἔδωκε τιμὴν, ὥστε τὸν ἀπ'

CAP. XXIV. (XVII.)

Fratribus autem comes adhæsit dissensio, et pejora suspicantes alius de alio digressi sunt, Alexander quidem et Aristobulus ægre ferentes confirmatum esse Antipatro primogenituræ honorem, Antipater vero fratribus succensens quod ipsi proximi essent. Verum is quidem moribus varius et secreta novit reticere, et quum versutus admodum esset, suum in eos odium dissimulabat; illis vero ex sua nobilitate familiare erat loqui quod sentirent. Et multi quidem satagebant eos irritare, pluresque ex amicis Antipatri ad res explorandas sese in familiaritatem eorum insinuabant. Itaque ne verbum quidem ab Alexandro emissum erat, quin statim apud Antipatrum esset, et ab Antipatro ad Herodem quibusdam ei adsutis deferretur. Neque, si simpliciter aliquid diceret adolescens, culpa immunis erat, sed quicquid diceretur ei crimini vertebatur, et sicubi paullo liberior esset, maxima minimis affingebantur. Semper autem qui eum provocarent submittebat Antipater, ut mendacia sua non de nihilo orta viderentur, multisque divulgatis, unum quid, de quo compertum erat, fidem omnibus faceret. Et hujus quidem amicorum quisque aut natura ita comparatus erat ut res taceret, aut de eo ita cautum erat muneribus, ut nihil arcani enunciaret: nec erraret aliquis, si Antipatri vitam sceleris mysterium appellaret. Alexandri enim familiares pecunia corrumpens, aut blanditiis subiens, quibus omnia expugnare consuevit, proditores fecerat, furesque eorum quæ gererentur dicerenturve. Quum autem sollerter omnia histrionis more ageret, calumniis usus via astutissima Herodem aggressus est, ipse quidem fratris personam sustinens, aliis vero subornatis qui indices fierent. Quumque aliquid nunciatum esset in Alexandrum, casu intervenire simulabat; atque initio ei quod dictum erat obtrectans, postea per otium finem ei adstruebat, et regem ad indignationem incitabat. Cuncta autem ad insidias referebantur, utque neci patris imminere videretur Alexander. Nihil enim majorem fidem calumniis tribuebat quam ut Antipater eum purgaret.

2. Istis efferatus Herodes, quantum in dies suo in adolescentes affectu detrahebat, tantum adjiciebat Antipatro. Eodem inclinabant etiam aulici, alii quidem sponte sua, alii vero jussu et imperio, sicut Ptolemæus amicorum honoratissimus, regisque fratres, et universa progenies. Omnia namque erat Antipater, et, quod Alexandro fuit acerbissimum, omnia erat Antipatri mater, quæ in eo consulebat, novercâ difficilior, multoque plus quam privignos odio habens eos qui a regina nati erant. Sed quanquam omnes ut Antipatrum jam magis observarent spes inducebat, non minus tamen singuli desciscebant jussu regis, qui carissimis edixerat ne quis ad Alexandrum ejusque fratrem accederet, aut se ad eos applicaret. Terrori autem erat non solum domesticis ad regiam spectantibus, verum etiam externis amicis. Nulli enim regum tantum imperium dederat Cæsar, ut fugitivos

αὐτοῦ φεύγοντα καὶ μὴ προσηκούσης πόλεως ἐξαγαγεῖν. Τὰ δὲ μειράκια τὰς μὲν διαβολὰς ἠγνόει παρ' ὃ καὶ μᾶλλον ἀφυλάκτως ἐνέπιπτον αὐταῖς (οὐδενὶ γὰρ ὁ πατὴρ φανερῶς ἀπεμέμφετο), συνίει δὲ κατὰ μικρὸν ἐκ τοῦ ψύγματος καὶ ὅτι πρὸς τὸ λυποῦν μᾶλλον ἐτραχύνετο. Διέθηκε δὲ πρὸς αὐτὰ καὶ τὸν θεῖον Φερώραν Ἀντίπατρος ἐχθρωδῶς, καὶ τὴν τηθίδα Σαλώμην, ὡς ἂν γαμετὴν οὖσαν, καθομιλῶν ἀεὶ καὶ παροξύνων. Συνήργει δὲ καὶ πρὸς τὴν ταύτης ἀπέχθειαν ἡ Ἀλεξάνδρου γυνὴ Γλαφύρα, γενεαλογοῦσα τὴν αὐτῆς εὐγένειαν, καὶ ὡς πασῶν τῶν κατὰ τὸ βασίλειον εἴη δεσπότις, κατὰ πατέρα μὲν ἀπὸ Τημένου, κατὰ μητέρα δὲ ἀπὸ Δαρείου τοῦ Ὑστάσπεως οὖσα· πολλὰ δὲ ὠνείδιζεν εἰς δυσγένειαν τήν τε ἀδελφὴν τὴν Ἡρώδου καὶ τὰς γυναῖκας, ὧν ἑκάστη δι' εὐμορφίαν, οὐκ ἀπὸ γένους ἠρέθη· πολλαὶ δὲ ἦσαν, ὡς ἂν ἐριεμένου τε πατρίως Ἰουδαίοις γαμεῖν πλείους, καὶ τοῦ βασιλέως ἡδομένου πλείοσιν, αἳ πᾶσαι διὰ τὸ μεγάλαυχον τῆς Γλαφύρας καὶ τὰς λοιδορίας ἐμίσουν Ἀλέξανδρον.

γ'. Τὴν δὲ δὴ Σαλώμην, καίτοι πενθερὰν οὖσαν, αὐτὸς Ἀριστόβουλος ἑαυτῷ διεστασίασεν, ὠργισμένην καὶ πρότερον ἐπὶ ταῖς ἐκ Γλαφύρας βλασφημίαις. Ὠνείδιζε γὰρ τῇ γυναικὶ συνεχῶς τὴν ταπεινότητα, καὶ ὡς αὐτὸς μὴ ἰδιώτην, ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος γήμαι βασιλίδα. Τοῦτο κλαίουσα τῇ Σαλώμῃ διήγγειλεν ἡ θυγάτηρ. Προσετίθει δὲ ὅτι καὶ τῶν ἄλλων ἀδελφῶν τὰς μὲν μητέρας ἀπειλοῖεν οἱ περὶ Ἀλέξανδρον, ἐπειδὰν παραλάβωσι τὴν βασιλείαν, ἱστουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν, αὐτοὺς δὲ κωμῶν γραμματεῖς ἐπισκώπτοντες ὡς παιδευομένους ἐπιμελῶς. Πρὸς ἃ τὴν ὀργὴν οὐ κατέχουσα Σαλώμη πάντα διήγγειλεν Ἡρώδῃ· σφόδρα δ' ἦν ἀξιόπιστος κατὰ γαμβροῦ λέγουσα. Καί τις ἑτέρα διαβολὴ συνέδραμεν ἡ τὸν θυμὸν ὑπεκκαύσασα τοῦ βασιλέως. Ἤκουσε γὰρ αὐτοὺς συνεχῶς ἀνακαλεῖσθαι μὲν τὴν μητέρα, καὶ κατοιμώζειν δὲ ἐπαρωμένους αὐτῷ, πολλάκις δὲ αὐτοῦ διαδιδόντος τῶν Μαριάμμης ἐσθήτων τινὰ ταῖς μεταγενεστέραις γυναιξίν, ἀπειλεῖν ὡς ἀντὶ τῶν βασιλικῶν ἐν τάχει περιθήσουσιν ἑαυταῖς ἐκ τριχῶν πεποιημένας.

δ'. Διὰ ταῦτα καίτοι τὸ φρόνημα τῶν νεανίσκων ὑποδείσας, ὅμως οὐκ ἀπέκοπτε τὴν ἐλπίδα τῆς διορθώσεως, ἀλλὰ προσκαλεσάμενος αὐτούς (καὶ γὰρ εἰς Ῥώμην ἐκπλεύσειν ἔμελλε), βραχέα μὲν ἠπείλησεν ὡς βασιλεὺς, τὰ πολλὰ δὲ ἐνουθέτησεν ὡς πατὴρ, καὶ φιλεῖν τοὺς ἀδελφοὺς παρεκάλει, διδοὺς τῶν προημαρτημένων ἄφεσιν, εἰ πρὸς τὸ μέλλον ἀμείνους γένοιντο. Οἱ δὲ τὰς μὲν διαβολὰς ἀπεσκευάζοντο, ψευδεῖς εἶναι λέγοντες, πιστώσασθαι δὲ τὴν ἀπολογίαν τοῖς ἔργοις ἔφασκον· δεῖν μέντοι κἀκεῖνον ἀποφράττειν τὰς λογοποιίας, τῷ μὴ πιστεύειν ῥᾳδίως· οὐ γὰρ ἐπιλείψειν τοὺς καταψευσομένους αὐτῶν, ἕως ἂν ὁ πειθόμενος ᾖ.

ε'. Τούτοις ὡς πατέρα πείσαντες ταχέως τὸν μὲν ἐν χερσὶ φόβον διεκρούσαντο, τὴν δὲ εἰς τὰ μέλλοντα λύ-

suos ex civitatibus etiam non subjectis ei liceret educere. Adolescentes autem quæ crimini sibi data erant ignorabant : proptereaque incaute magis in ea incidebant. Nam pater de nemine aperte conquestus erat, sed ex illius frigore paulatim intellexerant, et ex eo quod ad omne quod doleret magis exasperabatur. Porro Pheroram quoque patruum inimicum illis infestumque reddidit Antipater, ut et Salomen amitam, cum ea tanquam cum uxore assidue sermones miscens et in eos instigans. Conferebat ad hujus inimicitias etiam Alexandri uxor Glaphyra, multa de nobilitate sua commemorans, cunctarumque se quæ in regia versarentur dominam esse dictitans ut quæ paternum quidem genus a Temeno, maternum vero a Dario Hystaspis filio duceret. Multa etiam de ignobilitate exprobrat et Herodis sorori et uxoribus, quarum quæque propter formæ venustatem, non generis nobilitatem delecta erat. Multæ autem fuerunt, utpote quod liceret Judæis patrio more plures habere, quodque rex pluribus delectaretur. Istis omnibus propter Glaphyræ superbiam et contumelias invisus erat Alexander.

3. Porro autem Aristobulus inter se et Salomen, ipsius licet socrum, dissidium creavit, antea etiam ex Glaphyræ maledictis ira accensam. Frequenter enim uxori objiciebat generis humilitatem, quodque ipse quidem privatam, frater vero ejus Alexander reginam duxerat : id quod Salomæ cum fletu nunciavit filia. Adjiciebat etiam quod idem Alexander et Aristobulus minitarentur se regnum adeptos aliorum fratrum matres similiter aque ancillas textrices esse facturos, fratres vero scribas paganos, eos irridentes, quod diligenter literis instituti fuerint. Quibus irritata Salome quum iram cohibere non potuisset, cuncta Herodi renunciavit. Fide autem digna admodum videbatur, præsertim in iis quæ contra generum diceret. Quin et alia accessit criminatio, quæ faces subjecit animo regis. Audivit enim, ipsos crebro matrem inclamare, et ejulantes diras ei imprecari : sæpe etiam, quum ille quædam ex Mariamnes vestimentis nuperioribus divideret conjugibus, minari solitos esse quod cito ciliciis pro vestibus regiis induerentur.

4. Propter ista Herodes elatum licet juvenum animum subvereretur, non tamen spem sibi abscidit, de illis ad bonam frugem reducendis. Verum eis ad se vocatis (etenim Romam navigaturus erat) pauca quidem illis minatus est ut rex, multa vero eos monuit ut pater, atque ad fratres diligendos hortabatur, illis delicta præterita condonans, ea lege ut in posterum meliores evaderent. Illi autem sese quidem a criminibus sibi objectis purgabant, ea mentita et falsa esse dicentes, suæ vero defensioni fidem ex rebus ipsis constare aiebant, atque ipsum sane debere viam obsepire fictis sermonibus, illis haud temere credendo : nunquam enim defuturos esse mendacia in ipsos confictures quam diu sint quibus ea persuadeant.

5. Quum istis eum, utpote patrem, cito placavissent, præsentem quidem metum depulerunt, de futuris vero

πην προσέλαβον· ἔγνωσαν γὰρ τήν τε Σαλώμην ἐχθρὰν καὶ τὸν θεῖον Φερώραν. Ἦσαν δὲ βαρεῖς μὲν ἀμφότεροι καὶ χαλεποί, Φερώρας δὲ μείζων, ὃς πάσης μὲν ἐκοινώνει τῆς βασιλείας πλὴν διαδήματος, προσόδου δὲ ἰδίας ἑκατὸν εἶχε τάλαντα, τὴν δὲ πέραν Ἰορδάνου πᾶσαν ἐκαρποῦτο χώραν, λαβὼν παρὰ τἀδελφοῦ δῶρον· ὃς αὐτὸν ἐποίησε καὶ τετράρχην, αἰτησάμενος παρὰ Καίσαρος, βασιλικῶν τε γάμων ἠξίωσε συνοικήσας ἀδελφὴν τῆς ἰδίας γυναικὸς, μετὰ δὲ τὴν ἐκείνης τελευτὴν καθωσίωσε τὴν πρεσβυτάτην τῶν αὐτοῦ θυγατέρων, ἐπὶ προικὶ τριακοσίοις ταλάντοις. Ἀλλ' ἀπέδρα Φερώρας τὸν βασιλικὸν γάμον πρὸς ἔρωτα δούλης. Ἐφ' ᾧ χαλεπήνας Ἡρώδης τὴν μὲν θυγατέρα τῷ πρὸς Πάρθων ὕστερον ἀναιρεθέντι συνέζευξεν ἀδελφιδῷ, Φερώρᾳ δὲ μετ' οὐ πολὺ τὴν ὀργὴν ἀνίει, διδοὺς συγγνώμην τῇ νόσῳ.

ς'. Διεβάλλετο δὲ καὶ πάλαι μὲν, ἔτι ζώσης τῆς βασιλίδος, ἐπιβουλεύειν αὐτῷ φαρμάκοις. Τότε δὲ πλεῖστοι μηνυταὶ προσῆεσαν, ὡς καίπερ φιλαδελφότατον ὄντα Ἡρώδην εἰς πίστιν ὑπαχθῆναι τῶν λεγομένων καὶ δέος. Πολλοὺς δὲ τῶν ἐν ὑπονοίᾳ βασανίσας τελευταῖον ἦλθεν ἐπὶ τοὺς Φερώρα φίλους, ὧν ἐπιβουλὴν μὲν ἄντικρυς ὡμολόγησεν οὐδεὶς, ὅτι δὲ τὴν ἐρωμένην ἁρπασάμενος εἰς Πάρθους ἀποδράναι παρεσκευάζετο, συμμέτοχος δὲ τοῦ σκέμματος αὐτῷ καὶ τῆς φυγῆς Κοστόβαρος ὁ Σαλώμης ἀνὴρ, ᾧ συνῴκισεν αὐτὴν ὁ βασιλεὺς ἐπὶ μοιχείᾳ τοῦ προτέρου διαφθαρέντος. Ἦν δὲ ἐλευθέρα διαβολῆς οὐδὲ Σαλώμη. Καὶ γὰρ αὐτῆς Φερώρας ὁ ἀδελφὸς κατηγόρει, συνθήκας περὶ γάμου ποιουμένης πρὸς Συλλαῖον τὸν Ὀβόδα τοῦ Ἀράβων βασιλέως ἐπίτροπον, ὃς ἦν ἐχθρότατος Ἡρώδῃ. Διελεγχθεῖσα δὲ καὶ τοῦτο καὶ πάντα ὅσα Φερώρας ἐνεκάλει, συγγινώσκεται· καὶ αὐτὸν δὲ Φερώραν ὁ βασιλεὺς ἀπέλυσε τῶν ἐγκλημάτων.

ζ'. Μετέβαινε δὲ ἐπ' Ἀλέξανδρον ὁ χειμὼν τῆς οἰκίας, καὶ περὶ τὴν ἐκείνου κεφαλὴν ὅλος ἀπηρείσατο. Τρεῖς ἦσαν εὐνοῦχοι τῷ βασιλεῖ τιμιώτατοι, καὶ δῆλον ἐξ ὧν ἐλειτούργουν· τῷ μὲν γὰρ οἰνοχοεῖν προσετέτακτο, τῷ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ αὐτὸν κατεκοίμιζέ τε καὶ συγκατεκλίνετο. Τούτους εἰς τὰ παιδικὰ δώροις μεγάλοις ὑπήγετο ὁ Ἀλέξανδρος. Μηνυθὲν δὲ τῷ βασιλεῖ, διηλέγχοντο βασάνοις, καὶ τὴν μὲν συνουσίαν εὐθέως ὡμολόγουν· ἐξέφερον δὲ καὶ τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὃν τρόπον ἀπατηθεῖεν ὑπ' Ἀλεξάνδρου, λέγοντος ὡς οὐκ ἐν Ἡρώδῃ δέοι τὰς ἐλπίδας ἔχειν, ἀναιδεῖ γέροντι καὶ βαπτομένῳ τὰς κόμας, εἰ μὴ διὰ τοῦτο αὐτὸν οἴονται καὶ νέον, αὐτῷ δὲ προσέχειν, ὃς καὶ παρὰ ἄκοντος διαδέξεται τὴν βασιλείαν, οὐκ εἰς μακρὰν τε τοὺς μὲν ἐχθροὺς ἀμυνεῖται, τοὺς φίλους δ' εὐδαίμονας ποιήσει καὶ μακαρίους, πρὸ πάντων δ' αὐτούς· εἶναι δὲ καὶ θεραπείαν τῶν δυνατῶν περὶ τὸν Ἀλέξανδρον λαθραίαν, τούς τε ἡγεμόνας τοῦ στρατιωτικοῦ καὶ τοὺς ταξιάρχους κρύφα πρὸς αὐτὸν συνιέναι.

η'. Ταῦτα τὸν Ἡρώδην οὕτως ἐξεφόβησεν ὡς μηδὲ

mœsti et solliciti esse cœperunt. Etenim cognovere Salomen sibi esse infensam et patruum Pheroram : ambo autem erant graves et difficiles, præsertim vero Pheroras, quippe qui omnium in regno præter diadema particeps erat, et centum talentorum reditum de suo habebat, totiusque trans Jordanem regionis fructum percipiebat, ex fratris in ipsum munificentia; qui et tetrarcham eum fecit, quod a Cæsare petierat, regalique conjugio dignatus est, in matrimonium data uxoris suæ sorore, cujus post obitum despondit ei filiarum suarum natu maximam, cum trecentorum talentorum dote. Sed regale matrimonium Pheroras ancillæ amore captus refugiebat. Quam ob rem iratus Herodes filiam nuptum dedit fratris filio, qui postea a Parthis occisus erat : non multo autem post iracundiam in Pheroram remittit, data morbo ejus venia.

6. Quin et crimini ei jam olim vertebatur quod, dum viveret regina, voluisset eum veneno tollere. Tunc autem indices plurimi rem ad eum detulerunt, ut, quamvis fratris amantissimus esset Herodes, crederet iis quæ dicerentur et metueret. Quumque de multis, qui suspecti erant, quæstionem habuisset, postremo ad Pheroræ amicos veniebat : quorum nemo de insidiis aperte aliquid confessus est, sed quod ea quam deperiit correpta in Parthos se fuga recipere parasset, quodque hujus consilii et fugæ conscius fuisset Costobarus Salomes maritus, cui hanc in matrimonium collocaverat rex, priore marito adulterii causa perempto. Sed nec Salome ab omni criminatione libera erat. Namque eam Pheroras frater accusabat, quod nuptias pacta esset cum Syllæo, Obodæ regis Arabum procuratore, quem inimicissimum habebat Herodes. Quum autem et ea de re et ceteris omnibus quæ Pheroras ei objecerat, convicta esset, ei ignoscitur : atque ipsum etiam Pheroram de criminibus absolvit rex.

7. Domus vero tempestas in Alexandrum delata est, totaque capiti ejus incubuit. Tres erant spadones regi carissimi, idque clarum ex eorum ministeriis : nam uni quidem mandatum erat vinum ei ministrare, alteri vero cœnam apponere, tertius autem eum sopiebat et cum eo concumbebat. Istos magnis muneribus amasios sibi fieri pellexit Alexander. Quum autem regi hoc indicatum esset quæstione habita convicti sunt : et se cum eo consuetudinem habere statim confitebantur, et quibus ad eam rem inducti essent promissis aperiebant, quo modo decepti essent ab Alexandro, dicente quod in Herode spem reponere non oporteret, sene impudente quique capillos tingeret, nisi hac de causa ipsum etiam pro juvene haberent; ejus vero partes sequi, qui et invito illo regnum adepturus esset et brevi quidem ab inimicis pœnas repetiturus, amicos vero felices facturos beatosque, ac præ ceteris ipsos : quin et optimates clam Alexandrum colere et observare, ducesque exercitus et ordinum ductores occulte eum convenire.

8. Ista Herodem adeo perterruerunt, ut non auderet sta-

παραχρῆμα τολμῆσαι τὰς μηνύσεις ἐκφέρειν, ἀλλὰ κατασκόπους ὑποπέμπων νύκτωρ καὶ μεθ' ἡμέραν, ἕκαστα τῶν πραττομένων ἢ λεγομένων διηρεύνα, καὶ τοὺς ἐν ταῖς ὑποψίαις εὐθέως ἀνῄρει. Δεινῆς δὴ ἀνομίας ἐπλήσθη τὸ βασίλειον. Κατὰ γὰρ ἔχθραν ἢ μῖσος ἴδιον ἕκαστος ἔπλασσε τὰς διαβολάς, καὶ πολλοὶ πρὸς τοὺς διαφόρους φονῶντι τῷ βασιλικῷ θυμῷ κατεχρῶντο. Καὶ τὸ μὲν ψεῦδος εἶχε παραχρῆμα πίστιν, αἱ κολάσεις δὲ τῶν διαβολῶν ἦσαν ὠκύτεραι. Κατηγόρητο γοῦν τις ἄρτι κατηγορήσας καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι συναπήγετο. Τὰς γὰρ ἐξετάσεις τοῦ βασιλέως ὁ περὶ τῆς ψυχῆς κίνδυνος ὑπετέμνετο. Προῦδη δὲ εἰς τοσοῦτον πικρίας ὡς μηδὲ τῶν ἀκαταιτιάτων τινὶ προσβλέπειν ἡμέρως, εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος. Πολλοῖς γοῦν αὐτῶν ἀπεῖπε τὸ βασίλειον· καὶ πρὸς οὓς οὐκ εἶχε χειρὸς ἐξουσίαν, τῷ λόγῳ χαλεπὸς ἦν. Ἐπανέδη δὲ Ἀντίπατρος ἐν ταῖς συμφοραῖς Ἀλεξάνδρῳ, καὶ στῖφος ποιήσας τῶν συγγενῶν οὐκ ἔστιν ἥντινα διαβολὴν παρέλιπε. Προήχθη γέ τοι πρὸς τοσοῦτον δέους ὁ βασιλεὺς ὑπὸ τῆς τερατείας αὐτοῦ καὶ τῶν συνταγμάτων, ὥστε ἐφιστάναι δοκεῖν αὐτῷ τὸν Ἀλέξανδρον ξιφήρη. Συλλαβὼν γοῦν αὐτὸν ἔδησεν ἐξαπίνης, καὶ πρὸς βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ. Σιγῶντες δὲ ἀπέθνησκον οἱ πολλοὶ καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόντες· οἱ δὲ ὑπὸ τῶν ἀλγηδόνων ψεύσασθαι βιασθέντες ἔλεγον ὡς ἐπιβουλεύοι τε αὐτῷ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ, καὶ παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς Ῥώμην ἀποδρᾶναι. Τούτοις, καίπερ οὐ πιθανοῖς οὖσιν, ἀλλ' ὑπὸ τῆς ἀνάγκης ἐσχεδιασμένοις, ὁ βασιλεὺς ἐπίστευεν ἡδέως, παραμυθίαν λαμβάνων τοῦ δῆσαι τὸν υἱὸν τὸ μὴ δοκεῖν ἀδίκως.

ΚΕΦ. ΚΕ'.

Ὁ δὲ Ἀλέξανδρος, ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμήχανον ἐώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω· καὶ τέσσαρας κατὰ τῶν ἐχθρῶν βίβλους συνταξάμενος προσωμολόγει μὲν τὴν ἐπιβουλήν, κοινωνοὺς δὲ ἀπεδείκνυε τοὺς πλείστους αὐτῶν, πρὸ δὲ πάντων Φερώραν καὶ Σαλώμην· ταύτην γὰρ δὴ καὶ μιγῆναί ποτε αὐτῷ μὴ θέλοντι, νύκτωρ εἰσβιασαμένην. Αἵ τε οὖν βίβλοι παρῆσαν εἰς χεῖρας Ἡρώδῃ, πολλὰ καὶ δεινὰ κατὰ τῶν δυνατῶν βοῶσαι, καὶ διὰ τάχους εἰς Ἰουδαίαν Ἀρχέλαος ἀφικνεῖται, περὶ τῷ γαμβρῷ καὶ τῇ θυγατρὶ δείσας. Γίνεται δὲ βοηθὸς αὐτοῖς μάλα προμηθὴς, καὶ τέχνῃ τὴν τοῦ βασιλέως ἀπειλὴν διεκρούσατο. Συμβαλὼν γὰρ εὐθέως αὐτῷ, « ποῦ ποτέ ἐστιν ὁ ἀλι-
« τήριός μου γαμβρός; ἐβόα· ποῦ δὲ τὴν πατροκτό-
« νον ὄψομαι κεφαλὴν, ἣν ταῖς ἐμαυτοῦ χερσὶ διασπα-
« ράξω; προσθήσω δὲ καὶ τὴν θυγατέρα μου τῷ καλῷ
« νυμφίῳ· καὶ γὰρ εἰ μὴ κεκοινώνηκε τοῦ σκέμμα-
« τος, ὅτι τοιούτου γέγονε γυνὴ, μεμίανται. Θαυ-
« μάζω δὲ καὶ σὲ τὸν ἐπιβουλευθέντα τῆς ἀνεξικακίας,
« εἰ ζῇ μέχρι νῦν Ἀλέξανδρος. Ἐγὼ γὰρ ἠπειγόμην
« ἀπὸ Καππαδοκίας, ὡς τὸν μὲν εὑρήσων πάλαι δε-

tim indicia in medium proferre, sed exploratores nocte dieque submittens, singula quæ facta erant dictave perscrutabatur, eosque sine mora perimebat in quos caderet ulla suspicio. Itaque iniquitate acerbissima repleta est regia. Nam pro suis quisque inimicitiis vel odio calumnias finxere, multique regis iracundia cædis cupida contra adversarios abutebantur. Et mendaciis quidem facile credebatur, supplicia vero celerius luebant quam factæ erant criminationes. Denique accusabatur qui modo accusaverat, et cum eo qui ab ipso convictus erat ad pœnam ducebatur : nam quominus quæstiones accurate haberentur impediebat vitæ discrimen quod rex se adire putabat. Eo autem acerbitatis processit, ut neminem vel vacuum culpa placido vultu intueretur, imo et amicis crudelis esset et inhumanus. Itaque illorum multis regia interdixit, et quos manu feriendi potestatem non habebat, eos verbis petebat. Alexandro autem in malis instabat Antipater, factoque agmine ex consanguineis, nihil reliqui faciebat quod crimini vertere potuit. Atqui eo timoris perductus est rex ex prodigiosis Antipatri sociorumque ejus mendaciis, ut videre videretur Alexandrum stricto gladio sibi imminere. Quo factum est ut comprehensum statim in vincula conjiceret et ad quæstionem in ejus amicos tormentis habendam procederet. Plurimi autem taciti moriebantur et nihil contra conscientiam eloquuti : alii vero præ doloribus mentiri coacti dicebant patri ab eo cum fratre Aristobulo insidias fieri, eosque tempus observare ut, illo inter venandum occiso, Romam profugerent. Istis, quanquam parum verisimilia erant, sed necessitate cogente effusa, lubenti tamen animo rex credebat, semet consolans in vinculis filii, quod id non injuste fecisse videretur.

CAP. XXV. (XVII.)

Alexander autem, quoniam nullo modo fieri posse videbat ut patri persuaderet animum mutare, malis obviam ire decrevit : quumque libros quattuor adversus inimicos composuisset, de insidiis confitebatur, et illorum plerosque secum earundem participes esse declarabat, ante omnes autem Pheroram et Salomen : nam hanc etiam nocte quondam per vim secum invito concubuisse dicebat. Jamque libri in manibus erant Herodis, multa et gravia de optimatibus clamantes, et maturato itinere in Judæam venit Archelaus, de genero simul ac filia sollicitus : illisque provide admodum opem tulit et auxilium, et astutia regis minas a cervicibus illorum depulit. Statim enim ac cum eo congressus est, « ubinam est, clamabat, sceleratus
« gener meus? aut ubi parricidale caput in conspectum
« meum veniet, quod manibus meis dilacerabo? imo et
« filiam meam bono sponso adjiciam : nam etsi consilii
« particeps non fuerit, ejusmodi tamen viri conjux facta,
« inquinata est. Miror autem tui patientiam, cui paratæ
« erant insidiæ, si adhuc vivit Alexander. Ego enim e
« Cappadocia properabam, illum jam pridem pœnas dedisse

« δωκότα δίκας, μετὰ δὲ σοῦ περὶ τῆς θυγατρὸς ἐξετά-
« σων, ἣν κἀκείνῳ, σὲ καὶ τὸ σὸν ἀξίωμα βλέπων,
« ἐνηγγύησα. Νῦν δὲ περὶ ἀμφοῖν ἡμῖν βουλευτέον.
« Κἂν ᾖς λίαν πατὴρ τοῦ κολάζειν υἱὸν ἐπίβουλον
« ἀτονώτερος, ἀμείψωμεν τὰς δεξιὰς καὶ γενώμεθα τῆς
« ἀλλήλων ὀργῆς διάδοχοι. »

β'. Τούτοις περικομπήσας καίπερ παρατεταγμένον Ἡρώδην ὑπάγεται. Δίδωσι γοῦν αὐτῷ τὰς συνταχθείσας ὑπ' Ἀλεξάνδρου βίβλους ἀναγνῶναι, καὶ καθ' ἕκαστον ἐφιστὰς κεφάλαιον, συνεσκέπτετο. Λαμβάνει δὲ ὁ Ἀρχέλαος ἀφορμὴν τοῦ στρατηγήματος, καὶ κατὰ μικρὸν εἰς τοὺς ἐγγεγραμμένους καὶ Φερώραν μετῆγε τὴν αἰτίαν. Ὡς δὲ ἑώρα πιστεύοντα τὸν βασιλέα, « σκεπτέον, ἔφη, μήποτε τὸ μειράκιον ὑπὸ τοσούτων εἴη πονηρῶν ἐπιβουλευόμενον, οὐχ ὑπὸ τοῦ « μειρακίου σύ. Καὶ γὰρ οὐδὲ ὁρᾶν αἰτίαν, ἐξ ἧς ἂν « εἰς τηλικοῦτον μύσος προσέπεσεν, ἀπολαῦον μὲν ἤδη « βασιλείας, ἐλπίζον δὲ καὶ διαδοχῆς, εἰ μή τινες ἦσαν « ἀναπείθοντες καὶ τὸ τῆς ἡλικίας εὔκολον ἐπὶ κακῷ « μεταχειριζόμενοι· » διὰ γὰρ τῶν τοιούτων ἐξαπατᾶσθαι μὲν οὐ νέους μόνον, ἀλλὰ καὶ γέροντας, οἴκους δὲ λαμπροτάτους καὶ βασιλείας ὅλας ἀνατρέπεσθαι.

γ'. Συνήνει τοῖς λεγομένοις Ἡρώδης, καὶ τὴν μὲν πρὸς Ἀλέξανδρον ὀργὴν ἐπανίει κατ' ὀλίγον, πρὸς δὲ Φερώραν παρωξύνετο· τῶν γὰρ τεσσάρων βιβλίων οὗτος ἦν ἡ ὑπόθεσις. Ὅς κατιδὼν τό τε τοῦ βασιλέως ὀξύρροπον καὶ τὴν Ἀρχελάου φιλίαν παρ' αὐτῷ πάντων κρατοῦσαν, ὡς οὐκ ἐνῆν εὐσχήμων σωτηρία, τὴν δι' ἀναιδείας ἐπορίζετο. Καταλείψας γοῦν Ἀλέξανδρον προσέφυγεν Ἀρχελάῳ. Κἀκεῖνος οὐχ ὁρᾶν ἔφη πῶς ἂν αὐτὸν ἐξαιτήσαιτο, τοσούτοις ἐνεχόμενον ἐγκλήμασιν, ἐξ ὧν σαφῶς ἀποδείκνυται τοῦ βασιλέως ἐπίβουλος, καὶ τῶν παρόντων τῷ μειρακίῳ κακῶν αἴτιος γεγονώς, εἰ μὴ βούληται τὸ πανοῦργον καὶ τὰς ἀρνήσεις ἀφεὶς προσομολογῆσαι μὲν τὰ κατηγορημένα, συγγνώμην δὲ αἰτήσασθαι παρὰ τἀδελφοῦ καὶ φιλοῦντος· εἰς γὰρ τοῦτο πάντα τρόπον αὐτῷ συνεργήσειν.

δ'. Πείθεται Φερώρας, καὶ κατασκευάσας αὑτὸν, ὡς ἂν οἰκτρότατος φανείη, μελαίνῃ τε ἐσθῆτι καὶ δακρύοις, προσπίπτει τοῖς Ἡρώδου ποσίν, ὡς πολλάκις ἔτυχε, συγγνώμην αἰτούμενος, καὶ μιαρὸν μὲν ἑαυτὸν ὁμολογῶν (δεδρακέναι γὰρ πάντα ὅσα κατηγόρητο), παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος, ἧς αἴτιον εἶναι τὸν ἔρωτα τῆς γυναικὸς ἔλεγε. Παραστήσας δὲ κατήγορον καὶ μάρτυν αὐτοῦ Φερώραν Ἀρχέλαος οὕτως ἤδη παρῃτεῖτο, καὶ τὴν Ἡρώδου κατέστελλεν ὀργήν, χρώμενος οἰκείοις ὑποδείγμασι· « καὶ γὰρ αὐτὸς, πολλῷ χαλεπώτερα πάσχων ὑπὸ τοῦ ἀδελφοῦ, τῆς ἀμύνης ἐπίπροσθεν τίθεσθαι τὸ τῆς φύσεως δίκαιον. Ἐν γὰρ ταῖς βασιλείαις, ὥσπερ ἐν μεγάλοις σώμασιν ἀεί τι μέρος φλεγμαίνειν ὑπὸ τοῦ βάρους, ὅπερ ἀποκόπτειν μὲν οὐ χρῆναι, θεραπεύειν δὲ πραότερον. »

ε'. Πολλὰ τοιαῦτα λέγων Ἡρώδην μὲν ἐπὶ Φερώ-

« comperturus, et de filia quæstionem tecum habiturus,
« quam illi, te tuamque dignitatem spectans, despondi.
« At nunc de utroque nobis deliberandum est. Et si admo-
« dum pater sis et ad puniendum filium insidiatorem mi-
« nus fortis, dextras permutemus, atque in ira exsequenda
« alter in alterius vicem succedamus. »

2. Ista magnifice loquutus Herodem, quamvis propositi ex adverso tenacem, aliquantulum inde deducit. Itaque libros ab Alexandro compositos ei legendos tradit, singulisque capitulis insistens, cum eo dispiciebat. Unde callidi consilii occasionem arripit Archelaus, paulatimque culpam in eos quorum nomina scripta erant in libris, et in Pheroram transtulit. Quum autem sibi credere regem videret, « con-
« siderandum est, inquit, ne forte adolescens tot scele-
« ratorum insidiis impetatur, non tu ab adolescente. Haud
« enim constat quid causæ esset cur in scelus adeo ma-
« gnum inciderit (qui et nunc regno tantum non potitur,
« spemque habet succedendi), nisi quidam suasores exsti-
« tissent, qui ætatis facilitate abuterentur : » nam ab ejusmodi hominibus non solum juvenes deceptos esse, verum etiam senes, domosque clarissimas et integra regna subverti.

3. Consentiebat his dictis Herodes, et nonnihil de sua in Alexandrum ira paulatim remittebat, et in Pheroram exasperabatur : nam ille erat quattuor librorum argumentum. Qui quum vidisset quo propenderet regis animus, et in omnibus apud eum prævalere Archelai amicitiam, quam honeste non potuit, ex impudentia quæsivit salutem. Itaque relicto Alexandro confugit ad Archelaum. Atque ille non se videre aiebat quo modo periculo eum eximat, qui tot criminibus se obstrinxerit, ex quibus clare demonstretur ipsum regi insidiatum esse, omniumque malorum, quibus juvenis conflictetur, causam et auctorem exstitisse, nisi vellet infitiandi versutia deposita omnia de quibus insimularetur confiteri, et a fratre ipsum etiam diligente veniam petere : ad hoc enim se quoque modis omnibus auxilium ei laturum.

4. Paruit Pheroras, et quum ita se comparasset ut quam miserrimus appareret, et veste atra et lacrimis, Herodi ad genua accidit, id quod sæpinscule potuit, sibi ignosci postulans, et se quidem sceleratum esse confitens, ut qui omnia quæ sibi objicerentur patrarit, mentis vero alienationem et insaniam deplorans, cujus causam in mulieris amorem conferebat. Quum autem Pheroram suimet accusatorem et testem stitisset Archelaus, tum ita Herodem exorabat, ejusque iracundiam mitigabat, familiari usus exemplo : « nam et ego a fratre multo graviora perpessus, naturæ jus ante vindictam posui : quippe in regnis, veluti in magnis corporibus, partem aliquam semper intumescere præ gravitate, quam amputare quidem non oportet, leniter vero curare. »

5. Quum multa ejusmodi diceret, Herodis quidem ani-

ραν μειλίσσεται, διέμενε δ' αὐτὸς ἀγανακτῶν πρὸς Ἀλέξανδρον, καὶ τὴν θυγατέρα διαζεύξας ἀπάξειν ἔφασκεν, ἕως περιέστησεν Ἡρώδην ἀντιπαρακαλεῖν ὑπὲρ τοῦ μειρακίου, καὶ πάλιν αὐτῷ μνηστεύεσθαι τὴν θυγατέρα. Σφόδρα δὲ ἀξιοπίστως Ἀρχέλαος ᾧ βούλεται συνοικίζειν αὐτὴν ἐπέτρεπε, πλὴν Ἀλεξάνδρου· περὶ πλείστου γὰρ ποιεῖσθαι τηρεῖν πρὸς αὐτὸν τὰ τῆς ἐπιγαμίας δίκαια. Φαμένου δὲ τοῦ βασιλέως δῶρον ἕξειν παρ' αὐτοῦ τὸν υἱόν, εἰ μὴ λύσειε τὸν γάμον, ὄντων μὲν αὐτοῖς ἤδη καὶ τέκνων, στεργομένης δ' οὕτως ὑπὸ τοῦ μειρακίου τῆς γυναικὸς, ἣν παραμένουσαν μὲν ἔσεσθαι δυσώπημα τῶν ἡμαρτημένων, ἀπορραγεῖσαν δὲ αἰτίαν τῆς εἰς ἅπαντα ἀπογνώσεως (μαλακωτέρας γὰρ γίνεσθαι τὰς τόλμας πάθεσιν οἰκείοις περισπωμένας), κατανεύσας μόλις Ἀρχέλαος διαλλάσσεταί τε καὶ διαλλάσσει τῷ νεανίσκῳ τὸν πατέρα. Δεῖν μέντοι πάντως ἔφη πέμπειν αὐτὸν εἰς Ῥώμην, Καίσαρι διαλεξόμενον· γεγραφέναι γὰρ αὐτὸς ἐκείνῳ περὶ πάντων.

ς'. Τὸ μὲν οὖν Ἀρχελάου στρατήγημα, δι' οὗ τὸν γαμβρὸν ἐρρύσατο, πέρας εἶχε· μετὰ δὲ τὰς διαλλαγὰς ἐν εὐωχίαις καὶ φιλοφρονήσεσι διῆγον. Ἀπιόντα δὲ αὐτὸν Ἡρώδης δωρεῖται ταλάντων ἑβδομήκοντα δώροις, θρόνῳ τε χρυσῷ διαλίθῳ καὶ εὐνούχοις καὶ παλλακίδι, ἥτις ἐκαλεῖτο Πανννχις, τῶν τε φίλων ἐτίμησεν ἕκαστον κατ' ἀξίαν. Ὁμοίως δὲ καὶ οἱ συγγενεῖς, προστάξαντος τοῦ βασιλέως, πάντες Ἀρχελάῳ λαμπρὰ δῶρα ἔδοσαν. Προεπέμφθη δὲ ὑπό τε Ἡρώδου καὶ τῶν δυνατῶν μέχρις Ἀντιοχείας.

ΚΕΦ. ΚΖ'.

Μετ' οὐ πολὺ δὲ εἰς τὴν Ἰουδαίαν παρέβαλεν ἀνὴρ πολὺ τῶν Ἀρχελάου στρατηγημάτων δυνατώτερος, ὃς οὐ μόνον τὰς ὑπ' ἐκείνῳ πολιτευθείσας Ἀλεξάνδρῳ διαλλαγὰς ἀνέτρεψεν, ἀλλὰ καὶ ἀπωλείας αἴτιος αὐτῷ κατέστη. Ὃς ἦν Λάκων, Εὐρυκλῆς τοὔνομα, πόθῳ χρημάτων εἰς τὴν βασιλείαν προσφθαρείς· οὐ γὰρ ἀντεῖχεν ἔτι ἡ Ἑλλὰς αὐτοῦ τῇ πολυτελείᾳ. Λαμπρὰ δὲ Ἡρώδῃ δῶρα προσενεγκὼν, δέλεαρ ὧν ἐθηρᾶτο, καὶ παραχρῆμα πολλαπλασίω λαβὼν, οὐδὲν ἡγεῖτο τὴν καθαρὰν δόσιν, εἰ μὴ δι' αἵματος ἐμπορεύσαιτο τὴν βασιλείαν. Περιέρχεται γοῦν τὸν βασιλέα κολακείᾳ καὶ δεινότητι λόγων καὶ περὶ αὐτοῦ ψευδέσιν ἐγκωμίοις. Ταχέως δὲ συνιδὼν τὸν Ἡρώδου τρόπον, καὶ πάντα λέγων τε καὶ πράττων τὰ πρὸς ἡδονὴν αὐτῷ, φίλος ἐν τοῖς πρώτοις γίνεται. Καὶ γὰρ ὁ βασιλεὺς διὰ τὴν πατρίδα καὶ πάντες οἱ περὶ αὐτὸν ἡδέως προετίμων τὸν Σπαρτιάτην.

β'. Ὁ δὲ, ἐπεὶ τὰ σαθρὰ τῆς οἰκίας κατέμαθε, τάς τε τῶν ἀδελφῶν διαφοράς, καὶ ὅπως διέκειτο πρὸς ἕκαστον ὁ πατὴρ, Ἀντιπάτρου μὲν ξενίᾳ προκατείληπτο, φιλίᾳ δὲ Ἀλέξανδρον ὑπεκρίνετο, ψευσάμενος ἑταῖρον αὐτὸν εἶναι καὶ Ἀρχελάου πάλαι. Διὸ δὴ καὶ ταχέως ὡς δεδοκιμασμένος ἐδέχθη· συνίστα δὲ ἑαυτὸν

mum erga Pheroram placatiorem reddidit, ipse vero Alexandro succensere non destitit, filiamque ab eo disjunctam abducturum aiebat, donec eo redegerit Herodem, ut contra pro adolescente eum deprecaretur, ut iterum ei filiam desponderet. Archelaus autem probabilitate magna simulavit se velle permittere ut ea cuivis collocaretur, præterquam Alexandro : sibi enim nihil prius et antiquius esse quam ut jura affinitatis adversus illum conserventur. Rege autem sibi filium ab eo donatum iri affirmante, si matrimonium non dirimeret, quod et liberos jam haberent, et uxor ab adolescente impense diligeretur; quæ, si diutius maneat, delictis remedium afferret; sin divelleretur, in causa futura esset cur de omnibus desperetur (molliorem namque fieri audaciam, si animus a domesticis affectibus occupetur), vix tandem Archelaus inflexus reconciliatur, facitque ut pater cum adolescente in gratiam redeat. Omnino tamen eum Romam mitti debere adjicit, cum Cæsare collocuturum; de omnibus enim sese literas ad eum dedisse.

6. Atque ita quidem vafro Archelai consilio, quo generum periculo liberavit, finis aderat, et redintegrata concordia, tempus aliquod conviviis et lætitiis impendebant. Ipsi autem, quum discederet, dono dedit Herodes talenta septuaginta, et solium aureum gemmis distinctum, et eunuchos, et concubinam, cui nomen erat Pannychis, item amicorum ejus quemque pro cujusque merito honoravit. Similiter etiam cognati omnes, jussu illius, Archelao splendida donarunt munera. Eumque tam Herodes quam optimates ad Antiochiam usque prosequuti sunt.

CAP. XXVI. (XVII.)

Non multo autem post in Judæam vir se conferebat consiliorum vafritie longe potentior Archelao, qui non solum gratiæ reconciliationem ab ipso impetratam irritam fecit, sed et Alexandro causa exitii fuit. Ille Laco erat genere, nomine Eurycles, desiderio pecuniæ eo redactus ut in regno vivere jam expeteret : non amplius enim luxum ejus tolerare potuit Græcia. Quum autem Herodi splendida attulisset munera, escam ad ea quæ venaretur captanda, ac statim multiplicata accepisset, puram liberalitatem nihil esse ducebat, nisi sanguine mercaturam faceret regni. Itaque regem adulatione et eloquentiæ vi falsisque laudibus eum efferendo circumvenit; quumque cito Herodis ingenium perspexisset, atque omnia diceret faceretque ad ejus voluntatem, inter amicorum primos numeratur. Nam et rex et qui circa eum erant omnes ejus, utpote Spartani, patriæ gratia rationem non vulgarem libenter habuerunt.

2. Ille vero, ubi domus vitia didicit, fratrumque inimicitias, et quemadmodum pater in singulos esset animatus, Antipatri quidem hospitio primum usus fuerat, simulata vero amicitia colebat Alexandrum, se et Archelai jam olim socium esse mentitus. Quo factum est ut tanquam spectatæ fidei vir sine mora exciperetur, moxque semet fratri

εὐθέως καὶ Ἀριστοβούλῳ τῷ ἀδελφῷ. Πάντων δὲ ἀποπειραθεὶς τῶν προσώπων ἄλλον ἄλλως ὑπῄει. Γίνεται δὲ προηγουμένως μισθωτὸς Ἀντιπάτρου, καὶ προδότης Ἀλεξάνδρου, τῷ μὲν ὀνειδίζων, εἰ πρεσβύτατος ὢν περιόψεται τοὺς ἐφεδρεύοντας αὐτοῦ ταῖς ἐλπίσιν, Ἀλεξάνδρῳ δὲ, εἰ γεγενημένος ἐκ βασιλίδος, καὶ βασιλίδι συνοικῶν, ἐάσει διαδέχεσθαι τὴν ἀρχὴν τὸν ἐξ ἰδιώτιδος, καὶ ταῦτα μεγίστην ἀφορμὴν ἔχων Ἀρχέλαον. Ἦν δὲ πιστὸς τῷ μειρακίῳ σύμβουλος, τὴν Ἀρχελάου φιλίαν πλασάμενος. Δι' ὃ μηδὲν ὑποστελλόμενος Ἀλέξανδρος τά τε κατὰ Ἀντίπατρον ἀπωδύρετο πρὸς αὐτὸν καὶ ὡς Ἡρώδης αὐτῶν τὴν μητέρα κτείνας οὐ παράδοξον εἰ καὶ αὐτοὺς ἀφαιρεῖται τὴν ἐκείνης βασιλείαν. Ἐφ' οἷς ὁ Εὐρυκλῆς οἰκτείρειν τε καὶ συναλγεῖν ὑπεκρίνετο. Τὰ δὲ αὐτὰ καὶ τὸν Ἀριστόβουλον εἰπεῖν δελεάσας, καὶ ταῖς κατὰ τοῦ πατρὸς μέμψεσιν ἐνδησάμενος ἀμφοτέρους, ᾤχετο φέρων Ἀντιπάτρῳ τὰ ἀπόρρητα. Προσεψεύδετο δ' ἐπιβουλὴν, ὡς ἐνεδρευόντων αὐτὸν τῶν ἀδελφῶν, καὶ μόνον οὐκ ἐπιφερόντων ἤδη τὰ ξίφη. Λαβὼν δὲ ἐπὶ τούτοις χρημάτων πλῆθος, ἐπαινέτης ἦν Ἀντιπάτρου πρὸς τὸν πατέρα. Τὸ δὲ τελευταῖον ἐργολαβήσας τὸν Ἀριστοβούλου καὶ Ἀλεξάνδρου θάνατον, κατήγορος αὐτῶν ἐπὶ τοῦ πατρὸς γίνεται. Καὶ προσελθὼν ἀντιδιδόναι τὸ ζῆν ἔφασκεν Ἡρώδῃ τῶν εἰς αὐτὸν εὐεργεσιῶν, καὶ τὸ φῶς ἀμοιβὴν τῆς ξενίας ἀντιπαρέχειν. Πάλαι γὰρ ἐπ' αὐτὸν ἠκονῆσθαι ξίφος, καὶ τὴν Ἀλεξάνδρου τετονῶσθαι δεξιάν, ἐμποδὼν δὲ αὐτὸς γεγονέναι τῷ τάχει, συνεργεῖν ὑποκριθείς· φάναι γὰρ τὸν Ἀλέξανδρον ὡς οὐκ ἀγαπᾷ βασιλεύσας αὐτὸς Ἡρώδης ἐν ἀλλοτρίοις, καὶ μετὰ τὸν τῆς μητρὸς αὐτῶν φόνον τὴν ἐκείνης ἀρχὴν σπαθήσας· ἀλλ' ἔτι καὶ νόθον εἰσάγει διάδοχον, Ἀντιπάτρῳ τῷ φθόρῳ τὴν παππῴαν αὐτῶν βασιλείαν προτείνων. Τιμωρήσειν γε μὴν αὐτὸν τοῖς Ὑρκανοῦ καὶ Μαριάμμης δαίμοσιν· οὐδὲ γὰρ πρέπειν αὐτὸν διαδέξασθαι παρὰ τοιούτου πατρὸς τὴν ἀρχὴν δίχα φόνου. Πολλὰ δὲ εἶναι τὰ παροξύνοντα καθ' ἡμέραν, ὥστε μηδὲ λαλίας τινὰ τρόπον ἀσυκοφάντητον καταλελεῖφθαι. Περὶ μὲν γὰρ εὐγενείας ἑτέρων μνείας γινομένης, αὐτὸς ἀλόγως ὑβρίζεσθαι, τοῦ πατρὸς λέγοντος, ὁ μόνος εὐγενὴς Ἀλέξανδρος, καὶ τὸν πατέρα διὰ ἀγένειαν ἀδοξῶν. Κατὰ δὲ τὰς θήρας προσκρούειν μὲν σιωπῶν, ἐπαινέσας δὲ προσακούειν εἴρων· πανταχοῦ δὲ ἀμείλικτον εὑρίσκειν τὸν πατέρα, καὶ μόνῳ φιλόστοργον Ἀντιπάτρῳ· δι' ὃν ἡδέως καὶ τεθνήξεσθαι, μὴ κρατήσας τῆς ἐπιβουλῆς· κτείναντι δὲ εἶναι σωτηρίας ἀφορμὴν, πρῶτον μὲν Ἀρχέλαον ὄντα κηδεστὴν, πρὸς ὃν διαφεύξεσθαι ῥᾳδίως, ἔπειτα Καίσαρα, μέχρι νῦν ἀγνοοῦντα τὸν Ἡρώδου τρόπον. Οὐ γὰρ ὡς πρότερον αὐτῷ παραστήσεσθαι πεφρικὼς τὸν ἐφεστῶτα πατέρα, οὐδὲ φθέγξασθαι περὶ τῶν αὐτοῦ μόνον ἐγκλημάτων, ἀλλὰ πρῶτον μὲν κηρύξειν τὰς τοῦ ἔθνους συμφορὰς, καὶ τοὺς μέχρι ψυχῆς φορολογουμένους, ἔπειτα εἰς οἵας τρυφὰς καὶ πράξεις τὰ δι' αἵματος πορισθέντα χρήματα ἀναλωθείη, τούς τε ἐξ

etiam Aristobulo commendari curabat. Pertentatis autem personis omnibus, aliam alio modo subibat. Verum ante omnia fit mercenarius Antipatri et proditor Alexandri, illi quidem exprobrans quod natu maximus eos insuper habeat, qui insidiis id agant ut ipsum spe sua deturbent; Alexandro vero, quod a regina natus et regiæ vir conjugis privatæ mulieris filium in regnum succedere patiatur, præsertim quum Archelaum habeat, qui maximo ipsi futurus sit subsidio. Itaque ab adolescente pro fideli habitus est consiliario, Archelai amicitiam mentitus. Qua re fiebat ut Alexander nihil dissimulans et in sinum ejus quæ haberet contra Antipatrum effunderet, et minime mirandum esse diceret, si Herodes, quum matrem ipsorum interemisset, ipsis quoque regnum illius iret ereptum. Quorum causa Eurycles et misericordia commoveri et condolere simulabat. Quumque Aristobulum ad eadem dicenda illexisset et utrumque querimoniæ laqueis irretivisset, discedebat secreta ad Antipatrum deferens. Verum insuper affinxit ejusmodi commentum, ac si fratres ei parassent insidias, et jam fere in eo essent ut strictis gladiis irruerent. Ob hæc autem multa pecunia donatus ab Antipatro, eum apud patrem egregie laudabat: et ad extremum, quum necem Aristobuli et Alexandri patrandam suscepisset, coram patre accusationem in eos instituit. Ipsoque adito, vitam se Herodi pro beneficiis rependere dicebat, lucisque gratia pro hospitio eum remunerare. Jam pridem enim Alexandrum in eum exacuisse gladium, dextramque intendisse: ipsum vero ne ocius moveret impediisse, ut qui se adjutorem fore simulasset. Alexandrum enim dicere quod non contentus sit Herodes ut ipse regnum alienum occuparit, et post matris ipsorum cædem principatum ejus dilacerarit; sed et insuper spurium sibi successorem faciat, avitum ipsorum regnum pesti Antipatro tradens. Proinde semet Hyrcani manes et Mariamnes ultum ire. Nec enim decere ut ipse successionem ab hujusmodi patre sine cæde suscipiat. Multis autem rebus se ad hoc excitari quotidie, ut cui nihil omnino loqui liceat quod non in calumniam vertatur. Nam si de nobilitate aliorum fiat mentio, sine ratione se contumeliis affici, patre dicente solum Alexandrum nobilem esse, cui et pater ob generis humilitatem male audiat. Inter venandum etiam in offensionem incurrere, si taceat; sin laudaverit, cavillatorem appellari. Patrem autem sibi in omni re immitem inveniri, solique Antipatro indulgentem: ob quem se libenter moriturum esse, si parum succedant insidiæ; sin ipsum occiderit, sibi ad salutem præsidia fore, primum Archelaum socerum suum, deinde Cæsarem, hucusque Herodis mores ignorantem. Non enim ut antea se ei adstiturum, patris præsentiam horrentem et reformidantem, neque verba facturum de iis quas suo tantum nomine afferat criminationibus, sed primum quidem totius gentis miserias se prolaturum, et quod ad necem usque tributis ab ipsa exactis vexarentur; deinde quam luxuriose et facinorose pecunias etiam sanguine partas profuderit; et

ἡμῶν πλουτήσαντας, οἵοι, καὶ τὰς θεραπευθείσας πόλεις, ἐπὶ τίσιν· ζητήσειν δὲ καὶ τὸν πάππον ἐκεῖ καὶ τὴν μητέρα, καὶ τὰ τῆς βασιλείας μύση πάντα κηρύξειν· ἐφ' οἷς οὐ κριθήσεσθαι πατροκτόνος.

γ'. Τοιαῦτα κατὰ Ἀλεξάνδρου τερατευσάμενος ὁ Εὐρυκλῆς ἐπῆνει πολλὰ τὸν Ἀντίπατρον, ὡς ἄρα μόνος τε εἴη φιλοπάτωρ καὶ διὰ τοῦτο μέχρι νῦν τῆς ἐπιβουλῆς ἐμπόδιον. Μήπω δὲ καλῶς ὁ βασιλεὺς ἐπὶ τοῖς πρώτοις κατεσταλμένος εἰς ἀνήκεστον ὀργὴν ἐξαγριοῦται. Καὶ πάλιν λαβὼν καιρὸν Ἀντίπατρος ἑτέρους κατὰ τῶν ἀδελφῶν ὑπέπεμπε κατηγόρους, λέγειν ὅτι Ἰουκούνδῳ καὶ Τυράννῳ λάθρα διαλέγοιντο, τοῖς ἱππάρχοις μέν ποτε τοῦ βασιλέως γενομένοις, τότε δ' ἔκ τινων προσκρουσμάτων ἀποπεπτωκόσι τῆς τάξεως. Ἐφ' οἷς Ἡρώδης ὑπεραγανακτήσας εὐθέως ἐβασάνισε τοὺς ἄνδρας. Ἀλλ' οἱ μὲν οὐδὲν τῶν διαβληθέντων ὡμολόγουν. Προσεκομίσθη δέ τις πρὸς τὸν Ἡρώδου φρούραρχον ἐπιστολὴ παρὰ Ἀλεξάνδρου, παρακαλοῦντος ἵνα αὐτὸν δέξηται τῷ φρουρίῳ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ κτείναντα τὸν πατέρα, καὶ παράσχῃ τοῖς ὅπλοις χρήσασθαι καὶ ταῖς ἄλλαις ἀφορμαῖς. Ταύτην Ἀλέξανδρος μὲν ἔλεγε τέχνασμα εἶναι Διοφάντου. Γραμματεὺς δ' ἦν ὁ Διόφαντος τοῦ βασιλέως, τολμηρὸς ἀνὴρ καὶ δεινὸς μιμήσασθαι πάσης χειρὸς γράμματα· πολλὰ γοῦν παραχαράξας τελευταῖον ἐπὶ τούτῳ καὶ κτείνεται. Βασανίσας δὲ τὸν φρούραρχον Ἡρώδης οὐδὲν ἤκουσεν οὐδὲ παρ' ἐκείνου τῶν διαβεβλημένων.

δ'. Ἀλλὰ, καίτοι τοὺς ἐλέγχους εὑρίσκων ἀσθενεῖς, τοὺς υἱοὺς ἐκέλευσε τηρεῖν, ἔτι μέντοι λελυμένους· τὸν δὲ λυμεῶνα τῆς οἰκίας καὶ δραματουργὸν ὅλου τοῦ μύσους Εὐρυκλέα, σωτῆρα καὶ εὐεργέτην καλῶν, πεντήκοντα δωρεῖται ταλάντοις. Ὁ δὲ τὴν ἀκριβῆ φήμην φθάσας εἰς Καππαδοκίαν ἀργυρίζεται καὶ παρὰ Ἀρχελάου, τολμήσας εἰπεῖν ὅτι καὶ διαλλάξειεν Ἡρώδην Ἀλεξάνδρῳ. Διάρας δὲ εἰς τὴν Ἑλλάδα τοῖς ἐκ κακῶν κτηθεῖσιν εἰς ὅμοια κατεχρήσατο. Δὶς γοῦν ἐπὶ Καίσαρος κατηγορηθεὶς ἐπὶ τῷ στάσεως ἐμπλῆσαι τὴν Ἀχαΐαν καὶ περιδύειν τὰς πόλεις φυγαδεύεται. Κἀκεῖνον μὲν οὕτως ἡ Ἀριστοβούλου καὶ Ἀλεξάνδρου ποινὴ περιῆλθεν.

ε'. Ἄξιον δὲ ἀντιθεῖναι τὸν Κῷον Εὐάρατον τῷ Σπαρτιάτῃ. Καὶ γὰρ οὗτος ὢν ἐν τοῖς μάλιστα φίλος Ἀλεξάνδρῳ, καὶ κατὰ τὸν αὐτὸν Εὐρυκλεῖ καιρὸν ἐπιδημήσας, πυνθανομένῳ τῷ βασιλεῖ περὶ ὧν ἐκεῖνος διέβαλλεν ὅρκοις μηδὲν ἀκηκοέναι παρὰ τῶν μειρακίων ἐπιστώσατο. Οὐ μὴν ὤνησε γέ τι τοὺς ἀθλίους· μόνων γὰρ ἦν τῶν κακῶν ἀκροατὴς ἑτοιμότατος Ἡρώδης, καὶ κεχαρισμένος αὐτῷ πᾶς ὁ συμπιστεύων καὶ συναγανακτῶν.

ΚΕΦ. ΚΖ'.

Παρώξυνε δὲ αὐτοῦ καὶ Σαλώμη τὴν ἐπὶ τοῖς τέκνοις ὠμότητα. Ταύτην γὰρ συνδήσασθαι τοῖς κιν-

qui e nobis divitias comparavere, quales sint, et quæ quibus ad diripiendum permissæ sint civitates: tandem vero se requisiturum ibi et avum et matrem, regnique flagitia omnia palam prolaturum: quibus cognitis non fore ut parricida judicetur.

3. Postquam verba ejusmodi portentosa in Alexandrum fecerat Eurycles, multus erat in Antipatri laudibus, ac si is solus patrem diligeret, adeoque etiam nunc obstaret quominus insidiæ fierent. Rex autem, quum nondum se ex superioribus bene recuperasset, in iram insanabilem efferatur. Atque aliam adhuc opportunitatem nactus Antipater alios accusatores fratribus subornabat, qui dicerent eos cum Jucundo et Tyranno clam sermones habere, qui olim quidem regis equitum præfecti erant, tunc vero ob quasdam offensiones ordinibus suis exciderant. Quibus Herodes vehementer iratus viros statim in quæstionem vocavit. Sed illi quidem nihil eorum confitebantur, quorum insimulati erant. Allata est autem epistola ad quendam ab Herode castello præfectum scripta ab Alexandro, obsecrante ut ipsum cum Aristobulo fratre in castellum reciperet, patre interfecto, ipsisque tam armis quam aliis instrumentis uti permitteret. Has literas Alexander Diophanti commentum esse dicebat. Diophantus autem regis erat notarius, homo audax et literarum cujuscunque manus assimulandarum peritus: multas certe quum simulasset, tandem ob hoc facinus morte plectitur. Quum autem de castelli præfecto quæstionem habuisset Herodes, neab illo quidem quicquam eorum rescivit, quæ eis objecta erant.

4. Sed quamvis criminationes infirmas admodum esse deprehenderet, filios custodiri jussit, nondum tamen vinculis constrictos. Domus autem suæ perniciem ac totius sceleris machinatorem Euryclem, servatorem et benefactorem appellans, talentis quinquaginta donavit. Ille vero, priusquam certa nunciaret fama, Cappadociam attigit, aususque dicere quod Herodem reconciliasset Alexandro, ab Archelao etiam pecunias capit. Atque inde in Græciam digressus, per scelera quæsitis abusus est ad similia. Apud Cæsarem itaque bis accusatus, quod dissensionibus replevisset Achaiam et civitates spoliaret, in exilium mittitur. Atque ita quidem pœnas Aristobulo et Alexandro pendebat.

5. Convenit autem ut Exaratum Coum huic Spartano conferamus. Namque is quum amicissimus esset Alexandro, eodemque tempore quo Eurycles eo migrarit, percontanti regi de iis quorum ille eos insimulabat, jurejurando fidem fecit, nihil se ab adolescentibus auditu accepisse. Non tamen id miseris quicquam profuit: nam maledictorum duntaxat Herodes auditor erat attentissimus, et quotus quisque secum iisdem crederet et iisdem moveretur, apud eum gratiosus erat.

CAP. XXVII. (XVII.)

Porro et Salome crudelitatem ejus in filios exasperabat. Nam et hanc volens Aristobulus secum periculis involvere,

δύνοις ὁ Ἀριστόβουλος θέλων, οὖσαν ἐκυρὰν καὶ τηθίδα, διαπέμπεται σώζειν αὐτὴν παραινῶν· παρεσκευάσθαι γὰρ βασιλέα κτείνειν αὐτὴν διαβληθεῖσαν ἐφ' οἷς καὶ πρότερον, ὅτι Συλλαίῳ τῷ Ἄραβι γήμασθαι σπουδάζουσα, λάθρα τὰ τοῦ βασιλέως ἀπόρρητα διαγγέλλοι πρὸς αὐτὸν ἐχθρὸν ὄντα. Τοῦθ' ὥσπερ τελευταία θύελλα χειμαζομένους τοὺς νεανίσκους ἐπεδάπτισεν· ἡ γὰρ Σαλώμη δραμοῦσα πρὸς βασιλέα τὴν παραίνεσιν ἐμήνυσε. Κἀκεῖνος μηκέτι καρτερήσας δεσμεῖ μὲν ἀμφοτέρους τοὺς υἱεῖς, καὶ διαχωρίζει ἀπ' ἀλλήλων, πέμπει δὲ πρὸς Καίσαρα διὰ τάχους Οὐολούμνιόν τε τὸν στρατοπεδάρχην καὶ τὸν φίλον Ὄλυμπον, ἐγγράφως τὰς μηνύσεις φέροντας. Οἱ δὲ ὡς εἰς Ῥώμην πλεύσαντες ἀπέδοσαν τὰ ἀπὸ τοῦ βασιλέως γράμματα, σφόδρα μὲν ἠχθέσθη Καῖσαρ ἐπὶ τοῖς νεανίσκοις, οὐ μὴν ᾤετο δεῖν ἀφελέσθαι τὸν πατέρα τὴν κατὰ τῶν υἱῶν ἐξουσίαν. Ἀντιγράφει γοῦν κύριον μὲν αὐτὸν καθιστὰς, εὖ μέντοι ποιήσειν λέγων, εἰ μετὰ κοινοῦ συνεδρίου τῶν τε ἰδίων συγγενῶν καὶ τῶν κατὰ τὴν ἐπαρχίαν ἡγεμόνων ἐξετάσειε τὴν ἐπιβουλήν· κἂν μὲν ἐνέχωνται, κτείνειν, ἂν δὲ μόνον ὦσι δρασμὸν βεβουλευμένοι, κολάσειν μετριώτερον.

β'. Τούτοις Ἡρώδης πείθεται, καὶ παραγενόμενος εἰς Βηρυτὸν, ἔνθα προσέταξε Καῖσαρ, συνήγαγε τὸ δικαστήριον. Προκαθέζονται δὲ οἱ ἡγεμόνες, γραφὲν αὐτοῖς ὑπὸ Καίσαρος, Σατορνῖνός τε καὶ οἱ περὶ Πεδάνιον πρέσβεις· σὺν οἷς καὶ Οὐολούμνιος ὁ ἐπίτροπος, ἔπειτα οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι, Σαλώμη τε καὶ Φερώρας, μεθ' οὓς οἱ πάσης Συρίας ἄριστοι, πλὴν Ἀρχελάου τοῦ βασιλέως· τοῦτον γὰρ, ὄντα κηδεστὴν Ἀλεξάνδρου, δι' ὑποψίας εἶχεν Ἡρώδης. Τούς γε μὴν υἱεῖς οὐ προήγαγεν εἰς τὴν δίκην μάλα προμηθῶς. Ἤδει γὰρ ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως· εἰ δὲ δὴ καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. Ἀλλ' οἱ μὲν ἐν Πλατάνῃ, κώμῃ Σιδωνίων, ἐφρουροῦντο.

γ'. Καταστὰς δὲ ὁ βασιλεὺς ὡς πρὸς παρόντας διετείνετο. Κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς, ὡς ἂν ἀπορούμενος εἰς αὐτὴν ἐλέγχων, λοιδορίας τε καὶ σκώμματα καὶ ὕβρεις καὶ πλημμελείας μυρίας εἰς αὐτὸν, ἃ καὶ θανάτου χαλεπώτερα, τοῖς συνέδροις ἀπέφαινεν. Ἔπειτα μηδενὸς ἀντιλέγοντος ἐποικτισάμενος ὡς αὐτὸς ἁλίσκοιτο, καὶ νικῶν νίκην πικρὰν κατὰ τέκνων, ἐπηρώτα τὴν γνώμην ἕκαστον. Καὶ πρῶτος Σατορνῖνος ἀπεφήνατο κατακρίνειν μὲν τῶν νεανίσκων, ἀλλ' οὐ θάνατον· οὐ γὰρ εἶναι θεμιτὸν αὐτῷ, τριῶν παρεστώτων τέκνων· ἑτέρου τέκνοις ἀπώλειαν ἐπιψηφίσασθαι. Σύμψηφοι δὲ αὐτῷ καὶ οἱ δύο πρεσβευταὶ γίνονται, καὶ τούτοις ἕτεροί τινες ἠκολούθησαν. Οὐολούμνιος δὲ τῆς σκυθρωπῆς ἀποφάσεως ἤρξατο καὶ μετ' αὐτὸν πάντες θάνατον κατακρίνουσι τῶν μειρακίων, οἱ μὲν κολακεύοντες, οἱ δὲ μισοῦντες Ἡρώδην, καὶ οὐδεὶς δι' ἀγανάκτησιν. Ἔνθα δὴ μετέωρος ἡ τε Συρία πᾶσα καὶ τὸ Ἰουδαϊκὸν ἦν, ἐκδεχομένων τὸ τέλος τοῦ δράματος· οὐδεὶς μέντοι ὑπεναντίον ὁ Ἀριστόβουλος θέλων, οὖσαν ἐκυρὰν καὶ τηθίδα, διαπέμπεται σώζειν αὐτὴν παραινῶν· παρεσκευάσθαι γὰρ βασιλέα κτείνειν αὐτὴν διαβληθεῖσαν ἐφ' οἷς καὶ πρότερον, ὅτι Συλλαίῳ τῷ Ἄραβι γήμασθαι σπουδάζουσα, λάθρα τὰ τοῦ βασιλέως ἀπόρρητα διαγγέλλοι πρὸς αὐτὸν ἐχθρὸν ὄντα. Τοῦθ' ὥσπερ τελευταία θύελλα χειμαζομένους τοὺς νεανίσκους ἐπεδάπτισεν· ἡ γὰρ Σαλώμη δραμοῦσα πρὸς βασιλέα τὴν παραίνεσιν ἐμήνυσε. Κἀκεῖνος μηκέτι καρτερήσας δεσμεῖ μὲν ἀμφοτέρους τοὺς υἱεῖς, καὶ διαχωρίζει ἀπ' ἀλλήλων, πέμπει δὲ πρὸς Καίσαρα διὰ τάχους Οὐολούμνιόν τε τὸν στρατοπεδάρχην καὶ τὸν φίλον Ὄλυμπον, ἐγγράφως τὰς μηνύσεις φέροντας. Οἱ δὲ ὡς εἰς Ῥώμην πλεύσαντες ἀπέδοσαν τὰ ἀπὸ τοῦ βασιλέως γράμματα, σφόδρα μὲν ἠχθέσθη Καῖσαρ ἐπὶ τοῖς νεανίσκοις, οὐ μὴν ᾤετο δεῖν ἀφελέσθαι τὸν πατέρα τὴν κατὰ τῶν υἱῶν ἐξουσίαν. Ἀντιγράφει γοῦν κύριον μὲν αὐτὸν καθιστὰς, εὖ μέντοι ποιήσειν λέγων, εἰ μετὰ κοινοῦ συνεδρίου τῶν τε ἰδίων συγγενῶν καὶ τῶν κατὰ τὴν ἐπαρχίαν ἡγεμόνων ἐξετάσειε τὴν ἐπιβουλήν· κἂν μὲν ἐνέχωνται, κτείνειν, ἂν δὲ μόνον ὦσι δρασμὸν βεβουλευμένοι, κολάσειν μετριώτερον.

β'. Τούτοις Ἡρώδης πείθεται, καὶ παραγενόμενος εἰς Βηρυτὸν, ἔνθα προσέταξε Καῖσαρ, συνήγαγε τὸ δικαστήριον. Προκαθέζονται δὲ οἱ ἡγεμόνες, γραφὲν αὐτοῖς ὑπὸ Καίσαρος, Σατορνῖνός τε καὶ οἱ περὶ Πεδάνιον πρέσβεις· σὺν οἷς καὶ Οὐολούμνιος ὁ ἐπίτροπος, ἔπειτα οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι, Σαλώμη τε καὶ Φερώρας, μεθ' οὓς οἱ πάσης Συρίας ἄριστοι, πλὴν Ἀρχελάου τοῦ βασιλέως· τοῦτον γὰρ, ὄντα κηδεστὴν Ἀλεξάνδρου, δι' ὑποψίας εἶχεν Ἡρώδης. Τούς γε μὴν υἱεῖς οὐ προήγαγεν εἰς τὴν δίκην μάλα προμηθῶς. Ἤδει γὰρ ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως· εἰ δὲ δὴ καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. Ἀλλ' οἱ μὲν ἐν Πλατάνῃ, κώμῃ Σιδωνίων, ἐφρουροῦντο.

γ'. Καταστὰς δὲ ὁ βασιλεὺς ὡς πρὸς παρόντας διετείνετο. Κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς, ὡς ἂν ἀπορούμενος εἰς αὐτὴν ἐλέγχων, λοιδορίας τε καὶ σκώμματα καὶ ὕβρεις καὶ πλημμελείας μυρίας εἰς αὐτὸν, ἃ καὶ θανάτου χαλεπώτερα, τοῖς συνέδροις ἀπέφαινεν. Ἔπειτα μηδενὸς ἀντιλέγοντος ἐποικτισάμενος ὡς αὐτὸς ἁλίσκοιτο, καὶ νικῶν νίκην πικρὰν κατὰ τέκνων, ἐπηρώτα τὴν γνώμην ἕκαστον. Καὶ πρῶτος Σατορνῖνος ἀπεφήνατο κατακρίνειν μὲν τῶν νεανίσκων, ἀλλ' οὐ θάνατον· οὐ γὰρ εἶναι θεμιτὸν αὐτῷ, τριῶν παρεστώτων τέκνων· ἑτέρου τέκνοις ἀπώλειαν ἐπιψηφίσασθαι. Σύμψηφοι δὲ αὐτῷ καὶ οἱ δύο πρεσβευταὶ γίνονται, καὶ τούτοις ἕτεροί τινες ἠκολούθησαν. Οὐολούμνιος δὲ τῆς σκυθρωπῆς ἀποφάσεως ἤρξατο καὶ μετ' αὐτὸν πάντες θάνατον κατακρίνουσι τῶν μειρακίων, οἱ μὲν κολακεύοντες, οἱ δὲ μισοῦντες Ἡρώδην, καὶ οὐδεὶς δι' ἀγανάκτησιν. Ἔνθα δὴ μετέωρος ἡ τε Συρία πᾶσα καὶ τὸ Ἰουδαϊκὸν ἦν, ἐκδεχομένων τὸ τέλος τοῦ δράματος· οὐδεὶς μέντοι ὑπε-

quam et socrum habebat et amitam, ad eam monitum mittit ut saluti suæ consuleret : quippe regem paratum esse ipsam occidere, eorundem quorum et antea acousatam, quod scilicet Syllæo Arabi nubere cupiens, occulte illi, cum quo regi intercedebant inimicitiæ, secreta ejus nunciarit. Hoc tanquam extrema procella juvenes obruit tempestate vexatos. Salome enim protinus contendit ad regem, monitionem quam acceperat ei indicans. Atque ille, ut qui non amplius semet cohibere potuerit, filium utrumque constringi, et locis diversis custodiri jubet. Deinde ad Cæsarem e vestigio mittit Volumnium militiæ præfectum et amicum suum Olympum, in scriptis ferentes indicia. Isti vero quum Romam appulsi regis literas tradidissent, vehementer quidem Cesar juvenum vicem dolebat, verum ut patri auferretur potestas in filios haud faciendum censebat. Denique rescribit ei, per se licere ut ipse suorum dominus esset, bene tamen facturum dicens, si in communi concilio et cognatorum suorum et provinciæ præsidum de insidiis quæreret : et, si convicti fuerint, morte plecti debere ; si fugam tantum meditati sint, leviori pœna affici.

2. Istis morem gerit Herodes, quumque Berytum, ubi jusserat Cæsar, pervenisset, cogit judicium. Primum autem locum tenebant præsides provinciarum, quibus a Cæsare scriptum fuerat, Saturninus, et Pedanius, quique cum eo legati erant, et cum his Volumnius procurator, deinde cognati amicique regis, et Salome etiam et Pheroras, post quos Syriæ omnis optimates, præter Archelaum regem : hunc enim, quod Alexandri socer esset, suspectum habebat Herodes. Ceterum filios, provido admodum consilio, in judicium non produxit. Probe enim norat, si tantummodo aspicerentur, misericordiam omnino emerituros esse : si vero etiam dicendi copiam nacti essent, facile Alexandrum objecta diluturum. At illi quidem in Platane, Sidoniorum vico, custodiebantur.

3. Exorsus autem rex in eos, tanquam præsentes fuissent, invehebatur. Et insidias quidem illis languide objiciebat, ut qui probationibus earumque indiciis egeret, sed convicia, et dicteria, et contumelias, et delicta innumera in se admissa, quæ et morte graviora, assessoribus palam faciebat. Deinde quum nemo contradiceret, miserabiliter questus, ac si ipse damnatus esset, qui tam acerbam vinceret contra filios victoriam, rogabat singulos sententiam. Et primus Saturninus protulit, se quidem condemnare adolescentulos, sed non capitis : non enim ipsi fas esse, quum tres adstantes habeat filios, exitium alterius filiis decernere. Idem duobus etiam legatis visum est, eosque nonnulli alii sequuti sunt. At tristem sententiam primus Volumnius dixit ; cunctique post eum morte damnabant adolescentes, aut Herodis adulatione, aut odio, nemo autem ex indignatione. Tum vero Syria omnis et Judæa suspensis animis tantæ tragœdiæ exitum exspectabat ; nullus tamen suspicabatur Herodis

λάμβανεν ἔσεσθαι μέχρι τεκνοκτονίας ὠμὸν Ἡρώδην. Ὁ δὲ σύρας τοὺς υἱεῖς εἰς Τύρον, κἀκεῖθεν διαπλεύσας εἰς Καισάρειαν, τρόπον ἀναιρέσεως τοῖς μειρακίοις ἐσκέπτετο.

δ'. Παλαιὸς δέ τις τοῦ βασιλέως στρατιώτης ὄνομα Τήρων, ἔχων υἱὸν σφόδρα συνήθη καὶ φίλον Ἀλεξάνδρῳ, καὶ αὐτὸς ἠγαπηκὼς ἰδίᾳ τὰ μειράκια, δι' ὑπερβολὴν ἀγανακτήσεως ἔκφρων ἐγένετο, καὶ τὸ μὲν πρῶτον ἐβόα περιιὼν πεπατῆσθαι τὸ δίκαιον, ἀπολωλέναι τὴν ἀλήθειαν, συγκεχύσθαι τὴν φύσιν, ἀνομίας γέμειν τὸν βίον, καὶ πάνθ' ὅσα μὴ φειδομένῳ τοῦ ζῆν ὑπηγόρευε τὸ πάθος. Τέλος δὲ καὶ τῷ βασιλεῖ τολμήσας προσελθεῖν, « ἀλλ' ἐμοὶ μέν, ἔφη, κακοδαιμονέστατος εἶναι δοκεῖς, « ὅστις κατὰ τῶν φιλτάτων πείθῃ τοῖς πονηροτάτοις, « εἰ γε Φερώρα καὶ Σαλώμης καταγνοὺς πολλάκις θά- « νατον, πιστεύεις τούτοις κατὰ τῶν τέκνων, οἳ σε τῶν « γνησίων περικόπτοντες διαδόχων ἐπ' Ἀντιπάτρῳ κα- « ταλείπουσι μόνῳ, τὸν αὐτοῖς εὐμεταχείριστον αἱρού- « μενοι βασιλέα. Σκέψαι μέντοι γε μή ποτε κἀκείνῳ « γένηται μῖσος ἐν τοῖς στρατιώταις, ὁ τῶν ἀδελφῶν « θάνατος. Οὐ γὰρ ἔστιν ὅστις οὐκ ἐλεεῖ τὰ μειράκια, « τῶν δὲ ἡγεμόνων καὶ φανερῶς ἀγανακτοῦσι πολλοί. » Ταῦθ' ἅμα λέγων ὠνόμαζε τοὺς ἀγανακτοῦντας. Ὁ δὲ βασιλεὺς εὐθέως ἐκείνους τε καὶ αὐτὸν καὶ τὸν υἱὸν αὐτοῦ συνέλάμβανεν.

ε'. Ἐφ' ᾧ τῶν ἐκ τῆς αὐλῆς τις κουρέων, Τρύφων ὄνομα, προεκπηδήσας ἔκ τινος φρενοβλαβείας, ἑαυτοῦ μηνυτὴς γίνεται· « κἀμὲ γὰρ, ἔφη, Τήρων οὗτος ἀνέπειθεν, « ὅταν θεραπεύω τῷ ξυρῷ σε διαχρήσασθαι, μεγάλας « τέ μοι παρὰ Ἀλεξάνδρου δωρεὰς ὑπισχνεῖτο. » Ταῦτα ἀκούσας Ἡρώδης τόν τε Τήρωνα σὺν τῷ παιδὶ καὶ τὸν κουρέα βασάνοις διήλεγχε. Καὶ τῶν μὲν ἀρνουμένων, τοῦ δὲ μηδὲν πλέον λέγοντος, στρεβλοῦν ἐκέλευσε τὸν Τήρωνα σφοδρότερον. Ὁ δὲ υἱὸς οἰκτείρας ὑπέσχετο τῷ βασιλεῖ πάντα μηνύσειν, εἰ χαρίσαιτο τὸν πατέρα αὐτῷ. Κἀκείνου δόντος εἶπεν ὡς ὁ πατὴρ αὐτοῦ, πεισθεὶς Ἀλεξάνδρῳ, θελήσειεν αὐτὸν ἀνελεῖν. Τοῦτο οἱ μὲν εἰς ἀπαλλαγὴν τῆς τοῦ πατρὸς αἰκίας πεπλάσθαι, τινὲς δὲ ἀληθὲς ἔλεγον.

ς'. Ἡρώδης γε μὴν ἐν ἐκκλησίᾳ τῶν τε ἡγεμόνων καὶ Τήρωνος κατηγορήσας, τὸν λαὸν ἐπ' αὐτοὺς ἐστρατολόγησεν· αὐτόθι γοῦν ἀναιροῦνται μετὰ τοῦ κουρέως, ξύλοις βαλλόμενοι καὶ λίθοις. Πέμψας δὲ καὶ τοὺς υἱεῖς εἰς Σεβαστὴν, οὖσαν οὐ πόρρω τῆς Καισαρείας, προσέταξεν ἀποπνῖξαι. Καὶ τελεσθέντος αὐτῷ ταχέως τοῦ προστάγματος, τοὺς νεκροὺς εἰς Ἀλεξάνδρειον ἐκέλευσεν ἀνακομισθῆναι τὸ φρούριον, συνταφησομένους Ἀλεξάνδρῳ τῷ μητροπάτορι. Τὸ μὲν οὖν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τέλος τοιοῦτον.

ΚΕΦ. ΚΗ'.

Ἀντιπάτρῳ δὲ ἀδήριτον ἔχοντι τὴν διαδοχὴν μῖσος ἀφόρητον ἐκ τοῦ ἔθνους ἐπεγείρεται, πάντων ἐπισταμένων ὅτι τὰς διαβολὰς τοῖς ἀδελφοῖς πάσας ἐπισυντάcrudelitatem ad filiorum cædem processuram. Verum ille filios Tyrum traxit, quumque inde Cæsaream navigasset, quo mortis genere perimeret adolescentes, deliberabat.

4. Interea vetus quidam regis miles, Tero nomine, qui filium habebat Alexandro valde familiarem et amicum, et ipse adolescentes privatim dilexerat, præ nimia indignatione mente excidit; et primo quidem circumcursans clamitabat conculcatam esse justitiam, interiisse veritatem, naturam confusam esse, vitam iniquitatis esse plenam, et alia omnia quæ dolor vitam contemptui habenti suggereret. Tandem vero regem ipsum adire ausus, « at mihi, inquit, miserri- « mus esse videris, qui adversus carissimos nequissimis « credis, si quidem contra filios tuos Pheroræ et Salomæ « fidem habeas, quos sæpe damnandos judicasti; qui te le- « gitimis successoribus spoliantes Antipatro soli relinquunt, « regem sibi maxime obnoxium optantes. Atqui certe tua « interest dispicere annon forsan ipse militibus invisus sis « futurus ex nece fratrum. Nullus est enim qui non adole- « scentium misereatur, ducum autem plurimi etiam palam « indignantur. » Simul atque ista dicebat, nominabat eos quibus mota erat indignatio. Rex autem statim illos ipsumque cum filio comprehendi jubet.

5. Quo facto aulicus quidam e regis tonsoribus, Trypho nomine, nescio qua exagitatus insania, prosiliens sui iudicium facit, « ac mihi quoque, inquit, Tero iste persuadere « voluit ut quando te tondeam occiderem: et magna inde « Alexandrum daturum munera pollicebatur. » His auditis Herodes et Teronem ejusque filium et tonsorem quæstioni subdidit. Quumque illi pernegarent, et tonsor nihil amplius diceret, Teronem vehementius torqueri jussit. Filius autem misertus regi promisit se patefacturum omnia, si patrem sibi condonare vellet. Quumque ille fidem dedisset, ipsius occidendi patrem suum habuisse voluntatem aiebat, ab Alexandro impulsum. Hoc quidem nonnulli, ut patrem tormentis eriperet, fictum, alii autem verum esse affirmabant.

6. Ceterum Herodes, et ducibus et Terone pro concione accusatis, populum congregatum in eos incitavit, adeoque ibidem una cum tonsore lignorum et lapidum ictibus interficiuntur. Quum autem filios misisset Sebasten, quæ non longe aberat a Cæsarea, eos strangulari præcepit; factoque sine mora quod imperaverat, mortuos in Alexandreum castellum asportari jussit, cum Alexandro materno avo sepeliendos. Et vitæ quidem finem ejusmodi habuere Alexander et Aristobulus.

CAP. XXVIII. (XVIII.)

In Antipatrum vero, quum jam successionis jus non controversum haberet, exortum est gentis odium intolerabile, utpote quod norint omnes istum omnium in fratres suos

ξειεν οὗτος. Ὑποικούρει δὲ καὶ δέος οὐ μέτριον, αὐξανομένην ὁρῶντι τὴν τῶν ἀνῃρημένων γενεάν. Ἦσαν γὰρ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας υἱεῖς δύο, Τιγράνης καὶ Ἀλέξανδρος· Ἀριστοβούλῳ δὲ ἐκ Βερενίκης τῆς Σαλώμης θυγατρὸς Ἡρώδης μὲν καὶ Ἀγρίππας καὶ Ἀριστόβουλος υἱοὶ, θυγατέρες δὲ Ἡρωδιὰς καὶ Μαριάμμη. Τὴν μὲν οὖν Γλαφύραν Ἡρώδης μετὰ τῆς προικὸς ἀπέπεμψεν εἰς Καππαδοκίαν, ὡς ἀνεῖλεν Ἀλέξανδρον, τὴν Ἀριστοβούλου δὲ Βερενίκην συνῴκισε θείῳ πρὸς μητρὸς Ἀντιπάτρου. Τὴν γὰρ Σαλώμην οὖσαν διάφορον ἐξοικειούμενος ὁ Ἀντίπατρος τοῦτον ἐπραγματεύσατο τὸν γάμον. Περιέθει δὲ καὶ Φερώραν δώροις τε καὶ ταῖς ἄλλαις θεραπείαις, καὶ τοὺς Καίσαρος φίλους, οὐκ ὀλίγα πέμπων εἰς τὴν Ῥώμην χρήματα. Οἵ γε μὴν περὶ Σατουρνῖνον ἐν Συρίᾳ πάντες ἐπλήσθησαν τῶν ἀπ' αὐτοῦ δωρεῶν· ἐμισεῖτο δὲ διδοὺς πλεῖον, ὡς ἂν οὐκ ἐκ τοῦ μεγαλοψύχου χαριζόμενος, ἀλλὰ ἀναλίσκων κατὰ δέος. Συνέβαινε δὴ τοὺς μὲν λαμβάνοντας οὐδὲν μᾶλλον εὐνους γίνεσθαι, χαλεπωτέρους δὲ ἐχθροὺς οἷς μὴ διδῴη. Λαμπροτέρας δὲ καθ' ἡμέραν ἐποιεῖτο τὰς διαδόσεις, ὁρῶν τὸν βασιλέα, παρ' ἃς αὐτὸς ἐλπίδας εἶχεν, ἐπιμελούμενον τῶν ὀρφανῶν, καὶ τὴν ἐπὶ τοῖς ἀνῃρημένοις μετάνοιαν ἐμφαίνοντα, δι' ὧν ἠλέει τοὺς ἐξ ἐκείνων.

β'. Συναγαγὼν γάρ ποτε Ἡρώδης συγγενεῖς τε καὶ τοὺς φίλους, παραστησάμενός τε τὰ παιδία, καὶ δακρύων ἐμπλήσας τοὺς ὀφθαλμοὺς, εἶπεν, « ἐμὲ τοὺς « πατέρας τούτων σκυθρωπὸς ἀφείλετο δαίμων, ταῦτα· « δέ μοι μετὰ τῆς φύσεως συνίστησιν ἔλεος ὀρφανίας. « Πειρῶμαι δὲ, εἰ καὶ πατὴρ ἐγενόμην ἀτυχέστατος, « πάππος γοῦν φανῆναι μετριώτερος, καὶ μετ' ἐμὲ « κηδεμόνας αὐτοῖς καταλιπεῖν τοὺς ἐμοὶ φιλτάτους. « Ἐγγυῶ δὲ τὴν μὲν σὴν, Φερώρα, θυγατέρα τῷ πρε« σβυτέρῳ τῶν ἀδελφῶν Ἀλεξάνδρου παίδων, ἵνα ἧς « αὐτῷ κηδεμὼν ἀναγκαῖος, τῷ σῷ δὲ παιδὶ, Ἀντί« πατρε, τὴν Ἀριστοβούλου θυγατέρα· γένοιο γὰρ ἂν « οὕτω πατὴρ τῆς ὀρφανῆς· καὶ τὴν ἀδελφὴν αὐτῆς ὁ « ἐμὸς Ἡρώδης λήψεται, πρὸς μητρὸς ὢν ἀρχιερέως « πάππου. Ὁ ἀγαπῶν μὲν οὖν ἐμὲ ταύτην ἐχέτω τὴν « γνώμην, ἣν διακόψει μηδεὶς ἐμὲ φιλῶν. Ἐπεύχομαι « δὲ καὶ τῷ Θεῷ συνορμόσασθαι τοὺς γάμους ἐπὶ συμ« φέροντι τῆς ἐμῆς βασιλείας καὶ τῶν ἐμῶν ἐκγόνων, « τά τε παιδία ταυτὶ γαληνοτέροις ἐπιδεῖν ὄμμασιν « ἢ τοὺς πατέρας αὐτῶν. »

γ'. Ἔτι ταῦτα εἰπὼν ἐδάκρυσέ τε καὶ τῶν παίδων συνήρμοσε τὰς δεξιάς· ἔπειτα κατασπασάμενος ἕκαστον φιλοφρόνως διέλυσε τὸν σύλλογον. Ἐπαχνώθη δ' εὐθὺς Ἀντίπατρος καὶ ὅλος ἦν ἅπασιν ὀδυνώμενος. Ὑπελάμβανε γὰρ εἶναι καὶ παρὰ τῷ πατρὶ τὴν τῶν ὀρφανῶν τιμὴν ἑαυτοῦ κατάλυσιν· αὖθίς τε κινδυνεύσειν περὶ τῶν ὅλων, εἰ πρὸς Ἀρχελάῳ καὶ Φερώραν ὄντα τετράρχην βοηθὸν ἔχοιεν οἱ Ἀλεξάνδρου παῖδες. Συνελογίζετο δὲ τὸ ἑαυτοῦ μῖσος καὶ τὸν τῶν ὀρφανῶν ἔλεον ἐκ τοῦ ἔθνους, ὅση τε σπουδὴ ζώντων, καὶ ὅση μνήμη παρὰ Ἰουδαίοις

calumniarum auctorem exstitisse. Quin et timor subibat non mediocris, quum videret interfectorum sobolem in dies adolescere. Erant enim Alexandro quidem ex Glaphyra filii duo, Tigranes et Alexander; Aristobulo vero ex Berenice Salomes filia, Herodes et Agrippa et Aristobulus filii, filiæque Herodias et Mariamne. Et Glaphyram quidem cum dote sua in Cappadociam dimisit Herodes, postquam Alexandrum interfecerat; Berenicen autem Aristobuli conjugem fratri matris Antipatri matrimonio junxit. Ut enim Salomen, quam infensam habebat, sibi reconciliaret Antipater, nuptias istas excogitavit. Insuper Pheroram muneribus aliisque obsequiis atque amicos præterea Cæsaris ambiebat, magnam pecuniæ vim Romam mittendo. Porro Saturninum et qui cum eo erant in Syria omnes donis explevit. Eo autem magis invisus erat, quo plura donabat, ut qui non ex munificentia largiretur, sed ex metu prodigeret. Adeoque eveniebat ut accipientes quidem nihilo magis benevoli fierent, acerbiores vero inimici quibus nihil dederat. In munerum autem distributione quotidie largior erat et profusior, quum, præter spem quam ipse conceperat, videret regem pueros curare parentibus orbatos, et ex prolis eorum miseratione palam præ se ferre quod cædis peremptorum eum pœnituerit.

2. Quum enim Herodes, cognatis aliquando et amicis congregatis, pueros in conspectum dedisset et lacrimis oplesset oculos, dicebat, « horum quidem patres mihi tristis « fortuna eripuit, at istos orbitatis miseratio simulque na« tura ipsa mihi commendat. Jam vero operam do ut, si « quidem pater fuerim infelicissimus, avum tamen memet « ostendam commodiorem, illisque post me relinquam cu« ratores mihi amicissimos. Despondeo igitur tuam quidem « filiam, Pherora, natu maximo fraternorum Alexandri pue« rorum, ut ei curator sis necessitudine conjunctus; tuo « vero, Antipater, filio Aristobuli filiam, ut qui hoc modo « fias pupillæ pater; ejusque sororem meus Herodes acci« piet, ex matre pontificem pro avo habens. Et me quidem « quotusquisque amat meam eat in sententiam, quam nemo « me diligens irritam reddet. Insuper et Deum precor ut « una mecum has faciat prosperetque nuptias, in regni « mei meorumque nepotum emolumentum; atque hos pue« ros vultu sereniori quam patres ipsorum aspiciat.

3. Dum ista diceret, lacrimavit, et liberorum dextras conjunxit: deinde singulos benigne admodum complexus, concilium dimisit. Statim autem diriguit Antipater, omnibusque manifestum erat quod ei dolebat. Pupillorum namque honore sibi aliquid etiam apud patrem derogatum esse existimabat: iterumque de summa rerum in periculo fore, si Alexandri filii præter Archelaum etiam Pheroram tetrarcham adjutorem haberent. Ad hæc secum reputabat quantum gens ipsius odio et pupillorum misericordia esset commota, quantoque studio in eos ferrentur omnes, quamque penitus

τῶν δι' αὐτὸν ἀπολωλότων ἦν ἀδελφῶν. Ἔγνω δὴ πάντα τρόπον διακόπτειν τὰς ἐγγύας.

δ'. Καὶ τὸ μὲν ὑπιέναι πανούργως ἔδεισε τὸν πατέρα χαλεπὸν ὄντα καὶ πρὸς τὰς ὑποψίας κινούμενον εὐθέως. Ἐτόλμησε δὲ προσελθὼν ἱκετεύειν ἀντικρυς μὴ στερίσκειν αὐτὸν ἧς ἠξίωσε τιμῆς, μηδὲ αὐτῷ μὲν ὄνομα βασιλείας, δύναμιν δὲ ὑπάρχειν ἄλλοις· οὐ γὰρ κρατήσειν τῶν πραγμάτων, εἰ πρὸς Ἀρχελάῳ πάππῳ καὶ Φερώραν κηδεστὴν ὁ Ἀλεξάνδρου παῖς προσλάβοι. Κατηντιβόλει δὲ πολλῆς οὔσης γενεᾶς κατὰ τὸ βασίλειον μεταθεῖναι τοὺς γάμους. Ἦσαν γὰρ δὴ τῷ βασιλεῖ γυναῖκες μὲν ἐννέα, τέκνα δὲ ἐκ τῶν ἑπτά· αὐτὸς μὲν Ἀντίπατρος ἐκ Δωρίδος, Ἡρώδης δὲ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς, Ἀντίπας δὲ καὶ Ἀρχέλαος ἐκ Μαλθάκης τῆς Σαμαρείτιδος, καὶ θυγάτηρ Ὀλυμπιὰς, ἣν ὁ ἀδελφιδοῦς αὐτοῦ Ἰώσηπος εἶχεν, ἐκ δὲ τῆς Ἱεροσολυμίτιδος Κλεοπάτρας Ἡρώδης καὶ Φίλιππος, ἐκ δὲ Παλλάδος Φασάηλος. Ἐγένοντο δὲ αὐτῷ καὶ ἄλλαι θυγατέρες, Ῥωξάνη τε καὶ Σαλώμη, ἡ μὲν ἐκ Φαίδρας, ἡ δὲ ἐξ Ἐλπίδος. Δύο δὲ εἶχεν ἀτέκνους, ἀνεψιάν τε καὶ ἀδελφιδῆν· χωρὶς δὲ τούτων δύο ἀδελφὰς Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τὰς ἐκ Μαριάμμης. Οὔσης δὲ πολυπροσώπου τῆς γενεᾶς ὁ Ἀντίπατρος ἐδεῖτο μετατεθῆναι τοὺς γάμους.

ε'. Χαλεπῶς δὲ ὁ βασιλεὺς ἠγανάκτησε, καταμαθὼν αὐτοῦ τὸ πρὸς τοὺς ὀρφανοὺς ἦθος, ἔννοιά τε αὐτῷ παρέστη περὶ τῶν ἀνῃρημένων, μή ποτε κἀκεῖνοι γένοιντο τῶν Ἀντιπάτρου διαβολῶν ἀγώνισμα. Τότε μὲν οὖν πολλὰ πρὸς ὀργὴν ἀποκρινάμενος ἀπελαύνει τὸν Ἀντίπατρον. Αὖθις δ' ὑπαχθεὶς αὐτοῦ ταῖς κολακείαις μεθηρμόσατο· καὶ αὐτῷ μὲν τὴν Ἀριστοβούλου συνῴκισε θυγατέρα, τὸν δὲ υἱὸν αὐτοῦ τῇ Φερώρα θυγατρί.

ς'. Καταμάθοι δ' ἄν τις ὅσον ἴσχυσεν ἐν τούτῳ κολακεύων Ἀντίπατρος, ἐκ τοῦ Σαλώμην ἐν ὁμοίοις οὖσαν ἀποτυχεῖν. Ταύτην γὰρ δὴ, καίπερ οὖσαν ἀδελφὴν καὶ πολλὰ διὰ Ἰουλίας τῆς Καίσαρος γυναικὸς ἱκετεύουσαν γαμηθῆναι τῷ Ἄραβι Συλλαίῳ, διωμόσατο μὲν ἐχθροτάτην ἕξειν, εἰ μὴ παύσαιτο τῆς σπουδῆς, τὸ δὲ τελευταῖον ἄκουσαν Ἀλεξᾷ τινι τῶν φίλων συνῴκισε, καὶ τῶν θυγατέρων αὐτῆς, τὴν μὲν τῷ Ἀλεξᾷ παιδὶ, τὴν δὲ ἑτέραν τῷ πρὸς μητρὸς Ἀντιπάτρου θείῳ. Τῶν δὲ ἐκ Μαριάμμης θυγατέρων ἡ μὲν ἀδελφῆς υἱὸν Ἀντίπατρον εἶχεν, ἡ δὲ ἀδελφοῦ Φασάηλον.

ΚΕΦ. ΚΘ'.

Διακόψας δὲ τὰς τῶν ὀρφανῶν ἐλπίδας ὁ Ἀντίπατρος καὶ πρὸς τὸ συμφέρον αὐτῷ τὰς ἐπιγαμίας ποιησάμενος, ὡς ἐπὶ βεβαίοις μὲν ὥρμει ταῖς ἐλπίσι, προσβαλὼν δὲ τῇ κακίᾳ τὸ πεποιθὸς ἀφόρητος ἦν. Τὸ γὰρ ἑκάστου μῖσος ἀποσκευάσασθαι μὴ δυνάμενος ἐκ τοῦ φοβερὸς εἶναι τὴν ἀσφάλειαν ἐπορίζετο. Συνήργει δὲ καὶ Φερώρας ὡς ἂν ἤδη βασιλεῖ βεβαίῳ. Γίνεται δὲ καὶ γυναικῶν σύνταγμα κατὰ τὴν αὐλὴν, ὃ νεωτέρους ἐκίνησε θορύβους. Ἡ γὰρ Φερώρα γυνὴ, μετὰ τῆς

Judæorum memoriæ insederint fratres propter ipsum exitio dati. Itaque modis omnibus statuebat sponsalia dirimere.

4. Et quidem ut callide in patris gratiam se insinuaret veritus est, ut qui difficilis esset, et statim levissima suspicione moveretur. Eum vero adire ausus coram supplicavit ne se honore privaret quo ipsum dignatus esset; neque se quidem nudum regni nomen habere, penes alios vero potestatem esse sineret: haud enim posse se rerum potiri, si Alexandri filius præter avum Archelaum etiam Pheroram socerum accipiat. Enixe itaque orabat ut nuptias mutatum iret, præsertim quum tam numerosa esset in regia progenies. Nam regi uxores quidem novem erant, liberi vero ex septem illarum suscepti: Antipater quidem ipse ex Doride, Herodes vero ex Mariamne pontificis filia, Antipas et Archelaus ex Malthace Samaritide, filiaque Olympias, quam fratris ejus filius Josephus habebat; Herodes vero et Philippus ex Cleopatra Hierosolymitide, necnon Phasaelus ex Pallade. Ei etiam natæ erant aliæ filiæ, Roxane et Salome, una quidem ex Phædra, altera vero ex Elpide. Duas autem uxores habebat quæ steriles erant, consobrinam et fratris filiam; et præterea duas Alexandri et Aristobuli sorores ex Mariamne. Quum igitur multiplex adeo soboles superesset, obsecrabat Antipater ut alio modo fierent nuptiæ.

5. Rex autem, ubi perspexit ejus erga pupillos ingenii indolem, vehementer indignatus est, ipsumque subiit cogitatio de occisis, ne forte id etiam omni studio contenderit Antipater, ut illi calumniis obruerentur. Et tunc quidem, quum multa iracunde respondisset, Antipatro repulsam dedit. Postea vero, blanditiis illius mollitus victusque, nuptiarum pactionem mutavit: ac ipsi quidem Aristobuli filiam collocavit, ejus vero filium Pheroræ filiæ.

6. Inde autem licet animadvertere, quantum in hoc Antipater valuit adulando, quod idem in simili causa impetrare non potuit Salome. Hanc enim, quamvis soror esset et multis precibus, intercedente Julia uxore Cæsaris, contenderet ut Syllæo Arabi nupta daretur, pro inimicissima habiturum esse juravit, nisi ab hoc studio desisteret: tandemque invitam Alexæ cuidam ex amicis suis matrimonio junxit, ejusque filiarum unam Alexæ filio, alteram materno Antipatri avunculo. Filiarum autem ex Mariamne una quidem nupta erat Antipatro sororis filio, altera vero fratris filio Phasaelo.

CAP. XXIX. (XVIII.)

Quum autem pupillis spem omnem præcidisset Antipater, et affinitates prout maxime in rem facerent suam junxisset, quasi firma stabilique spe nitebatur, adjectaque malitiæ fiducia intolerabilis evadebat. Nam quum singulorum odium excutere non posset, securitatem sibi ex terrore quærebat. Etiam Pheroras ipsi, tanquam regi certo futuro, operam suam commodabat. Porro conflatum est in aula mulierum quoque sodalitium, quod novas excitavit turbas. Etenim Pheroræ uxor, cum matre ac sorore sua, necnon et

μητρὸς καὶ τῆς ἀδελφῆς προσλαβοῦσα τὴν Ἀντιπάτρου μητέρα, πολλὰ μὲν ἠσέλγαινε κατὰ τὸ βασίλειον, ἐτόλμησε δὲ καὶ τοῦ βασιλέως ὑβρίσαι δύο θυγατέρας· διὸ μάλιστα αὐτὴν ἐκεῖνος προβέβλητο· μισούμεναί γε μὴν ὑπ' αὐτοῦ τῶν ἄλλων ἐπεκράτουν. Μόνη δὲ τῆς ὁμονοίας αὐτῶν ἀντίπαλος ἦν Σαλώμη, καὶ βασιλεῖ διέβαλλε τὴν σύνοδον, ὡς οὐκ ἐπ' ἀγαθῷ τῶν αὐτοῦ πραγμάτων εἴη. Γνοῦσαι δὲ ἐκεῖναι τὴν διαβολήν, καὶ ὡς ἀγαναχτήσειεν Ἡρώδης, τῆς μὲν φανερᾶς συνόδου καὶ τῶν φιλοφρονήσεων ἐπαύσαντο, τοὐναντίον δὲ ὑπεκρίνοντο καὶ διαφέρεσθαι πρὸς ἀλλήλας ἀκούοντος βασιλέως, αἷς συνυπεκρίνετο καὶ Ἀντίπατρος, ἐν τῷ φανερῷ προσκρούων Φερώρᾳ· συνουσίαι δὲ ἦσαν αὐτῶν λάθρα καὶ κῶμοι νυκτερινοί, τήν τε ὁμόνοιαν ἡ παρατήρησις ἐπέτεινεν. Ἠγνόει δὲ οὐδὲν Σαλώμη τῶν πραττομένων καὶ πάνθ' Ἡρώδῃ διήγγελλεν.

β'. Ἐξεκαίετο δ' ἐκεῖνος εἰς ὀργὴν, καὶ μάλιστα δ' ἐπὶ τὴν Φερώρα γυναῖκα· ταύτην γὰρ πλέον ἡ Σαλώμη διέβαλλεν. Ἀθροίσας γοῦν συνέδριον τῶν τε φίλων καὶ συγγενῶν, ἄλλα τε πολλὰ τῆς ἀνθρώπου κατηγόρει καὶ τὴν εἰς τὰς αὐτοῦ θυγατέρας ὕβριν, ὅτι τε Φαρισαίοις μὲν χορηγήσειε μισθοὺς κατ' αὐτοῦ, καὶ τὸν ἀδελφὸν αὐτῷ κατασκευάσειε πολέμιον, ἐνδησαμένη φαρμάκοις. Τελευταῖον δὲ εἰς Φερώραν ἀπέστρεψε τὸν λόγον, δυοῖν θάτερον ἑλέσθαι λέγων, ἢ αὐτὸν ἀδελφὸν, ἢ τὴν γυναῖκα. Τοῦ δὲ θᾶττον ἀπολείψειν τὸ ζῆν ἢ τὴν γυναῖκα φήσαντος, οὐκ ἔχων ὅ τι χρὴ δρᾶν, μετέβαινεν ἐπ' Ἀντίπατρον, ᾧ παρήγγειλε μήτε τῇ Φερώρα γυναικὶ μήτε αὐτῷ μήτε ἄλλῳ τινὶ τῶν ἐκείνης διαλέγεσθαι. Ὁ δὲ φανερῶς μὲν οὐ μετέβαινε τὸ πρόσταγμα, λάθρα δὲ διενυκτέρευε σὺν ἐκείνοις· καὶ δεδοικὼς ἐπιτηροῦσαν τὴν Σαλώμην πραγματεύεται διὰ τῶν ἐπὶ τῆς Ἰταλίας φίλων τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτῷ. Γραψάντων γὰρ ἐκείνων δεῖν Ἀντίπατρον πεμφθῆναι διά χρόνου πρὸς Καίσαρα, ὁ δὲ οὔ τι μελλήσας ἐξέπεμψε, θεραπείαν τε λαμπρὰν καὶ πλεῖστα δοὺς χρήματα, τήν τε διαθήκην κομίζειν· ἐν ᾗ βασιλεὺς μὲν Ἀντίπατρος ἐγέγραπτο, Ἀντιπάτρου δὲ Ἡρώδης διάδοχος ὁ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς γεγονώς.

γ'. Ἔπλευσε δὲ καὶ Συλλαῖος ὁ Ἄραψ ἐπὶ Ῥώμης, ἠμεληκὼς μὲν τῶν Καίσαρος προσταγμάτων, ἀγωνιούμενος δὲ πρὸς Ἀντίπατρον, περὶ ὧν ἐδεδίκαστο Νικολάῳ τάχιον. Οὐ μικρὸς δὲ αὐτῷ καὶ πρὸς Ἀρέταν ἦν ἀγὼν τὸν αὐτοῦ βασιλέα. Τούτου γὰρ ἄλλους τε φίλους ἀνῃρήκει καὶ Σόεμον, τῶν ἐν Πέτρᾳ τὸν δυνατώτατον. Πείσας δὲ πολλοῖς χρήμασι Φαβᾶτον τὸν Καίσαρος διοικητὴν, ἐχρῆτο βοηθῷ καὶ καθ' Ἡρώδου. Πλείονα δὲ δοὺς Ἡρώδης ἀφίστησί τε ἀπὸ Συλλαίου Φαβᾶτον καὶ δι' αὐτοῦ τὰ κελευσθέντα ὑπὸ Καίσαρος εἰσέπραττεν. Ὁ δὲ μηδὲν ἀποδοὺς ἔτι καὶ κατηγόρει Φαβᾶτου πρὸς Καίσαρα, διοικητὴν εἶναι λέγων οὐ τῶν ἐκείνου, τῶν δὲ Ἡρώδου συμφερόντων. Ἐφ' οἷς ὀργισθεὶς Φαβᾶτος (ἦν δὲ ἔτι παρ' Ἡρώδῃ μάλιστα τιμώμενος)

matre Antipatri, multa quidem in regia insolenter agebat: duas vero regis filias contumeliose tractare ausa est. Quare illam præcipue aversatus est. Ceterum odio habitæ ab illo ceteris dominabantur. Sola vero Salome earum concordiæ adversabatur, congressusque apud regem accusabat, ut qui rebus illius in damnum cederent. Illæ autem, ubi intellexerant delationem, quamque ægre rem tulisset Herodes, cessarunt quidem palam convenire et in familiaritate versari; contrarium vero simulabant, atque discordare ab invicem audiente rege. Cum quibus eadem etiam præ se ferebat Antipater, in conspectu omnium Pheroram lacessens: congressus vero occultos habebant, et nocturnas comessationes agebant, et ad earum concordiam firmandam conferebat observatio. Nihil autem eorum quæ agerent molirenturve ignorabat Salome, et Herodi cuncta nunciabat.

2. Ille vero iracundia exardebat, maximeque adversus Pheroræ conjugem: nam hanc magis accusabat Salome. Advocatis igitur amicis cognatisque in concilium, et alia multa mulieri objiciebat et injurias filiabus suis illatas, quodque Pharisæis præmia, ut ipsi adversarentur, dedisset, fratremque ipsi hostem fecisset, veneficiis suis irretitum. Tandem vero se ad Pheroram convertit, dicens se ei alterum e duobus eligendi optionem dare, aut ut fratrem sibi haberet, aut uxorem. Quumque ille se vitam citius amissurum esse quam uxorem dixisset, incertus quid ageret, sermonem ad Antipatrum transfert, eique denunciavit ut neque cum Pheroræ uxore, neque cum ipso, neque alio quopiam ad eam pertinente colloqueretur. Ille palam quidem nihil faciebat contra quam præceptum erat, clam vero cum illis pernoctabat; atque veritus ne ipsum observaret Salome, enititur efficitque per amicos in Italia degentes ut Romam proficisceretur. Etenim, quum illi scripsissent mitti oportere Antipatrum aliquanto post tempore ad Cæsarem, ille nihil moratus eum misit, dato ipsi et splendido famulitio et plurima pecunia, et testamento deferendo, in quo scriptum erat ut Antipater quidem regnaret, Antipatro vero in regnum succederet Herodes, ex Mariamne pontificis filia procreatus.

3. Etiam Syllæus Arabs Romam navigavit, quum quidem nihil eorum curasset quæ Cæsar imperaverat; de iis vero adversus Antipatrum disceptaturus, ob quæ antea a Nicolao in judicium vocatus fuerat. Porroque causam non levem dicturus erat contra Aretam regem suum. Hujus enim et amicos alios interfecerat et Soemum, omnium in Petra potentissimum. Quumque grandi pecunia Fabato persuasisset Cæsaris procuratori, operam illius adhibuit etiam contra Herodem. Plus autem largitus Herodes et Fabatum a Syllæo alienat, et per eum exigebat quicquid Cæsar imperaverat. At quum ille nihil reddidisset, Fabatum apud Cæsarem accusabat, procuratorem esse dicens qui majorem Herodis quam ipsius rationem habebat. Quibus commotus ad iracundiam Fabatus (adhuc enim maximo in honore erat

γίνεται προδότης Συλλαίου τῶν ἀπορρήτων, τῷ τε βασιλεῖ φησὶν ὅτι Συλλαῖος διαφθείρειεν αὐτοῦ τὸν σωματοφύλακα Κόρινθον χρήμασιν, ὃν δεῖ φυλάττεσθαι. Πείθεται δ' ὁ βασιλεύς· καὶ γὰρ ἐτέθραπτο μὲν ὁ Κόρινθος ἐν τῇ βασιλείᾳ, γένος δ' ἦν Ἄραψ. Συλλαμβάνει δ' εὐθέως οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δύο ἑτέρους Ἄραβας, εὑρὼν παρ' αὐτῷ τὸν μὲν φίλον Συλλαίου, τὸν δὲ φύλαρχον. Οἱ δὲ βασανιζόμενοι πεῖσαι Κόρινθον ὡμολόγησαν ἐπὶ πολλοῖς χρήμασιν Ἡρώδην ἀνελεῖν. Οὗτοι μὲν οὖν ἀναχριθέντες καὶ παρὰ Σατορνίνῳ τῷ διέποντι τὴν Συρίαν ἀνεπέμφθησαν εἰς Ῥώμην.

(ΙΘ'.) δ'. Ἡρώδης δ' οὐκ ἀνίει Φερώραν, βιαζόμενος ἀπαλλαγῆναι τῆς γυναικός· οὐδ' ἐπενόει μηχανὴν, δι' ἧς ἂν τιμωρήσαιτο τὴν ἄνθρωπον, πολλὰς τοῦ μίσους ἔχων αἰτίας, ἕως ὑπεραλγήσας σὺν αὐτῇ καὶ τὸν ἀδελφὸν ἐκβάλλει. Φερώρας δὲ, ἀγαπήσας τὴν ὕβριν, ἀπαλλάσσεται μὲν εἰς τὴν ἑαυτοῦ τετραρχίαν, ὀμόσας ἕξειν ἕνα τῆς φυγῆς ὅρον, τὸν Ἡρώδου θάνατον, καὶ μηδέποτε πρὸς ζῶντα ὑποστρέψειν· ἐπανῆλθε δὲ οὐδὲ πρὸς νοσοῦντα τὸν ἀδελφὸν, καίτοι λιπαρῶς μεταπεμπόμενον. Ἐβούλετο γὰρ αὐτῷ τινας ἐντολὰς καταλείψειν ὡς τεθνηξόμενος. Ἀλλ' ὁ μὲν παρ' ἐλπίδα σώζεται. Μετ' οὐ πολὺ δὲ νοσεῖ Φερώρας, εὑρίσκεται δὲ Ἡρώδης μετριώτερος· καὶ γὰρ ἦκεν πρὸς αὐτὸν καὶ συμπαθῶς ἐθεράπευεν· οὐ μὴν ὑπερίσχυσε τοῦ πάθους. Μετὰ γὰρ ἡμέρας ὀλίγας ἀποθνήσκει Φερώρας, ὃν καίπερ ἀγαπήσας Ἡρώδης μέχρι τελευταίας ἡμέρας, ὅμως καὶ αὐτὸν ἀνελεῖν ἐφημίσθη φαρμάκῳ. Τόν γε μὴν νεκρὸν εἰς Ἱεροσόλυμα κομίσας πένθος τε μέγιστον ὅλῳ τῷ ἔθνει κατήγγειλε, καὶ κηδείας ἠξίωσε λαμπροτάτης. Ἕνα μὲν δὴ τῶν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου φονέων τοιοῦτον περιέρχεται τέλος.

ΚΕΦ. Λ'.

4. Istis rex commotus iracundiæ vehementia morbum superat, adeoque in concionem procedit, atque multum in eos ut sacrilegos invectus, quodque legis prætextu majus quiddam aggrederentur, æquum censebat et supplicio eos addicere ut impios. Populus autem veritus ne multi ex indiciis convincerentur, rogabat ut quum primum quidem facinoris suasores, ac deinde in eo deprehensos pœnæ subjecisset, iram in ceteros missam faceret. Vix persuadetur rex, et qui funibus se demiserant una cum sophistis vivos cremavit, reliquos vero qui comprehensi erant ministris interficiendos tradidit.

5. Post hæc morbi vis per universum ejus corpus diffusa variis doloribus distrahebat. Nam febris quidem erat non vehemens, pruritus vero per totam corporis superficiem intolerabilis, coli quoque dolores continui, et circa pedes tumores quasi aqua intercute laborantis, atque inflatio abdominis, et in pudendis putredo vermes generans. Ad hæc non potuit nisi quum erectus esset respirare, et tum respirandi difficultate laborabat, et membrorum omnium convulsione cruciabatur, adeo ut harioli morbos pœnam esse dicerent ob cædem sophistis irrogatam. Ille vero, quamvis tot cruciatibus conflictaretur, vivendi tamen desiderio tenebatur, et salutis spem retinebat, ac de curationibus cogitabat. Itaque trajecto Jordane, aquis calidis, quæ juxta Callirrhoen sunt, usus est. Hæ influunt quidem in Asphaltiten lacum, adeo tamen sunt dulces, ut etiam potui commodæ sint. Ibi quum medicis visum esset ut totum corpus demissum in solium calidi olei plenum foveretur, oculi enervantur, eosque morientis ad instar reciprocavit. Quum autem in tumultu essent ministri, clamore excitatus ad se quidem rediit : salutis autem spe in posterum abjecta, et quinquaginta drachmas militibus viritim, et ingentem pecuniam ducibus atque amicis distribui jussit.

6. Quum autem revertens ad Hierichuntem usque perveniret, jam atra bile correptus, et ipsi quodammodo morti aliquid minitans, progressus est ad facinus teterrimum perpetrandum. Nam illustres totius Judææ viros ex singulis vicis collectos in locum qui Hippodromus vocabatur concludi jussit. Tum accersita sorore Salome viroque ejus Alexa,

« οἶδα, ἔφη, Ἰουδαίους τὸν μὲν ἐμὸν ἑορτάσοντας θάνα-
« τον, δύναμαι δὲ πενθεῖσθαι δι' ἑτέρων, καὶ λαμπρὸν
« ἐπιτάφιον σχεῖν, ἂν ὑμεῖς θελήσητε ταῖς ἐμαῖς ἐντο-
« λαῖς ὑπουργῆσαι. Τοὺς δὲ τοὺς φρουρουμένους ἄν-
« δρας, ἐπειδὰν ἐκπνεύσω, τάχιστα κτείνατε περιστή-
« σαντες τοὺς στρατιώτας, ἵνα πᾶσα Ἰουδαία καὶ πᾶς
« οἶκος ἄκων ἐπ' ἐμοὶ δακρύσῃ. »

ζ'. Ταῦτα ἐνετέλλετο, καὶ παρὰ τῶν ἐν Ῥώμῃ πρέσβεων ἦκον ἐπιστολαί, δι' ὧν Ἀκμὴ μὲν ἀνῃρημένη κελεύσαντος Καίσαρος ἐδηλοῦτο, θανάτῳ δὲ Ἀντίπατρος κατάκριτος· ἐγραφόν γε μὴν ὡς εἰ καὶ φυγαδεύειν αὐτὸν ἐθελήσειεν ὁ πατήρ, ἐπιτρέποι Καῖσαρ. Ὁ δὲ βραχὺ μὲν πρὸς τὴν ἐπιθυμίαν ἀνήνεγκεν. Αὖθις δέ (καὶ γὰρ ἐνδεία τροφῆς καὶ βηχὶ σπασμώδει διετείνετο) τῶν ἀληθόνων ἡττηθεὶς φθάσαι τὴν εἱμαρμένην ἐπεβάλλετο. Λαβὼν δὲ μῆλον ᾔτησε καὶ μαχαίριον (εἰώθει γὰρ ἀποτέμνων ἐσθίειν), ἔπειτα περιαθρήσας μή τις ὁ κωλύων εἴη, ἐπῆρε τὴν δεξιὰν ὡς πλήξων ἑαυτόν. Προσδραμὼν δὲ ἐκώλυσεν Ἀχίαβος ὁ ἀνεψιὸς αὐτοῦ τὴν χεῖρα κατασχών. Οἰμωγὴ δ' εὐθὺς ἤρθη μεγίστη κατὰ τὸ βασίλειον ὡς οἰχομένου τοῦ βασιλέως· καὶ ταχέως ἀκούσας Ἀντίπατρος, ἀνεθάρρει τε καὶ γεγηθὼς τοὺς φύλακας ἱκέτευεν ἐπὶ χρήμασιν ἐξαφιέναι λύσαντας αὐτόν. Ὁ δὲ ἡγεμὼν οὐ μόνον ἐκώλυσεν, ἀλλὰ καὶ βασιλεῖ δραμὼν ἀνήγγειλε τὴν ἐπιβουλήν. Ἀνέκραγε δὲ ἐκεῖνος ἰσχυρότερον τῆς νόσου καὶ παραχρῆμα πέμψας τοὺς δορυφόρους ἀπέκτεινε τὸν Ἀντίπατρον. Θάψαι δὲ τὸν νεκρὸν αὐτοῦ προστάξας ἐν Ὑρκανείῳ, πάλιν τὰς διαθήκας ἐπανορθοῦται, καὶ διάδοχον μὲν Ἀρχέλαον, τὸν πρεσβύτατον υἱόν, ἀδελφὸν δὲ Ἀντίπα, γράφει, τετράρχην δὲ Ἀντίπαν.

η'. Μετὰ δὲ τὴν ἀναίρεσιν τοῦ παιδὸς ἐπιβιοὺς πέντε ἡμέρας τελευτᾷ, βασιλεύσας ἀφ' οὗ μὲν ἀποκτείνας Ἀντίγονον ἐκράτησε τῶν πραγμάτων ἔτη τέσσαρα καὶ τριάκοντα, ἀφ' οὗ δὲ ὑπὸ Ῥωμαίων ἀπεδείχθη βασιλεύς, ἑπτὰ καὶ τριάκοντα. Καὶ κατὰ μὲν τὰ ἄλλα πάντα τύχῃ δεξιᾷ χρησάμενος, εἰ καί τις ἕτερος, ὅστις γε κατεκτήσατο βασιλείαν ἰδιώτης ὤν, καὶ, τοσούτῳ χρόνῳ φυλάξας, ἰδίοις τέκνοις κατέλιπεν· ἐν δὲ τοῖς κατ' οἶκον, ἀτυχέστατος. Πρὶν δὲ γνῶναι τὴν τελευτὴν αὐτοῦ τὸ στρατιωτικὸν, προελθοῦσα μετ' ἀνδρὸς ἡ Σαλώμη διαφῆκε τοὺς δεσμώτας οὓς κτείνειν ὁ βασιλεὺς ἐνετείλατο, μεταπεισθῆναι αὐτὸν λέγουσα, καὶ πάλιν ἀναπέμπειν ἕκαστον εἰς τὰ ἴδια. Τούτων δὲ οἰχομένων, ἐδήλου ἤδη τοῖς στρατιώταις, καὶ συνῆγεν αὐτοὺς εἰς ἐκκλησίαν μετὰ τοῦ λοιποῦ πλήθους ἐν τῷ καθ' Ἱεριχοῦντα ἀμφιθεάτρῳ. Ἔνθα παρελθὼν Πτολεμαῖος, ὁ καὶ τὸν σημαντῆρα δακτύλιον παρὰ τοῦ βασιλέως πεπιστευμένος, τόν τε βασιλέα κατευδαιμονίζει, καὶ τὸ πλῆθος παρακαλεῖ, τήν τε ἀπολειφθεῖσαν τοῖς στρατιώταις ἀνεγίνωσκεν ἐπιστολὴν, ἐν ᾗ πολλὰ περὶ τῆς εἰς τὸν διάδοχον εὐνοίας παρεκάλει. Μετὰ δὲ τὴν ἐπιστολὴν λύσας τὰς διαθήκας ἀνεγίνωσκεν, ἐν αἷς Φίλιππος μὲν τοῦ Τράχωνος καὶ τῶν γει-

« novi, inquit, Judæos morte quidem mea festos dies
« acturos; aliorum vero causa lugeri possum et funus splen-
« didum consequi, dummodo meis mandatis obsequi veli-
« tis. Hos autem viros in custodia clausos, simulatque
« animam exhalavero, omnes interficite, quo et universa
« Judæa et singulæ domus vel invitæ mea morte illacri-
« mentur. »

7. Ista mandabat, et a legatis qui Romæ erant veniebant literæ, quibus significabatur Acmen jussu Cæsaris interfectam esse, et Antipatrum morte damnatum. Scriptum vero erat, si pater eum in exsilium dare mallet, id quoque permisisse Cæsarem. Atqui ille paululum quidem ad vitæ cupiditatem rediit. Rursus vero (nam et inedia et tussi convulsiva distinebatur) victus doloribus fatum antevertere statuit. Sumpto igitur pomo, cultellum etiam poposcit (solitus enim erat sectum comedere), deinde circumspiciens ne quis esset qui ei obstaret, tanquam se percussurus dextram levavit. Verum Achiabus ejus sobrinus accurrens, manu illius prehensa, impediit. Ululatus autem maximus statim sublatus est in regia, ac si rex mortuus fuisset. Quem simul atque audiverat Antipater, fiduciam resumit, lætatusque custodes obsecrabat ut ipsum promissa pecunia solutum dimitterent. Dux vero illorum non tantum prohibuit, sed et regi insidias renunciatum currebat: atque ille fortius exclamavit quam morbus commode pateretur, continuoque missis satellitibus Antipatrum occidit. Quum autem in mandatis dedisset ut cadaver ejus in Hyrcaneo sepeliretur, rursus testamentum corrigit, et successorem quidem scripsit Archelaum filium natu maximum, Antipæ fratrem, Antipam vero tetrarcham.

8. Postquam autem a filii cæde quinque dies vixerat, mortem obit, quum scilicet regnasset annos quidem triginta quattuor, ex quo Antigono interfecto rerum potitus est, triginta vero septem, ex quo rex a Romanis declaratus est. Et in ceteris quidem omnibus secunda fortuna usus est, si quis unquam alius, qui quidem regnum, quod privatus adeptus erat, tantoque conservavit tempore, filiis suis reliquit: in rebus vero domesticis infelicissimus fuit. Salome autem, antequam regis mortem resciret exercitus, cum marito progressa, dimisit eos qui in custodia erant, quos occidi jusserat rex; ipsum dicens mutasse consilium, et suam quemque domum remittere. Atquum isti abiissent, tum militibus rem indicabat, eosque cum cetera multitudine in concionem coegit in amphitheatro Hierichuntino: ubi Ptolemæus, cui creditus erat a rege annulus signatorius, prodiens et regis fortunam prædicat et populo consolationem adhibet, et relictas militibus literas legebat, in quibus multis hortabatur ut benevolos se præstarent successori. Deinde post literas istas testamentum resignabat et recitabat, in quo Philippus quidem Trachonis et vicinarum re-

τνειώντων χωρίων κληρονόμος, τετράρχης δὲ, ὡς προείπομεν, Ἀντίπας, βασιλεὺς δὲ Ἀρχέλαος ἀπεδείκνυτο. Τούτῳ δὲ τόν τε δακτύλιον τὸν ἑαυτοῦ Καίσαρι φέρειν ἐνετέλλετο, καὶ τὰς διοικήσεις τῆς βασιλείας σεσημασμένας· κύριον γὰρ ἁπάντων ὧν διατάξειε καὶ βεβαιωτὴν τῶν διαθηκῶν εἶναι Καίσαρα· τά γε μὴν λοιπὰ κατὰ τὰς προτέρας διαθήκας φυλάττειν.

θ'. Βοὴ δὲ εὐθὺς ἐγένετο τῶν Ἀρχελάῳ συνηδομένων, καὶ κατὰ στῖφος οἱ στρατιῶται μετὰ τοῦ πλήθους περιιόντες ὑπισχνοῦντο μὲν τὴν ἑαυτῶν εὔνοιαν, συνηύχοντο δὲ καὶ τὴν παρὰ τοῦ Θεοῦ. Μετὰ ταῦτα πρὸς ταφὴν ἐτράποντο τοῦ βασιλέως. Παρέλιπε δὲ οὐδὲν ὁ Ἀρχέλαος εἰς πολυτέλειαν, ἀλλὰ πάντα τὸν βασίλειον κόσμον προήνεγκε συμπομπεύσοντα τῷ νεκρῷ. Κλίνη μὲν ὁλόχρυσος ἦν διάλιθος, στρωμνὴ δὲ ἁλουργὴς ποικίλη, τὸ σῶμα δὲ ἐπ' αὐτῆς πορφύρᾳ κεκαλυμμένον, καὶ διάδημα μὲν ἐπέκειτο τῇ κεφαλῇ, στέφανος δὲ ὑπὲρ αὐτοῦ χρυσοῦς, τὸ δὲ σκῆπτρον παρὰ τὴν δεξιάν. Καὶ περὶ μὲν τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ πλῆθος τῶν συγγενῶν, ἐφ' οἷς οἱ δορυφόροι, καὶ τὸ Θρᾴκιον στῖφος, Γερμανοί τε καὶ Γαλάται, διεσκευασμένοι πάντες ὡς εἰς πόλεμον. Προῆγε δὲ ἡ λοιπὴ δύναμις, ὡπλισμένοι τοῖς ἡγεμόσι καὶ ταξιάρχοις ἀκολουθοῦντες ἐν κόσμῳ· πεντακόσιοι δὲ ὑπ' αὐτοῖς τῶν οἰκετῶν καὶ ἀπελευθέρων ἀρωματοφόροι. Σταδίους δὲ ἐκομίσθη τὸ σῶμα διακοσίους εἰς Ἡρώδειον, ὅπου κατὰ τὰς ἐντολὰς ἐτάφη. Καὶ τὰ μὲν περὶ Ἡρώδην τοιοῦτον ἔσχε πέρας.

gionum hæres declarabatur, Antipas vero, ut jam ante diximus, tetrarcha, rex vero Archelaus. Huic autem et annulum ad Cæsarem ferre mandabat et administrationis rationes sigillo munitas: omnium enim quæ constitueret dominum et testamenti confirmatorem esse Cæsarem, reliqua vero juxta superius testamentum servari.

9. Confestim autem clamor sublatus est Archelao congratulantium, militesque turmatim cum populo eum stipantes, et suam quidem ei promittebant, Deique benevolentiam ei comprecabantur. Post hæc ad regem sepeliendum se convertebant. Nihil autem quod ad magnificentiam faceret omisit Archelaus, sed omnem ornatum regium protulit, ut cum pompa efferretur mortuus. Lectus quidem erat totus ex auro, gemmis distinctus, stragula vero murice vario refulgens, superque ea corpus purpura coopertum; et capiti quidem impositum erat diadema, corona vero desuper aurea, et dextra sceptrum habebat. Ac lectum stipabant et filii et cognatorum multitudo, quibus proximi satellites, et agmen Thracium, et Germani et Galli, similiter ornati ac si in bellum iretur. Ceteri vero milites præibant, armis instructi, duces suos ordinumque ductores modeste decenterque sequentes: atque post hos quingenti famuli et liberti aromata ferentes. Corpus autem per ducenta stadia delatum est in Herodeum, ubi, prout fuerat mandatum, sepultum est. Et quæ ad Herodem quidem spectant hujusmodi finem habebant.

ΛΟΓΟΣ Β'.

α'. Ὅπως Ἀρχέλαος, πενθήσας τὸν πατέρα καὶ τὸ πλῆθος ἑστιάσας, ἐθεράπευσεν ἐφ' οἷς ἠτοῦντο.

β'. Ὅπως οὐκ ὀλίγους τῶν πενθούντων τοὺς διὰ ἀετὸν ὑπὸ τοῦ Ἡρώδου ἀποκτανθέντας σοφιστὰς, καὶ στάσιν κατ' αὐτοῦ ἐγειρόντων, ἀπέκτεινε καὶ μάλιστα τῶν συνελθόντων ἐν τῷ Πάσχα.

γ'. Ὅπως, ἀπερχομένου Ἀρχελάου εἰς Ῥώμην, Σαβῖνος ἀνιὼν εἰς Ἱεροσόλυμα ὑπήντα, καὶ τότε μὲν παρακληθεὶς ὑπὸ Οὐάρου ἀποστρέφεται, ἔπειτα ἀπελθόντος Ἀρχελάου πάλιν ἀνελθὼν τά τε βασίλεια παραλαμβάνειν ἐπειρᾶτο καὶ τὰ χρήματα πάντα κομίζεσθαι, εἰ καὶ μὴ ἐδυνήθη.

δ. Ὅπως Ἀντίπας ἠμφισβήτησε τῆς βασιλείας τῷ Ἀρχελάῳ, καὶ οἷα ἑκάτερος εἶπεν ἑαυτῷ συνιστάμενος.

ε'. Ὅπως Σαβίνου ἐπελθόντος Ἱεροσολύμοις, καὶ βιαζομένου τε τοὺς φόρους λαμβάνειν καὶ τὰ βασιλικὰ χρήματα διερευνῶντος, συστραφὲν τὸ πλῆθος πόλεμον κατ' αὐτοῦ συνεστήσατο, ἐκ δὲ τούτου καὶ ἡ πᾶσα χώρα ἐστασιάσθη.

ς'. Περὶ τῶν ἐν τῇ χώρᾳ τῶν Ἰουδαίων ἐπαναστάντων, καὶ σχῆμα βασιλείας αὐτοῖς περιθεμένων.

ζ. Ὅπως Οὔαρος ἐπελθὼν τήν τε στάσιν κατέπαυσεν καὶ τοὺς αἰτίους ἐκόλασεν.

η'. Ὅπως Ἰουδαῖοι παραγεγονότες πρὸς Καίσαρα κατηγόρησαν Ἡρώδου καὶ τῶν αὐτοῦ παίδων, ἀξιοῦντες μηκέτι βασιλεύεσθαι· καὶ ὡς Ἀρχέλαος ἀντέθηκε τὰς αἰτίας ἀποσκευαζόμενος.

θ'. Ὅπως Καῖσαρ τὸ μὲν ἥμισυ τῆς βασιλείας Ἀρχελάῳ δοὺς ἐθνάρχην προσεῖπεν, τὸ δὲ λοιπὸν εἰς δύο διελὼν τετραρχίας,

LIBER II.

1. Quomodo Archelaus, quum patrem luxisset et populum convivio excepisset, in iis quæ postulabant illis gratificatus est.
2. Quomodo multos ex illis, qui sophistas ob aquilam revulsam occisos ab Herode lugebant, et seditionem contra ipsum movebant, interfecit, præsertimque eos qui Paschatis tempore convenerant.
3. Quomodo Sabinus, Archelao Romam abeunte, quum Hierosolyma ascenderet, ei in via occurrebat, et tunc quidem hortatu Vari reversus est: deinde, quum Varus abiisset, rursus illuc ascendens, et regiam occupare studebat, et pecuniam omnem auferre, quanquam frustra id tentavit.
4. Quomodo Antipas cum Archelao de regno contenderit, quæque uterque in sui defensionem dixerit.
5. Quomodo, postquam Hierosolyma venerat Sabinus, vimque adhibebat ad tributa capienda, et regias pecunias exquirebat, populus factis agminibus bellum in eum concitavit, atque inde per totam Judæam orta est seditio.
6. De iis qui in Judæa insurrectionem fecerant, et regni insigne sibimet imposuerunt.
7. Quomodo Varus, postquam eo venerat, et seditionem composuit et in ejus auctores animadvertit.
8. Quomodo Judæi, quum ad Cæsarem pervenissent, Herodem ejusque filios accusarunt, postulantes ut non amplius regibus subjiciantur: et quomodo Archelaus semet eis opposuit et accusationes diluit.
9. Quomodo Cæsar, quum regni quidem dimidium Archelao dedisset, ethnarcham eum appellavit; reliquum vero in duas

τὴν μὲν Φιλίππῳ, τὴν δὲ Ἀντιπάτρῳ, τῷ καὶ Ἀντίπᾳ καὶ Ἡρῴδῃ, δέδωκε, καὶ ὅση ἑκάστῳ πρόσοδος γέγονε, καὶ τίνα καὶ τῇ λοιπῇ τοῦ Ἡρῴδου γενεᾷ Καῖσαρ ἀπένειμεν.

ι'. Περὶ τοῦ ψευσαμένου ἑαυτὸν Ἀλέξανδρον εἶναι καὶ ὅπως ἀνεγνωρίσθη.

ια'. Ὅπως Ἀρχέλαος, ἐνάτῳ ἔτει τῆς βασιλείας καὶ τῆς οὐσίας ἀφαιρεθείς, ἀϊδίῳ φυγῇ ζημιοῦται, οἵους τε ὀνείρους αὐτὸς καὶ ἡ γυνὴ εἶδον· καὶ ὅπως ἡ αὐτοῦ ἀρχὴ, εἰς ἐπαρχίαν περιγραφεῖσα, ἐπίτροπον ἐδέξατο.

ιβ'. Περὶ τοῦ Γαλιλαίου Ἰούδα τοῦ τοὺς ἐπιχωρίους εἰς ἀπόστασιν ἐνάγοντος, καὶ τῶν τριῶν παρὰ Ἰουδαίοις αἱρέσεων, Σαδδουκαίων, Φαρισαίων, καὶ Ἐσσηνῶν.

γ'. Θάνατος Σαλώμης τῆς ἀδελφῆς Ἡρῴδου καὶ Αὐγούστου Καίσαρος, καὶ Τιβερίου ἀναγόρευσις, καὶ ποίας πόλεις ἔκτισαν Ἡρῴδης τε καὶ Φίλιππος οἱ τετράρχαι.

ιδ'. Ὅπως Πίλατος, ἐπίτροπος πεμφθεὶς Ἰουδαίας, καὶ τὰς Καίσαρος εἰκόνας εἰσαγαγὼν εἰς Ἱεροσόλυμα, παρακληθείς τε ὑπὸ τοῦ πλήθους αὖθις αὐτὰς ἐξήγαγεν, καὶ ὅπως πάλιν τὸν ἱερὸν θησαυρὸν, ἤτοι τὸν Κορβωνᾶν, πρὸς καταγωγὴν ὑδάτων ἐξαναλίσκων, εἰς στάσιν αὐτοὺς ἠρέθισε, καὶ οὐκ ὀλίγους ἀπέκτεινεν.

ιε'. Ὅπως κατήγορος Ἡρῴδου πρὸς Τιβέριον Ἀγρίππας ὁ Ἀριστοβούλου, τοῦ ἀναιρεθέντος ὑπὸ τοῦ πατρὸς σὺν τἀδελφῷ, παῖς ἀφικόμενος, οὐ προσεδέχθη, ἐδέθη δὲ μᾶλλον καὶ προσηκίσθη, διὰ τὸ ἐπεύξασθαι Γαΐῳ τὴν βασιλείαν.

ις'. Ὅπως, ἀποθανόντος Τιβερίου καὶ Γαΐου κρατήσαντος, τῶν τε δεσμῶν ἀπολύεται καὶ τὴν Φιλίππου τετραρχίαν ἀποθανόντος ἤδη λαμβάνει· ἔπειτα καὶ τὴν ἀδελφοῦ ἐκείνου Ἡρῴδου, φυγαδευθέντος μετὰ τῆς γυναικὸς Ἡρωδιάδος εἰς Ἱσπανίαν, διά τε τὴν πλεονεξίαν καὶ τὸ κατηγορηθῆναι ὑπὸ Ἀγρίππα.

ιζ'. Ὅπως Γάϊος Πετρώνιον ἀπέστειλεν ἀναθεῖναι τὰς αὐτοῦ εἰκόνας ἐν τῷ ναῷ, καὶ ὡς Ἰουδαῖοι παγγενεὶ ἐν Πτολεμαΐδι αὐτῷ προϋπήντησαν, δεόμενοι μὴ τοῦτο ποιῆσαι· ἐν ᾧ καὶ Πτολεμαΐδος ἔκφρασις καὶ Βηλέου ποταμοῦ, καὶ τοῦ Μέμνονος τάφου, καὶ τῆς ὑαλίνης ψάμμου. Καὶ ὅπως πεισθεὶς Πετρώνιος ἀνῆγεν τὴν τῶν εἰκόνων ἀνάθεσιν.

ιη'. Ὅπως ἀποθανόντος Γαΐου Κλαύδιος ἐκράτησεν ὅλων, Ἀγρίππα συμβουλῇ διαλλαγείσης τῆς συγκλήτου πρὸς αὐτόν· καὶ ὅπως Κλαύδιος δωρεῖται αὐτὸν τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ, ἔτι δὲ καὶ ἑτέρων προσθήκῃ, ἀλλὰ καὶ τὸν ἀδελφὸν, τὸν καὶ ἐπὶ θυγατρὶ τῇ Βερενίκῃ γαμβρὸν, βασιλείᾳ τῆς Χαλκίδος.

ιθ'. Ὅπως ἀρξάμενος Ἀγρίππας τειχίζειν Ἱεροσόλυμα τελευτᾷ, καὶ ἡ βασιλεία πάλιν ἐπαρχία γίνεται, καὶ ἐπίτροπος ἀποστέλλεται· ἔπειτα καὶ Ἡρῴδης ὁ τῆς Χαλκίδος βασιλεύων τελευτᾷ, καὶ καθίστησιν εἰς τὴν αὐτοῦ βασιλείαν Κλαύδιος τὸν ἀδελφιδοῦν Ἀγρίππαν, τὸν τοῦ Ἀγρίππα υἱόν. Καὶ ὅτι οὗτοι μὲν ἦσαν Ἀριστοβούλου, ἡ δὲ Ἀλεξάνδρου γενεὰ τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσεν.

κ'. Ὅπως ἐπιτρόπου Κουμάνου ἐν τῇ ἄλλῃ ἐπαρχίᾳ σταλέντος, θόρυβος καὶ φθορὰ τὴν πόλιν κατέσχεν, τὴν ἀρχὴν ἐκ τῆς τοῦ στρατιώτου ἀσχημοσύνης λαβοῦσα, καὶ περὶ μυρίους ἀπέθανον. Καὶ ὡς τούτου παυθέντος ἑτέρα στάσις γίνεται πάλιν, διὰ τὸ πυρίκαυστον ποιῆσαι τὸν νόμον τινὰ στρατιώτην ἐν Σαμαρείᾳ.

κα'. Ὅπως διὰ τὸν ἀναιρεθέντα Γαλιλαῖον παρὰ τῶν ἐν Σαμαρείᾳ Ἰουδαίων πολὺς πάλιν πόλεμος γέγονεν, καὶ οἷα ἐδίκασε Κλαύδιος περὶ τῶν αὐτῶν· καὶ ὅπως ἐκ τῆς Χαλκίδος εἰς μείζονα βασιλείαν μετέθηκε Κλαύδιος τὸν Ἀγρίππαν.

κβ'. Ὅπως τελευτήσαντος Κλαυδίου Νέρων κρατεῖ, καὶ δίδωσι μὲν βασιλεύειν τὴν μικρὰν Ἀρμενίαν τῷ Ἡρῴδου Ἀριστοβούλῳ, τῷ δὲ Ἀγρίππᾳ προστίθησι τέσσαρας πόλεις σὺν ταῖς τοπαρχίαις· εἰς δὲ τὴν λοιπὴν Ἰουδαίαν ἐπίτροπον ἀποστέλλει Φήλικα, ὃς ἄλλους τε πολλοὺς κρατήσας ἀνεσταύρωσεν καὶ τὸν ἀρχιληστὴν Ἐλεάζαρον, εἴκοσιν ἔτεσι τὴν χώραν δηοῦντα, ζωγρήσας ἀνέπεμψεν εἰς Ῥώμην.

tetrarchias quum divississet, unam Philippo, alteram vero Antipatro, qui et Antipas et Herodes vocabatur, donavit: et quantus erat uniuscujusque reditus; et quænam ceteris ex Herodis stirpe Cæsar distribuit.

10. De eo qui sese pro Alexandro gessit, et quomodo patefactus est.

11. Quomodo Archelaus, nono anno et regno et facultatibus privatus, perpetuo exsilio mulctatur, et quænam somnia ipse et uxor somniarunt; et quomodo ejus principatus, in provinciæ formam redactus, procuratorem accepit.

12. De Juda Galilæo qui populares suos ad defectionem impellebat; et de tribus Judæorum sectis, Sadducæis, Pharisæis, et Essenis.

13. Obitus Salomes sororis Herodis et Augusti Cæsaris, et Tiberii Imperatoris inauguratio; et quales urbes condiderunt Herodes et Philippus tetrarchæ.

14. Quomodo Pilatus, ad Judæam procurandam missus, quum Cæsaris effigies in Hierosolyma intulisset, a populo multis precibus interpellatus rursus eas educebat; et quomodo sacrum thesaurum, scilicet Corbonam, ad aquam in urbem derivandam consumens, populum ad seditionem concitavit, et multos occidit.

15. Quomodo Agrippas, filius Aristobuli una cum fratre a patre occisi, ad Tiberium veniens Herodem accusaturus, ab eo non solum repulsam tulit, sed et in vincula conjectus est et male habitus, quod precatus esset ut Caius regnaret.

16. Quomodo, mortuo Tiberio et Caio imperium adepto, vinculis solvitur, et Philippi jam mortui tetrarchiam obtinet; deinde illam Herodis ejus fratris, relegati cum uxore Herodiade in Hispaniam, et ob avaritiam et quod ab Agrippa fuerat accusatus.

17. Quomodo Caius in Judæam misit Petronium, ut ipsius imagines in templo dedicaret, utque Judæi fere universi ei usque ad Ptolemaidem obviam processerunt, ut istud non faceret obsecrantes: ubi et Ptolemaidis descriptio, et Belei fluvii, et Memnonis sepulchri, et arenarum vitrearum. Et quomodo Petronius eo adductus est ut desisteret ab imaginum dedicatione.

18. Quomodo, Caio mortuo, rerum potitur Claudius, senatu ipsi reconciliato ab Agrippæ consilio: et quomodo Claudius protinus eum donat regno paterno universo, cum aliorum quorundam accessione; insuper et fratrem, qui et gener ei erat filiæ Berenicæ nuptiis, regno Chalcidis.

19. Quomodo Agrippa, quum Hierosolyma muris circumdare cœpisset, moritur; et regnum iterum fit provincia, misso in illud procuratore: deinde et Herodes, Chalcidis rex, moritur, et Claudius Agrippam ex fratre nepotem, Agrippæ filium, in ejus regno constituit. Quodque illi quidem erant ex Aristobulo, Alexandri autem posteri in Armenia majori regnaverunt.

20. Quomodo, Cumano ad alteram provinciam procurandam misso, tumultus et cædes in urbe facta est, orta ex eo quod indecore se gesserit miles; et circiter mille perierunt. Utque sedato hoc tumultu, iterum alia oritur seditio, eo quod miles quidam in Samaria legem igne cremaverit.

21. Quomodo, propter Galilæum a Judæis Samaritanis occisum, grave rursus ortum est bellum, et quale de istis judicium tulit Claudius; et quomodo de Chalcide in regnum majus Agrippam transtulit Claudius.

22. Quomodo, Claudio vita defuncto, Nero imperat, et Armeniam quidem minorem regnandam dedit Aristobulo Herodis filio, Agrippæ vero adjicit quattuor urbes cum toparchiis illarum: in reliquam autem Judæam procuratorem mittit Felicem, qui et alios comprehensos in crucem sustulit, et latronum principem Eleazarum, per annos viginti regionem populantem, vivum captum Romam misit.

κγ'. Περὶ τῶν καλουμένων Σικαρίων, ἔτι δὲ καὶ περὶ τῶν ἀπατησάντων ψευδοπροφητῶν, καὶ τοῦ Αἰγυπτίου, καὶ τῶν ἀναπεισάντων μὴ ὑποκεῖσθαι Ῥωμαίοις, καὶ περὶ τῆς γενομένης ἐν Καισαρείᾳ μεταξὺ Ἰουδαίων καὶ Ἑλλήνων στάσεως περὶ τῆς πόλεως· καὶ ὅπως ἀφίκοντο πρὸς Νέρωνα ἐξ ἑκατέρου μέρους, δικασόμενοι περὶ αὐτῆς.

κδ'. Περὶ τοῦ ἐπιτρόπου Ἀλβίνου τοῦ μετὰ Φῆστον, ὅτι τὸν τρόπον κακοήθης ἦν, καὶ ὁ μετ' αὐτὸν Φλῶρος πολὺ χείρων φανεὶς ἀγαθώτατον ἐκεῖνον ἀπέδειξεν.

κε'. Ὅπως καὶ οἱ Καισαρέων Ἕλληνες ἐνίκησαν παρὰ Νέρωνι τῆς πόλεως ἄρχειν, καὶ ὁ Ἰουδαϊκὸς πόλεμος τὴν ἀρχὴν ἔλαβεν, διά τε τήν του Καισαρέως ἐν τῇ γάστρᾳ τῶν ὀρνέων θυσίαν, καὶ διὰ τὸ ἐκ τοῦ ἱεροῦ θησαυροῦ ἑπτακαίδεκα τάλαντα τὸν Φλῶρον λαβεῖν.

κς'. Περὶ Βερενίκης τῆς ἀδελφῆς Ἀγρίππα, οἷά τε πέπονθεν.

κζ'. Ὅπως ἀβεσθείσης τῆς στάσεως πάλιν ὁ Φλῶρος ἀνῆψεν αὐτὴν, τῷ παραγγεῖλαι μὲν τοῖς Ἰουδαίοις ὑπαντῆσαι τοῖς στρατιώταις καὶ ἀσπάσασθαι, ἀντιπαραγγεῖλαι δὲ τοῖς στρατιώταις μὴ ἀντασπάσασθαι, καὶ εἴ τι τολμήσαιεν εἰπεῖν χρῆσθαι κατ' αὐτῶν τοῖς ὅπλοις.

κη'. Ὅπως ἐξελθὼν τῆς πόλεως Φλῶρος Κεστίῳ ἔγραψεν ὡς Ἰουδαῖοι ἀπέστησαν, ὁ δὲ Νεαπολιτανὸν χιλίαρχον ἔπεμψεν μαθησόμενον τὰ κατ' αὐτούς· καὶ ὡς αὐτὸς, σὺν Ἀγρίππᾳ εἰσελθὼν εἰς τὴν πόλιν, εὗρεν εἰρηνεύουσαν μὲν πρὸς Ῥωμαίους, καταβοῶσαν δὲ τοῦ Φλώρου· καὶ ὁ μὲν ὑποστρέφει πρὸς τὸν πέμψαντα, ὁ δὲ βασιλεὺς συμβουλεύει περὶ εἰρήνης τῷ ἔθνει θαυμασιωτάτην συμβουλήν.

κθ'. Ὅπως, τοῦ Ἀγρίππα καταπαύσαντος τὴν στάσιν, ἔπειτα πειρωμένου καὶ πρὸς τὸν Φλῶρον καταλλάσσειν αὐτοὺς, θυμωθέντες αὐτόν τε τῆς πόλεως ἐξεκήρυξαν, καὶ τὸ φρούριον Μασάδαν ὠχυρώσαντο, τοὺς ἐν αὐτῷ Ῥωμαίους κατασφάξαντες.

λ'. Ὅπως, Ἐλεαζάρου υἱοῦ Ἀνανίου τοῦ ἀρχιερέως στρατηγοῦντος, τὰς ὑπὲρ τοῦ Καίσαρος θυσίας ἀπέρριψαν, καὶ μᾶλλον ἀνήφθη ὁ πόλεμος.

λα'. Ὅπως οἱ δυνατοὶ, πρεσβεύσαντες πρὸς Ἀγρίππαν, ἔλαβον παρ' αὐτοῦ στρατιώτας, οἷς ἐχρήσαντο κατὰ Ἐλεαζάρου καὶ τῶν σὺν αὐτῷ στασιαστῶν· ἐν ᾧ καὶ περὶ τῆς τῶν Ξυλοφορίων ἑορτῆς, καὶ περὶ τῶν Σικαρίων.

λβ'. Ὅπως Μανάιμος υἱὸς Ἰούδα τοῦ Γαλιλαίου, τοῦ ἐπὶ Κυρηνίου στασιάσαντος, ἐπανέστη τῷ Ἐλεαζάρῳ· καὶ ὅ τι ποιήσας ἀπώλετο, αὐτός τε καὶ οἱ μετ' αὐτοῦ, καὶ πάντες οἱ βασιλικοὶ παρὰ τῶν σὺν Ἐλεαζάρῳ.

λγ'. Ὅπως, Καισαρέων τοὺς παρ' αὐτοῖς Ἰουδαίους διαχρησαμένων, ἐπανέστη τὸ Ἰουδαϊκὸν ἅπαν, καὶ πολλὰ δεινὰ καὶ τραγῳδίας μεστὰ τοῖς τε Σύροις καὶ τοῖς προσχώροις ἐνδεῖξαντο.

λδ'. Ὅτι καὶ Σκυθοπολῖται, καίτοι συμμαχήσαντας αὐτοῖς, τοὺς παρ' αὐτοῖς Ἰουδαίους ἀπέκτειναν· ἐν ᾧ καὶ τὸ περὶ Σίμωνος διήγημα τοῦ ἑαυτόν τε καὶ τὴν γενεὰν διαχρησαμένου, καὶ ὅπως πανταχοῦ Ἰουδαῖοι παρὰ τῶν Ἑλλήνων κατειργάζοντο.

λε'. Περὶ τῶν φεισαμένων τῶν παρ' αὐτοῖς μετοικούντων Ἰουδαίων, καὶ περὶ τῶν φονευθέντων ἐν τῇ βασιλείᾳ Ἀγρίππα παρὰ γνώμην αὐτοῦ.

λς'. Ὅπως οἵ τε ἄλλοι τοὺς παρ' αὐτοῖς ἀφειδῶς ἀπέκτειναν, καὶ οἱ Ἀλεξανδρεῖς πέντε μυριάδας διεχρήσαντο.

λζ'. Ὅσα Κέστιος ἀπὸ Ἀντιοχείας ἐλθὼν εἰς Ἱεροσόλυμα ἔπραξεν, καὶ ὅσας πόλεις εἶλεν, καὶ ὅσους ἀπέκτεινεν· καὶ ὅπως πλησιάζοντος τῇ πόλει ἐπεξελθόντες Ἰουδαῖοι πολλοὺς μὲν ἀνεῖλον, ἔπειτα δὲ ἡττηθέντες εἰς τὴν πόλιν ἀνέστρεψαν· καὶ ὅπως ὁ τοῦ Γιώρα Σίμων, συμπλακεὶς αὐτοῖς, πολλοὺς ἀπέκτεινεν.

λη'. Ὅπως πρεσβευσάμενος Ἀγρίππας περὶ εἰρήνης οὐδὲν ἤνυσε, τῶν στασιαστῶν ἐναντιωθέντων.

λθ'. Ὅπως Κέστιος, ἐξαίφνης ἐπιπεσὼν αὐτοῖς, εἰς τε τὴν ἐνδοτέρω πόλιν καὶ τὸ ἱερὸν συνήλασε· καὶ ὡς, δυνάμενος καὶ

23. De iis qui Sicarii appellati erant, ut et de pseudoprophetis qui multos deceperant, et de Ægyptio quodam, illisque qui populo persuadebant ne Romanis subditi manerent; et de seditione Cæsareæ inter Judæos et Græcos de jure civitatis orta; et ut quidam ex utraque parte ad Neronem se conferebant, ea de re disceptaturi.

24. De Albino procuratore post Festum, quod maligno fuerit ingenio; quodque Florus ejus successor, eo multo pejor visus, fecerit ut ille pro optimo haberetur.

25. Quomodo Græci Cæsareenses a Nerone obtinuerint ut civitatis imperium haberent; ortumque est bellum Judaicum, partim ex Cæsareensi quodam in vase Samio avibus sacra faciente, partim ex eo quod Florus septemdecim talenta e sacro thesauro abstulerit.

26. De Berenice sorore Agrippæ, et quænam passa est.

27. Quomodo Florus exstinctam seditionem resuscitavit, Judæis quidem imperando ut militibus obviam irent eosque salutarent, contra vero militibus suis præcipiendo ut non resalutarent Judæos, et si quid petulanter isti loqui auderent, statim adversus eos armis uterentur.

28. Quomodo Florus, urbe egressus, Cestio scripsit de Judæorum defectione; atque ille tribunum Neapolitanum misit, quænam apud ipsos facta essent cogniturum: utque is, cum Agrippa in urbem ingressus, invenit eam pacem cum Romanis colentem, Florumque clamoribus insectantem: atque ille quidem revertitur ad eum qui ipsum miserat, rex vero genti consilium dat de pace admiratione dignissimum.

29. Quomodo seditione ab Agrippa sedata, quum mox tentaret Judæos Floro reconciliare, illi, ira incensi, et ipsi voce præconis ut urbe exiret denunciarunt, et Masadam castellum, Romanis qui in eo erant occisis, munierunt.

30. Quomodo, Eleazaro Ananiæ pontificis filio exercitum ducente, sacra pro Cæsare fieri solita rejecerunt, atque inde magis accenditur bellum.

31. Quomodo primores, missa ad Agrippam legatione, ab ipso acceperunt milites, quibus usi sunt contra Eleazarum et qui ab eo stabant seditiosos: ubi etiam de festo Ligniferii agitur, et de Sicariis.

32. Quomodo Manahemus filius Judæ Galilæi, qui contra Quirinum seditionem moverat, insurgebat contra Eleazarum: et quonam facto perierit, et ipse et qui cum eo erant, et regii omnes per eos qui Eleazaro favebant.

33. Quomodo, postquam Cæsareenses Judæos apud ipsos omnes interfecerant, gens universa Judæorum insurgebat, et multa horrenda et facinoribus tragicis plena in Syros illisque finitimos ediderunt.

34. Quomodo et Scythopolitæ Judæos qui apud ipsos erant, licet auxiliarios suos, occiderunt: ubi narratio de Simone, qui et semet familiamque suam interfecit, atque ut passim Judæi a Græcis cædebantur.

35. De illis qui Judæis apud ipsos degentibus parcebant, et de Judæis in regno Agrippæ præter ipsius sententiam trucidatis.

36. Quomodo et alii Judæos qui apud ipsos erant, interemerunt, nemini parcentes; et Alexandrini millia quinquaginta mactarunt.

37. Quæ Cestius Antiochia profectus Hierosolyma gessit, et quot urbes cepit, et quot homines peremit: et quomodo Judæi, quum ad urbem appropinquaret, impetu in eum facto multos quidem occiderunt; postea vero superati, in urbem se receperunt: et quomodo Simon Gioræ filius, cum illis conflictatus, multos necavit.

38. Quomodo factum est ut Agrippa, legatione pro pace suscepta, nihil profecerit, seditiosis ipsi adversantibus.

39. Quomodo Cestius, ex improviso eos adortus, in urbem interiorem et templum impressionem fecit: et quomodo, quum

τὴν πόλιν ἐλεῖν, ἀπεστράφη, τοῦ Φλώρου χρήμασι τόν τε στρατοπεδάρχην καὶ τοὺς ἱππάρχους πείσαντος μεταπεῖσαι αὐτόν· καὶ ὡς αὖθις ἐπιχειρήσας συντόμως ἀνεχώρησεν.

μ'. Ὅπως Κέστιος ἀπροφασίστως τῆς πόλεως ἀνέζευξε, καὶ οἷα κατὰ τὴν ὑποστροφὴν παρὰ τῶν Ἰουδαίων ἔπαθεν.

μα'. Ὅπως Δαμασκηνοὶ τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνεῖλον, καὶ ὑποστρέψαντες Ἰουδαῖοι τά τε κατὰ τὴν πόλιν παρεσκευάσαντο, καὶ στρατηγοὺς προεβάλλοντο ἄλλους, καὶ αὐτὸν τὸν συγγραφέα.

μβ'. Περὶ Ἰωσήπου, ὅπως τὰ κατὰ τὴν στρατηγίαν διῴκησεν.

μγ'. Περὶ Ἰωάννου τοῦ ὕστερον τυραννήσαντος· καὶ ὅσα εἰς τὸν Ἰώσηπον διεπράξατο.

μδ'. Ὅπως τὰ ἐν Ἱεροσολύμοις διέκειτο Ἀνάνου διοικοῦντος· καὶ οἷα ἐν τῇ Ἀκραβατηνῇ Σίμων ὁ τοῦ Γιώρα ἔπραττεν.

urbem capere potuisset, retrocessit, utpote quod Florus pecunia eo adduxisset castrorum præfectum et equitum magistros, ut ei id ipsi persuaderent : utque rursus oppugnationem aggressus brevi recessit.

40. Quomodo Cestius temere castra movit ab urbe, et quænam, dum revertitur, a Judæis passus est.

41. Quomodo Damasceni Judæos apud ipsos degentes interfecerunt, et Judæi a persequendo Cestio reversi quæ ad urbem spectabant præpararunt, et alios crearunt duces, interque eos hunc ipsum scriptorem.

42. De Josepho, quomodo quæ hujus gubernationis erant ordinavit.

43. De Joanne, qui postea pro tyranno se gessit : et quænam in Josephum machinatus est.

44. Quomodo se res Hierosolymorum habebant sub Anani administratione : et quænam in Acrabatena a Simone Gioræ filio gesta erant.

ΚΕΦ. Α'.

Ἀρχελάῳ δὲ νέων ἦρξε θορύβων ἡ τῆς ἐπὶ Ῥώμην ἀποδημίας ἀνάγκη. Πενθήσας γὰρ ἡμέρας ἑπτὰ τὸν πατέρα, καὶ τὴν ἐπιτάφιον ἑστίασιν πολυτελῆ τῷ πλήθει παρασχών (ἔθος δὲ τοῦτο παρὰ Ἰουδαίοις πολλοῖς πενίας αἴτιον, διὰ τὸ πλῆθος ἑστιᾶν οὐκ ἄνευ ἀνάγκης, εἰ γὰρ παραλίποι τις οὐχ ὅσιος), μεταλαμβάνει μὲν ἐσθῆτα λευκὴν, πρόεισι δὲ εἰς τὸ ἱερὸν, ἔνθα ποικίλαις αὐτὸν εὐφημίαις ὁ λαὸς ἐκδέχεται. Κἀκεῖνος τὸ πλῆθος ἀφ' ὑψηλοῦ βήματος καὶ χρυσοῦ θρόνου δεξιωσάμενος, τῆς τε σπουδῆς ἣν ἐνεδείξαντο περὶ τὴν κηδείαν τοῦ πατρὸς εὐχαριστεῖ, καὶ τῆς πρὸς αὐτὸν θεραπείας ὡς πρὸς βέβαιον ἤδη βασιλέα. Φείδεσθαί γέ μὴν ἐπὶ τοῦ παρόντος οὐ μόνον ἔφη τῆς ἐξουσίας, ἀλλὰ καὶ τῶν ὀνομάτων, ἕως ἂν αὐτῷ Καῖσαρ ἐπικυρώσῃ τὴν διαδοχὴν, ὁ κατὰ τὰς διαθήκας τῶν ὅλων δεσπότης· οὐδὲ γὰρ ἐν Ἱεριχοῦντι τῆς στρατιᾶς τὸ διάδημα περιαπτούσης αὐτῷ δέχεσθαι. Τοῦ μέντοι προθύμου καὶ τῆς εὐνοίας, ὥσπερ τοῖς στρατιώταις, οὕτω καὶ τῷ δήμῳ πλήρεις ἀποδώσειν τὰς ἀμοιβὰς, ὁπότ' ἂν ὑπὸ τῶν κρατούντων βασιλεὺς ἀποδειχθῇ βέβαιος· σπουδάσειν γὰρ ἐν πᾶσι πρὸς αὐτοὺς φανῆναι τοῦ πατρὸς ἀμείνων.

β'. Ἐπὶ τούτοις ἡδόμενον τὸ πλῆθος εὐθέως ἀπεπειρᾶτο τῆς διανοίας αὐτοῦ μεγάλοις αἰτήμασιν. Οἱ μὲν γὰρ ἐβόων ἐπικουφίζειν τὰς εἰσφορὰς, οἱ δὲ ἀναιρεῖν τὰ τέλη, τινὲς δὲ ἀπολύειν τοὺς δεσμώτας. Ἐπένευέ δ' ἑτοίμως ἅπασι, θεραπεύων τὸ πλῆθος. Ἔπειτα θύσας μετὰ τῶν φίλων ἐν εὐωχίᾳ ἦν. (Β'.) Ἔνθα δὴ περὶ δείλην ἀθροισθέντες οὐκ ὀλίγοι τῶν νεωτερίζειν προαιρουμένων ἤρξαντο τοῦ ἰδίου πένθους, ὅτε τὸ κοινὸν ἐπὶ τῷ βασιλεῖ πέπαυτο, κατολοφυρόμενοι τοὺς κολασθέντας ὑφ' Ἡρώδου διὰ τὸν ἐκκοπέντα χρυσοῦν ἀετὸν τῆς πύλης τοῦ ναοῦ. Ἦν δὲ τὸ πένθος οὐχ ὑπεσταλμένον, ἀλλ' οἰμωγαὶ διαπρύσιοι, καὶ θρῆνος ἐγκέλευστος, κοπετοί τε περιηχοῦντες ὅλην τὴν πόλιν, ὡς ἂν ἐπ' ἀνδράσιν οὓς ἔφασκον ὑπὲρ τῶν πατρίων νόμων καὶ τοῦ ναοῦ παραπολέσθαι. Τιμωρεῖν δὲ αὐτοῖς ἀνεβόων ἐκ τῶν ὑφ' Ἡρώδου τετιμημένων χρῆναι, καὶ πρῶτον τὸν ὑπ' ἐκείνου κατασταθέντα παύειν ἀρχιερέα· προσή-

CAP. I.

Archelao autem turbarum novarum initium attulit Romam proficiscendi necessitas. Quum enim per dies septem patrem luxisset, epulasque funebres magnilicas populo dedisset (hic autem mos multos apud Judæos ad inopiam redegit, quod necessitate tenerentur populum convivio adhibendi; nam qui omitteret, pro impio habebatur), vestem candidam induit, et procedit in templum, ubi variis lætisque acclamationibus populus eum excepit. Atque ille ex alto tribunali solioque aureo multitudinem comiter alloquutus, et gratias illis agit pro studio quod in patris funere curando ostenderunt, proque ea, quam ipsi tribuerunt, observantia, quasi jam certus constitutus fuisset rex. Ceterum se in præsentia abstinere dicebat non solum a potestate, sed etiam a nominibus, donec ei successionem confirmatum iverit Cæsar, qui ex testamento rerum omnium dominus sit : neque enim apud Hierichuntem, quum exercitus ipsi diadema imposituras esset, illud accipere voluisse. Verumtamen alacritatis ergo et benevolentiæ, sicuti militibus, ita et populo, plenas se relaturum esse gratias, quando a rerum potientibus certus declaratus sit rex : operam enim daturum esse ut erga ipsos in omnibus se patre meliorem ostendat.

2. Istis lætata multitudo statim animi ejus periculum faciebat, magna ab illo postulando. Namque alii clamabant, oportere tributa levari, alii vectigalia tolli, quidam vero vinctos solvi debere. Cunctis autem, ut a populo gratiam iniret, prompte annuebat. Deinde, re divina facta, cum amicis convivia inibat. (II.) Ibi igitur sub vesperam non pauci ex illis qui novis rebus studebant congregati, quando pro rege in communi luctu esse desierunt, vicem suam lamentare cœperunt, eos lugentes quos supplicio affecerat Herodes propter aquilam auream e templi porta excisam. Erat autem luctus non occultus, sed magni ejulatus, fletus consulto excitatus, et planctus quibus tota personabat civitas, utpote virorum causa quos pro legibus patriis ac templo interiisse dicebant. Eorum autem mortis pœnas ab illis, quos habuerat Herodes in pretio, repetendas esse clamitabant, atque inprimis pontificem abdicandum

κειν γὰρ αὐτοῖς εὐσεβέστερον αἱρεῖσθαι καὶ καθαρώτερον.

γ'. Πρὸς ἃ παρωξύνετο μὲν Ἀρχέλαος, ἐπείχετο δὲ τὴν ἄμυναν ὑπὸ τῆς περὶ τὴν ἔξοδον ἐπείξεως, δεδοικὼς μήποτε τὸ πλῆθος ἐκπολεμώσας κατεσχεθείη τῷ κινήματι. Διὸ πειθοῖ μᾶλλον ἢ βίᾳ καταστέλλειν ἐπειρᾶτο τοὺς νεωτερίζοντας, καὶ τὸν στρατηγὸν ὑποπέμψας παύσασθαι παρεκάλει. Τοῦτον εἰς τὸ ἱερὸν παρελθόντα, πρὶν φθέγξασθαί τι, λίθοις ἀπήλαυνον οἱ στασιασταί, καὶ τοῖς μετ' αὐτὸν ἐπὶ σωφρονισμῷ προσιοῦσιν (ἐνίει δὲ πολλοὺς Ἀρχέλαος) πάντα πρὸς ὀργὴν ἀπεκρίναντο, δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες εἰ πλήθους ἀπολάβοιντο. Καὶ δὴ τῆς τῶν ἀζύμων ἐνστάσης ἑορτῆς (Πάσχα παρὰ τοῖς Ἰουδαίοις καλεῖται, πολύ τι θυμάτων πλῆθος ἐκδεχομένη), κάτεισι μὲν ἄπειρος ἐκ τῆς χώρας λεὼς ἐπὶ τὴν θρησκείαν. Οἱ δὲ τοὺς σοφιστὰς πενθοῦντες ἐν τῷ ἱερῷ συνειστήκεισαν, τροφὴν τῇ στάσει πoριζόμενοι. Πρὸς ὃ δείσας Ἀρχέλαος, πρὶν δι' ὅλου τοῦ πλήθους δραμεῖν τὴν νόσον, ὑποπέμπει μετὰ σπείρας χιλίαρχον, προστάξας βίᾳ τοὺς ἐξάρχοντας τῆς στάσεως κατασχεῖν. Πρὸς οὓς τὸ πλῆθος ἅπαν παροξύνεται, καὶ τοὺς μὲν πολλοὺς τῆς σπείρας βάλλοντες λίθοις διέφθειραν, ὁ δὲ χιλίαρχος ἐκφεύγει τραυματίας μόλις. Ἔπειθ' οἱ μὲν ὡς μηδενὸς δεινοῦ γεγονότος ἐτράποντο πρὸς τὴν θυσίαν, οὐ μὴν Ἀρχελάῳ δίχα φόνου καθεκτὸν ἔτι τὸ πλῆθος ἐφαίνετο. Τὴν δὲ στρατιὰν ἐπαφίησιν αὐτοῖς ὅλην, τοὺς μὲν πεζοὺς διὰ τῆς πόλεως ἁθρόους, τοὺς δὲ ἱππεῖς ἀνὰ τὸ πεδίον· οἱ, θύουσιν ἑκάστοις ἐξαίφνης προσπεσόντες, διαφθείρουσι μὲν περὶ τρισχιλίους, τὸ δὲ λοιπὸν πλῆθος εἰς τὰ πλησίον ὄρη διεσκέδασαν. Εἵποντο δὲ κήρυκες Ἀρχελάου, κελεύοντες ἕκαστον ἀναχωρεῖν ἐπ' οἶκου, καὶ πάντες ᾤχοντο τὴν ἑορτὴν ἀπολιπόντες.

ΚΕΦ. Β'.

Αὐτὸς δὲ μετὰ τῆς μητρὸς καὶ τῶν φίλων Ποπλᾶ καὶ Πτολεμαίου καὶ Νικολάου κατῆει πρὸς θάλασσαν, καταλιπὼν ἐπίτροπόν τε τῶν βασιλείων καὶ κηδεμόνα τῶν οἰκείων, Φίλιππον. Συνεξῆει δὲ ἅμα τοῖς τέκνοις Σαλώμη, καὶ οἱ τοῦ βασιλέως ἀδελφοί τε καὶ γαμβροί, τὸ μὲν δοκεῖν, συναγωνιούμενοι περὶ τῆς διαδοχῆς Ἀρχελάῳ, τὸ δ' ἀληθές, κατηγορήσοντες περὶ τῶν κατὰ τὸ ἱερὸν παρανομηθέντων.

(Γ'.) β'. Συναντᾷ δ' αὐτοῖς κατὰ Καισάρειαν Σαβῖνος ὁ τῆς Συρίας ἐπίτροπος εἰς Ἰουδαίαν ἀνιὼν ἐπὶ φυλακῇ τῶν Ἡρώδου χρημάτων. Τοῦτον ἐπέσχε προσωτέρω χωρεῖν Οὔαρος ἐπελθών, ὃν διὰ Πτολεμαίου πολλὰ δεηθεὶς Ἀρχέλαος μετεπέμψατο. Τότε μὲν οὖν Σαβῖνος Οὐάρῳ χαριζόμενος οὔτ' ἐπὶ τὰς ἄκρας ἔσπευσεν οὔτε τὰ ταμιεῖα τῶν πατρῴων χρημάτων ἀπέκλεισεν Ἀρχελάῳ· μέχρι δὲ τῆς Καίσαρος διαγνώσεως ἠρεμήσειν ὑπέσχετο. Διέτριβε δὲ ἐπὶ τῆς Καισαρείας. Ὡς δὲ τῶν ἐμποδιζόντων ὁ μὲν εἰς Ἀντιόχειαν ἀπῆρεν, Ἀρχέλαος δὲ εἰς Ῥώμην ἀνήχθη, διὰ τάχους ἐπὶ Ἱεροσόλυμα

esse ab eo constitutum: æquum enim esse ut eligerent pietate præstantiorem et puriorem.

3. Quibus valde quidem irritabatur Archelaus, verum, quod proficisci omni festinatione pararet, ab ultione abstinebat, veritus ne, multitudine ipsi infesta reddita, ejus motu a profectione impediretur. Quamobrem persuasione magis quam vi tentabat res novas molientes sedare, et per exercitus ducem, quem submiserat, eos ut quiescerent orabat et obsecrabat. Hunc autem seditionis auctores, ubi ad templum venit, priusquam verbum faceret, inde lapidibus repellebant; at aliis post eum, ut ad sanam mentem eos perducerent, illos adeuntibus (multos enim emittebat Archelaus) iracunde omnia responderunt: atque manifestum erat haud fore ut quiescerent, si numero aucti fuissent. Itaque quum instaret Azymorum festum (Pascha apud Judæos appellatur, quo victimarum magna vis immolatur), ingens quidem ad templum hominum multitudo ex regione religionis ergo descendit. Qui vero sophistas lugebant, in fano cœtus habuerunt, nutrimenta seditioni quærentes. Unde metu perculsus Archelaus, antequam in populum omnem invaderet morbus, clam mittit tribunum et militum cohortem, mandato ut seditionis auctores vi cohiberent. In hos universa irritatur multitudo, et magnam quidem cohortis partem jactis in eos lapidibus interfecit, verum centurio vulneratus, ægre licet, effugit. Deinde illi quidem, quasi nihil mali actum esset, ad hostias mactandas se convertebant, sed Archelao sine cæde jam multitudo comprimi non posse videbatur. Quamobrem totum illis immisit exercitum, pedites per civitatem simul omnes, equitesque per campum: qui, singulos dum sacra facerent adorti, circiter tria hominum millia perimunt, reliquam vero multitudinem per montes proximos dissiparunt. Præcones autem Archelai sequebantur, jubentes ut domum quisque suam se reciperent, adeoque omnes festivitate omissa discedebant.

CAP. II.

Ipse autem cum matre, necnon et Popla et Ptolemæo et Nicolao amicis, ad mare descendit, relicto Philippo, ut simul et regiam tueretur, et domum ipsius curaret. Una cum filiis suis egressa est etiam Salome, simulque regis fratres et generi, specie quidem Archelao de successione in regnum adjumento futuri, re autem vera accusationem instituturi de iis quæ contra leges in templum admissa erant.

(III.) 2. Illis autem Cæsareæ obviam fit Sabinus Syriæ præses, in Judæam ascendens ad pecunias Herodis custodiendas. Huic ne ulterius progrederetur obstitit Varus, qui tum supervenerat, multis accitus Archelai precibus, misso ad eum Ptolemæo. Et tunc quidem Sabinus, in gratiam Vari, neque ad arces properavit, neque patris æraria Archelao occlusit, sed, usque dum Cæsar de rebus dijudicaret, se quieturum esse pollicitus est. Cæsareæ autem morabatur. Postea vero quam sibi obstantium unus Antiochiam petiit, atque Archelaus Romam versus navigavit, is illico Hierosolyma

ροσολύμων ὁρμήσας, παραλαμβάνει τὰ βασίλεια. Καὶ μεταπεμπόμενος τούς τε φρουράρχους καὶ διοικητὰς ἐπειρᾶτο διερευνᾶν τοὺς τῶν χρημάτων ἀναλογισμοὺς τάς τε ἄκρας παραλαμβάνειν. Οὐ μὴν οἱ φρούραρχοι τῶν Ἀρχελάου κατημέλουν ἐντολῶν, ἀνέμενον δὲ φρουροῦντες ἕκαστα καὶ τὴν φρουρὰν ἀνατιθέντες Καίσαρι μᾶλλον ἢ Ἀρχελάῳ.

(Δ'.) γ'. Κἀν τούτῳ πάλιν Ἀντίπας ἀμφισβητῶν περὶ τῆς βασιλείας ἐπέξεισιν, ἀξιῶν τῆς ἐπιδιαθήκης τὴν διαθήκην εἶναι κυριωτέραν, ἐν ᾗ βασιλεὺς αὐτὸς ἐγέγραπτο. Συλλήψεσθαι δ' αὐτῷ προϋπέσχετο Σαλώμη, καὶ πολλοὶ τῶν σὺν Ἀρχελάῳ πλεόντων συγγενῶν. Ἐπήγετο δὲ τὴν μητέρα καὶ τὸν ἀδελφὸν Νικολάου Πτολεμαῖον, ῥοπὴν εἶναι δοκοῦντα διὰ τὴν παρ' Ἡρῴδῃ πίστιν· γεγόνει γὰρ δὴ τῶν φίλων τιμιώτατος ἐκείνῳ. Πλεῖστον μέντοι πεποίθει διὰ δεινότητα λόγων Εἰρηναίῳ τῷ ῥήτορι· δι' ὃν καὶ τοὺς νουθετοῦντας εἴκειν Ἀρχελάῳ κατὰ τὸ πρεσβεῖον καὶ τὰς ἐπιδιαθήκας διεκρούσατο. Μεθίστατο δὲ ἐν Ῥώμῃ πάντων πρὸς αὐτὸν ἡ σπουδὴ τῶν συγγενῶν, οἷς διὰ μίσους ἦν Ἀρχέλαος. Καὶ προηγουμένως μὲν ἕκαστος αὐτονομίας ἐπεθύμει, στρατηγῷ Ῥωμαίων διοικουμένης· εἰ δὲ τούτου διαμαρτάνοιεν, βασιλεύειν Ἀντίπαν ἤθελον.

δ'. Συνήργει δὲ αὐτοῖς εἰς τοῦτο καὶ Σαβῖνος δι' ἐπιστολῶν, κατηγορήσας μὲν Ἀρχελάου παρὰ Καίσαρι, πολλὰ δ' ἐπαινέσας Ἀντίπαν. Συντάξαντες δὴ τὰ ἐγκλήματα οἱ περὶ Σαλώμην ἐνεχείρισαν Καίσαρι· καὶ μετ' αὐτοὺς Ἀρχέλαος τά τε κεφάλαια τῶν ἑαυτοῦ δικαίων γράψας καὶ τὸν δακτύλιον τοῦ πατρὸς καὶ τοὺς λόγους εἰσπέμπει διὰ Πτολεμαίου. Προσκεψάμενος δὲ ὁ Καῖσαρ τὰ παρὰ ἀμφοῖν κατ' ἰδίαν, τό τε μέγεθος τῆς βασιλείας καὶ τὸ πλῆθος τῆς προσόδου, πρὸς οἷς τὸν ἀριθμὸν τῆς Ἡρῴδου γενεᾶς, προσαναγνοὺς δὲ καὶ τὰ παρὰ Οὐάρου καὶ Σαβίνου περὶ τούτων ἐπεσταλμένα, συνέδριον μὲν ἀθροίζει τῶν ἐν τέλει Ῥωμαίων, ἐν ᾧ καὶ τὸν ἐξ Ἀγρίππα καὶ Ἰουλίας τῆς θυγατρὸς θετὸν παῖδα Γάϊον πρῶτον ἐκάθισεν· ἀποδίδωσι δὲ λόγον αὐτοῖς.

ε'. Ἔνθα καταστὰς ὁ Σαλώμης υἱὸς Ἀντίπατρος (ἦν δὲ τῶν ἐναντιουμένων Ἀρχελάῳ δεινότατος εἰπεῖν) κατηγόρει φάσκων, τοῖς μὲν λόγοις ἀμφισβητεῖν ἄρτι περὶ βασιλείας Ἀρχέλαον, τοῖς δ' ἔργοις πάλαι γεγονέναι βασιλέα, κατειρωνεύεσθαι δὲ νῦν τῶν Καίσαρος ἀκοῶν· ὃν δικαστὴν τῆς διαδοχῆς οὐ περιέμεινεν, εἴ γε μετὰ τὴν Ἡρῴδου τελευτὴν ἐγκαθέτους μὲν ὑποπέμψας τοὺς περιθήσοντας αὐτῷ τὸ διάδημα, προκαθίσας δὲ ἐπὶ θρόνου καὶ χρηματίσας ὡς βασιλεύς, τάξεις τε τῆς στρατιᾶς ἀμείψας καὶ προκοπὰς χαρισάμενος, ἔτι δὲ τῷ δήμῳ πάντα κατανεύσας ὅσων ὡς παρὰ βασιλέως τυχεῖν ἠξίουν, καὶ τοὺς ἐπὶ μεγίσταις αἰτίαις ὑπὸ τοῦ πατρὸς δεδεμένους λύσας, νῦν ἥκει παρὰ τοῦ δεσπότου σκιὰν αἰτησόμενος βασιλείας, ἧς ἥρπασεν ἑαυτῷ τὸ σῶμα, καὶ ποιῶν οὐ τῶν πραγμάτων, ἀλλὰ τῶν ὀνομάτων κύριον Καίσαρα. Προσωνείδιζε δὲ ὡς καὶ τὸ

contendit, et regiam occupat. Quumque accivisset custodiarum præfectos et dispensatores, pecuniarum rationes exquirere conabatur, atque arces in potestatem suam redigere. Non tamen Archelai mandatorum immemores erant præsidiorum præfecti, sed in singulis servandis tuendisque perseverabant, custodiam magis ad Cæsarem quam ad Archelaum referentes.

(IV.) 3. Item eo tempore Antipas quoque ut de regno disceptaret proficiscitur, volens prius testamentum, in quo ipse rex scriptus erat, potiores partes habere quam posterius. Salome autem jam ante promiserat se ei auxilio fore, et multi ex cognatis, Archelao navigationis socii. Una etiam secum ducebat matrem, fratremque Nicolai Ptolemæum, qui magni momenti esse videbatur, quod ei fidebat Herodes : namque illi fuerat amicorum carissimus. Verumtamen in Irenæo oratore, propter dicendi vim, plurimum spei reposuerat : per quem eos redarguit qui monebant ut Archelao cederet, id ipsum postulante ætatis prærogativa et secundo testamento. Romæ autem cognati omnes, quibus invisus erat Archelaus, ejus partibus magno studio accedebant. Et ex professo quidem omnes suis legibus vivere expetebant, sub Romani prætoris administratione; aut, si hoc non impetrarent, ab Antipa imperio regi volebant.

4. Cum his autem una faciebat et Sabinus, literis in hunc finem missis, quibus Archelaum quidem apud Cæsarem accusavit, multis vero Antipam laudavit. Itaque quum criminationes in Archelaum digessissent Salome et qui cum ea erant, eas Cæsari tradiderunt : et post eos Archelaus juris sui capitula in scriptis ei mittit per Ptolemæum, patrisque annulum et regni rationes. Cæsar autem, quum mature secum de iis cogitasset quæ ab utraque parte dicebantur, deque regni magnitudine, et ingenti redituum numero, ac præterea de multiplici Herodis sobole, quumque insuper Vari et Sabini literas perlegisset istis de rebus missas, summæ dignitatis Romanos in concilium congregat, in quo Caio ex Agrippa et Julia filia sua nato, quem ipse adoptaverat, primum locum tribuit : atque illis facit dicendi potestatem.

5. Ibi Antipater Salomes filius (erat autem ex Archelai adversariis in dicendo acerrimus) surrexit, eumque accusabat, dicens Archelaum verbis quidem de regno contendere, re autem vera jam ante factum esse regem, et nunc vanis ludibriis Cæsaris aures implere : quem successionis judicem non exspectet, ut qui post Herodis mortem nonnullos quidem mittendos subornarit diadema sibi imposituros, in solio vero præsederit, et responsa dederit tanquam rex, et ordines exercitus permutarit, novasque dignitates donaverit, et qui, quum populo omnia annuisset quæ velut a rege impetrare volebat, et ob maxima crimina a patre vinctos solvisset, nunc veniat umbram regni a domino petiturus, cujus ad se arripuerat corpus, Cæsarem non rerum, sed nominum dominum faciens. Quin et hoc ei in opprobrium vertebat, quod patris luctui illuserit dissi-

πένθος κατειρωνεύσατο τοῦ πατρὸς, μεθ' ἡμέραν μὲν ἐπισχηματίζων τὸ πρόσωπον εἰς λύπην, νύκτωρ δὲ μέχρι κώμων μεθυσκόμενος, ἐν ᾧ καὶ τὴν ταραχὴν τοῦ πλήθους ἐκ τῆς ἐπὶ τούτοις ἀγανακτήσεως ἔλεγε γεγονέναι· καὶ τὸν ἀγῶνα παντὸς τοῦ λόγου ἐναπηρείσατο τῷ πλήθει τῶν περὶ τὸν ναὸν φονευθέντων· οὓς ἐληλυθέναι μὲν ἐφ' ἑορτὴν, παρὰ δὲ ταῖς ἰδίαις θυσίαις ὠμῶς ἀπεσφάχθαι· καὶ τοσοῦτον ἐν τῷ ἱερῷ σεσωρεῦσθαι νεκρῶν πλῆθος, ὅσον οὐδ' ἂν ἀλλόφυλος ἐσώρευσε πόλεμος ἐπελθὼν ἀκήρυκτος. Ταύτην μέντοι τὴν ὠμότητα προσκεψάμενον αὐτοῦ καὶ τὸν πατέρα μηδ' ἐλπίδος αὐτὸν ἀξιῶσαι ποτὲ βασιλικῆς, ἢ ὅτε χεῖρον τὴν ψυχὴν κάμνων τοῦ σώματος ἀκρατὴς ἦν ὑγιαίνοντος λογισμοῦ, καὶ οὔτε δν ἔγραφεν ἐν ταῖς ἐπιδιαθήκαις ἤδει διάδοχον, καὶ ταῦτα μηδὲν τὸν ἐν ταῖς διαθήκαις μέμψασθαι δυνάμενος, δν ἔγραψεν ὑγιαίνων μὲν τὸ σῶμα, καθαρὰν δὲ τὴν ψυχὴν ἔχων πάθους παντός. Εἰ μέντοι καὶ κυριωτέραν τὴν τοῦ κάμνοντος κρίσιν τιθείη τις, ἀποχειροτονῆσθαι βασιλείας Ἀρχέλαον ὑφ' ἑαυτοῦ τοῖς εἰς αὐτὴν παρανομηθεῖσιν· ποταπὸν γὰρ ἂν γενέσθαι λαβόντα τὴν ἀρχὴν παρὰ Καίσαρος, τὸν πρὶν λαβεῖν τοσούτους ἀνῃρηκότα;

ς'. Πολλὰ τοιαῦτα διεξελθὼν Ἀντίπατρος καὶ τοὺς πλείστους τῶν συγγενῶν παραστησάμενος ἐφ' ἑκάστῳ τῶν κατηγορημένων μάρτυρας, καταπαύει τὸν λόγον. Ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου, καὶ τὸν μὲν ἐν τῷ ἱερῷ φόνον ἀναγκαῖον ἀπέφαινε (πολεμίους γὰρ γεγονέναι τοὺς ἀνῃρημένους οὐ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ τοῦ δικάζοντος αὐτὸν Καίσαρος), τῶν δὲ ἄλλων ἐγκλημάτων συμβούλους ἀπεδείκνυεν αὐτοὺς τοὺς κατηγόρους γεγονέναι. Τήν γε μὴν ἐπιδιαθήκην ἠξίου διὰ τοῦτο μάλιστα εἶναι κυρίαν, ὅτι βεβαιωτὴν ἐν αὐτῇ Καίσαρα καθίστατο τοῦ διαδόχου. Ὁ γὰρ σωφρονῶν ὥστε τῷ δεσπότῃ τῶν ὅλων παραχωρεῖν τῆς ἐξουσίας, οὐ δήπου περὶ κληρονόμου κρίσιν ἐσφάλλετο. Σωφρονῶν δὲ ᾑρεῖτο καὶ τὸν καθιστάμενον ὁ γινώσκων τὸν καθιστάντα.

ζ'. Διεξελθόντος δὲ πάντα καὶ Νικολάου παρελθὼν ὁ Ἀρχέλαος προπίπτει τῶν Καίσαρος γονάτων ἡσυχῇ. Κἀκεῖνος αὐτὸν μάλα φιλοφρόνως ἀναστήσας, ἐνέφηνε μὲν ὡς ἄξιος εἴη τῆς πατρῴας διαδοχῆς, οὐ μήν τι βέβαιον ἀπεφήνατο· διαλύσας δὲ τοὺς συνέδρους ἐκείνης τῆς ἡμέρας, καθ' ἑαυτὸν περὶ ὧν διήκουσεν ἐσκέπτετο, εἴτε χρὴ τῶν ἐν ταῖς διαθήκαις καταστῆσαί τινα διάδοχον, εἴτε καὶ πάσῃ τῇ γενεᾷ διανεῖμαι τὴν ἀρχήν· ἐδόκει γὰρ ἐπικουρίας χρῄζειν τὸ πλῆθος τῶν προσώπων.

ΚΕΦ. Γ'.

Πρὶν δ' ὁρίσαι τι περὶ τούτων Καίσαρα, τελευτᾷ μὲν ἡ Ἀρχελάου μήτηρ Μαλθάκη νοσήσασα, παρὰ Οὐάρου δ' ἐκομίσθησαν ἐκ Συρίας ἐπιστολαὶ περὶ τῆς Ἰουδαίων ἀποστάσεως. Ἦν προϊδόμενος Οὔαρος (ἀνέβη γὰρ δὴ μετὰ τὸν Ἀρχελάου πλοῦν εἰς Ἱεροσόλυμα τοὺς

mulando, quum interdiu quidem vultum ad mœrorem componeret, noctu sese inebrians usque dum saltaret; unde vulgi tumultum ex ejus hanc ob rem indignatione ortum esse dicebat: totiusque orationis contentio et certamen in eo erat et innitebatur, quod tantam populi cædem fecerit in templo: quos quidem ad festum venisse, ad hostias vero quas ipsi mactarint crudeliter esse jugulatos; et in templo tam multa cadavera in acervos congesta esse, quanta nullum alienigenarum bellum congesserit etiam sine denunciatione illatum. Hanc sane crudelitatem illius patrem quoque animo prospexisse, neque ei spem regni facere unquam voluisse, nisi quum animo pejus quam corpore ægrotans haud sanæ mentis compos esset; et quem in secundo testamento scripserit successorem nescivisse, idque nihil quidquam habentem quod de eo queri posset quem in superiori testamento scripserit, quum corpore quidem valeret et animum ab omni perturbatione liberum purumque gereret. Verumtamen, si quis etiam concedat majoris auctoritatis esse morbo laborantis judicium, ipsum se Archelaum regno abdicasse, ex iis quæ in illud contra leges admiserit: qualem enim futurum esse regem quum a Cæsare acceperit imperium, qui antequam illud acciperet, tantam stragem ediderit?

6. Quum hujusmodi multa persequutus esset Antipater et plurimos ex cognatis ad singula, quorum eum accusabat testanda stitisset, finem dicendi facit. Surrexit autem Nicolaus pro Archelao, et cædem in templo factam necessariam fuisse ostendebat; cæsos quippe non solum regni, sed et Cæsaris, ipsius judicis, hostes exstitisse: ipsos vero, qui accusationem instituerint, ad cetera eum crimina consilio suo impulisse. Porro, secundum testamentum maxime ob hanc causam ratum haberi postulabat, quod in eo successorem suum a Cæsare confirmandum esse constituit. Nam qui ita sapuerit ut rerum domino sua cederet potestate, non utique in suo de hærede judicio erraturum fuisse. Sana autem mente eligere hæredem constituendum, qui non ignoraverit eum per quem constitui deberet.

7. Quum autem et Nicolaus omnia dicendo percurrisset, Archelaus progressus ante genua Cæsaris leniter procidit. Atque ille, quum ipsum benigne admodum excitasset, dignum quidem esse ostendit qui patri succederet, nihil tamen certi pronunciavit: consiliariis vero, quos eo die acciverat, dimissis, de iis quæ audiverat secum ipse dispiciebat, utrum horum aliquem qui in testamentis scripti erant successorem constituere deberet, an vero omnibus liberis communiter divideret principatum: nam quum tam multi essent, subsidio egere videbantur.

CAP. III. (V.)

Antequam vero aliquid de istis statueret Cæsar, morbo correpta obiit Malthace, mater Archelai, et e Syria a Varo allatæ sunt literæ de Judæorum defectione. Quam Varus prospiciens (nam postquam ora solverat Archelaus, Hierosolyma ascendit seditionem moventes cohibiturus, utpote

παρακινοῦντας καθέξων, ἐπειδὴ πρόδηλον ἦν τὸ ἔθνος οὐκ ἠρεμῆσον), ἕν τι τῶν τριῶν ἀπὸ Συρίας ταγμάτων, ὅπερ ἦκεν ἄγων, ἐν τῇ πόλει καταλείπει, καὶ αὐτὸς μὲν ὑπέστρεψεν εἰς Ἀντιόχειαν, ἐπελθὼν δὲ Σαβῖνος ἀφορμὴν αὐτοῖς παρέσχε νεωτεροποιίας. Τούς τε γὰρ φρουροὺς παραδιδόναι τὰς ἄκρας ἐβιάζετο καὶ πικρῶς τὰ βασίλεια χρήματα διηρεύνα, πεποιθὼς οὐ μόνον τοῖς ὑπὸ Οὐάρου καταλειφθεῖσι στρατιώταις, ἀλλὰ καὶ πλήθει δούλων ἰδίων, οὓς ἅπαντας ὁπλίσας ὑπηρέταις ἐχρῆτο τῆς πλεονεξίας. Ἐνστάσης δὲ Πεντηκοστῆς (οὕτω καλοῦσι τινὰ ἑορτὴν Ἰουδαῖοι παρ' ἑπτὰ γινομένην ἑβδομάδας, κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν προσηγορίαν ἔχουσαν) οὐχ ἡ συνήθης θρησκεία συνήγαγε τὸν δῆμον, ἀλλὰ ἀγανάκτησις. Συνέδραμε γοῦν πλῆθος ἄπειρον ἔκ τε τῆς Γαλιλαίας καὶ Ἰδουμαίας, Ἱεριχοῦντός τε καὶ τῆς ὑπὲρ Ἰορδάνην Περαίας. Ὑπερεῖχε δὲ πλήθει καὶ προθυμίαις ἀνδρῶν ὁ γνήσιος ἐξ αὐτῆς Ἰουδαίας λαός. Διανείμαντες δὲ σφᾶς αὐτοὺς εἰς τρία μέρη, τριχῆ στρατοπεδεύονται, πρός τε τῷ βορείῳ τοῦ ἱεροῦ κλίματι, καὶ πρὸς τῷ μεσημβρινῷ κατὰ τὸν Ἱππόδρομον, ἡ δὲ τρίτη μοῖρα πρὸς τοῖς βασιλείοις κατὰ δύσιν· περικαθεζόμενοι δὲ πάντοθεν τοὺς Ῥωμαίους ἐπολιόρκουν.

β'. Ὁ δὲ Σαβῖνος πρός τε τὸ πλῆθος αὐτῶν ὑποδείσας καὶ τὰ φρονήματα συνεχεῖς μὲν ἀγγέλους ἔπεμπε παρὰ Οὖαρον, ἐπαμύνειν ἐν τάχει δεόμενος, ὡς εἰ βραδύνοι κατακοπησομένου τοῦ τάγματος· αὐτὸς δὲ ἐπὶ τὸν ὑψηλότατον τοῦ φρουρίου πύργον ἀναβὰς, ὃς ἐκαλεῖτο Φασάηλος, ἐπώνυμον ἔχων ἀδελφὸν Ἡρώδου διαφθαρέντα ὑπὸ Πάρθων, ἐντεῦθεν κατέσειε τοῖς ἐν τῷ τάγματι στρατιώταις ἐπιχειρεῖν τοῖς πολεμίοις· δι' ἔκπληξιν γὰρ οὐδὲ εἰς τοὺς σφετέρους καταβαίνειν ἐθάρρει. Παραπεισθέντες δὲ οἱ στρατιῶται προπηδῶσιν εἰς τὸ ἱερὸν, καὶ μάχην καρτερὰν τοῖς Ἰουδαίοις συνάπτουσιν. Ἐν ᾗ μέχρι μὲν οὐδεὶς καθύπερθεν ἐπήμυνε, περιῆσαν ἐμπειρίᾳ πολέμου τῶν ἀπείρων· ἐπεὶ δὲ πολλοὶ Ἰουδαίων ἀναβάντες ἐπὶ τὰς στοὰς κατὰ κεφαλῆς αὐτῶν ἠφίεσαν τὰ βέλη, συνετρίβοντο πολλοὶ, καὶ οὔτε τοὺς ἄνωθεν βάλλοντας ἀμύνασθαι ῥᾴδιον ἦν, οὔτε τοὺς στάδην μαχομένους ὑπομένειν.

γ'. Καταπονούμενοι δὲ πρὸς ἀμφοτέρων ὑπεμπιπρᾶσι τὰς στοὰς, ἔργα θαυμάσια μεγέθους τε καὶ πολυτελείας ἕνεκεν. Οἱ δὲ ἐπ' αὐτῶν ὑπὸ τῆς φλογὸς ἐξαίφνης περισχεθέντες πολλοὶ μὲν ἐν αὐτῇ διεφθείροντο, πολλοὶ δ' ὑπὸ τῶν πολεμίων, πηδῶντες εἰς αὐτοὺς, τινὲς δ' εἰς τοὐπίσω κατὰ τοῦ τείχους κατεκρημνίζοντο, ἔνιοι δ' ὑπ' ἀμηχανίας τοῖς ἰδίοις ξίφεσι τὸ πῦρ ἔφθανον. Ὅσοι δὲ καθερπύσαντες ἀπὸ τῶν τειχῶν ἦξαν εἰς τοὺς Ῥωμαίους, εὐμεταχείριστοι διὰ τὴν ἔκπληξιν ἦσαν, μέχρι τῶν μὲν ἀπολωλότων, τῶν δ' ὑπὸ τοῦ δέους σκεδασθέντων, ἐρήμῳ τῷ τοῦ Θεοῦ θησαυρῷ προσπεσόντες οἱ στρατιῶται περὶ τετρακόσια τάλαντα διήρπασαν· ὧν ὅσα μὴ διεκλάπη Σαβῖνος ἤθροισεν.

δ'. Ἰουδαίους δὲ ἥ τε τῶν ἔργων καὶ ἡ τῶν ἀνδρῶν

quod manifestum erat non quieturam esse gentem), trium e Syria legionum, quas secum ducebat, unam in urbe relinquit, et ipse quidem Antiochiam reversus est; quum autem postea venisset Sabinus, novi quid moliendi occasionem præbuit Judæis. Nam et custodibus vim adhibebat ut arces sibi traderent, et cum acerbitate regis pecunias exquirebat, fretus non solum militibus a Varo relictis, sed et servorum suorum non parva manu; quibus omnibus, quum armis eos instruxisset, usus est tanquam avaritiæ suæ ministris. Instante autem Pentecoste (ita festum quoddam appellant Judæi post septem hebdomadas *a paschate* celebratum, ex dierum numero appellationem sortitum) congregatus est populus non ex religionis solennitate, sed ex indignatione. Itaque multitudinis infinitæ factus est concursus ex Galilæa et Idumæa et Hierichunte et Peræa trans Jordanem. Hominum autem numero et animorum alacritate præstabant indigenæ ex ipsa Judæa. Quumque semetipsos in tres turmas divisissent, tribus in locis castra metantur, ad septemtrionalem templi regionem, et ad meridionalem juxta Hippodromum, tertia autem pars ad occidentem prope regiam; et Romanos undique circumsessos oppugnabant.

2. Sabinus autem, ut qui et multitudinem eorum formidarit et spiritus hominum elatos, frequentes ad Varum nuncios mittebat, orans atque obsecrans ut sibi quam ocissime auxilium ferret, quasi futurum esset ut concideretur legio, si moras necteret: ipse vero quum in excelsissimam arcis turrim ascendisset, quæ Phasaelus vocabatur, ita denominata a fratre Herodis quem Parthi occiderant, inde legionis militibus signum dedit ut in hostes impetum facerent: mam metu perculsus ne ad suos quidem descendere audebat. At milites, persuasione victi, prosiliunt properantque ad templum, et pugnam acrem cum Judæis committunt. In qua, dum nemo quidem desuper propelleret, imperitos belli peritia superabant: postquam vero multi Judæorum, conscensis porticibus, in verticem illorum tela dejiciebant, plurimi conterebantur, et neque ex alto ferientes facile ulcisci, neque cominus pugnantes sustinere poterant.

3. Quum autem ab utrisque affligerentur, porticibus ignem subjiciunt, operibus magnitudine et ornatu ambitioso mirandis. Atque illorum qui super istis erant, multi quidem a flammis subito comprehensi in iis perierunt, multi vero ab hostibus, in eos desilientes; quidam autem de mœnibus sese præcipitarunt, nonnullique rebus desperatis suis se gladiis conficientes ignem præveniebant. At quotquot per muros reptando descenderunt et in Romanos irruerunt, obstupefacti nullo negotio subigebantur; donec aliis quidem interemptis, aliis vero præ metu disjectis, in Dei thesaurum desertum inciderint milites, et quadringenta circiter talenta diripuerint: quorum quæ furto non sublata erant, conquisivit Sabinus.

4. Itaque Judæorum plures, eosque pugnaciores, contra

φθορὰ πολὺ πλείους καὶ μαχιμωτέρους ἐπισυνέστησε Ῥωμαίοις· καὶ περισχόντες τὰ βασίλεια ἅπαντας ἠπείλουν διαφθείρειν, εἰ μὴ θᾶττον ἀπίοιεν. Ὑπισχνοῦντο γὰρ ἄδειαν τῷ Σαβίνῳ, βουλομένῳ μετὰ τοῦ τάγματος ἐξιέναι. Συνελάμβανον δ' αὐτοῖς οἱ πλεῖστοι τῶν βασιλικῶν αὐτομολήσαντες. Τὸ μέντοι πολεμικώτατον μέρος, Σεβαστηνοὶ τρισχίλιοι, Ῥοῦφός τε καὶ Γρᾶτος ἐπὶ τούτοις, ὁ μὲν τοὺς πεζοὺς τῶν βασιλικῶν ἔχων ὑφ' ἑαυτὸν, Ῥοῦφος δὲ τοὺς ἱππεῖς, ὧν ἑκάτερος καὶ χωρὶς ὑπηκόου δυνάμεως δι' ἀλκὴν καὶ σύνεσιν ἦν πολέμου ῥοπὴ, προσέθεντο Ῥωμαίοις. Ἰουδαῖοι μὲν οὖν ἐνέκειντο τῇ πολιορκίᾳ, τῶν τειχέων ἅμα πειρώμενοι τοῦ φρουρίου καὶ τοῖς περὶ τὸν Σαβῖνον ἐμβοῶντες ἀπιέναι, μηδ' ἐμποδὼν αὐτοῖς γίνεσθαι, διὰ χρόνου πολλοῦ κομιζομένοις τὴν πάτριον αὐτονομίαν. Σαβίνῳ δὲ ἀγαπητὸν μὲν ἦν ὑπεξελθεῖν, ἠπίστει δὲ ταῖς ὑποσχέσεσι, καὶ τὸ πρᾶον αὐτῶν δέλεαρ εἰς ἐνέδραν ὑπώπτευεν, ἅμα δὲ καὶ τὴν ἐξ Οὐάρου βοήθειαν ἐλπίζων διέφερε τὴν πολιορκίαν.

ΚΕΦ. Δ'.

Ἐν δὲ τούτῳ καὶ τὰ κατὰ τὴν χώραν πολλαχόθεν ἐταράσσετο καὶ συχνοὺς βασιλεῖαν ὁ καιρὸς ἀνέπειθε. Κατὰ μέν γε τὴν Ἰδουμαίαν δισχίλιοι τῶν ὑφ' Ἡρώδῃ πάλαι στρατευσαμένων συστάντες ἕνοπλοι διεμάχοντο τοῖς βασιλικοῖς, οἷς Ἀχίαβος, ὁ ἀνεψιὸς βασιλέως, ἀπὸ τῶν ἐρυμνοτάτων χωρίων ἐπολέμει, ἀποφεύγων τὴν ἐν τοῖς πεδίοις συμπλοκήν. Ἐν δὲ Σεπφώρει τῆς Γαλιλαίας Ἰούδας, υἱὸς Ἐζεκίου τοῦ κατατρέχοντός ποτε τὴν χώραν ἀρχιλῃστοῦ καὶ χειρωθέντος ὑφ' Ἡρώδου τοῦ βασιλέως, συστήσας πλῆθος οὐκ ὀλίγον ἀναρρήγνυσι τὰς βασιλικὰς ὁπλοθήκας, καὶ τοὺς περὶ αὐτὸν ὁπλίσας τοῖς τὴν δυναστείαν ζηλοῦσιν ἐπιχειρεῖ.

β'. Κατὰ δὲ τὴν Περαίαν Σίμων τις τῶν βασιλικῶν δούλων εὐμορφίᾳ σώματος καὶ μεγέθει πεποιθὼς περιτίθησι μὲν ἑαυτῷ καὶ διάδημα, περιὼν δὲ μεθ' ὧν ἤθροισε λῃστῶν τά τε ἐν Ἱεριχοῖ βασίλεια καταπίμπρησι καὶ πολλὰς ἑτέρας τῶν πολυτελῶν ἐπαύλεις, ἁρπαγὰς ῥᾳδίους ἐκ τοῦ πυρὸς ποριζόμενος ἑαυτῷ. Κἂν ἔφθη πᾶσαν οἴκησιν εὐπρεπῆ καταφλέξας, εἰ μὴ Γρᾶτος, ὁ τῶν βασιλικῶν πεζῶν ἡγεμὼν, τούς τε Τραχωνίτας τοξότας καὶ τὸ μαχιμώτατον τῶν Σεβαστηνῶν ἀναλαβὼν ὑπηντίασε τὸν ἄνδρα. Τῶν μὲν οὖν πεζῶν συχνοὶ διεφθάρησαν ἐν τῇ μάχῃ, τὸν Σίμωνα δ' αὐτὸν, ἀναφεύγοντα δι' ὀρθίου φάραγγος, ὁ Γρᾶτος ὑποτέμνεται, καὶ φεύγοντος ἐκ πλαγίου τὸν αὐχένα πλήξας ἀπέρραξε. Κατεφλέγη δὲ καὶ τὰ πλησίον Ἰορδάνου βασίλεια κατὰ Βηθαράμαθον, στασιασάντων ἑτέρων τινῶν ἐκ τῆς Περαίας.

γ'. Τότε καὶ ποιμήν τις ἀντιποιήσασθαι βασιλείας ἐτόλμησεν· Ἀθρογγαῖος ἐκαλεῖτο. Προὐξένει δ' αὐτῷ τὴν ἐλπίδα σώματος ἰσχὺς καὶ ψυχὴ θανάτου καταφρονοῦσα, πρὸς δὲ τούτοις ἀδελφοὶ τέσσαρες ὅμοιοι. Τούτων ἑκάστῳ λόχον ὑποζεύξας ἕνοπλον ὥσπερ στρατηγοῖς

Romanos excitavit partim operum ruina, partim hominum strages: quumque regiam obsedissent, omnibus minitabantur exitium, nisi quam primum discederent. Nam Sabino securitatem præstare pollicebantur, si cum legione exire vellet. Quin et ipsis opitulabantur regiorum quamplurimi, qui ad eos transfugerant. Verum pars bellicosissima, Sebastenorum tria millia, illisque præfecti Rufus et Gratus, hic quidem peditibus regiis, Rufus vero equitibus (quorum in utroque etiam sine copiis illos secutis propter strenuitatem et scientiam vertebatur belli fortuna), Romanis se adjungebant. Et Judæi quidem obsidioni instabant, simul et castelli mœnia oppugnantes, et ad Sabinum clamantes ut discederet, neque ipsos impediret, tam diu patriis viventes legibus. Sabino quidem non displicebat ut clam abiret, haud vero fidebat promissis, et eorum lenitatem insidiarum esse illecebram suspicabatur; quodque Varum etiam in auxilium venturum exspectaret, obsidionem perferebat.

CAP. IV. (VI.)

Eodem autem tempore per Judæam plurimis in locis facti erant tumultus, multosque ad regnum affectandum tempus impellebat. Sane in Idumæa duo millia veteranorum qui sub Herode militaverant, sumptis armis conspirarunt et cum regiis dimicabant; adversus quos præliabatur Achiabus, regis sobrinus, ex locis editis munitissimisque, quod conflictum in campestribus vitaret. In Sepphori autem Galilææ Judas, filius Ezechiæ latronum principis (qui regionem olim incursibus vastaverat et ab Herode rege captus erat), non parva multitudine coacta, in regia armamentaria irrumpit, quumque suos armis instruxisset, potentiæ appetentes adoritur.

2. In Peræa etiam Simon quidam e servis regiis, pulchritudine simul et amplitudine corporis fretus, sibimet etiam diadema imponit; cum latronibus vero, quos congregaverat, regionem peragrans, et regias apud Hierichuntem et multa alia magnifica deversoria incendit, facilem sibi prædam ex igne comparans. Omnesque domus ornatu decoratas cremare occupasset, nisi Gratus, regiorum peditum dux, assumptis ex Trachone sagittariis et Sebastenorum pugnacissimis, ei obviam ivisset. Et peditum quidem multi in pugna interierunt, Simonem vero ipsum, per vallem arduam fugientem, succidit Gratus, illique dum fugeret cervicem ictu transverso amputavit. Incensa autem est et Jordani vicina regia apud Betharamathum, quum alii nonnulli ex Peræa seditionem movissent.

3. Tunc et pastor quidam regnum affectare ausus est. Athrongæus vocabatur. Ei autem spem faciebant corporis vires, animaque mortem despiciens, ac præterea fratres quattuor ejus non dissimiles. Horum unicuique quum armatorum cohortem subjunxisset, illis tanquam ducibus et satra-

ἐχρῆτο καὶ σατράπαις ἐπὶ τὰς καταδρομάς, αὐτὸς δὲ, καθάπερ βασιλεὺς, τῶν σεμνοτέρων ἥπτετο πραγμάτων. Τότε μὲν οὖν ἑαυτῷ περιτίθησι διάδημα, διέμεινε δ' ὕστερον οὐκ ὀλίγῳ χρόνῳ τὴν χώραν κατατρέχων σὺν τοῖς ἀδελφοῖς, καὶ τὸ κτείνειν αὐτοῖς προηγούμενον μὲν ἦν Ῥωμαίους τε καὶ τοὺς βασιλικοὺς, διέφευγε δ' οὔτε Ἰουδαίων εἴ τις εἰς χεῖρας ἔλθοι φέρων κέρδος. Ἐτόλμησε δέ ποτε Ῥωμαίων λόχον ἄθρουν περισχεῖν κατ' Ἐμμαοῦντα. Σῖτα δὲ οὗτοι καὶ ὅπλα διεκόμιζον τῷ τάγματι. Τὸν μὲν οὖν ἑκατοντάρχην αὐτῶν Ἄρειον καὶ τεσσαράκοντα τοὺς γενναιοτάτους κατηκόντισαν· οἱ δὲ λοιποὶ κινδυνεύοντες τὸ αὐτὸ παθεῖν, Γράτου σὺν τοῖς Σεβαστηνοῖς ἐπιβοηθήσαντος, ἐξέφυγον. Πολλὰ τοιαῦτα τοὺς ἐπιχωρίους καὶ τοὺς ἀλλοφύλους παρ' ὅλον τὸν πόλεμον ἐργασάμενοι μετὰ χρόνον οἱ μὲν τρεῖς ἐχειρώθησαν, ὑπ' Ἀρχελάου μὲν ὁ πρεσβύτατος, οἱ δὲ ἐξῆς δύο Γράτῳ καὶ Πτολεμαίῳ περιπεσόντες· ὁ δὲ τέταρτος Ἀρχελάῳ προσεχώρησε κατὰ δεξιάν. Τοῦτο μὲν δὴ τὸ τέλος αὐτοὺς ὕστερον ἐξεδέχετο· τότε δὲ λῃστρικοῦ πολέμου τὴν Ἰουδαίαν πᾶσαν ἐνέπλησαν.

ΚΕΦ. Ε'.

Οὐάρῳ δὲ δεξαμένῳ τὰ παρὰ Σαβίνου καὶ τῶν ἡγεμόνων γράμματα δεῖσαί τε περὶ τοῦ τάγματος ὅλου παρέστη καὶ σπεύδειν ἐπὶ τὴν βοήθειαν. Ἀναλαβὼν δὴ τὰ λοιπὰ δύο τάγματα καὶ τὰς σὺν αὐτοῖς τέσσαρας ἴλας ἱππέων ἐπὶ Πτολεμαίδος ᾔει, προστάξας ἐκεῖ καὶ τοὺς παρὰ τῶν βασιλέων καὶ δυναστῶν ἐπικούρους συνελθεῖν. Προσέλαβε δὲ καὶ παρὰ Βηρυτίων, διερχόμενος τὴν πόλιν, χιλίους καὶ πεντακοσίους ὁπλίτας. Ἐπεὶ δὲ εἰς τὴν Πτολεμαΐδα τότε ἄλλο συμμαχικὸν πλῆθος αὐτῷ παρῆν, καὶ κατὰ τὸ πρὸς Ἡρῴδην ἔχθος Ἀρέτας ὁ Ἄραψ οὐκ ὀλίγην ἄγων δύναμιν ἱππικήν τε καὶ πεζικὴν, μέρος τε τῆς στρατιᾶς εὐθέως ἔπεμπεν εἰς τὴν Γαλιλαίαν γειτνιῶσαν τῇ Πτολεμαΐδι καὶ Γάϊον ἡγεμόνα τῶν αὐτοῦ φίλων, ὃς τούς τε ὑπαντιάσαντας τρέπεται καὶ Σέπφωριν πόλιν ἐλὼν αὐτὴν μὲν ἐμπίπρησι, τοὺς δὲ ἐνοικοῦντας ἀνδραποδίζεται. Μετὰ δὲ τῆς ὅλης δυνάμεως αὐτὸς Οὐάρος εἰς Σαμάρειαν ἐλάσας, τῆς μὲν πόλεως ἀπέσχετο, μηδὲν ἐν τοῖς τῶν ἄλλων θορύβοις παρακεκινηκυῖαν εὑρὼν, αὐλίζεται δὲ περί τινα κώμην Ἄρουν καλουμένην. Κτῆμα δὲ ἦν Πτολεμαίου, καὶ διὰ τοῦτο ὑπὸ τῶν Ἀράβων διηρπάσθη, μηνιόντων καὶ τοῖς Ἡρῴδου φίλοις. Ἔνθεν εἰς Σαμφὼ πρόεισι, κώμην ἑτέραν ἐρυμνὴν, ἣν ὁμοίως διήρπασαν, τάς τε προσόδους πάσας ὅσαις ἐπετύγχανον. Πυρὸς δὲ καὶ φόνου πεπλήρωτο πάντα καὶ πρὸς τὰς ἁρπαγὰς τῶν Ἀράβων οὐδὲν ἀντεῖχε. Κατεφλέγη δὲ καὶ Ἐμμαοῦς φυγόντων τῶν οἰκητόρων, Οὐάρου δι' ὀργὴν τῶν περὶ Ἄρειον ἀποσφαγέντων κελεύσαντος.

β'. Ἔνθεν εἰς Ἱεροσόλυμα προελθὼν, ὀφθείς τε μόνον μετὰ τῆς δυνάμεως τὰ στρατόπεδα τῶν Ἰουδαίων διεσκέδασε. Καὶ οἱ μὲν ᾤχοντο φυγόντες ἀνὰ τὴν χώραν· δεξάμενοι δὲ αὐτὸν οἱ κατὰ τὴν πόλιν ἀπεσκευάσαντο πρὸς τὰς καταδρομὰς ἐπιτηδείως εἶχον. Αὐτὸς δὲ, καθάπερ βασιλεὺς, τῶν σεμνοτέρων ἥπτετο πραγμάτων. Τότε μὲν οὖν ἑαυτῷ περιτίθησι διάδημα· διέμεινε δ' ὕστερον οὐκ ὀλίγῳ χρόνῳ τὴν χώραν κατατρέχων σὺν τοῖς ἀδελφοῖς, καὶ τὸ κτείνειν αὐτοῖς προηγούμενον μὲν ἦν Ῥωμαίους τε καὶ τοὺς βασιλικοὺς, διέφευγε δ' οὔτε Ἰουδαίων εἴ τις εἰς χεῖρας ἔλθοι φέρων κέρδος. Ἐτόλμησε δέ ποτε Ῥωμαίων λόχον ἄθρουν περισχεῖν κατ' Ἐμμαοῦντα. Σῖτα δὲ οὗτοι καὶ ὅπλα διεκόμιζον τῷ τάγματι. Τὸν μὲν οὖν ἑκατοντάρχην αὐτῶν Ἄρειον καὶ τεσσαράκοντα τοὺς γενναιοτάτους κατηκόντισαν· οἱ δὲ λοιποὶ κινδυνεύοντες τὸ αὐτὸ παθεῖν, Γράτου σὺν τοῖς Σεβαστηνοῖς ἐπιβοηθήσαντος, ἐξέφυγον. Πολλὰ τοιαῦτα τοὺς ἐπιχωρίους καὶ τοὺς ἀλλοφύλους παρ' ὅλον τὸν πόλεμον ἐργασάμενοι μετὰ χρόνον οἱ μὲν τρεῖς ἐχειρώθησαν, ὑπ' Ἀρχελάου μὲν ὁ πρεσβύτατος, οἱ δὲ ἐξῆς δύο Γράτῳ καὶ Πτολεμαίῳ περιπεσόντες· ὁ δὲ τέταρτος Ἀρχελάῳ προσεχώρησε κατὰ δεξιάν. Τοῦτο μὲν δὴ τὸ τέλος αὐτοὺς ὕστερον ἐξεδέχετο· τότε δὲ λῃστρικοῦ πολέμου τὴν Ἰουδαίαν πᾶσαν ἐνέπλησαν.

pis ad incursus faciendos utebatur, ipse vero veluti rex graviora negotia obibat. Et tunc quidem sibimet imponit diadema; postea vero, tempore haud exiguo regionem excursibus una cum fratribus populans, et ipsis præibat ad Romanos itemque regios occidendos, neque Judæorum quisquam effugiebat, qui lucri aliquid ferens in manus veniret. Imo ausus est aliquando Romanorum cohortem simul omnem circumdare apud Emmauntem. Illi autem frumentum et arma legioni ferebant. Et Arium quidem centurionem qui illos ducebat, et ex fortissimis quadraginta missilibus confixerunt; ceteri vero, idem patiendi discrimen adeuntes, postquam Gratus cum Sebastenis auxillo advenerat, evadebant. Quum multa ejusmodi durante bello contra populares suos et alienigenas patrassent, post aliquod tempus tres illorum subacti sunt, ab Archelao quidem natu maximus; duo vero ætate proximi in Grati et Ptolemæi manus inciderunt; quartus autem fide data acceptaque Archelao se dedidit. Et ista quidem illis postea acciderunt: tunc autem bello latrocinali Judæam omnem compleverunt.

CAP. V. (VII.)

Varus autem, quum literas a Sabino et ducibus accepisset, cœpit toti legioni metuere et in auxilium properare. Itaque reliquis duabus legionibus assumptis et quattuor equitum qui cum illis erant turmis, in Ptolemaidem proficiscebatur, regum et dynastarum auxiliariis eo convenire jussis. Etiam a Berytiis, quum per urbem eorum iret, mille et quingentos accipiebat armatos. Postquam vero ad Ptolemaidem et cetera auxiliarium manus ei aderat, et Aretas Arabs ex suo in Herodem odio non exiguas adducens copias equitum peditumque, statim exercitus partem in Galilæam mittebat, quæ in vicinia erat Ptolemaidis, et pro duce Caium ex amicis suis unum, qui et eos qui contra ipsum egressi erant in fugam vertit, et Sepphori civitate capta, ipsam quidem incendit, ejus vero incolas in servitium abducit. Varus autem ipse cum universo exercitu Samariam profectus a civitate quidem manus abstinuit, quod, dum turbæ ab aliis excitarentur, nihil eam movisse deprehenderit: sed castra ponit ad vicum quendam, cui nomen Arus. Is in ditione erat Ptolemæi: ideoque diripiebatur ab Arabibus, qui Herodis etiam amicis infensi erant. Inde progreditur ad Sampho, vicum alterum bene munitum, quem similiter diripuerant Arabes, et omnes fructus in quos inciderant. In universum flammis et cædibus plena erant omnia, nec quidquam erat quod in prædam non cessit Arabibus. Etiam Emmaus, incolis in fugam conjectis, exusta est, jussu Vari necem Arii ejusque militum indigne ferentis.

2. Inde quum ad Hierosolyma processisset et in conspectum venisset cum exercitu, protinus Judæorum castra disjecit. Et illi quidem fuga dispersi erant per regionem: qui vero in urbe erant, quum eum recepissent, sese de causis

ζοντο τὰς αἰτίας τῆς ἀποστάσεως, αὐτοὶ μὲν μηδὲν παρακινῆσαι λέγοντες, διὰ δὲ τὴν ἑορτὴν ἀναγκαίως δεξάμενοι τὸ πλῆθος, συμπολιορκηθῆναι μᾶλλον Ῥωμαίοις ἢ συμπολεμῆσαι τοῖς ἀποστᾶσι. Προϋπηντήκεσαν δὲ αὐτῷ Ἰώσηπός τε ὁ ἀνεψιὸς Ἀρχελάου καὶ σὺν Ῥούφῳ Γρᾶτος, ἄγοντες ἅμα τῷ βασιλικῷ στρατῷ καὶ τοὺς Σεβαστηνούς, οἵ τε ἀπὸ τοῦ Ῥωμαϊκοῦ τάγματος τὸν συνήθη τρόπον κεκοσμημένοι. Σαβῖνος γὰρ οὐδ' εἰς ὄψιν ὑπομείνας ἐλθεῖν Οὐάρῳ προεξῆλθε τῆς πόλεως ἐπὶ θάλασσαν. Οὔαρος δὲ μοῖραν τῆς στρατιᾶς ἐπὶ τοὺς αἰτίους τοῦ κινήματος ἔπεμπε περὶ τὴν χώραν· καὶ πολλῶν ἀγομένων, τοὺς μὲν ἧττον θορυβώδεις φανέντας ἐφρούρει, τοὺς δ' αἰτιωτάτους ἀνεσταύρωσε περὶ δισχιλίους.

γ'. Ἠγγέλη δ' αὐτῷ περὶ τὴν Ἰδουμαίαν ἔτι συμμένειν μυρίους ὁπλίτας. Ὁ δὲ τοὺς μὲν Ἄραβας εὑρὼν οὐ συμμάχων ἦθος ἔχοντας, ἀλλ' ἰδίῳ πάθει στρατευομένους, καὶ πέρα τῆς αὐτοῦ προαιρέσεως τὴν χώραν κακοῦντας ἔχθει τῷ πρὸς Ἡρώδην, ἀποπέμπεται, μετὰ δὲ τῶν ἰδίων ταγμάτων ἐπὶ τοὺς ἀφεστῶτας ἠπείγετο. Κἀκεῖνοι, πρὶν εἰς χεῖρας ἐλθεῖν, Ἀχιάβου συμβουλεύσαντος, σφᾶς αὐτοὺς παρέδοσαν. Οὔαρος δὲ τῷ πλήθει μὲν ἠφίει τὰς αἰτίας, τοὺς δὲ ἡγεμόνας ἐξετασθησομένους ἔπεμψεν ἐπὶ Καίσαρα. Καῖσαρ δὲ τοῖς μὲν ἄλλοις συνέγνω, τινὰς δὲ τῶν τοῦ βασιλέως συγγενῶν (ἦσαν γὰρ σὺν αὐτοῖς ἔνιοι προσήκοντες Ἡρώδῃ κατὰ γένος) κολάσαι προσέταξεν, ὅτι κατ' οἰκείου βασιλέως ἐστρατεύσαντο. Οὔαρος μὲν οὖν, τοῦτον τὸν τρόπον καταστησάμενος τὰ ἐν Ἱεροσολύμοις, καὶ φρουρὰν καταλιπὼν τὸ καὶ πρότερον τάγμα, εἰς Ἀντιόχειαν ἐπάνεισιν.

ΚΕΦ. Ϛ'.

Ἀρχελάῳ δ' ἐπὶ Ῥώμης πάλιν ἄλλη συνίστατο δίκη πρὸς Ἰουδαίους, οἳ πρὸ τῆς ἀποστάσεως, ἐπιτρέψαντος Οὐάρου, πρέσβεις ἐξεληλύθεισαν περὶ τῆς τοῦ ἔθνους αὐτονομίας. Ἦσαν δὲ πεντήκοντα μὲν οἱ παρόντες, συμπαρίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους. Ἀθροίσαντος δὲ Καίσαρος συνέδριον τῶν ἐν τέλει Ῥωμαίων καὶ τῶν φίλων ἐν τῷ κατὰ τὸ Παλάτιον Ἀπόλλωνος ἱερῷ (κτίσμα δ' ἦν ἴδιον αὐτοῦ θαυμασίῳ πολυτελείᾳ κεκοσμημένον), μετὰ μὲν τῶν πρεσβευτῶν τὸ Ἰουδαϊκὸν πλῆθος ἕστη, σὺν δὲ τοῖς φίλοις ἄντικρυς Ἀρχέλαος, τῶν δὲ τούτου συγγενῶν οἱ φίλοι παρ' οὐδετέροις, συμπαρίστασθαι μὲν Ἀρχελάῳ διὰ μῖσος καὶ φθόνον οὐχ ὑπομένοντες, ὀφθῆναι δὲ μετὰ τῶν κατηγόρων ὑπὸ Καίσαρος αἰδούμενοι. Ἐπὶ τούτοις παρῆν καὶ Φίλιππος ὁ ἀδελφὸς Ἀρχελάου, προπεμφθεὶς κατ' εὔνοιαν ὑπὸ Οὐάρου, δυοῖν ἕνεκα, Ἀρχελάῳ τε συναγωνίσασθαι, κἂν διανέμῃ τὸν Ἡρώδου Καῖσαρ οἶκον πᾶσι τοῖς ἐγγόνοις, κλήρου τινὸς ἀξιωθῆναι.

β'. Ἐπιτραπὲν δὲ λέγειν τοῖς κατηγόροις τὰς Ἡρώδου παρανομίας πρῶτον διεξῆσαν, οὐ βασιλέα λέγοντες, ἀλλὰ τῶν πώποτε τυραννησάντων ὠμότατον ἐνηνοχέναι τύραννον. Πλείστων γοῦν ἀνηρημένων ὑπ' αὐτοῦ, defectionis purgarunt, nihil se quidem ejusmodi movisse dicentes, sed propter festum multitudine ex necessitate in urbem admissa, in ea potius cum Romanis obsessos fuisse quam ad bellum movendum cum illis conspirasse qui ab eis desciverant. Ante vero obviam ei venerant Josephus Archelai sobrinus et Rufus Gratusque cum regio exercitu et Sebastenis, atque Romani e legione more suo ornati armatique. Nam Sabinus, non ausus sese Varo vel in conspectum dare, jam ante ex urbe exierat et ad mare profectus. Varus autem per regionem copiarum suarum partem ad seditionis auctores conquirendos mittebat, multisque adductis, minus quidem turbulentos visos custodiæ mandabat, eorum vero qui maxime in culpa erant ad duo millia cruci suffixit.

3. Ei autem nunciatum erat adhuc circa Idumæam superesse decem graviter armatorum millia. Ille vero, ut vidit Arabas non ita se gerentes ut auxiliares deceret, sed pro sua libidine militia utentes, et contra quam ipse vellet regionem vastantes ex suo in Herodem odio, domum dimittit et cum suis legionibus adversus eos qui defecerant ire contendebat. Atque illi, antequam manus consererent, suasu Achiabi sese dediderunt. Varus autem plebeiis quidem culpæ veniam dabat, eorum vero duces ad Cæsarem misit, ut ad interrogata responderent. At aliis quidem Cæsar ignovit, de nonnullis vero regis cognatis (erant enim quidam ex Herodis consanguineis qui se eis adjunxerant) supplicium sumi jubet, quod contra regem suum arma tulerant. Et Varus quidem, rebus Hierosolymitanis hoc modo compositis, relictaque ad præsidium priore legione, Antiochiam revertitur.

CAP. VI. (VIII.)

Archelao autem Romæ alia exstitit causa contra Judæos agenda, qui ante defectionem legati exierant, ejusmodi potestatem faciente Varo, ad postulandum suis legibus vivendi libertatem. Erant autem quinquaginta qui aderant, eisque se adjunxerunt supra octo millia Judæorum Romæ degentium. Itaque quum Cæsar concilium tam amicorum quam primorum Romanorum convocasset in templum Apollinis in Palatio (quod ab ipso erat exstructum et laute admodum mirumque in modum exornatum), cum legatis quidem multi e Judæis stabant, contra vero Archelaus cum amicis, at qui hujus consanguineorum amici erant, a neutra parte stabant, Archelao quidem adesse non sustinentes ex odio atque invidia, cum accusatoribus vero conspici propter Cæsarem veriti. Præterea aderat etiam Philippus frater Archelai, animo benevolo a Varo præmissus duabus de causis, ut et Archelai partes adjuvaret, et, si forte Cæsar Herodis facultates universæ ejus progeniei distribueret, partem aliquam obtineret.

2. Data autem accusantibus dicendi venia, primum ea prosequuti sunt quæ contra leges fecisset Herodes, non se regem dicentes, sed tyrannum pertulisse omnium qui unquam tyrannidem exercuerint crudelissimum. Multis quippe

τοιαῦτα πεπονθέναι τοὺς καταλειφθέντας ὥστε μακαρίζεσθαι τοὺς ἀπολωλότας· βεβασανικέναι γὰρ οὐ μόνον τὰ σώματα τῶν ὑποτεταγμένων, ἀλλὰ καὶ τὰς πόλεις. Τὰς μὲν γὰρ ἰδίας λελωβῆσθαι, τὰς δὲ τῶν ἀλλοφύλων κεκοσμηκέναι, καὶ τὸ τῆς Ἰουδαίας αἷμα κεχαρίσθαι τοῖς ἔξωθεν δήμοις· ἀντὶ δὲ τῆς παλαίας εὐδαιμονίας καὶ τῶν πατρίων νόμων πενίας τὸ ἔθνος καὶ παρανομίας ἐσχάτης πεπληρωκέναι. Καθόλου τε πλείους ὑπομεμενηκέναι τὰς ἐξ Ἡρώδου συμφορὰς ἐν ὀλίγοις ἔτεσιν Ἰουδαίους ὧν ἐν ἅπαντι τῷ χρόνῳ μετὰ τὴν ἐκ Βαβυλῶνος ἀναχώρησιν ἔπαθον οἱ πρόγονοι, Ξέρξου βασιλεύοντος ἐπαναστραφέντες. Εἰς τοσοῦτον μέντοι ταπεινότητος ἐκ τοῦ δυστυχεῖν ἔθους προελθεῖν ὥστε ὑπομεῖναι τῆς πικρᾶς δουλείας καὶ διαδοχὴν αὐθαίρετον. Ἀρχέλαον γοῦν τὸν τηλικούτου τυράννου παῖδα, μετὰ τὴν τοῦ πατρὸς τελευτήν, βασιλέα τε προσειπεῖν ἑτοίμως καὶ συμπενθῆσαι τὸν Ἡρώδου θάνατον αὐτῷ, καὶ συνεύξασθαι περὶ τῆς διαδοχῆς. Τὸν δὲ, ὥσπερ ἀγωνιάσαντα μὴ νόθος υἱὸς δόξειεν Ἡρώδου, προοιμιάσασθαι τὴν βασιλείαν τρισχιλίων πολιτῶν φόνῳ, καὶ τοσαῦτα μὲν παρεστακέναι θύματα περὶ τῆς ἀρχῆς τῷ Θεῷ, τοσούτοις δὲ ἐμπεπληκέναι νεκροῖς τὸ ἱερὸν ἐν ἑορτῇ. Τοὺς μέντοι περιλειφθέντας ἐκ τοσούτων κακῶν εἰκότως ἐπεστράφθαι ἤδη ποτὲ πρὸς τὰς συμφορὰς, καὶ πολέμου νόμῳ ἐθέλειν τὰς πληγὰς κατὰ προσώπου δέχεσθαι, δεῖσθαι δὲ Ῥωμαίων ἐλεῆσαί τε τὰ τῆς Ἰουδαίας λείψανα καὶ μὴ τὸ περισσὸν αὐτῆς ἀπορρῖψαι τοῖς ὠμῶς σπαράσσουσι, συνάψαντας δὲ τῇ Συρίᾳ τὴν χώραν αὐτῶν διοικεῖν ὑπὸ ἰδίοις ἡγεμόσιν. Ἐπιδείξεσθαι γὰρ ὡς οἱ νῦν στασιώδεις διαβαλλόμενοι καὶ πολεμικοὶ φέρειν οἴδασι μετρίους ἡγεμόνας. Ἰουδαῖοι μὲν οὖν ἐκ τῆς κατηγορίας κατέληξαν εἰς τοιαύτην αἴτησιν. Ἀναστὰς δὲ Νικόλαος ἀπελύσατο μὲν τὰς εἰς τοὺς βασιλεῖς αἰτίας, κατηγόρει δὲ τοῦ ἔθνους τό τε δύσαρκτον καὶ τὸ δυσπειθὲς φύσει πρὸς τοὺς βασιλέας, συνδιέβαλλε δὲ καὶ τοὺς Ἀρχελάου συγγενεῖς, ὅσοι πρὸς τοὺς κατηγόρους ἀφειστήκεσαν.

(Θ'.) ε'. Τότε μὲν οὖν Καῖσαρ ἀκούσας ἑκατέρων διέλυσε τὸ συνέδριον. Μετὰ δὲ ἡμέρας ὀλίγας τὸ μὲν ἥμισυ τῆς βασιλείας Ἀρχελάῳ δίδωσιν, ἐθνάρχην προσειπὼν, ὑποσχόμενος δὲ καὶ βασιλέα ποιήσειν, ἐὰν ἄξιον ἑαυτὸν παράσχῃ, τὸ δὲ λοιπὸν ἥμισυ διελὼν εἰς δύο τετραρχίας δυσὶν ἑτέροις παισὶν Ἡρώδου δίδωσι, τὴν μὲν Φιλίππῳ, τὴν δὲ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον ἀμφισβητοῦντι περὶ τῆς βασιλείας. Ἐγένετο δὲ ὑπὸ τούτῳ μὲν ἥ τε Περαία καὶ Γαλιλαία, πρόσοδος διακοσίων ταλάντων, Βαταναία τε καὶ Τράχων, Αὐρανῖτίς τε καὶ μέρη τινὰ τοῦ Ζήνωνος οἴκου τὰ περὶ Ἰάμνειαν, πρόσοδον ἔχοντα ταλάντων ἑκατὸν, ὑπὸ Φιλίππῳ τέτακτο. Τῆς Ἀρχελάου δ' ἐθναρχίας Ἰδουμαία τε καὶ Ἰουδαία πᾶσα καὶ Σαμαρεῖτις ἦν, κεκουφισμένη τετάρτῳ μέρει τῶν φόρων εἰς τιμὴν τοῦ μὴ μετὰ τῶν ἄλλων ἀποστῆναι. Πόλεις δὲ ὑπηκόους παρέλαβε Στράτωνός τε πύργον καὶ Σεβαστὴν καὶ Ἰόπην καὶ Ἱεροσόλυμα· τὰς γὰρ Ἑλληνίδας,

ab eo occisis, talia passos esse superstites, ut etiam mortuos beatos prædicarent. Nec solum subditorum corporibus quæstionem eum adhibuisse, sed et civitatibus. Nam suæ quidem gentis urbes dilaniasse, alienigenarum vero ornasse, et externis populis Judææ sanguinem condonasse. Pro antiqua autem felicitate ac patriis legibus gentem egestate implevisse simul et iniquitate. In summa, Judæos paucis quidem annis plures ab Herode calamitates tolerasse, quam in omni ævo perpessi sint majores sui, postquam ex Babylone discesserint et Xerxe regnante fuerint reversi. Attamen assuescendo dura pati et adversa animos adeo demissos humilesque gerere, ut ultro eum pro successore acciperent sub quo acerbam servituri essent servitutem. Archelaum quippe, tanti tyranni filium, patre mortuo regem sine mora appellasse, et una cum eo mortem Herodis luxisse, simulque ut is succederet vota nuncupasse. Illum vero, quasi veritus esset ne germanus Herodis filius non haberetur, civium trium millium cæde regno prælusisse; et tot quidem victimas pro regno immolasse, tot vero cadaveribus in festo solenni templum implevisse. Recte igitur eos, qui e tantis malis evasissent, aliquando ad calamitates suas respexisse, et belli lege cupere vulneribus excipiendis ora præbere, atque ab Romanis precari ut Judææ reliquias misericordia dignarentur, et quod ex illis supersit, crudeliter ipsos lacerantibus non objicerent, sed regionem suam Syriæ contributam, a præsidibus Romanis regi sinerent. Ita enim perspicuum fore, quos nunc seditiosos esse ac belli cupidos calumnientur, nosse moderatum ferre imperium. Et hujusmodi quidem petitione accusationem clauserunt Judæi. Quum autem surrexisset Nicolaus, quæ regibus objecerant diluit, gentem vero accusabat, quod difficulter imperio regeretur, atque ita a natura facta esset, ut ægre regibus obsequium præstaret: porroque Archelai propinquos, quicunque ad accusatores defecerant, criminis insimulabat.

(IX.) 3. Et tunc quidem Cæsar, auditis quæ utrinque dicerentur, dimisit concilium. Paucis autem post diebus Archelao quidem dat regni dimidium cum ethnarchæ nomine, ipsum etiam regem, si se dignum eo honore præstitisset, facturum esse pollicitus, reliquum vero dimidium, in duas tetrarchias divisum, duobus aliis Herodis filiis tribuit, unam Philippo, alteram Antipæ, qui cum Archelao de regno contendebat. Et huic quidem in ditionem cedebat Perræa et Galilæa, quarum reditus ducenta talenta: at Philippo subjiciebantur Batanæa et Trachon, et Auranitis, et partes quædam domus Zenonis circa Jamniam, quæ talenta centum reddebant. Archelai vero ad ethnarchiam pertinebant et Idumæa et Judæa omnis et Samaria, quarta tributorum parte levata, honoris ergo quod cum aliis non defecerat. Civitates etiam, quibus imperaret, accipiebat, et Stratonis turrim et Sebasten et Iopen et Hierosolyma. Nam Græcas, Gazam et

Γάζαν καὶ Γάδαρα καὶ Ἵππον, ἀποτεμνόμενος τῆς βασιλείας, προσέθηκε Συρίᾳ. Πρόσοδος δὲ ἦν τῆς Ἀρχελάῳ δοθείσης χώρας τετρακοσίων ταλάντων. Σαλώμη δὲ, πρὸς οἷς ὁ βασιλεὺς ἐν ταῖς διαθήκαις κατέλιπεν, Ἰαμνείας τε καὶ Ἀζώτου καὶ Φασαηλίδος ἀποδείκνυται δεσπότις· χαρίζεται δὲ αὐτῇ Καῖσαρ καὶ τὰ ἐν Ἀσκάλωνι βασίλεια. Συνήγετο δὲ ἐκ πάντων ἑξήκοντα προσόδου τάλαντα. Τὸν δὲ οἶκον αὐτῆς ὑπὸ τὴν Ἀρχελάου ἐθναρχίαν ἔταξε. Τῆς δὲ ἄλλης Ἡρώδου γενεᾶς ἕκαστος τὸ καταλειφθὲν ἐν ταῖς διαθήκαις ἐκομίζετο. Δυσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις Καῖσαρ ἔξωθεν χαρίζεται πεντήκοντα μυριάδας ἀργυρίου, καὶ συνῴκισεν αὐτὰς τοῖς Φερώρα παισί. Μετὰ δὲ τὸν οἶκον ἐπιδιένειμεν αὐτοῖς τὴν αὐτῷ καταλειφθεῖσαν ὑφ' Ἡρώδου δωρεὰν, οὖσαν χιλίων ταλάντων, εὐτελῆ τινα τῶν κειμηλίων εἰς τὴν τοῦ κατοιχομένου τιμὴν ἐξελόμενος.

ΚΕΦ. Ζ'.

Κἀν τούτῳ νεανίας τις Ἰουδαῖος μὲν τὸ γένος, τραφεὶς δ' ἐν Σιδῶνι παρά τινι τῶν Ῥωμαϊκῶν ἀπελευθέρων, δι' ὁμοιότητα μορφῆς ψευδόμενος ἑαυτὸν Ἀλέξανδρον τὸν ἀναιρεθέντα ὑφ' Ἡρώδου, κατ' ἐλπίδα τοῦ λήσειν ἦκεν εἰς Ῥώμην. Συνεργὸς δ' ἦν τις ὁμόφυλος αὐτῷ πάντα τὰ κατὰ τὴν βασιλείαν ἐπιστάμενος, ὑφ' οὗ διδαχθεὶς ἔλεγεν ὡς οἱ πεμφθέντες ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ τε καὶ Ἀριστοβούλου δι' οἶκτον ἐκκλέψειαν αὐτοὺς ὁμοίων ὑποβολῇ σωμάτων. Τούτοις γοῦν τοὺς ἐν Κρήτῃ Ἰουδαίους ἐξαπατήσας καὶ λαμπρῶς ἐφοδιασθεὶς διέπλευσεν εἰς Μῆλον· ἔνθα συναγείρας πολλῷ πλέον δι' ὑπερβολὴν ἀξιοπιστίας ἀνέπεισε καὶ τοὺς ἰδιοξένους εἰς Ῥώμην αὐτῷ συνεκπλεῦσαι. Καταχθεὶς δὲ εἰς Δικαιάρχειαν, δῶρά τε παμπληθῆ παρὰ τῶν ἐκεῖ Ἰουδαίων λαμβάνει καὶ καθάπερ βασιλεὺς ὑπὸ τῶν πατρώων προεπέμφθη φίλων. Προεληλύθει δ' εἰς τοσοῦτον πίστεως τὸ τῆς μορφῆς ὅμοιον, ὥστε τοὺς ἑορακότας Ἀλέξανδρον καὶ σαφῶς ἐπισταμένους διόμνυσθαι τοῦτον εἶναι. Τό γε μὴν Ἰουδαϊκὸν ἐν Ῥώμῃ πᾶν ἐξεχύθη πρὸς τὴν θέαν αὐτοῦ, καὶ πλῆθος ἄπειρον ἦν περὶ τοὺς στενωποὺς, δι' ὧν κομίζοιτο. Καὶ γὰρ δὴ προῆλθον εἰς τοσοῦτον φρενοβλαβείας οἱ Μήλιοι, ὥστε φορείῳ τε αὐτὸν κομίζειν καὶ θεραπείαν βασιλικὴν ἰδίοις παρασχεῖν ἀναλώμασι.

β'. Καῖσαρ δὲ γινώσκων ἀκριβῶς τοὺς Ἀλεξάνδρου χαρακτῆρας (κατηγόρητο γὰρ ὑφ' Ἡρώδου παρ' αὐτῷ), συνεώρα μὲν καὶ πρὶν ἰδεῖν τὸν ἄνθρωπον τὴν τῆς ὁμοιότητος ἀπάτην, διδοὺς δέ τι καὶ πίστεως ταῖς ἱλαρωτέραις ἐλπίσι, Κέλαδόν τινα πέμπει τῶν σαφῶς ἐπισταμένων Ἀλέξανδρον, κελεύσας ἀγαγεῖν αὐτῷ τὸν νεανίσκον. Ὁ δὲ, ὡς εἶδεν, ἐτεκμήρατο μὲν τάχιστα καὶ τὰς διαφορὰς τοῦ προσώπου· τὸ δὲ ὅλον σῶμα σκληρότερόν τε καὶ δουλοφανὲς καταμαθὼν ἐνόησε πᾶν τὸ σύνταγμα. Πάνυ δὲ αὐτὸν παρώξυνεν ἡ τόλμα τῶν ὑπ' αὐτοῦ λεγομένων. Τοῖς γὰρ πυνθανομένοις περὶ Ἀριστοβούλου σώζεσθαι μὲν κἀκεῖνον ἔλεγεν, ἀπολελεῖ-

Gadara et Hippon, regno avulsas, Syriæ adjunxit. Archelao autem ex regione sibi data redibant quadringenta talenta. At Salome, præter illa quæ rex testamento suo ei legaverat, et Jamniæ et Azoti et Phasaelidis domina facta est; eidemque regiam quoque quæ Ascalone est largitur Cæsar. Ex quibus omnibus sexaginta talentorum reditus colligebantur. Domum vero ejus Archelai ethnarchiæ subdidit. Jam ceteris ex Herodis progenie reddebantur legata, prout testamento relicta erant. Duabus autem filiabus ejus virginibus dat Cæsar, extra ea quæ pater legaverat, quingenta millia argenti; easque nuptum collocavit Pheroræ filiis. Denique, diviso patrimonio, eis distribuit mille talenta ipsi ab Herode dono relicta parvi pretii nonnullis ex regia supellectile sibimet reservatis, in honorem defuncti.

CAP. VII. (X.)

Interea juvenis quidam, genere Judæus, Sidone educatus apud quendam Romani civis libertum, formæ similitudine semet Alexandrum esse mentitus ab Herode occisum Romam veniebat, fore sperans ut non detegeretur. Ipsi autem adjutor erat homo ejusdem tribus, sciens omnium quæ ad regnum pertinerent, a quo instructus asseverabat quod ii qui missi erant ad se et Aristobulum occidendum misericordia commoti ipsos surripuerint, similibus subditis corporibus. Itaque quum istis decepisset Judæos in Creta degentes, et splendidum nactus esset commeatum, in Melum navigavit: ubi quum multo plus in viaticum collegisset, quod res admodum credibilis videretur, hospitibus etiam suis persuasit ut Romam secum navigarent. Quum autem appulsus esset Dicæarchiam, et dona quamplurima ab istius loci Judæis accipit, et tanquam rex a paternis amicis deducebatur. Tantum enim fidei conciliaverat formæ similitudo, ut qui Alexandrum viderant planeque noverant, hunc eum esse jurarent. Porro Judæi Romæ degentes omnes ad eum visendum se effuderunt, et ingens hominum multitudo vias, per quas ferebatur, obsidebat. Nam eo quidem dementiæ processerant Melii, ut illum et sella portarent, suisque sumptibus cultum et apparatum regium suppeditarent.

2. Cæsar autem, ut qui perfecte norit Alexandri oris lineamenta (accusatus enim apud eum fuerat ab Herode), perspiciebat quidem, etiam prius quam hominem videret, similitudinis fallaciam, aliquid vero fidei tribuere volens lætiori de eo conceptæ spei, Celadum quendam, unum ex iis qui Alexandrum probe nosset, mitti jubet, ut Alexandrum sibi adduceret. Atque ille, eo viso, statim quidem conjectura deprehendit personæ diversitatem: at quum totum corpus animadvertisset, rigidius illud et servili quodam habitu, commentum omne intellexit. Valde autem eum commoverunt quæ tanta cum fiducia dicere ausus est. Nam quum de Aristobulo interrogaretur, salvum quidem

φθαι δ' ἐπίτηδες ἐν Κύπρῳ τὰς ἐπιβουλὰς φυλασσόμενον· ἧττον γὰρ ἐπιχειρεῖσθαι διεζευγμένους. Ἀπολαβόμενος δὲ αὐτὸν κατ' ἰδίαν, « μισθὸν, ἔφη, παρὰ Καίσαρος ἔχεις τὸ ζῆν τοῦ μηνῦσαι τὸν ἀναπείσαντά σε πλάσασθαι τηλικαῦτα. » Κἀκεῖνος αὐτῷ δηλώσειν εἰπὼν ἕπεται πρὸς Καίσαρα, καὶ τὸν Ἰουδαῖον ἐνδείκνυται καταχρησάμενον αὐτοῦ τῇ ὁμοιότητι πρὸς ἐργασίαν· τοσαῦτα γὰρ εἰληφέναι δῶρα καθ' ἑκάστην πόλιν, ὅσα ζῶν Ἀλέξανδρος οὐκ ἔλαβε. Γελάσας δὲ Καῖσαρ ἐπὶ τούτοις τὸν μὲν ψευδαλέξανδρον δι' εὐεξίαν σώματος ἐγκατέταξε τοῖς ἑρέταις, τὸν ἀναπείσαντα δὲ ἐκέλευσεν ἀναιρεθῆναι. Μηλίοις δὲ ἤρκεσεν ἐπιτίμιον τῆς ἀνοίας τὰ ἀναλώματα.

(IA'.) γ'. Παραλαβὼν δὲ τὴν ἐθναρχίαν Ἀρχέλαος, καὶ κατὰ μνήμην τῶν πάλαι διαφορῶν οὐ μόνον Ἰουδαίοις, ἀλλὰ καὶ Σαμαρεῦσι χρησάμενος ὠμῶς, πρεσβευσαμένων ἑκατέρων κατ' αὐτοῦ πρὸς Καίσαρα, ἔτει τῆς ἀρχῆς ἐνάτῳ φυγαδεύεται μὲν εἰς Βίενναν πόλιν τῆς Γαλατίας αὐτὸς, ἡ οὐσία δ' αὐτοῦ τοῖς Καίσαρος θησαυροῖς ἐγκατατάσσεται. Πρὶν κληθῆναι δὲ αὐτὸν ὑπὸ τοῦ Καίσαρος, ὄναρ ἰδεῖν φασι τοιόνδε. Ἔδοξεν ὁρᾶν στάχυς ἐννέα, πλήρεις καὶ μεγάλους, ὑπὸ βοῶν καταβιβρωσκομένους. Μεταπεμψάμενος δὲ τοὺς μάντεις καὶ τῶν Χαλδαίων τινὰς, ἐπυνθάνετο τί σημαίνειν δοκοῖεν. Ἄλλων δὲ ἄλλως ἐξηγουμένων, Σίμων τις Ἐσσαῖος τὸ γένος ἔφη τοὺς μὲν στάχυς ἐνιαυτοὺς νομίζειν, τοὺς δὲ βοῦς μεταβολὰς πραγμάτων, διὰ τὸ τὴν χώραν ἀροτριῶντας ἀλλάσσειν· ὥστε βασιλεύσειν μὲν αὐτὸν τὸν τῶν σταχύων ἀριθμὸν, ἐν ποικίλαις δὲ πραγμάτων μεταβολαῖς γενόμενον τελευτήσειν. Ταῦτα ἀκούσας Ἀρχέλαος μετὰ πέντε ἡμέρας ἐπὶ τὴν δίκην μετεκλήθη.

δ'. Ἄξιον δὲ μνήμης ἡγησάμην καὶ τὸ τῆς γυναικὸς αὐτοῦ Γλαφύρας ὄναρ, ἥπερ ἦν θυγάτηρ μὲν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως, γυνὴ δ' Ἀλεξάνδρου γενουῖα τὸ πρῶτον, ὃς ἦν ἀδελφὸς μὲν Ἀρχελάου, περὶ οὗ διεξῆειμεν, υἱὸς δ' Ἡρώδου τοῦ βασιλέως, ὑφ' οὗ καὶ ἀνῃρέθη, καθάπερ προδεδηλώκαμεν, μετὰ δὲ τὸν ἐκείνου θάνατον συνῴκησεν Ἰόβᾳ τῷ βασιλεύοντι Λιβύης, οὗ τελευτήσαντος ἐπανελθοῦσαν αὐτὴν καὶ χηρεύουσαν παρὰ τῷ πατρὶ θεασάμενος ὁ ἐθνάρχης Ἀρχέλαος ἐπὶ τοσοῦτον ἔρωτος ἦλθεν, ὥστε παραχρῆμα τὴν συνοικοῦσαν αὐτῷ Μαριάμμην ἀποπεμψάμενος ἐκείνην ἀγαγέσθαι. Παραγενομένη τοίνυν εἰς Ἰουδαίαν, μετ' ὀλίγον τοῦ ἀφίξεως χρόνον, ἔδοξεν ἐπιστάντα τὸν Ἀλέξανδρον αὐτῇ λέγειν, « ἀπέχρη μὲν ὁ κατὰ Λιβύην « σοι γάμος, σὺ δὲ οὐκ ἀρκεσθεῖσα τούτῳ, πάλιν ἐπὶ τὴν « ἐμὴν ἑστίαν ἀνακάμπτεις, τρίτον ἄνδρα, καὶ ταῦτα « τὸν ἀδελφὸν, ὦ τολμηρά, τὸν ἐμὸν ἠρημένη. Πλὴν « οὐ περιόψομαι τὴν ὕβριν, ἀπολήψομαι δέ σε καὶ μὴ « θέλουσαν. » Τοῦτο διηγησαμένη τὸ ὄναρ δύο μόλις ἡμέρας ἐβίω.

ΚΕΦ. Η'.

Τῆς δὲ Ἀρχελάου χώρας εἰς ἐπαρχίαν περιγραφείσης

illum esse respondebat, Cypri vero de industria relictum esse, ut sibi ab insidiis caveret : difficilius enim disjunctos posse apprehendi. Quum autem eum paululum seduxisset, ei dixit vitam præmium fore ipsi a Cæsare si illius indicium fecerit, qui ei persuaserit ejusmodi res comminisci. Atque ille se indicaturum pollicitus Celadum ad Cæsarem sequitur, atque Judæum ostendit, qui formæ ipsius similitudine ad quæstum abusus erat : tanta enim eum dona per singulas urbes accepisse, quanta vivus Alexander non esset consequutus. Quum autem risisset ad hæc Cæsar, Pseudalexandrum quidem propter habitudinem corporis inter remiges ablegavit, sed commenti auctorem occidi jussit. Cæterum Melii, sumptibus quos fecerant, stultitiæ pœnarum satis dedisse visi sunt.

(XI.) 3. Quum autem Archelaus, ethnarchia suscepta, superioris discordiæ memor non solum Judæos, sed etiam Samarienses crudeliter tractaret, ab utriusque populi legatis accusatus apud Cæsarem, anno regni nono in exsilium pellitur Viennam, quæ Galliæ urbs est, et ejus patrimonium fisco Cæsaris adjudicatur. Verum priusquam a Cæsare acerseretur, hujuscemodi somnium dicitur vidisse. Sibi visus est ob oculos habere novem spicas, plenas et magnas, quas boves depascebant. Quumque conjectores accivisset et Chaldæorum nonnullos, eos interrogabat, quidnam significari putarent. Aliis autem aliter interpretantibus, Simon quidam, genere Essenus, dicebat, spicas quidem sibi videri esse annos, boves vero rerum mutationes indicare, eo quod dum ararent, terram mutarent, adeoque totidem annos regnaturum, quot numero essent spicæ, tandem vero in variis rerum vicissitudinibus vitam esse finiturum. Istis auditis, post quinque dies Archelaus ad causam dicendam accitus est.

4. Dignum etiam est quod memoretur Glaphyræ somnium, quæ filia erat Archelai Cappadocum regis, primumque uxor Alexandri (qui frater quidem erat Archelai, de quo loquimur, filius vero regis Herodis, a quo interfectus est, ut jam ante memoravimus) et ejus post decessum nupta Jubæ regi Libyæ; quo defuncto, quum ipsam reversam et apud patrem in viduitate degentem conspexisset Archelaus ethnarcha, adeo amore accensus est, ut statim, repudiata conjuge sua Mariamne, eam duceret. Hæc igitur, quum in Judæam rediisset, brevi post tempore quam eo veniret, cernere visa est Alexandrum adstantem sibi dicere : « satis « fuisset tibi Libycum matrimonium; sed tu illo non contenta « rursum ad meos penates reverteris, tertio marito, ipsoque « fratre meo, o audacissima, tibi adscito. Verum non insu- « per habebo contumeliam, sed te, licet invitam, ad me « recipiam. » Postquam hoc somnium narraverat, vix ultra biduum vixit.

CAP. VIII. (XII.)

Archelai autem regione in provinciam redacta, procurator

ἐπίτροπός τις ἱππικῆς παρὰ Ῥωμαίοις τάξεως Κωπώνιος πέμπεται, μέχρι τοῦ κτείνειν λαβὼν παρὰ τοῦ Καίσαρος ἐξουσίαν. Ἐπὶ τούτου τις ἀνὴρ Γαλιλαῖος Ἰούδας ὄνομα εἰς ἀπόστασιν ἐνῆγε τοὺς ἐπιχωρίους, κακίζων, εἰ φόρον τε Ῥωμαίοις τελεῖν ὑπομένουσι, καὶ μετὰ τὸν Θεὸν οἵσουσι θνητοὺς δεσπότας. Ἦν δὲ οὗτος σοφιστὴς ἰδίας αἱρέσεως, οὐδὲν τοῖς ἄλλοις προσεοικώς.

β'. Τρία γὰρ παρὰ Ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ μὲν αἱρετισταὶ Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, τρίτον δὲ ὃ δὴ καὶ δοκεῖ σεμνότητα ἀσκεῖν, Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι μὲν γένος ὄντες, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. Οὗτοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποπίπτειν ἀρετὴν ὑπολαμβάνουσι. Καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες, ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐντυποῦσι, τὸν μὲν γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλασσόμενοι, καὶ μηδεμίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν.

γ'. Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνικὸν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ πάρ' αὐτοῖς ὑπερέχοντα. Νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν· ὥστε ἐν ἅπασι μήτε πενίας ταπεινότητα φαίνεσθαι, μηδ' ὑπεροχὴν πλούτου, τῶν δὲ ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. Κηλῖδα δὲ ὑπολαμβάνουσι τὸ ἔλαιον, κἂν ἀλειφθῇ τις ἄκων, σμήχεται τὸ σῶμα· τὸ γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διὰ παντός. Χειροτονητοὶ δὲ οἱ τῶν κοινῶν ἐπιμεληταὶ, καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι.

δ'. Μία δὲ οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ κατοικοῦσι πολλοί· καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους· διὸ καὶ ποιοῦνται τὰς ἀποδημίας, οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς λῃστὰς ἔνοπλοι. Κηδεμὼν δὲ ἐν ἑκάστῃ πόλει τοῦ τάγματος ἐξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια. Κατάστολὴ δὲ καὶ σχῆμα σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. Οὔτε δὲ ἐσθῆτας οὔτε ὑποδήματα ἀμείβουσι πρὶν ἢ διαρρανῆναι τὸ πρότερον παντάπασιν, ἢ δαπανηθῆναι τῷ χρόνῳ. Οὐδὲν δὲ ἐν ἀλλήλοις οὔτε ἀγοράζουσιν οὔτε πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι δίδοὺς ἕκαστος τὰ παρ' αὐτοῦ τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται· καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς περὶ ὧν ἂν ἐθελήσωσι.

ε'. Πρός γε μὴν τὸ θεῖον ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον, οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς, ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. Μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν διαφίενται, καὶ μέχρι πέμπτης

quidam, ordinis apud Romanos equestris, Coponius, mittitur, summa a Cæsare potestate accepta. Eo provinciam administrante, vir quidam Galilæus, cui nomen erat Judas, ad defectionem indigenas excitabat, ignavos dicens, si Romanis tributum pendere sustinerent, et post Deum mortales dominos agnoscerent. Erat autem hic propriæ sectæ sophista, nulla in re aliis similis.

2. Nam tria hominum genera apud Judæos philosophantur, et unius quidem asseclæ sunt Pharisæi, alterius vero Sadducæi, tertium vero, quod sane vitam severiorem exercere videtur, Esseni appellantur, gente quidem Judæi, at mutuo sese amore magis quam alii complectentes. Isti a voluptatibus tanquam a scelere abhorrent, continentiam vero et cupiditatibus non succumbere pro virtute ducunt. Et ipsis quidem despectui habentur nuptiæ, alienos vero liberos, dum ad disciplinas molles adhuc sunt, suscipientes, pro cognatis suis reputant, suisque moribus informant, non tamen matrimonium et ex eo successionem tollentes, sed sibimet a procaci mulierum petulantia cavente, nullamque uni viro fidem servare persuasum habentes.

3. Etiam divitias contemnunt, et admiranda plane inter eos obtinet bonorum communio, neque quisquam apud eos inveniri potest qui plura aliis possideat. Lege sancitur enim ut qui isti sectæ nomen suum dare velint, facultates suas sodalitio communes faciant: adeo ut inter omnes neque egestatis humilitas, nec opum vis immodica appareat, sed permixtis singulorum facultatibus, unum omnium sit tanquam fratrum patrimonium. Labis autem instar oleum habent, et si quis vel invitus unctus fuerit, corpus abstergit. Nam squalere honori ducunt, et veste candida semper indui. Designatos autem communium rerum procuratores habent, et ad usus omnium singulos indiscretos.

4. Illis non est una civitas certa, sed domicilia habent multi in singulis: ac suæ sectæ hominibus aliunde advenientibus quicquid habent æque patet ac si proprium esset, et ad eos quos nunquam viderant, quasi maxime familiares ingrediuntur. Quare cum peregre proficiscuntur, nihil omnino in victum tollunt, contra latrones tamen arma gestant. In singulis vero civitatibus unus hospitum curator constituitur, qui vestes aliaque necessaria suppeditet. Amictus autem cultusque corporis qualis puerorum in metu et sub cura magistri agentium esse solet. Imo nec vestem nec calceos mutant, donec priora vel discissa omnino fuerint vel vetustate detrita. Nihil inter se emunt, nec vendunt quicquam; sed egenti unusquisque e suis largiens, vicissim ab eo, quod sibi usui sit, accipit: et si nihil mutuo rependant, eos tamen a quibuscunque velint, accipere nihil vetat.

5. Ceterum erga Deum pietate sunt singulari: nihil enim profani ante solis ortum loquuntur, sed patria quædam vota ei nuncupant, quasi ut illucescat obsecrantes. Tum ad eam quam quisque novit artem a curatoribus dimittuntur, in qua perpetuo et continenti ad quintam horam labore ver-

ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον, ζωσάμενοί τε σκεπάσμασι λινοῖς οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν· αὐτοί τε καθαροὶ καθάπερ εἰς ἁγιόν τι τέμενος παραγίνονται τὸ δειπνητήριον. Καὶ καθισάντων μεθ' ἡσυχίας, ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησι. Προκατεύχεται δὲ ὁ ἱερεὺς τῆς τροφῆς, καὶ γεύσασθαί τινα πρὶν τῆς εὐχῆς ἀθέμιτον. Ἀριστοποιησάμενος δὲ ἐπεύχεται πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν Θεὸν, ὡς χορηγὸν τῆς τροφῆς. Ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται. Δειπνοῦσι δὲ ὑποστρέψαντες ὁμοίως συγκαθεζομένων τῶν ξένων, οἳ τύχοιεν αὐτοῖς παρόντες. Οὐδὲ κραυγή ποτε τὸν οἶκον οὐδὲ θόρυβος μολύνει, τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις, καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. Τούτου δὲ αἴτιον ἡ διηνεκὴς νῆψις καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

ς'. Τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελητῶν προσταξάντων ἐνεργοῦσι· δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος. Βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ καθ' ἑαυτοὺς ἐφίεται καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν, τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. Ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί. Καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου, τὸ δὲ ὀμνύειν περίστανται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ κατεγνῶσθαί φασι τὸ ἀπιστούμενον, δίχα Θεοῦ. Σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. Ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τε ἀλεξητήριοι καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

ζ'. Τῷ δὲ ζηλοῦντι τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει, παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. Μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται, καὶ φανεὶς ἄξιος οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. Πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὁμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν, καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτε ἐξ ἐπιτάγματος, μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι τοῖς δικαίοις, τὸ πιστὸν ἀεὶ παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα Θεοῦ περιγίνεσθαί τινι τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ, μηδέ ποτ'

sati, eundem simul in locum denuo conveniunt, ac lineis præcincti velaminibus, ita corpus frigida abluunt : moxque ab ea lustratione proprium in domicilium, quo alterius sectæ nemini pedem inferre licet, una omnes confluunt; ipsique ab omni labe puri, non aliter ad cœnaculum, quam ad delubrum quoddam sanctius, accedunt. Atque ubi placide ac quiete consederint, pistor quidem panes suo cuique ordine apponit, coquus vero singulis unum pulmenti ejusdem vasculum apponit. Sacerdos autem antequam cibum capiunt preces adhibet, nec ulli ante precationem quicquam gustare fas est. Finito prandio iterum precatur; et quum incipiunt et desinunt, Deum venerantur, ut qui omnia ad victum largiatur. Tunc vestibus quasi sacris depositis, *rursum* ad opera *sua* redeunt usque ad vespertinum crepusculum : atque inde reversi cœnam eodem ritu sumunt, considentibus simul hospitibus, si qui forte advenerint. Neque vero clamor unquam aut tumultus domum contaminat, sed loquendi vices ordine alii aliis concedunt : illisque *qui foris sunt horrendi instar mysterii videtur* silentium eorum qui intus sunt. Hujus autem rei causa est perpetua sobrietas, et cibi et potionis ad satietatem dimensio.

6. Et ceterorum quidem nihil est quod sine curatorum mandato faciunt : duo vero ista in ipsorum potestate sunt, alios juvare, eorumque *misereri*. *Nam dignis, quandocunque* aliquid ab iis peterent, suo arbitrio cuique licet, ut et egentibus alimenta porrigere : sed cognatis aliquid donare nisi jussu curatorum non permissum est. Iræ dispensatores justi sunt, iracundiæ coercitores, fidei antistites, pacis administri. Et quicquid ab ipsis quidem dictum est, firmius est jurejurando : jurare autem vitant ita ut *perjurio pejus æstiment. Jamjam enim eum damnatum dicunt*, cui absque deo nequaquam creditur. Mirabile autem studium collocant in veterum scriptis, ex quibus ea maxime deligunt, quæ animæ corporique conducant. Hinc diligenter investigant et radices remediis afferendis idoneas et lapidum proprietates quibus medicinam morbis faciant.

7. Porro ei qui hujus sectæ studio tenetur, non continuo *patet ingressus*, sed *foris annum integrum manenti genus* idem vitæ præscribunt, et dolabellam et cingulum prædictum et vestem candidam tradunt. Postquam vero hoc temporis intervallo continentiæ suæ documenta dederit, propius quidem ad instituti communionem accedit, ac purioribus aquis una cum ceteris lustrari incipit : necdum tamen ad convictum admittitur. Nam per duos ulterius annos, postquam tolerantiam suam palam fecerit, mores ejus explorant; et si dignus apparuerit, tum demum in consortium admittitur. Priusquam vero communem cibum attingat, horrendis semet illis juramentis adstringit, primum quidem, pie se culturum Deum; deinde et jus servaturum cum hominibus; et neque se læsurum quenquam sive sponte sive ex *imperato; injuriosos vero omnes odio perpetuo* habiturum et justis adjutorem fore. Fidem se semper omnibus servaturum, maximeque iis qui imperant, quod nemini sine Deo obveniat imperandi potestas. Quodsi ipse imperium

ἐξυβρίσειν εἰς τὴν ἐξουσίαν· μηδὲ ἐσθῆτι ἢ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι. Τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ καὶ τοὺς ψευδομένους ἐλέγχειν προβάλλεσθαι· χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν. Καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς μήτε ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς τούτοις ὀμνύουσι μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβεν· ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν βιβλία καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. Τοιούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξασφαλίζονται.

η'. Τοὺς δὲ ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλλουσι τοῦ τάγματος· ὁ δὲ ἐκκριθεὶς οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται. Τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος, οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν, ποηφαγῶν δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος διαφθείρεται. Διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον, ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι.

θ'. Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες. Τὸ δὲ ὁρισθὲν ὑπ' αὐτῶν ἀκίνητον. Σέβας δὲ μέγιστον παρ' αὐτοῖς μετὰ τὸν Θεὸν τὸ ὄνομα τοῦ νομοθέτου· κἂν βλασφημήσῃ τις εἰς τοῦτον, κολάζεται θανάτῳ. Τοῖς δὲ πρεσβυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν ἐν καλῷ τίθενται· δέκα γοῦν συγκαθεζομένων, οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέα. Καὶ τὸ πτύσαι δὲ εἰς μέσους ἢ τὸ δεξιὸν μέρος φυλάσσονται, καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι, διαφορώτατα Ἰουδαίων ἁπάντων. Οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς πρὸ ἡμέρας μιᾶς παρασκευάζουσιν, ὡς μηδὲ πῦρ ἐναύσειν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλ' οὐδὲ σκεῦός τι μετακινῆσαι θαρροῦσιν οὐδὲ ἀποπατεῖν. Ταῖς δὲ ἄλλαις ἡμέραις βόθρον ὀρύσσοντες βάθος ποδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ διδόμενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις) καὶ περικαλύψαντες ἱμάτιον, ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν τοῦ Θεοῦ, θακεύουσιν εἰς αὐτὸν, ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι. Καίπερ δὲ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν, καθάπερ μεμιαμμένοις, ἔθιμον.

ι'. Διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς μοίρας τέσσαρας, καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέρων ἐλαττοῦνται, ὥστε, εἰ ψαύσειαν αὐτῶν, ἐκείνους ἀπολούεσθαι, καθάπερ ἀλλοφύλῳ συμφυρέντας. Καὶ μακρόβιοι μὲν, ὡς τοὺς πολλοὺς ὑπὲρ ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης, ἔμοιγε δοκεῖν, καὶ τὴν εὐταξίαν. Καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶντες τοῖς φρονήμασι, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσίοι, νομίζοντες ἀθανασίας ἀμείνω. Διήλεγξε δ' αὐτῶν ἐν

fuerit adeptus, non superbe et petulanter uti potestate, neque vestitu aut ornatu ceteros subditos exsuperare. Veritatem semper amare, propositumque habere mentientes redarguere. Manus a furto et animum ab iniquo quæstu purum custoditurum. Nihil se celaturum sodales, neque aliis aliquid indicaturum, nec si ad mortem cogatur. Præterea jurant quisque nemini quidem se aliter dogmata proditurum quam ipse acceperit: se vero abstenturum latrociniis, parique reverentia servaturum sectæ suæ libros et angelorum nomina. Hujuscemodi quidem juramentis ad cœtum suum venientes sibimet devinciunt.

8. Deprehensos vero in peccatis gravioribus ex ordine suo ejiciunt, isque cui contigit e cœtu ejici, non raro mortem obit miserrimam. Nam juramentis et ritibus obligatus ne aliorum quidem escis uti potest, sed dum herbas comedit, corpus fame tabescit, atque ita interit. Quam ob rem etiam ipsi plurimos miserati, extremum jam agentes spiritum receperunt, pro peccatis satis pœnarum, quod ad mortem usque fuerint cruciati, dedisse existimantes.

9. Judicia autem accuratissime exercent et juste: et judicant quidem centeni ad minimum congregati. Quod vero ab iis decretum fuerit, fixum manet et immobile. Venerationem post Deum maximam apud eos habet legislatoris nomen: et morte mulctatur quicunque ei maledixerit. Ætate grandioribus numeroque pluribus obtemperare pulchrum esse ducunt, adeo ut quum decem consederint, non loquatur aliquis, si id novem invitis fuerit. Cavent etiam in medium eorum vel in dextram sui partem exspuere, et sabbatis manum operi admovere fugiunt maxime omnium Judæorum. Nam non solum pridie ejus diei cibum sibi præparant, ut illo die ignem non accendant, sed neque vas ullum loco movere audent, nec alvum exonerare. Aliis autem diebus scrobem ad unius pedis altitudinem sarculo excavantes (datur enim ejusmodi securicula iis qui recens admissi sunt) et circumtegentes amiculo, ne Dei radiis injuriam facerent, in eam excernunt, deinde effossam terram in scrobem retrahunt, idque faciunt loca secretiora deligentes. Et quamvis a natura sit ista sordium corporis excretio, illis tamen solenne est ut post eam abluantur, haud secus ac si polluti fuissent.

10. Distincti autem sunt juxta tempus, quo sese exercuerunt, in quattuor classes: atque juniores adeo senioribus inferiores habentur, ut, si aliquos eorum forte contigerint, illi, ac si alienigenæ sese commiscuissent, semet abluant. Et longævi quidem, ita ut multi ultra centesimum annum extendant ætatem, propter victus simplicitatem, ut mihi videtur, et adhibitam in omnibus moderationem. Rerum vero adversarum contemptores et dolores vincunt animi magnitudine, mortemque, si cum gloria accedat, etiam immortalitati præferendam ducunt. Imo, quali in omnibus animo

ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος· ἐν ᾧ στρεβλούμενοι καὶ λυγιζόμενοι, καιόμενοί τε καὶ κλώμενοι, καὶ διὰ πάντων ὀδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἵνα ἢ βλασφημήσωσι τὸν νομοθέτην, ἢ φάγωσί τι τῶν ἀσυνήθων, οὐδέτερόν τι ὑπέμειναν παθεῖν, ἀλλ' οὐδὲ κολακεῦσαί ποτε τοὺς αἰκιζομένους, ἢ δακρῦσαι· μειδιῶντες δὲ ἐν ταῖς ἀλγηδόσι καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι.

ια'. Καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα, φθαρτὰ μὲν εἶναι τὰ σώματα καὶ τὴν ὕλην οὐ μόνιμον αὐτοῖς, τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μὲν, ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ὥσπερ εἱρκταῖς τοῖς σώμασιν ἴυγγί τινι φυσικῇ καταδεσμωμένας. Ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷον δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. Καὶ ταῖς μὲν ἀγαθαῖς, ὁμοδοξοῦντες παισὶν Ἑλλήνων, ἀποφαίνονται τὴν ὑπὲρ ὠκεανὸν δίαιταν ἀποκεῖσθαι, καὶ χῶρον οὔτε ὄμβροις οὔτε νιφετοῖς οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ ὠκεανοῦ πραῦς ἀεὶ ζέφυρος ἐπιπνέων ἀναψύχει· ταῖς δὲ φαύλαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχὸν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. Δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ' ᾅδου τὸν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσι, Σισύφους καὶ Ταντάλους καὶ Ἰξίονας καὶ Τιτυοὺς, πρῶτον μὲν ἀϊδίους ὑφιστάμενοι τὰς ψυχὰς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν· τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους, ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτὴν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν. Τάδε μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν ἐγκαθιέντες.

ιβ'. Εἰσὶ δὲ ἐν αὐτοῖς οἳ καὶ τὰ μέλλοντα προγινώσκειν ὑπισχνοῦνται, βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι· σπάνιον δὲ εἴ ποτε ἐν ταῖς προαγορεύσεσιν ἀστοχήσουσιν.

ιγ'. Ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, ὃ δίαιταν μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεστὸς δὲ τῇ κατὰ γάμον δόξῃ. Μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου μέρος, τὴν διαδοχὴν, τοὺς μὴ γαμοῦντας, μᾶλλον δὲ, εἰ πάντες τὸ αὐτὸ φρονήσειαν, ἐκλιπεῖν ἅπαν τὸ γένος τάχιστα. Δοκιμάζοντες μέντοι τριετίᾳ τὰς γαμετὰς, ἐπειδὰν τρὶς καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. Ταῖς δὲ ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐνδεικνύμενοι τὸ μὴ δι' ἡδονὴν, ἀλλὰ τέκνων χρείαν γαμεῖν. Λουτρὰ δὲ ταῖς γυναιξὶν ἀμπεχομέναις ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι. Τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος.

fuerint, egregio documento erat bellum cum Romanis gestum : in quo torti et distracti, flammisque usti et fracti, et ceteris omnibus cruciatuum machinis tentati, ut vel legum suarum auctori maledicerent, vel cibi aliquid inconsueti comederent, alterutrum ut facerent induci non potuerunt, nedum ut tortores suos blandius alloquerentur, aut unam effunderent lacrimulam, sed in mediis tormentorum doloribus subridentes ipsosque carnifices irrisione excipientes animas alacriter dimiserunt, tanquam denuo eas recepturi.

11. Nam et ista apud eos obtinuit opinio, corpora quidem esse interitui obnoxia, nec materiam eorum permanere, animas vero immortales in omne ævum durare, et ex æthere subtilissimo prodeuntes in corporum complexum tanquam in custodiam includi, illecebra naturali istuc attractas. Postquam vero carnis vinculis solutæ fuerint, quasi de longa servitute liberatas, tum vero lætari et in sublime evolare : et pias quidem, convenienter iis quæ Græci sentiunt, vitam ultra oceanum manere dicunt, locumque nec nive nec imbribus nec æstu gravem, sed quem placidus jugiter ab oceano spirans temperet zephyrus; impias vero sub terram in obscurum gelidumque antrum relegant, æternorum cruciatuum plenum. Videntur autem mihi juxta eandem sententiam Græci suis etiam viris fortibus et magnis, quos heroas appellant et semideos, beatorum insulas attribuisse, improborum vero animabus locum apud inferos impiorum proprium, ubi et quosdam tormentis vexari fabulantur, Sisyphos et Tantalos et Ixiones et Tityos, primo quidem immortales esse animas ponentes, deinde ad exhortandum homines ad virtutis studium et dehortandum a vitio : nam et bonos inde in hac vita meliores fieri, spe præmii etiam post mortem; et malorum impetus cohiberi metu, ut qui exspectent, etiamsi lateant dum vivunt, fore ut post obitum æternos subeant cruciatus. Atque ista quidem sunt quæ Esseni de anima divinitus philosophantur, ejusmodi demittentes escam, quæ captos usque teneat qui semel eorum degustarunt sapientiam.

12. Sunt autem inter eos, qui etiam futura prænoscendi spem faciunt, ut qui a pueritia quum sacris libris, tum variis lustrationibus, prophetarumque dictis assidue versati fuerint, raroque admodum suis in prædictionibus a vero aberrant.

13. Est et alius porro Essenorum ordo, qui cum prioribus quidem, quoad rationem vivendi moresque et instituta, consentit, sed in una de nuptiis opinione ab ipsis discrepat. Maximam enim vitæ partem, quæ a successione pendet, eos amputare arbitrantur qui a nuptiis abstineant, multo vero magis desiturum humanum genus quam citissime, si omnes in eandem de istis ire velint sententiam. Verumtamen sponsas per triennium probant. Quum autem ter purificatæ fuerint, ad explorandum possintne parere, tum eas uxores ducunt. At cum gravidis non coeunt, ostendentes quod nuptias non voluptatis ergo, sed liberorum causa fecerint. Feminæ autem lavantur indusiis circumamictæ, quemadmodum viri quum subligacula induerint. Hujus quidem mores sunt hujusmodi.

ιδ'. Δύο δὲ τῶν προτέρων Φαρισαῖοι μὲν, οἱ δοκοῦντες μετὰ ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἐπάγοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ Θεῷ προσάπτουσι πάντα, καὶ τὸ μὲν πράττειν τὰ δίκαια καὶ μὴ, κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι, βοηθεῖν δὲ εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην· ψυχὴν δὲ πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν δὲ εἰς ἕτερον σῶμα τὴν τῶν ἀγαθῶν μόνην, τὴν δὲ τῶν φαύλων ἀϊδίῳ τιμωρίᾳ κολάζεσθαι. Σαδδουκαῖοι δὲ, τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι, καὶ τὸν Θεὸν ἔξω τοῦ δρᾶν τι κακὸν ἢ μὴ δρᾶν τίθενται· φασὶ δὲ ἐπ' ἀνθρώπων ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τούτων ἑκατέρῳ προσιέναι. Ψυχῆς τε τὴν διαμονὴν καὶ τὰς καθ' ᾅδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. Καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν ἀσκοῦντες, Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον, αἵ τε ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς ὡς πρὸς ἀλλοτρίους. Τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν.

14. Ex duobus vero ordinibus prioribus, Pharisæi quidem, qui in accuratioribus legum interpretibus habentur, et primæ sectæ auctores erant, fato et Deo omnia attribuunt, et honeste agere aut non agere magna ex parte in hominibus situm esse aiunt, cooperari autem in singulis fatum : animam autem omnem quidem esse immortalem, solas vero bonorum animas in alia transire corpora, at malorum æterno supplicio puniri. Sadducæi autem, qui alter est ordo, fatum omnino tollunt, Deumque negant auctorem esse ut quis vel male agat vel a malo abstineat, et in electione hominis positum aiunt tum bonum, tum etiam malum, et unumquemque pro arbitrio suo ad utrumlibet accedere. Quin et animas permanere, suppliciaque et præmia apud inferos negant. Et Pharisæi quidem sui invicem amantes sunt, et in communem utilitatem concordiam colunt : Sadducæorum vero mores et erga se mutuo magis feri, et cum sui similibus versantur quemadmodum cum alienis. Ejuscemodi sunt quæ de iis qui apud Judæos philosophantur dicenda habui.

ΚΕΦ. Θ'.

Τῆς Ἀρχελάου δὲ ἐθναρχίας μεταπεσούσης εἰς ἐπαρχίαν οἱ λοιποὶ, Φίλιππός τε καὶ Ἡρώδης ὁ κληθεὶς Ἀντίπας, διῴκουν τὰς ἑαυτῶν τετραρχίας. Σαλώμη γὰρ τελευτῶσα Ἰουλίᾳ τῇ τοῦ Σεβαστοῦ γυναικὶ τήν τε αὐτῆς τοπαρχίαν καὶ Ἰάμνειαν καὶ τοὺς ἐν Φασαηλίδι φοινικῶνας κατέλιπεν. Μεταβάσης δὲ εἰς Τιβέριον τὸν Ἰουλίας υἱὸν τῆς Ῥωμαίων ἡγεμονίας μετὰ τὴν Αὐγούστου τελευτὴν, ἀφηγησαμένου τῶν πραγμάτων ἔτεσιν ἑπτὰ καὶ πεντήκοντα, πρὸς δὲ μησὶν ἓξ καὶ ἡμέραις δυοῖν, διαμείναντες ἐν ταῖς τετραρχίαις ὅ τε Ἡρώδης καὶ Φίλιππος, ὁ μὲν πρὸς ταῖς Ἰορδάνου πηγαῖς ἐν Πανεάδι πόλιν κτίζει Καισάρειαν, κἀν τῇ κάτω Γαυλανιτικῇ Ἰουλιάδα, Ἡρώδης δὲ ἐν μὲν τῇ Γαλιλαίᾳ Τιβεριάδα, ἐν δὲ τῇ Περαίᾳ φερώνυμον Ἰουλίας.

XIV.) 2. Pilatus autem a Tiberio procurator in Judæam missus velatas Cæsaris imagines (signa appellantur) noctu infert Hierosolymis. Hæc res, simulatque dies illuxit, maximum tumultum excitavit Judæorum. Nam qui in proximo erant novo spectaculo attoniti obstupuere, quasi patriæ leges violatæ et conculcatæ essent : nefas quippe illis est simulacrum ullum in urbe statuere. Dumque illi indignarentur qui in urbe erant, ingens homiuum multitudo e regione confluxit; subitoque Cæsaream ad Pilatum profecti, supplicabant ut imagines ex urbe Hierosolymorum auferendas curaret, ipsisque jura patria conservaret. Quumque Pilatus petitioni illorum non concederet, humi prostrati quinque diebus totidemque noctibus immobiles permanserunt.

(ΙΔ'.) β'. Πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλάτος, νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας, αἳ σημαῖαι καλοῦνται. Τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρεν Ἰουδαίων. Οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν, ὡς πεπατημένων αὐτοῖς τῶν νόμων (οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι), καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν ἄθρους ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. Ὁρμήσαντες δὲ πρὸς τὸν Πιλάτον εἰς Καισάρειαν ἱκέτευον ἐξενεγκεῖν Ἱεροσολύμων τὰς σημαίας καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν ἱκεσίαν, πρηνεῖς καταπεσόντες, ἐπὶ πέντε ἡμέρας καὶ νύκτας ἴσας ἀκίνητοι διεκαρτέρουν.

3. Postridie autem Pilatus, quum in suggesto in magno stadio consedisset, populumque ad se advocasset, ut qui eis respondere vellet, signum dat militibus ut ex constituto Judæos armati circumvenirent. Quumque eos circumdaret

γ'. Τῇ δὲ ἑξῆς ὁ Πιλάτος καθίσας ἐπὶ βήματος ἐν τῷ μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος, ὡς ἀποκρίνεσθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον, ἐκ συντάγματος κυκλώσασθαι τοὺς

Ἰουδαίους τοῖς ὅπλοις. Περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰουδαῖοι μὲν ἀχανεῖς ἦσαν πρὸς τὸ ἀδόκητον τῆς ὄψεως, Πιλάτος δὲ κατακόψειν εἰπὼν αὐτοὺς, εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἐνευεν. Οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες καὶ τοὺς αὐχένας παρακλίναντες ἑτοίμους εἰς ἀναίρεσιν σφᾶς ἐδόων μᾶλλον ἢ τὸν νόμον παραβῆναι. Ὑπερθαυμάσας δ' ὁ Πιλάτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει.

δ'. Μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει τὸν ἱερὸν θησαυρόν (καλεῖται δὲ Κορβανᾶς) εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. Κατῆγε δὲ ἀπὸ τετρακοσίων σταδίων. Πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα περιστάντες τὸ βῆμα κατεβόων. Ὁ δέ (προῄδει γὰρ αὐτῶν τὴν ταραχήν) τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους ἐσθήσεσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας, καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος, τυπτόμενοι δ' οἱ Ἰουδαῖοι πολλοὶ μὲν ὑπὸ τῶν πληγῶν, πολλοὶ δ' ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ καταπατηθέντες ἀπώλοντο. Πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησε.

(IE'.) ε'. Κἀν τούτῳ κατήγορος Ἡρώδου τοῦ τετραρχοῦντος Ἀγρίππας υἱὸς Ἀριστοβούλου, ὃν ὁ πατὴρ Ἡρώδης ἀπέκτεινε, παραγίνεται πρὸς Τιβέριον. Τοῦ δὲ μὴ προσδεξαμένου τὴν κατηγορίαν, μένων ἐπὶ Ῥώμης τούς τε ἄλλους τῶν γνωρίμων ἐθεράπευε, καὶ μάλιστα τὸν Γερμανικοῦ παῖδα Γάϊον, ἰδιώτην ἔτι ὄντα. Καὶ δή ποτε ἑστιῶν αὐτὸν τά τε ἄλλα ποικίλως ἐφιλοφρονεῖτο καὶ τελευταῖον τὰς χεῖρας ἀνατείνας φανερῶς ηὔξατο θᾶττον αὐτὸν θεάσασθαι τῶν ὅλων δεσπότην, ἀποθανόντος Τιβερίου. Τοῦτό τις τῶν οἰκετῶν αὐτοῦ διαγγέλλει Τιβερίῳ, καὶ ὃς ἀγαναχτήσας εἴργνυσι τὸν Ἀγρίππαν καὶ μετ' αἰκίας εἶχεν ἐπὶ μῆνας ἓξ ἐν δεσμωτηρίῳ, μέχρις αὐτὸς ἐτελεύτησεν ἡγεμονεύσας ἔτη δύο πρὸς τοῖς εἴκοσι καὶ τρεῖς ἡμέρας ἐπὶ μησὶν ἕξ.

(IC'.) ς'. Ἀποδειχθεὶς δὲ Γάϊος Καῖσαρ ἀνίησί τε τῶν δεσμῶν τὸν Ἀγρίππαν καὶ τῆς Φιλίππου τετραρχίας (ἐτεθνήκει γὰρ οὗτος) καθίστησι βασιλέα. Παραγενόμενος δὲ εἰς τὴν ἀρχὴν Ἀγρίππας φθόνῳ τὰς Ἡρώδου τοῦ τετράρχου διήγειρεν ἐπιθυμίας. Ἐνῆγε δὲ μάλιστα τοῦτον εἰς ἐλπίδα βασιλείας Ἡρωδιὰς ἡ γυνὴ, κατονειδίζουσα τὴν ἀργίαν, καὶ φαμένη παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ Καίσαρα στερίσκεσθαι μείζονος ἀρχῆς· ὅπου γὰρ Ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἤ πού γε ἂν ἐκεῖνον διαναστήσειεν ἐκ τετράρχου. Τούτοις ἀναπεισθεὶς Ἡρώδης ἦκε πρὸς Γάϊον, ὑφ' οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς Ἱσπανίαν. Ἠκολούθησε γὰρ αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκε Γάϊος. Καὶ Ἡρώδης μὲν ἐν Ἱσπανίᾳ, συμφυγούσης αὐτῷ καὶ τῆς γυναικὸς, τελευτᾷ.

phalanx triplice ordine, Judæi quidem animis consternati erant ad spectaculum quod præter opinionem acciderat; Pilatus vero, illos se trucidatum ire minatus, nisi Cæsaris imaginibus locum darent, significabat militibus ut gladios educerent. Judæi autem quasi uno consilio omnes conciderunt, et reclinatis cervicibus vociferabantur, se longe mori malle quam contra legem aliquid facere. Tunc Pilatus, quum valde admiratus esset vehemens populi erga religionem studium, e vestigio quidem signa Hierosolymis exportari jubet.

4. At post hæc alium tumultum excitavit sacrum thesaurum (isque Corbanas appellabatur) in constructionem aquæductus impendens. Per quadringenta autem stadia eum deducebat. Hoc ipsum ægre admodum ferebat plebs, quumque Pilatus præsens adesset Hierosolymis, circumfusi suggesto adversus eum inclamabant. Ille vero (præviderat enim tumultum horum futurum) quum armatos milites plebeio habitu multitudini immiscuisset, eisque præcepisset ut vociferantes non gladiis, sed fustibus ferirent, signum illis e suggesto dedit. Qua re fiebat ut Judæorum multi verberati, partim ab ictibus, partim a se ipsis dum fugerent obtriti, perierint. Ita plebs peremptorum calamitate deterrita a clamoribus abstinuit.

(XV.) 5. Interea Agrippa filius Aristobuli, quem pater Herodes interfecerat, ad Tiberium se confert, ut Herodem tetrarcham accusaret. Quum autem Tiberius accusationem rejecisset, Agrippa, Romæ manens, et alios e viris nobilioribus officiis demereri studebat, maximeque Caium Germanici filium, adhuc privatum. Quumque aliquando eum convivio exciperet, et alias variam comitatem adhibebat, tandemque expansis manibus palam precabatur, ut ocius mortuo Tiberio ipsum conspiceret rerum omnium dominum. Hoc quidam e domesticis ejus Tiberio nunciat, atque ille indignabundus Agrippam in vincula conjicit, et male tractatum sex mensibus in carcere tenebat, donec ipse moreretur, postquam regnarat annos duos et viginti, menses sex et tres dies.

(XVI.) 6. Quum autem Caius declaratus esset Cæsar, et Agrippam vinculis liberavit, et tetrarchiæ Philippi (nam is decesserat) regem constituit. At quum in regnum venisset Agrippa, Herodis tetrarchæ ex invidia cupiditates inflammavit. Maxime autem eum in spem regni adducebat Herodias uxor, exprobrans ei socordiam, dicensque ipsum majori non auctum esse imperio, quod ad Cæsarem navigare noluerit. Nam quum Agrippam ex privato regem fecerit, annon et ipsum ex tetrarcha ad eandem dignitatem promotum iret? Istis persuasus Herodes ad Caium veniebat, a quo ob avaritiam mulctatur exsilio et in Hispaniam relegatur. Eum quippe sequutus est accusator Agrippa, cui etiam tetrarchiam illius adjecit Caius. Et Herodes quidem in Hispania, uxore etiam in fuga eum comitata, diem supremum obit.

ΚΕΦ. Ι'.

Γάϊος δὲ Καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύχην, ὥστε θεὸν μὲν αὑτὸν καὶ δοκεῖν καὶ βούλεσθαι καὶ καλεῖσθαι, τῶν τε εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα, ἐκτεῖναι δὲ τὴν ἀσέβειαν καὶ ἐπὶ Ἰουδαίους. Πετρώνιον γοῦν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἐπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας εἰ μὴ δέξαιντο Ἰουδαῖοι, τούς τε κωλύοντας ἀνελεῖν καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. Θεῷ δὲ ἄρα τῶν προσταγμάτων ἔμελε. Καὶ Πετρώνιος μὲν σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς Συρίας συμμάχοις εἰς τὴν Ἰουδαίαν ἤλαυνεν ἐκ τῆς Ἀντιοχείας, Ἰουδαίων δὲ οἱ μὲν ἠπίστουν ἔτι ταῖς τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. Ταχὺ δὲ ἐχώρει διὰ πάντων τὸ δέος, ἤδη παρούσης εἰς τὴν Πτολεμαΐδα τῆς στρατιᾶς.

β'. Πρόσεστι δ' ἡ πόλις αὕτη τῆς Γαλιλαίας παράλιος κατὰ τὸ μέγα πεδίον ἐκτισμένη· περιέχεται δὲ ὄρεσιν, ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα τῷ τῆς Γαλιλαίας, ἀπὸ δὲ τοῦ μεσημβρινοῦ τῷ Καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι. Τῷ δὲ ὑψηλοτάτῳ, κατ' ἄρκτον, ὃ καλοῦσι Κλίμακα Τυρίων οἱ ἐπιχώριοι, καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. Τοῦ δὲ ἄστεως ἀπὸ δύο σταδίων ὁ καλούμενος Βήλαιος ποταμὸς παραρρεῖ παντάπασιν ὀλίγος, παρ' ᾧ τὸ Μέμνονος μνημεῖόν ἐστιν, ἔχον ἐγγὺς αὐτοῦ τόπον ἑκατονταπήχη θαύματος ἄξιον. Κυκλοτερὴς μὲν γάρ ἐστι καὶ κοῖλος, ἀναδίδωσι δὲ τὴν ὑαλίνην ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσσχόντα, πάλιν ἀναπληροῦται τὸ χωρίον, κατασυρόντων μὲν ὥσπερ ἐπίτηδες τότε τῶν ἀνέμων εἰς αὐτὸ τὴν ἔξωθεν ἀργὴν ψάμμον, τοῦ δὲ μετάλλου πᾶσαν εὐθέως μεταβάλλοντος εἰς ὕαλον, θαυμασιώτερον τοῦτό μοι δοκεῖν, τὸ τὴν ὑπερχυθεῖσαν ὕαλον ἐκ τοῦ τόπου πάλιν γίνεσθαι ψάμμον εἰκαίαν. Τὸ μὲν οὖν χωρίον τοῦτο τοιαύτην εἴληφε φύσιν.

γ'. Ἰουδαῖοι δὲ μετὰ γυναικῶν καὶ τέκνων ἀθροισθέντες εἰς τὸ πεδίον τὸ πρὸς Πτολεμαΐδα καθικέτευον τὸν Πετρώνιον ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ ἑαυτῶν. Ὁ δὲ πρός τε τὸ πλῆθος καὶ τὰς δεήσεις ἐνδοὺς τὴν μὲν στρατιὰν καὶ τοὺς ἀνδριάντας ἐν Πτολεμαΐδι καταλείπει, προελθὼν δὲ εἰς τὴν Γαλιλαίαν καὶ συγκαλέσας τὸ πλῆθος καὶ τοὺς γνωρίμους πάντας εἰς τὴν Τιβεριάδα, τήν τε Ῥωμαίων διεξῆει δύναμιν καὶ τὰς Καίσαρος ἀπειλὰς, ἔτι δὲ καὶ τὴν ἀξίωσιν ἀπέφηνεν ἀγνώμονα. Πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς Καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάσσεσθαι πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεθ' ὕβρεως.

δ'. Τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἔθος προτεινομένων, καὶ ὡς οὐδὲ Θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρὸς, οὐ κατὰ τὸν ναὸν μόνον, ἀλλ' οὐδὲ ἐν εἰκαίῳ τινὶ τόπῳ

CAP. X. (XVII.)

Caius autem Cæsar adeo insolenter abusus est fortuna, ut se quidem deum esse putaret, atque ita appellari vellet, patriamque suam nobilissimorum virorum cæde truncaret, in Judæam vero impietate sua grassaretur. Itaque cum exercitu Petronium misit Hierosolyma, statuas ejus in templo collocaturum, dato ei in mandatis, si eas locari non sinerent, ut qui huic rei adversarentur omnes interficeret, et quotquot reliqui essent ex gente, universos in captivitatem abduceret. Deo autem curæ erant istiusmodi mandata. Et Petronius quidem cum tribus legionibus et multis e Syria auxiliaribus ex Antiochia Judæam ire contendebat; Judæorum vero quidam fidem non habebant famæ bellum nuncianti, qui vero credebant in summa erant consilii inopia de sui defensione. Celeriter autem omnes occupabat metus: nam jam Ptolemaidem pervenerat exercitus.

2. Adjacet hæc urbs Galilææ, ad mare sita, et in magno campo exstructa. Circumdatur autem montibus, ad plagam quidem orientalem monte Galilææ, inde remoto stadia sexaginta; a meridionali vero Carmelo, qui distat stadiis centum et viginti: a septemtrionali autem monte altissimo, quem Scalam Tyriorum vocant indigenæ, atque hic centum stadiis distat. Duorum stadiorum intervallo ab urbe præterlabitur fluvius exiguus omnino, qui Belæus appellatur, ad quem monumentum est Memnonis, sibi vicinum habens locum centum cubitorum admiratione dignum. Est enim rotundus et cavus, et egerit arenam vitriariam, quam postquam exhauserunt multæ naves appellentes, iterum impletur locus, ventis quasi de industria eo aliunde devehentibus infectam arenam, fodinaque statim universam in vitrum mutante: in quo id, ut mihi videtur, est mirabilius, quod quicquid vitri inde effluit, denuo convertatur in vulgarem arenam. Et locus quidem iste ita a natura factus est.

3. Judæi autem, cum uxoribus et liberis in campum juxta Ptolemaidem congregati Petronio supplicabant, inprimis pro patriis legibus, ac deinde pro se ipsis. Ille vero multitudine eorumque precibus nonnihil flexus exercitum quidem et statuas in Ptolemaide relinquit, in Galilæam autem profectus, quum populum convocasset et nobiliores quosque in Tiberiadem, verbis aliquammultis et Romanorum potentiam exponebat et Cæsaris minas, prætereaque ostendebat quam improba esset eorum petitio et absurda. Nam quum gentes omnes ipsorum imperio subjectæ suis in urbibus inter reliquos deos imagines etiam Cæsaris locavissent, ut soli Judæi istud facere recusarent, haud longe a defectione abesse, eaque cum contumelia juncta.

4. Quum autem illi leges moresque patrios pro se allegassent, quodque nec Dei simulacrum ullum, nedum hominis, aut in templo aut adeo in ullo loco regionis profano

τῆς χώρας θέσθαι θεμιτὸν εἶη, ὑπολαβὼν ὁ Πετρώνιος, « ἀλλὰ μὴν κἀμοὶ φυλακτέος ὁ τοὐμοῦ δεσπότου νόμος, « ἔφη· παραβὰς γὰρ αὐτὸν καὶ φεισάμενος ὑμῶν ἀπο- « λοῦμαι δικαίως. Πολεμήσει δὲ ὑμᾶς ὁ πέμψας ἐμέ, « οὐκ ἐγώ· καὶ γὰρ αὐτὸς ὥσπερ ὑμεῖς ἐπιτάσσομαι. » Πρὸς ταῦτα τὸ πλῆθος πᾶν ἐβόα πρὸ τοῦ νόμου πά- σχειν ἑτοίμως ἔχειν. Καταστείλας δὲ ὁ Πετρώνιος αὐτῶν τὴν βοήν, « πολεμήσετε, εἶπεν, ἆρα Καίσαρι; » Καὶ Ἰουδαῖοι περὶ μὲν Καίσαρος καὶ τοῦ δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν ἔφασαν· εἰ δὲ βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν τὸ Ἰουδαίων ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς ἑτοίμους εἰς σφαγὴν ἅμα τέκνοις καὶ γυναιξίν. Ἐπὶ τούτοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον τῆς τε ἀνυπερβλήτου θρησκείας τῶν ἀνδρῶν καὶ τοῦ πρὸς θά- νατον ἑτοίμου παραστήματος. Καὶ τότε μὲν ἄπρακτοι διελύθησαν.

ε'. Ταῖς δ' ἑξῆς ἀθροίσας τε τοὺς δυνατοὺς κατ' ἰδίαν καὶ τὸ πλῆθος ἐν κοινῷ συλλέγων ποτὲ μὲν παρεκάλει, ποτὲ δὲ συνεβούλευε, τὸ μέντοι πλέον διηπείλει, τήν τε Ῥωμαίων ἐπανατεινόμενος ἰσχὺν καὶ τοὺς Γαΐου θυμοὺς τήν τε ἰδίαν πρὸς τούτοις ἀνάγκην. Πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδιδόντων, ὡς ἑώρα καὶ τὴν χώραν κινδυνεύουσαν ἄσπορον μεῖναι (κατὰ γὰρ ὥραν σπό- ρου πεντήκοντα ἡμέρας ἀργὰ προσδιέτριβεν αὐτῶν τὰ πλήθη), τελευταῖον ἀθροίσας αὐτοὺς, « καὶ παρακινδυ- « νευτέον ἐμοὶ μᾶλλον, εἰπών, ἢ γὰρ, τοῦ Θεοῦ συν- « εργοῦντος, πείσας Καίσαρα σωθήσομαι μεθ' ὑμῶν ἡδέως, ἢ παροξυνθέντος ὑπὲρ τοσούτων ἑτοίμως ἐπι- « δώσω τὴν ἐμαυτοῦ ψυχήν, » διαφῆκε τὸ πλῆθος, πολλὰ κατευχόμενον αὐτῷ, καὶ παραλαβὼν τὴν στρα- τιὰν ἐκ τῆς Πτολεμαΐδος ὑπέστρεψεν εἰς Ἀντιόχειαν. Ἔνθεν εὐθέως ἐπέστελλε Καίσαρι τήν τε ἐμβολὴν τὴν εἰς Ἰουδαίαν ἑαυτοῦ καὶ τὰς τοῦ ἔθνους ἱκετείας, ὅτι τε, εἰ μὴ βούλοιτο πρὸς τοῖς ἀνδράσι καὶ τὴν χώραν ἀπο- λέσαι, δέοι φυλάττειν τε αὐτοὺς τὸν νόμον καὶ παριέναι τὸ πρόσταγμα. Ταύταις ταῖς ἐπιστολαῖς οὐ σφόδρα μετρίως Γάϊος ἀντέγραψεν, ἀπειλῶν Πετρωνίῳ θάνα- τον, ὅτι τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγένετο. Ἀλλὰ τοὺς μὲν τούτων γραμματοφόρους συν- έβη χειμασθῆναι τρεῖς μῆνας ἐν τῇ θαλάσσῃ, τὸν δὲ Γαΐου θάνατον ἄλλοι καταγγέλλοντες εὐπλόουν. Ἔφθη γοῦν τὰς περὶ τούτου λαβεῖν Πετρώνιος ἐπιστολὰς ἑπτὰ καὶ εἴκοσιν ἡμέρας ἢ τὰς καθ' ἑαυτοῦ.

ΚΕΦ. ΙΑ'.

Γαΐου δὲ ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας ὀκτὼ, καὶ δολοφονηθέντος, ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν Ῥώμῃ στρατευμάτων εἰς τὴν ἀρχὴν Κλαύδιος. Ἡ δὲ σύγ- κλητος, ἐξηγουμένων τῶν ὑπάτων, Σεντίου Σατορνί- νου καὶ Πομπωνίου Σεκούνδου, τρισὶ ταῖς συμμενού- σαις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν, εἰς τὸ Καπετώλιον ἠθροίσθη, καὶ διὰ τὴν ὠμότητα τὴν Γαΐου Κλαυδίῳ πολεμεῖν ἐψηφίζετο· καταστήσεσθαι γὰρ

fas sibi esset locare : hæc illorum verba excipiens Petronius respondit, « sed etiam mihi sane servanda est mei « domini lex : nam si contra eam fecero, et vobis peper- « cero, jure merito peribo. Vos autem oppugnatum ibit « ille qui me misit, non ego : nam et ipse pariter ac vos « ejus potestati subditus sum. » Ad hæc universa multitudo clamabat, « se ad quodcunque patiendum pro lege paratos esse. Quum autem clamorem illorum sedasset Petronius aiebat, « num adversus Cæsarem pugnare parati estis? » Cui Judæi dicebant se pro Cæsare quidem et populo Romano bis quotidie victimas immolare : at si pro arbitrio velit statuas collocare, debere eum totam Judæorum gen- tem prius immolare : se quippe cum liberis et uxoribus libenter præbere jugulantibus cervices. Ad hæc Petronium subiit admiratio simulque miseratio eorum, qui tam insu- perabili essent religione, et ad mortem oppetendam fiden- ter adeo parati. Et tunc quidem rebus infectis dimissi sunt.

5. Sequentibus autem diebus quum primores privatim congregasset, populumque publice colligeret, nunc quidem obsecrabat, interdum vero monebat, et præter cetera, mi- nis utebatur, et Romanorum vires amplificans, et Caii in- dignationem, insuper et suam qua premeretur necessita- tem. Quum autem illi, istis omnibus ab eo tentatis, nihil de sua sententia decederent, ubi videbat regionem eo re- dactum iri ut non sereretur (nam seminandi tempore per dies quinquaginta otiose morabatur Judæorum plebs), ipsis ad extremum convocatis, quum dixisset, sibi magis subeun- dum esse periculum : « aut enim, si Dei auxilio Cæsarem « placavero, libenter vobiscum conservabor; aut illo irri- « tato, pro tanta multitudine animam meam alacriter im- « pendam, » postea populum dimisit, fausta omnia ipsi precantem, assumptoque exercitu ex Ptolemaide reversus est Antiochiam. Illinc mox literas ad Cæsarem mittebat, quibus eum certiorem faceret et de sua in Judæam irrup- tione et de populi supplicatione, quodque, nisi vellet regio- nem una cum hominibus perdere, illis permittendum le- gem suam servare, et ab ipso remittendum aliquid de eo quod imperaverat. Hisce literis non admodum moderate respondit Caius, mortem Petronio minitans, quod in man- datis suis exsequendis tardus exstitisset. Verum contigit ut ii quidem qui Caii responsum perferebant tres menses in alto tempestate jactarentur, alii vero Caii mortem nun- ciantes prospere navigarent. Qua re fiebat ut Petronius ante septem et viginti dies literas de eo quam contra se- ipsum acceperit.

CAP. XI. (XVIII.)

Caio autem ex insidiis occiso, quum regnasset annos tres et octo menses, Claudius ad imperium rapitur ab exercitu qui Romæ erat. At senatus, quum referentibus consulibus, Sentio Saturnino et Pomponio Secundo, custodiam urbis mandasset tribus legionibus quæ cum ipso manserant, fre- quens in Capitolium coactus est, et propter Caii immanita- tem bellum adversus Claudium gerere decernebat, quippe

δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχὴν, ἢ κρινεῖν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας.

β'. Συνέβη δὲ τηνικαῦτα προσεπιδημοῦντα τὸν Ἀγρίππαν τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρήσιμος αὐτῷ γένοιτο. Κἀκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνάμει Καίσαρα πρὸς Κλαύδιον ἄπεισιν. Ὁ δὲ αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον, οὔτε ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι· καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως ἐπικίνδυνον εἶναι· ἔπειτα ὅτι διοικήσοι τὴν ἀρχὴν, ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δὲ ἐφ' ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν ἀποδώσειν· καὶ γὰρ εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.

γ'. Ταῦτα ἀπήγγελλεν Ἀγρίππας. Ἡ δὲ βουλὴ ἀπεκρίνατο καὶ στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκούσιον οὐχ ὑπομενεῖν. Καὶ Κλαύδιος, ὡς ἤκουσε τὰ παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν Ἀγρίππαν ἀπαγγελοῦντα αὐτοῖς ὅτι προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὁμόσαντας οὐχ ὑπομένοι, πολεμήσει δὲ ἄκων πρὸς οὓς ἥκιστα βούλοιτο· δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς πόλεως· οὐ γὰρ ὅσιον διὰ τὴν αὐτῶν κακοβουλίαν ὁμοφύλῳ φόνῳ μιαίνεσθαι τὰ τεμένη πατρίδος. Ὁ μὲν οὖν ἀκούσας ταῦτα τοῖς βουλευταῖς ἀπήγγειλεν.

δ'. Μεταξὺ δὲ τῶν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις σπασάμενος τὸ ξίφος, « ἄνδρες, ἐβόησε, συστρατιῶται, τί παθόντες ἀδελφοκτονεῖν αἱρούμεθα καὶ « κατὰ τῶν μετὰ Κλαυδίου συγγενῶν ὁρμᾶν, ἔχοντες « μὲν αὐτοκράτορα μηδὲν μεμφθῆναι δυνάμενον, τοσαῦτα δὲ δίκαια πρὸς οὓς μετὰ τῶν ὅπλων χωρεῖν « μέλλομεν; » Ταῦτα εἰπὼν διὰ μέσης ὥρμησε τῆς βουλῆς πάντας τοὺς συστρατιώτας ἑφελκόμενος. Οἱ δὲ εὐπατρίδαι παραχρῆμα μὲν πρὸς τὴν ἀπόλειψιν περιδεῶς ἔσχον, αὖθις δὲ ὡς ἀποστροφὴ σωτήριος οὐ κατεφαίνετο, τὴν τῶν στρατιωτῶν ὁδὸν ἠπείγοντο πρὸς Κλαύδιον. Ὑπήντων δ' αὐτοῖς πρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν οἱ σφοδρότερον κολακεύοντες τὴν τύχην· κἂν συνέβη κινδυνεῦσαι τοὺς προάγοντας, πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ τὸ κινδύνευμα τῆς πράξεως ἐδήλωσεν, ὅτι τε εἰ μὴ κατάσχοι τὴν ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυσσηκότων, ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστι περίοπτον, ἐρημίας ἔσοιτο βασιλεύς.

ε'. Ταῦτα ἀκούσας Κλαύδιος ἐπέσχε τὰς ὁρμὰς τῶν στρατιωτικοῦ, προσδέχεταί τε τὴν σύγκλητον εἰς τὸ στρατόπεδον, καὶ φιλοφρονησάμενος ἔξεισι σὺν αὐτοῖς αὐτίκα, θύσων τῷ θεῷ τὰ περὶ τῆς ἡγεμονίας χαριστήρια. Καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδωρεῖτο τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ, προστιθεὶς ἔξωθεν καὶ τὰς ὑπ' Αὐγούστου

quod aut ab optimatibus, uti olim factum est, regi voluerint, aut suffragio eligere qui imperio dignus esset.

2. Tunc autem accidit ut et Agrippam tum Romæ agentem ad consulendum accersiverit senatus, et e castris ad eum miserit Claudius, ut ipsum in iis quæ sibi essent opus adjuvaret. Atque ille, quum videret eum Cæsaris potestatem jam adeptum, ad Claudium se confert. Is vero ipsum illico legatum remittit, ut suam voluntatem exponeret : se primo quidem invitum a militibus raptum fuisse, neque fas esse ut eorum erga se studium desereret, neque suam fortunam in tuto esse judicare : etenim ad imperium vocari periculosum esse. Deinde se res Romanas administraturum esse non tyranni more, sed principis benigni : se enim fore contentum appellationis honore, de singulis autem negotiis omnium rogaturum esse sententiam. Nam etsi non natura factus esset ad modestiam, sibi tamen abunde ad potestatem moderandam documento esse Caii mortem ob oculos positam.

3. Ista nunciabat Agrippa. Respondit autem senatus quod milite suo bonisque consiliis freti nolint voluntariam subire servitutem. Et Claudius, ubi ista a senatu accepit, rursus misit Agrippam eis nunciaturum, se quidem adduci non posse ut eos proderet qui secum conjurarint : invitum autem adversus eos pugnaturum esse, cum quibus pugnam inire minime vellet : proinde extra civitatem eligendum esse locum ubi armis confligendum sit : haud enim fas esse ut ob prava illorum consilia civili cæde patriæ fana fœdarentur. Et ille quidem, istis auditis, senatui ea nunciavit.

4. Postea vero unus e militibus, qui cum senatu erant, quum gladium eduxisset, clamavit, « o viri commilitones, « quid passi sumus, ut nobis in animo sit fratres interi- « mere, et propinquos Claudium sequutos bello tentare, « præsertim quum habeamus Imperatorem nulli culpæ affi- « nem, tantasque cum eis necessitudines contra quos armis « decertaturi sumus? » Hæc ubi dixit, propere per mediam ivit curiam, omnes secum abducens milites. At patricii statim ac deserti erant, valde de se metuebant : ac deinceps videntes sibi haud tutam fore defectionem, pariter ac milites ad Claudium festinarunt. Eis autem strictis gladiis pro muris occurrebant quotquot fortunæ ambitiosius adulabantur : atque contigisset ut discrimen adirent qui agmen ducebant, antequam de militum impetu quidquam rescivisset Cæsar, nisi Agrippa, quum ad ipsum accurrisset, facinoris periculum ei indicasset; quodque ni cohiberet impetum in patricios furentium, perderet eos per quos gloriæ est imperare, fieretque solitudinis rex.

5. Quum ista audisset Claudius, militum furorem reprimebat, et senatum in castra accipit, atque benigne eos allocutus statim cum illis egreditur, deo immolaturus pro imperio gratiarum hostias. Et Agrippam protinus donabat regno paterno universo, præterea adjiciens etiam quas Au-

στου δοθείσας Ἡρώδῃ, Τραχωνῖτιν καὶ Αὐρανῖτιν, χωρὶς δὲ τούτων ἑτέραν βασιλείαν τὴν Λυσανίου καλουμένην. Καὶ τῷ μὲν δήμῳ διατάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν, ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπετώλιον ἀναθεῖναι. Δωρεῖται δὲ αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρώδην (ὁ δὲ αὐτὸς καὶ γαμβρὸς ἦν Βερενίκῃ συνοικῶν) βασιλείᾳ τῇ Χαλκίδι.

(ιθ'.) ς'. Ταχέως δὲ, ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο· τηλικοῦτον δὲ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύμοις τεῖχος, ἡλίκον ἂν τελεσθὲν ἀνήνυτον τὴν ἐν Ῥωμαίοις ἐποίησε πολιορκίαν. Ἀλλ' ἔφθη πρὶν ὑψῶσαι τὸ ἔργον τελευτήσας ἐν Καισαρείᾳ, βεβασιλευκὼς μὲν ἔτη τρία, πρότερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. Καταλείπει δὲ τρεῖς μὲν θυγατέρας, ἐκ Κύπρου γεγεννημένας, Βερενίκην, Μαριάμμην, Δρούσιλλαν, υἱὸν δὲ ἐκ τῆς αὐτῆς Ἀγρίππαν. Οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμπει Κούσπιον Φᾶδον, ἔπειτα Τιβήριον Ἀλέξανδρον, οἳ μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξαν. Μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρώδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερενίκης δύο παῖδας, Βερενικιάνον τε καὶ Ὑρκανὸν, ἐκ δὲ τῆς προτέρας Μαριάμμης Ἀριστόβουλον. Ἐτεθνήκει δὲ αὐτῷ καὶ ἕτερος ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης, καταλιπὼν Ἰωτάπην θυγατέρα. Οὗτοι μὲν οὖν ἦσαν, ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρώδου παῖδες. Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ Μαριάμμης Ἡρώδῃ ἐγεγόνεισαν, οὓς ὁ πατὴρ ἀνεῖλεν. Ἡ δὲ Ἀλεξάνδρου γενεὰ τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσε.

ΚΕΦ. ΙΒ'.

Μετὰ δὲ τὴν Ἡρώδου τελευτὴν, ὃς ἦρξε τῆς Χαλκίδος, καθίστησι Κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου τὸν Ἀγρίππαν υἱὸν Ἀγρίππα· τῆς δὲ ἄλλης ἐπαρχίας διαδέχεται τὴν ἐπιτροπὴν ἀπὸ Ἀλεξάνδρου Κούμανος, ἐφ' οὗ θόρυβοί τε ἦρξαντο καὶ φθορὰ πάλιν Ἰουδαίων ἐγένετο. Συνεληλυθότος γὰρ τοῦ πλήθους ἐπὶ τὴν ἑορτὴν τῶν ἀζύμων εἰς Ἱεροσόλυμα, καὶ τῆς Ῥωμαϊκῆς σπείρας ὑπὲρ τὴν τοῦ ἱεροῦ στοὰν ἐφεστώσης (ἔνοπλοι δὲ ἀεὶ τὰς ἑορτὰς παραφυλάττουσιν, ὡς μή τι νεωτερίζοι τὸ πλῆθος συνηθροισμένον), εἷς τις τῶν στρατιωτῶν ἀνασυράμενος τὴν ἐσθῆτα καὶ κατακύψας ἀσχημόνως προσαπέστρεψε τοῖς Ἰουδαίοις τὴν ἕδραν καὶ τῷ σχήματι φωνὴν ὁμοίαν ἐπεφθέγξατο. Πρὸς τοῦτο πᾶν μὲν τὸ πλῆθος ἠγανάκτησε καὶ κατεβόων τοῦ Κουμάνου κολάζειν τὸν στρατιώτην· οἱ δὲ ἧττον νήφοντες τῶν νέων καὶ τὸ φύσει στασιῶδες ἐκ τοῦ ἔθνους ἐχώρουν ἐπὶ μάχην, λίθους τε ἁρπάσαντες εἰς τοὺς στρατιώτας ἔβαλλον. Καὶ Κούμανος, δείσας μὴ τοῦ λαοῦ παντὸς ἐπ' αὐτὸν ὁρμὴ γένοιτο, πλείους ὁπλίτας μεταπέμπε-

gustus Herodi dederat, Trachonitidem et Auranitidem, et præter has aliud regnum quod Lysaniæ vocabatur. Et populo quidem donum edicto significabat, senatui vero præcepit ut donationem æreis tabulis incisam in Capitolio collocarent. Quin et fratri ejus Herodi, qui et gener erat Berenicæ matrimonio junctus, dono dat Chalcidis regnum.

6. Brevi autem, utpote ex tanto regno, divitiis affluebat Agrippa, atque pecunia ille non ad res exiguas abutebatur, sed ejusmodi mœnia cœpit Hierosolymis circumdare ut, si absoluta fuissent, expugnari a Romanis nunquam potuissent. Verum antequam opus ad altitudinem perductum esset, Cæsareæ decessit, quum annos quidem tres regnasset, prius vero tetrarchiis præfuisset tribus aliis annis. Filias quidem tres reliquit e Cypro natas, Berenicen, Mariamnen, Drusillam, ex eadem vero filium, Agrippam. Qui quum omnino teneræ esset ætatis, Claudius iterum regna in provinciam redegit, et procuratorem misit Cuspium Fadum, ac deinde Tiberium Alexandrum: qui nihil de patriis institutis immutantes gentem in pace conservarunt. Post hæc vero etiam Herodes, qui regnabat in Chalcide, decessit, relinquens ex fratris quidem filia Berenice filios duos, Berenicianum et Hyrcanum; ex priore autem uxore Mariamne Aristobulum. Alius quoque frater ejus Aristobulus diem obierat privatus, relicta filia Jotapa. Et hi quidem erant, ut jam ante dixi, Aristobuli, Herodis filii, liberi. Aristobulum autem et Alexandrum ex Mariamne susceperat Herodes, quos pater occidit. Verum posteri Alexandri in Armenia majori regnarunt.

CAP. XII. (XX.)

Post obitum autem Herodis, qui regnavit in Chalcide, Claudius Agrippam, filium Agrippæ, patrui regno præficit: Cumanus autem alterius provinciæ curam suscipit post Alexandrum, sub quo tumultuari cœptum est, novasque calamitates acceperunt Judæi. Nam quum multitudo in Hierosolyma convenisset ad festum Azymorum celebrandum, et super templi porticum stetisset Romanorum cohors (armatos quippe festis diebus in præsidio locare mos erat, ne quid novi vis hominum congregata moliretur), certus quidam e militibus, reductis vestimentis et corpore deorsum turpiter inclinato, podicem Judæis obvertit, et vocem isti figuræ situique convenientem edidit: id quod omnis multitudo ægre tulit, et Cumanum implorabant ut de milite supplicium sumeret. Juvenes autem temerarii et inconsulti, quique e popularibus ingenio erant turbulento, in pugnam cooriuntur, raptisque in manus lapidibus in milites eos jaciebant. Et Cumanus, veritus ne populus universus in eum impetum faceret, plures accersiri jubet armatos.

ται. Τῶν δὲ ταῖς στοαῖς ἐπιχεομένων φόβος ἐμπίπτει τοῖς Ἰουδαίοις ἀκατάσχετος, καὶ τραπέντες ἐκ τοῦ ἱεροῦ διέφυγον εἰς τὴν πόλιν. Τοσαύτη δὲ περὶ τὰς ἐξόδους βία συνωθουμένων ἐγένετο, ὥστε πατηθέντας ὑπ' ἀλλήλων καὶ συντριβέντας ὑπὲρ τοὺς μυρίους ἀποθανεῖν, γενέσθαι δὲ τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει, θρῆνον δὲ καθ' ἑκάστην οἰκίαν.

β'. Μεταλαμβάνει δὲ ταύτην τὴν συμφορὰν λῃστρικὸς ἄλλος θόρυβος. Κατὰ γὰρ τὴν Βαιθωρὼ δημοσίαν ὁδὸν Στεφάνου τινὸς δούλου Καίσαρος ἀποσκευὴν κομιζομένην διήρπασαν λῃσταὶ προσπεσόντες. Κούμανος δὲ περιπέμψας τοὺς ἐκ τῶν πλησίον κωμῶν δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτὸν, ἐπικαλῶν ὅτι μὴ διώξαντες τοὺς λῃστὰς συλλάβοιεν. Ἔνθα στρατιωτῶν τις εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον διέρρηξέ τε τὸ βιβλίον καὶ εἰς πῦρ κατέβαλεν. Ἰουδαῖοι δὲ ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης συνεχύθησαν καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι εἰς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κούμανον συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν Θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιιδεῖν ἀτιμώρητον. Ὁ δὲ, οὐ γὰρ ἠρεμήσειν τὸ πλῆθος, εἰ μὴ τύχοι παραμυθίας, συνιδὼν ἠξίου προσάγειν τε τὸν στρατιώτην καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει· καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν.

(ΚΑ'.) γ'. Αὖθις δὲ Γαλιλαίων καὶ Σαμαρέων γίνεται συμβολή. Κατὰ γὰρ τὴν Γημὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰουδαίων ἐπὶ τὴν ἑορτὴν, ἀναιρεῖταί τις Γαλιλαῖος. Πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλιλαίας συνέδραμον ὡς πολεμήσοντες τοῖς Σαμαρεῦσιν· οἱ γνώριμοι δὲ αὐτῶν ἐλθόντες πρὸς Κούμανον ἠντιβόλουν πρὶν ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. Κούμανος μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων θέμενος ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας.

δ'. Ἀγγελθὲν δὲ τὸ πάθος εἰς Ἱεροσόλυμα τοῦ πεφονευμένου τὰ πλήθη συνετάραξε, καὶ τῆς ἑορτῆς ἀφέμενοι πρὸς τὴν Σαμάρειαν ἐξώρμησαν ἀστρατήγητοι καὶ μηδενὶ τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. Τοῦ λῃστρικοῦ δὲ αὐτῶν καὶ στασιώδους Δειναίου τις υἱὸς Ἐλεάζαρος καὶ Ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς ὁμόροις τῆς Ἀκραβατηνῆς τοπαρχίας προσπεσόντες αὐτούς τε ἀνῄρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι, καὶ τὰς κώμας ἀνεπίμπρασαν.

ε'. Κούμανος δὲ ἀναλαβὼν ἀπὸ τῆς Καισαρείας μίαν ἴλην ἱππέων καλουμένην Σεβαστηνῶν ἐξεβοήθει τοῖς πορθουμένοις. Καὶ τῶν περὶ τὸν Ἐλεάζαρον πολλοὺς μὲν συνέλαβε, πλείστους δὲ ἀπέκτεινε. Πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν πολεμεῖν τοῖς Σαμαρεῦσιν ὡρμημένων οἱ ἄρχοντες τῶν Ἱεροσολύμων ἐκδραμόντες σάκκους ἀμπεχόμενοι καὶ τέφραν τῶν κεφαλῶν κατα-

Quumque ii in porticus sese effudissent, vehemens metus Judæos occupat, atque in fugam versi e templo in urbem se receperunt. Tanta autem et tam violenta ad portas facta est contrusio, ut supra decem hominum millia mutua conculcatione et contritione perierint, adeo ut festus ille dies universæ genti lugubris et singulis familiis lamentabilis fuerit.

2. Hanc autem calamitatem excipit alius latronum tumultus. In via quippe publica, juxta Bæthoro, Stephani cujusdam, Cæsaris servi, supellectilem, quam secum ferebat, latrones, qui in eam inciderant, diripuerunt. Cumanus autem, quum milites circumquaque misisset, vicorum propinquorum incolas vinctos ad se adduci jussit, illis crimini dans quod latrones non persequuti essent et comprehendissent. Qua occasione quidam e militibus, nactus in quodam viculo sacras leges, librum et discerpsit et in ignem conjecit. Judæi vero, quasi regio omnis combusta esset, animis conturbati erant, et religione quasi organo quodam attracti, una præconis voce omnes Cæsaream ad Cumanum se conferebant, supplicantes ut militem, qui tantam Deo ejusque legi contumeliam intulisset, non impunitum sineret. Ad hæc ille (ut qui videret multitudinem, nisi aliqua adhiberetur consolatio, non quieturam esse) militem adduci deposcebat, et inde per medios accusatores ad extremum supplicium trahi jussit. Atque ita quidem Judæi recesserunt.

(XXI.) 3. Denuo autem Galilæi cum Samaritanis congrediuntur. In vico enim quem Geman vocant, qui in magno Samariæ campo situs est, quum multi Judæi ad festivitatem ascenderent, Galilæus quidam interficitur. Ad hoc plurimi quidem e Galilæa concurrerunt, quasi cum Samaritanis pugnam inituri: ex istis vero nobiliores ad Cumanum se contulerunt, rogantes ut, antequam malum ingravesceret, in Galilæam transiret et in cædis auctores animadverteret: haud alia quippe via dissipari posse multitudinem, antequam ad arma ventum sit. Et Cumanus quidem, rebus quæ in manibus erant posthabita illorum petitione, supplices negotio infecto dimisit.

4. At quum ejus quod occiso acciderat fama Hierosolyma perveniret, multitudinem conturbavit, et festiva solennitate relicta Samariam festinanter profecti sunt, idque sine duce et contra consilium magistratuum, qui eos cohibere voluerant. Latrocinia autem eorum et tumultus initium ducebant ab Eleazaro quodam Dinæi filio et Alexandro, qui, in toparchiæ Acrabatenæ finitimos impetu facto, et ipsos interficiebant nemini cujuscunque ætatis parcentes, et vicos incenderunt.

5. Cumanus autem, assumpta ex Cæsarea una equitum ala, quæ vocabatur Sebastenorum, ad opitulandum direptione vastatis procurrebat: et ex iis qui Eleazarum sequuti erant multos quidem comprehendit, plurimos vero interfecit. Ad reliquam autem multitudinem, qui ad bellum Samaritanis inferendum properabant, Hierosolymitarum principes quum raptim se proripuissent centonibus amicti

χέοντες ἱκέτευον ἀναχωρεῖν, καὶ μὴ διὰ τὴν εἰς Σαμαρεῖς ἄμυναν ἐπὶ Ἱεροσόλυμα Ῥωμαίους παροξύνειν, ἐλεῆσαι δὲ τὴν πατρίδα καὶ τὸν ναὸν, τέκνα τε καὶ γυναῖκας ἰδίας, καὶ μὴ πάντα κινδυνεύειν δι' ἑνὸς ἀδικίαν Γαλιλαίου παραπολέσθαι. Τούτοις πεισθέντες οἱ Ἰουδαῖοι διελύθησαν. Ἐτράποντο δὲ πολλοὶ πρὸς λῃστείαν διὰ τὴν ἄδειαν· καὶ κατὰ πᾶσαν τὴν χώραν ἁρπαγαί τε ἦσαν καὶ τῶν θρασυτέρων ἐπαναστάσεις. Καὶ τῶν Σαμαρέων οἱ δυνατοὶ πρὸς Οὐμμίδιον Κουαδράτον, ὃς ἦν ἡγεμὼν τῆς Συρίας, εἰς Τύρον παραγενόμενοι δίκην τινὰ παρὰ τῶν πορθησάντων τὴν χώραν λαβεῖν ἠξίουν. Παρόντες δὲ καὶ οἱ γνώριμοι τῶν Ἰουδαίων, καὶ ὁ ἀρχιερεὺς Ἰωνάθης υἱὸς Ἀνάνου, κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς Σαμαρέας διὰ τὸν φόνον, αἴτιον δὲ τῶν ἀποβεβηκότων Κούμανον γεγονέναι, μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ σφαγέντος ἐπεξελθεῖν.

ς'. Κουαδράτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται, φήσας, ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα. Αὖθις δὲ προελθὼν εἰς Καισάρειαν, τοὺς ὑπὸ Κουμάνου ζωγρηθέντας ἀνεσταύρωσε πάντας. Ἐκεῖθέν τε εἰς Λύδδα παραγενόμενος πόλιν διήκουσε τῶν Σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν Ἰουδαίων, οὓς ἐπέπυστο μετεσχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο· δύο δὲ ἑτέρους τῶν δυνατωτάτων καὶ τοὺς ἀρχιερεῖς Ἰωνάθην καὶ Ἀνανίαν, τόν τε τούτου παῖδα Ἄνανον, καί τινας ἄλλους Ἰουδαίων γνωρίμους, ἀνέπεμψεν ἐπὶ Καίσαρα, ὁμοίως δὲ καὶ Σαμαρέων τοὺς ἐπιφανεστάτους. Παρήγγειλε δὲ καὶ Κουμάνῳ καὶ Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης, δώσοντας Κλαυδίῳ λόγον ὑπὲρ τῶν γεγενημένων. Ταῦτα διαπραξάμενος ἀπὸ τῶν Λύδδων ἀνέβαινεν εἰς Ἱεροσόλυμα καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως, εἰς Ἀντιόχειαν ἐπανῆει.

ζ'. Κατὰ δὲ τὴν Ῥώμην Καῖσαρ ἀκούσας Κουμάνου καὶ Σαμαρέων (παρῆν δὲ καὶ Ἀγρίππας ἐκθύμως ὑπεραγωνιζόμενος Ἰουδαίων, ἐπειδὴ καὶ Κουμάνῳ πολλοὶ τῶν δυνατῶν παρίσταντο), Σαμαρέων μὲν καταγνοὺς, τρεῖς ἀνελεῖν προσέταξε τοὺς δυνατωτάτους, Κούμανον δὲ ἐφυγάδευσε· Κέλερα δὲ δεσμώτην ἀναπέμψας εἰς Ἱεροσόλυμα παραδοθῆναι Ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσε καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι.

η'. Μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Γαλιλαίας καὶ Σαμαρείας καὶ Περαίας· ἐκ δὲ τῆς Χαλκίδος Ἀγρίππαν εἰς μείζονα βασιλείαν μετατίθησι, δοὺς αὐτῷ τήν τε Φιλίππου γενομένην τετραρχίαν (αὕτη δὲ ἦν Βατανaία καὶ Τραχωνῖτις καὶ Γαυλανῖτις), προσέθηκε δὲ τήν τε Λυσανίου βασιλείαν καὶ τὴν Οὐάρου γενομένην ἐπαρχίαν. Αὐτὸς δὲ διοικήσας τὴν ἡγεμονίαν ἔτεσι τρισὶ καὶ δέκα, πρὸς δὲ μησὶν ὀκτὼ καὶ εἴκοσιν ἡμέραις, τελευτᾷ, καταλιπὼν Νέρωνα τῆς ἀρχῆς διάδοχον, ὃν ταῖς Ἀγριππίνης τῆς γυναικὸς ἀπάταις ἐπὶ κληρονομίᾳ

μένους ἀπέσφαττον οὐ μόνον κατὰ μῖσος, ὡς πρότερον, ἀλλ' ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς κίνδυνον φθάνοντες. Δεινὴ δὲ ὅλην τὴν Συρίαν ἐπέσχε ταραχὴ καὶ πᾶσα πόλις εἰς δύο διήρητο στρατόπεδα· σωτηρία δὲ τοῖς ἑτέροις ἦν τὸ τοὺς ἑτέρους φθάσαι· καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι διῆγον, τὰς δὲ νύκτας δέει χαλεπωτέρας. Ἀπεσκευάσθαι γὰρ τοὺς Ἰουδαίους δοκοῦντες ἕκαστοι, τοὺς Ἰουδαΐζοντας εἶχον ἐν ὑποψίᾳ, καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον οὔτε ἀνελεῖν τις προχείρως ὑπέμενε καὶ μεμιγμένον ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. Προὐκαλεῖτο δὲ ἐπὶ τὰς σφαγὰς τῶν διαφόρων καὶ τοὺς πάλαι πραοτάτους εἶναι δοκοῦντας ἡ πλεονεξία· τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων ἁδεῶς διήρπαζον, καὶ καθάπερ ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνῃρημένων εἰς τοὺς σφετέρους οἴκους μετέφερον· ἔνδοξός τε ἦν ὁ πλεῖστα κερδάνας, ὡς κατισχύσας πλειόνων. Ἦν δὲ ἰδεῖν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδοῖ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις μετάστασιν.

(ΛΔ'.) γ'. Μέχρι μὲν δὴ τούτων Ἰουδαίοις πρὸς τὸ ἀλλόφυλον ἦσαν συμβολαί· κατατρέχοντες δὲ εἰς Σκυθόπολιν τοὺς παρ' ἐκείνῃ Ἰουδαίους ἐπειράσαντο πολεμίους. Ταξάμενοι γὰρ μετὰ τῶν Σκυθοπολιτῶν καὶ τῆς ἑαυτῶν ἀσφαλείας ἐν δευτέρῳ θέμενοι τὴν συγγένειαν, ὁμόσε τοῖς ὁμοφύλοις ἐχώρουν. Ὑπωπτεύθη δὲ αὐτῶν καὶ τὸ λίαν πρόθυμον. Οἱ γοῦν Σκυθοπολῖται δείσαντες μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογήσωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον αὐτούς, εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι καὶ τὸ πρὸς τοὺς ἀλλοεθνεῖς πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος. Τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ Σκυθοπολῖται, τὴν πίστιν αὐτῶν δελεάζοντες, τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες οὓς μὲν ἀφυλάκτους, οὓς δὲ κοιμωμένους, πάντας ἀπέσφαξαν, ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τάς τε κτήσεις διήρπασαν ἁπάντων.

δ'. Ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὸ τοῦ Σίμωνος πάθος, ὃς υἱὸς μὲν ἦν Σαούλου τινὸς τῶν οὐκ ἀσήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων, ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατεχρήσατο. Προϊὼν γοῦν ὁσημέραι πολλοὺς μὲν ἀνῄρει τῶν πρὸς τῇ Σκυθοπόλει Ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐτοὺς πάντας μόνος ἦν δροπὴ τῆς παρατάξεως. Περιέρχεται δὲ αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου. Ἐπεὶ γὰρ περισχόντες οἱ Σκυθοπολῖται κατηκόντιζον αὐτοὺς ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ' οὐδένα μὲν τρέπεται τῶν πολεμίων (καὶ γὰρ ἑώρα τὸ πλῆθος ἀνήνυτον), ἀναβοήσας δὲ μάλα ἐκπαθῶς, « ἀξιά γε ὧν ἔδρασα πάσχω, Σκυθοπολῖται, « καθ' ὑμῶν, ὅτι τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς αὐ« τοὺς εὔνοιαν ἐπιστωσάμην· τοιγαροῦν οἷς ἄπιστον « μὲν εὐλόγως εὑρηται τὸ ἀλλόφυλον, ἠσέβηται δὲ εἰς

trucidabant, non solum ex odio, uti prius, sed ut periculum quod ipsis imminebat mature prævenirent. Magna autem perturbatio Syriam omnem occupabat, et unaquæque civitas in duos divisa erat exercitus : quibus invicem saluti erat, si alteri alteros prævertissent, vitamque interdiu quidem in cæde agebant, noctu vero in formidine graviori. Nam quum singuli Judæos de medio sublatos esse existimarent, Judaizantes suspectos habebant; atque dubios utrinque et ambiguos haud temere quisquam interficere volebat, permistos tamen cum aliis ut plane alienigenas metuebat. Ad cædes autem adversæ partis eos etiam provocabat avaritia, qui prius summe mansueti esse viderentur : nam cæsorum facultates intrepide diripiebant, et quasi ex acie occisorum spolia in domos suas deportabant; quique plurima lucratus erat, habebatur illustris, ac si plures virtute superasset. Cernere autem erat civitates cadaveribus insepultis refertas, et mortuos projectos cum infantibus senes, et mulieres ipso pudoris velamento nudatas, et totam quidem provinciam calamitatibus infandis plenam, iis vero quæ perpetrabantur majorem intentatam mutationem.

(XXXIV.) 3. Et hactenus quidem Judæi conflictati sunt cum allenigenis : excursionem autem facientes in Scythopoleos fines, etiam Judæos illic habitantes experti sunt hostes. Nam quum ad aciem præsto essent Scythopolitis, et affinitatem posthaberent propriæ incolumitati, cum suis popularibus manus conserebant. Suspecta tamen erat hæc illorum promptitudo et alacritas. Itaque Scythopolitæ veriti ne noctu civitatem adorirentur, et magna ipsorum calamitate fratribus excusarent defectionem, illis præcipiebant, si concordiam vellent confirmari suamque alienigenis fidem demonstrari, ut cum familiis suis in lucum transirent. Quum autem illi sine suspicione imperata fecissent, duos quidem dies quieverunt Scythopolitæ, inescantes eorum fiduciam, tertia vero nocte, captata opportunitate, alios quidem incautos, alios vero sopitos, omnes trucidarunt, numero ad tredecim millia, et facultates omnium diripuerunt.

4. Convenit autem enarrare quod Simoni accidit, qui filius quidem erat Sauli cujusdam viri non ignobilis, robore vero corporis et audacia præstans, quibus utrisque in popularium suorum damnum abusus est. Quapropter, quum quotidie immineret, multos quidem Judæorum Scythopoli propinquos occidebat, et frequenter integros eorum cuneos fundens fugansque solus erat instar aciei. Illi autem contigit pœna quam commeruit gentilium cædes. Nam postquam Scythopolitæ circumdantes Judæos in luco jaculis configebant, gladio educto, neminem quidem hostium adoritur (etenim videbat in tanta multitudine se nihil posse efficere), vehementi autem facta exclamatione, « digna, inquit, Scytho« politæ, iis quæ gessi jam patior a vobis, quippe qui tam « multa civium cæde benevolentiæ erga vos ipsos nostræ « fidem fecerim. Quare justum est ut aliena quidem gens « nobis infida comperiatur, qui extrema in nostrum genus

« ἔσχατα τὸ οἰκεῖον. Θνήσκω μὲν ὡς ἐναγὴς χερσὶν « ἰδίαις· οὐ γὰρ πρέπον ἐν ταῖς τῶν πολεμίων· τὸ δὲ « αὐτὸ ἂν εἴη μοι καὶ ποινὴ τοῦ μιάσματος ἀξία καὶ « πρὸς ἀνδρείαν ἔπαινος, ἵνα μηδεὶς τῶν ἐχθρῶν τὴν « ἐμὴν αὐχήσῃ σφαγὴν, μηδὲ ἐπαλαζονεύσηται πε- « σόντι. » Ταῦτα εἰπὼν ἐλεοῦσιν ἅμα καὶ τεθυμωμέ- νοις ὄμμασι περισκέπτεται τὴν ἑαυτοῦ γενεάν· ἦν δὲ αὐτῷ καὶ γυνὴ καὶ τέκνα καὶ γηραιοὶ γονεῖς. Ὁ δὲ πρῶ- τον τὸν πατέρα τῆς πολιᾶς ἐπισπασάμενος διελαύνει τῷ ξίφει, μεθ' ὃν οὐκ ἄκουσαν τὴν μητέρα, καὶ ἐπὶ τούτοις τήν τε γυναῖκα καὶ τὰ τέκνα, μονονουχὶ ὑπαν- τῶντος ἑκάστου τῷ ξίφει καὶ σπεύδοντος φθάσαι τοὺς πολεμίους. Ὁ δὲ διελθὼν πᾶσαν τὴν γενεὰν καὶ πε- ρίοπτος ἐπιστὰς τοῖς σώμασι, τήν τε δεξιὰν ἀνατείνας, ὡς μηδένα λαθεῖν, ὅλον εἰς τὴν ἑαυτοῦ σφαγὴν ἐβάπτισε τὸ ξίφος, ἄξιος μὲν ἐλέους ὁ νεανίας δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα, τῆς δὲ πρὸς ἀλλοφύλους πίστεως ἕνεκεν ἀκολούθοις πάθεσι χρησάμενος.

ε'. Πρὸς δὲ τὴν ἐν Σκυθοπόλει φθορὰν αἱ λοιπαὶ πό- λεις ἐπανίσταντο τοῖς καθ' ἑαυτὴν Ἰουδαίοις ἑκάστη, καὶ πεντακοσίους μὲν ἐπὶ δισχιλίοις Ἀσκαλωνῖται, Πτολεμαιεῖς δὲ δισχιλίους ἀνεῖλον, ἔδησάν τε οὐκ ὀλί- γους. Καὶ Τύριοι μὲν συχνοὺς διεχρήσαντο, τὸ πλεῖον δὲ αὐτῶν δεσμώτας ἐφρούρουν· Ἱππηνοί τε καὶ Γαδαρεῖς ὁμοίως τοὺς μὲν θρασυτέρους ἀπεσκευάσαντο, τοὺς δὲ φοβεροὺς διὰ φυλακῶν εἶχον, αἵ τε λοιπαὶ πόλεις τῆς Συρίας, ὅπως ἑκάστη πρὸς τὸ Ἰουδαϊκὸν ἢ μίσους ἢ δέους εἶχον. (ΛΕ'.) Μόνοι δὲ Ἀντιοχεῖς καὶ Σιδώνιοι καὶ Ἀπαμεῖς ἐφείσαντο τῶν μετοικούντων, καὶ οὔτε ἀνελεῖν τινα τῶν Ἰουδαίων ὑπέμειναν οὔτε δῆσαι, τάχα μὲν καὶ διὰ τὸ σφέτερον πλῆθος ὑπερορῶντες αὐτῶν πρὸς τὰ κι- νήματα, τὸ πλέον δὲ ἔμοιγε δοκεῖ οἴκτῳ πρὸς οὓς οὐδὲν ἑώρων νεωτερίζοντας. Γερασηνοί τε οὔτε εἰς τοὺς ἐμ- μείναντας ἐπλημμέλησαν καὶ τοὺς ἐξελθεῖν ἐθελήσαντας προέπεμψαν μέχρι τῶν ὅρων.

ς'. Συνέστη δὲ καὶ κατὰ τὴν Ἀγρίππα βασιλείαν ἐπιβουλὴ κατὰ Ἰουδαίων. Αὐτὸς γὰρ ἐπεπόρευτο πρὸς Κέστιον Γάλλον εἰς Ἀντιόχειαν, καταλελοίπει δὲ διοι- κεῖν τὰ πράγματα τούτου τῶν ἑταίρων τινὰ τοὔνομα Νόαρον, Σοέμῳ τῷ βασιλεῖ προσήκοντα κατὰ γένος. Ἦκον δὲ ἐκ τῆς Βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸν ἄνδρες, οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκι- μώτατοι, στρατιὰν αἰτοῦντες, ἵνα εἴ τι γένοιτο κίνημα καὶ περὶ σφᾶς ἔχοιεν ἀξιόχρεων φυλακὴν, κωλύειν τοὺς ἐπανισταμένους. Τούτους ὁ Νόαρος, ἐκπέμψας νύκτωρ τῶν βασιλικῶν ὁπλιτῶν τινας, ἅπαντας ἀναιρεῖ, τολ- μήσας μὲν τοὔργον δίχα τῆς Ἀγρίππα γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφύλους ἑλόμενος ἀσε- βεῖν, τὴν βασιλείαν διέφθειρεν· διετέλει τε ὠμῶς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμενος Ἀγρίππας ἀνελεῖν μὲν αὐτὸν ᾐδέσθη διὰ Σόεμον, ἔπαυσε δὲ τῆς ἐπιτροπῆς. Οἱ δὲ στασιασταὶ καταλαβόμενοι φρούριον ὃ καλεῖται μὲν Κύπρος, καθύπερθε δὲ ἦν Ἱεριχοῦντος, τοὺς μὲν φρουροὺς ἀπέσφαξαν, τὰ δὲ ἐρύματα κατέρριψαν εἰς γῆν.

« impietate deliquerimus. Morior quidem ut exsecrabilis « propriis manibus : haud enim honestum cadere manu « hostili : hoc autem ipsum mihi erit et in pœnam scelere « dignam, et cedet in fortitudinis laudem, ut nemo scili- « cet hostium de meo interitu glorietur, neque in caden- « tem insultet. » Ista quum dixisset, miserantibus simul et furentibus oculis familiam suam circumspicit : erant autem ei et uxor et liberi et provecta ætate parentes. Ille vero primum patrem, canis capillis prehensum, ense transfigit, post quem et matrem, non invitam, ac deinde uxorem et liberos, singulis horum gladio tantum non occurrentibus. Ille vero, quum omnem suam necessitudinem trucidasset, et super cadaveribus conspicuus stetisset et dextram sustulisset, ut ab omnibus videretur, totum in sui cædem visceribus immersit ensem : dignus quidem miseratione juvenis propter corporis strenuitatem et animi præsentiam; ceterum quantum ad fidem quam alienigenis præstitit, meritas pœnas luit.

5. Post cædem autem in Scythopoli factam reliquæ etiam civitates in Judæos singulæ apud se habitantes insurgebant, atque bis mille homines et quingentos interfecerunt Ascalonitæ, duoque millia Ptolemaenses, et non paucos in vincula conjecerunt. Et Tyrii multos trucidarunt, majorem vero numerum Judæorum custodiis vinctos tradiderunt : similiterque Hippeni et Gadarenses audacissimos quidem de medio sustulerunt, quos vero formidarent sollicite adservabant; itidemque reliquæ Syriæ urbes, prout quæque Judæos metuerent odiove haberent. (XXXV.) Soli autem Antiocheni et Sidonii et Apamenses iis qui secum habitarent pepercerunt, et neque occidere Judæum quenquam aut vincire sustinuerunt, forsan quidem quod, suorum civium multitudine freti, Judæorum motus, si quos concitarent, despectui haberent; potius vero, ut mihi videtur, quod illorum misererentur quos nihil novi moliri videbant. Geraseni etiam eos qui apud ipsos manerent nulla injuria affecerunt, et egredi volentes usque ad fines suos deduxerunt.

6. Etiam in Agrippæ regno contra Judæos compositæ erant insidiæ. Nam ille Antiochiam profectus ad Cestium Gallum rerum administrationem cuidam ex hujus amicis reliquerat, nomine Noaro, Sohemo regi genere propinquo. Venerunt quippe de Batanæa viri numero septuaginta, nobilitate et prudentia civium suorum præstantissimi, poscendi præsidii gratia; ut si qui apud ipsos quoque motus fierent, custodiam idoneam haberent, per quam possent insurgentes quosque comprimere. Hos Noarus, noctu emissis quibusdam e regiis militibus, omnes interimit, ausus quidem hoc facinus præter consilium Agrippæ, propter nimiam vero pecuniæ cupiditatem in populares suos impius esse non recusans, regnum perditum ibat : neque cessabat crudelitatem suam in gentem exercere, donec Agrippa rem resciscerat, qui licet in eum animadvertere propter Soemum veritus esset, munus tamen procuratorium ei ademit. Seditiosi autem, capto castello, quod Cypros appellabatur et Hierichunti imminebat, omnes qui in præsidio erant interfecerunt,

(ΛΖ'.) Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας καὶ τῶν ἐν Μαχαιροῦντι Ἰουδαίων τὸ πλῆθος ἔπειθον τοὺς φρουροῦντας Ῥωμαίους ἐκλείπειν τὸ χωρίον καὶ παραδιδόναι σφίσιν. Οἱ δὲ τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες συντίθενται πρὸς αὐτοὺς ἐκχωρήσειν ὑπόσπονδοι· καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φυλακῇ κρατυνάμενοι κατεῖχον οἱ Μαχαιρῖται.

Ζ'. Κατὰ δὲ τὴν Ἀλεξάνδρειαν ἀεὶ μὲν ἦν στάσις πρὸς τὸ Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις ἀφ' οὗ χρησάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος γέρας τῆς συμμαχίας ἔδωκε τὸ μετοικεῖν κατὰ τὴν πόλιν ἐξ ἰσοτιμίας πρὸς Ἕλληνας. Διέμεινε δὲ αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν διαδόχων, οἳ καὶ τόπον ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν ἔχοιεν τὴν δίαιταν, ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας. Ἐπεί τε Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος οὔτε τῶν μετ' αὐτόν τις ὑπέμεινε τὰς ἀπὸ Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. Συμβολαὶ δὲ ἦσαν αὐτῶν ἀδιάλειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς ὑσημέραι παρ' ἀμφοῖν κολαζόντων ἡ στάσις μᾶλλον παρωξύνετο. Τότε δὲ ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάρακτο, μᾶλλον ἐξήφθη τὰ παρ' ἐκείνοις. Καὶ δὴ τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα, συνερρύησαν μὲν εἰς τὸ ἀμφιθέατρον ἅμα τοῖς Ἕλλησι συχνοὶ Ἰουδαίων, κατιδόντες δὲ αὐτοὺς οἱ διάφοροι παραχρῆμα ἀνεβόων πολεμίους καὶ κατασκόπους λέγοντες, ἔπειτα ἀναπηδήσαντες ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. Οἱ μὲν οὖν λοιποὶ φεύγοντες διεφθάρησαν, τρεῖς δὲ ἄνδρας συλλαβόντες ἕσυρον ὡς ζῶντας καταφλέξοντες. Ἤρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ τὴν ἄμυναν. Καὶ τὸ μὲν πρῶτον λίθοις τοὺς Ἕλληνας ἔβαλλον, αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν, ἀπειλοῦντες καταφλέξειν ἐν αὐτῷ τὸν δῆμον αὐτάνδρον· κἂν ἔφθησαν τοῦτο δράσαντες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκοψε Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. Οὐ μὴν οὗτός γε ἀπὸ τῶν ὅπλων ἤρξατο σωφρονίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους αὐτοῖς παύσασθαι παρεκάλει, καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν τὸ τῶν Ῥωμαίων στράτευμα. Καταχλευάζοντες δὲ τῆς παρακλήσεως οἱ στασιῶδεις ἐβλασφήμουν τὸν Τιβέριον.

η'. Κἀκεῖνος συνιδὼν ὡς χωρὶς μεγάλης συμφορᾶς οὐκ ἂν παύσαιντο νεωτερίζοντες, ἐπαφίησιν αὐτοῖς τὰ κατὰ τὴν πόλιν Ῥωμαίων δύο τάγματα, καὶ σὺν αὐτοῖς πεντακισχιλίους στρατιώτας, κατὰ τύχην παρόντας εἰς τὸν Ἰουδαίων ὄλεθρον ἐκ Λιβύης. Ἐπέτρεψε δὲ οὐ μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπάζειν, καὶ τὰς οἰκίας καταφλέγειν. Οἱ δὲ ὁρμήσαντες εἰς τὸ καλούμενον Δέλτα (συνῴκιστο γὰρ ἐκεῖ τὸ Ἰουδαϊκόν) ἐτέλουν τὰς ἐντολάς, οὐ μὴν ἀναιμωτί. Συστραφέντες γὰρ οἱ Ἰουδαῖοι καὶ τοὺς ἄμεινον ὡπλισμένους ἑαυτῶν προταξάμενοι μέχρι πλείστου μὲν ἀντέσχον, ἅπαξ δὲ κλίναντες ἀνέδην διεφθείροντο· καὶ παντελὴς

et munimenta solo æquarunt. (XXXVI.) Ac per eosdem dies Judæi, qui magno numero in Machærunte erant, Romanorum præsidio persuadebant castellum relinquere ipsisque tradere. Illi vero, metu ne ab ipsis vi eriperetur, cum iis transigunt certis conditionibus inde discedere, fideque accepta eis in manus tradunt castellum, quod præsidiis munitum in potestate sua tenebant Machæruntii.

7. Alexandriæ vero perpetua quidem inter primos ejus incolas et Judæos contentio erat, ex quo Alexander, Judæorum opera promptissima adversus Ægyptios usus, in auxilii remunerationem concessit eis æquo jure cum Græcis urbem habitare. Idemque illis honor constabat etiam apud Alexandri successores, qui et locum illis proprium assignarunt, ut puriorem haberent vivendi rationem, magis ab alienigenarum admistione liberam, permiseruntque ut Macedones appellarentur. Postquam etiam Romani in potestatem suam redegerant Ægyptum, neque Cæsar primus, neque successorum ejus quisquam honores quibus Alexander Judæos impertiit minuere sustinuit. Conflictus autem eorum cum Græcis fere sine intermissione fiebant, et, præfectis in multos quotidie partis utriusque animadvertentibus, seditio plus plusque accendebatur. Tunc vero, quum apud alios res turbatæ essent, inter illos iræ magis exardescebant. Nam quum Alexandrini concionem haberent de legatione quam missuri erant ad Neronem, accidit ut multi quidem Judæorum permixti Græcis in amphitheatrum confluerent: quum autem eos vidissent inimici, illico clamare cœperunt, hostes eos et exploratores vocantes, ac deinde facto insultu manus illis inferebant. Et reliqui quidem dum fugerent perierunt, tres vero ex illis comprehensos trahebant quasi vivos ustulaturi. Qua re fiebat ut universi moverentur Judæi ad facinus vindicandum. Et primum quidem in Græcos lapides jaciebant: postea vero facibus raptis in amphitheatrum properarunt, minantes se populum, ad unum omnes, in eo concrematuros: id quod sane facere occupassent, nisi iras eorum compressisset Tiberius Alexander, urbis præfectus. Non tamen ille coercendi principium ab armis sumpsit, sed missis ad eos certis ex optimatibus, hortabatur ut quiescerent, neque adversum se milites Romanos irritarent. Seditiosi autem, risu excipientes hortationem, contumeliis appetebant Tiberium.

8. Atque ille, postquam vidit absque ingenti clade tumultuosos non posse compesci, immisit in eos duas Romanorum legiones, quæ in civitate erant, et cum his alios ad quinque millia milites, qui forte aderant ex Libya venientes ad Judæorum interitum. Permisit autem ut non solum interficerent Judæos, sed ut bona etiam eorum diriperent, et domos incendio delerent. Illi vero, facta irruptione in locum qui Delta vocatur, (illic quippe frequentes habitabant Judæi), imperata faciebant, non tamen sine suorum cæde. Nam Judæi, quum sese conglobassent et armis melius instructos in fronte posuissent, diu quidem resistebant: cum vero semel loco cederent, magno numero perimebantur; et

ἦν αὐτῶν ὄλεθρος, τῶν μὲν ἐν τῷ πεδίῳ καταλαμβανομένων, τῶν δὲ εἰς τὰς οἰκίας συνωθουμένων. Ὑπεπίμπρασαν δὲ καὶ ταύτας οἱ Ῥωμαῖοι, προδιαρπάζοντες τὰ ἔνδον. Καὶ οὔτε νηπίων ἔλεος αὐτοῖς οὔτε αἰδὼς εἰσήει γερόντων, ἀλλὰ διὰ πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ὡς ἐπικλυσθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριάδας σωρευθῆναι νεκρῶν. Περιελείφθη δ' ἂν οὐδὲ τὸ λοιπὸν, εἰ μὴ πρὸς ἱκετείαν ἐτράποντο. Κατοικτειρήσας δὲ αὐτοὺς Ἀλέξανδρος ἀναχωρεῖν τοὺς Ῥωμαίους ἐκέλευσεν. Καὶ οἱ μὲν ἐξ ἔθους ἔχοντες τὸ πειθήνιον ἅμα νεύματι τοῦ φονεύειν ἐπαύσαντο, τὸ δημοτικὸν δὲ τῶν Ἀλεξανδρέων δι' ὑπερβολὴν μίσους δυσανάκλητον ἦν καὶ μόλις ἀπεσπᾶτο τῶν σωμάτων.

(ΛΖ'.) θ'. Τοιοῦτο μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος συνηνέχθη· Κεστίῳ δὲ οὐκέτι ἠρεμεῖν ἐδόκει, πανταχοῦ τῶν Ἰουδαίων ἐκπεπολεμωμένων. Ἀναλαβὼν δὲ ἀπὸ τῆς Ἀντιοχείας τὸ μὲν δωδέκατον τάγμα πλῆρες, ἀπὸ δὲ τῶν λοιπῶν ἀνὰ δισχιλίους ἐπιλέκτους, πεζῶν δὲ ἓξ σπείρας καὶ τέσσαρας ἴλας ἱππέων, πρὸς αἷς τὰς παρὰ τῶν βασιλέων συμμαχίας, Ἀντιόχου μὲν δισχιλίους ἱππεῖς καὶ πεζοὺς τρισχιλίους, τοξότας πάντας, Ἀγρίππα δὲ πεζοὺς μὲν τοὺς ἴσους, ἱππεῖς δὲ δισχιλίων ἐλάττους (εἵπετο δὲ καὶ Σόεμος μετὰ τετρακισχιλίων, ὧν ἦσαν ἱππεῖς ἡ τρίτη μοῖρα, καὶ τὸ πλέον τοξόται), προῆλθεν εἰς Πτολεμαΐδα. Πλεῖστοι δὲ καὶ ἐκ τῶν πόλεων ἐπίκουροι συνελέγησαν, ἐμπειρίᾳ μὲν ἡττώμενοι τῶν στρατιωτῶν, ταῖς δὲ προθυμίαις καὶ τῷ κατὰ Ἰουδαίων μίσει τὸ λεῖπον ἐν ταῖς ἐπιστήμαις ἀναπληροῦντες. Συμπαρῆν δὲ καὶ αὐτὸς Ἀγρίππας Κεστίῳ, τῆς τε ὁδοῦ καὶ τῶν συμφερόντων ἐξηγούμενος. Ἀναλαβὼν δὲ μέρος τῆς δυνάμεως Κέστιος ὥρμησεν ἐπὶ πόλιν καρτερὰν τῆς Γαλιλαίας Ζαβουλὼν, ἣ καλεῖται ἀνδρῶν, διορίζει δὲ ἀπὸ τοῦ ἔθνους τὴν Πτολεμαΐδα. Καταλαβὼν δὲ αὐτὴν ἔρημον μὲν ἀνδρῶν (ἀναπεφεύγει γὰρ τὸ πλῆθος εἰς τὰ ὄρη), πλήρη δὲ παντοίων κτημάτων, τὰ μὲν ἐφῆκε τοῖς στρατιώταις διαρπάζειν, τὸ δὲ ἄστυ, καίτοι θαυμαστοῦ κάλλους ἔχον τὰς οἰκίας, ὁμοίως ταῖς ἐν Τύρῳ καὶ Σιδῶνι καὶ Βηρυτῷ δεδομημένας, ἐνέπρησεν· ἔπειτα τὴν χώραν καταδραμὼν καὶ διαρπάσας μὲν πᾶν τὸ προσπῖπτον, καταφλέξας δὲ τὰς πέριξ κώμας, ὑπέστρεφεν εἰς τὴν Πτολεμαΐδα. Πρὸς δὲ ταῖς ἁρπαγαῖς ἔτι τῶν Σύρων ὄντων καὶ τὸ πλέον Βηρυτίων, ἀναθαρσήσαντες οἱ Ἰουδαῖοι (καὶ γὰρ ἀποκεχωρηκότα συνίεσαν Κέστιον) τοῖς ἀπολειφθεῖσιν ἀδοκήτως ἐπέπεσον, καὶ περὶ δισχιλίους αὐτῶν διέφθειραν.

ι'. Ὁ δὲ Κέστιος ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος αὐτὸς μὲν εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς προέπεμψεν εἰς Ἰόππην, προστάξας, εἰ μὲν ἐγκαταλαβέσθαι δυνηθεῖεν τὴν πόλιν, φρουρεῖν· εἰ δὲ προαίσθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε καὶ τὴν ἄλλην δύναμιν. Τῶν δὲ οἱ μὲν κατὰ θάλασσαν, οἱ δὲ κατὰ γῆν ἐπειχθέντες, ἀμφοτέρωθεν αἱροῦσι τὴν πόλιν.

omne genus exitio dati sunt, aliis quidem sub dio comprehensis, aliis vero in ædes contrusis. Quin et istas succenderunt Romani, quæ intus erant prius diripientes. Et neque infantum illos miserebat, neque adversus senes reverentiam adhibebant, sed in omnes ætates pari cæde grassabantur: adeo ut totus quidem locus iste sanguine inundaretur, quinquaginta vero in cumulos congesta essent hominum millia. Neque autem reliquæ factæ fuissent reliquiæ, nisi ad preces se convertissent. Alexander autem, illorum misertus, jussit Romanos receptui canere. Et illi quidem, soliti dicto audientes esse, primum ad nutum cæde abstinebant; at vulgus Alexandrinorum ex nimio odio revocatu difficile erat, et vix a cadaveribus avelli poterat.

(XXXVII.) 9. Hujusmodi quidem clades apud Alexandriam contigit: Cestio vero jam quiescendum esse non videbatur, quum Judæi ubique armis peterentur. Itaque quum assumpsisset ex Antiochia duodecimam legionem, eamque justo numero, et ex reliquis bina millia hominum electorum, peditumque sex cohortes et quattuor equitum alas, ac præterea regum auxilia, ab Antiocho quidem duo equitum millia, peditumque tria millia, sagittarios omnes, ab Agrippa vero totidem equites et pedites duobus millibus pauciores (sequebatur autem Sohemus quoque cum quattuor millibus, quorum tertia pars equites, et reliqui sagittarii), Ptolemaidem progressus est. Plurimi autem etiam ex civitatibus auxiliarii collecti erant, peritia quidem militibus inferiores, alacritate vero et suo in Judæos odio supplentes quod deerat scientiæ. Quin etiam ipse Agrippa præsens aderat Cestio, itineris dux et qui commeatum administraret. Quum autem Cestius partem de exercitu assumpsisset, contendit ad validam Galilææ civitatem Zabulonem, quæ Virorum cognomen habet, et a gentis finibus Ptolemaidem discernit. Quumque offendisset eam a viris quidem desertam (nam in montes multitudo se receperat), omnigenum autem rerum plenam, illas quidem militibus diripiendas concessit, urbem vero ipsam, quamvis admirandæ pulchritudinis domos haberet, similiter ac apud Tyrum et Sidonem et Berytum ædificatas, igne vastavit: ac deinde factis in regionem excursionibus, quum omnia in quæ inciderit depopulatus esset, vicosque circumjectos incendisset, reversus est Ptolemaidem. Quum autem Syri diutius prædæ inhærerent, magisque Berytii, Judæi recepta fiducia (namque Cestium recessisse cognoverant) in relictos, qui nihil tale exspectarent, irruebant, et circiter duo ipsorum millia occiderunt.

10. Cestius autem, facto a Ptolemaide discessu, ipse quidem Cæsaream pervenit; in Iopen vero partem præmisit exercitus, cum mandatis ut urbem, si eam occupare potuissent, custodirent; sin vero incursum illorum præsentirent, tam suum quam ceterorum militum præstolarentur adventum. Ceterum illi, alii quidem mari, alii vero terra celeriter profecti, utrinque urbem facile capiunt. Et, cum

λιν ῥᾳδίως. Καὶ μηδὲ φυγεῖν φθασάντων τῶν οἰκητόρων, οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς, καὶ τὴν πόλιν διαρπάσαντες ἐνέπρησαν. Ὁ δὲ ἀριθμὸς τῶν φονευθέντων τετρακόσιοι πρὸς ὀκτακισχιλίοις. Ὁμοίως δὲ καὶ εἰς τὴν ὅμορον τῆς Καισαρείας Ναρβατηνὴν τοπαρχίαν ἔπεμψε συχνοὺς τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρίων, τάς τε κτήσεις διήρπασαν, καὶ τὰς κώμας κατέφλεξαν.

ια'. Εἰς δὲ τὴν Γαλιλαίαν ἔστειλε Κέστιος Γάλλον ἡγεμόνα τοῦ δωδεκάτου τάγματος, παραδοὺς δύναμιν ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανεν. Τοῦτον ἡ καρτερωτάτη τῆς Γαλιλαίας πόλις Σέπφωρις μετ' εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν αἱ λοιπαὶ πόλεις ἠρέμουν. Τὸ δὲ στασιῶδες καὶ λῃστρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς Γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἄντικρυς τῆς Σεπφώρεως, καλεῖται δὲ Ἀσαμών. Τούτοις ὁ Γάλλος ἐπῆγε τὴν δύναμιν. Οἱ δέ, ἕως μὲν ἦσαν ὑπερδέξιοι, ῥᾳδίως τοὺς Ῥωμαίους ἐβαλλον προσιόντας, καὶ πρὸς διακοσίους αὐτῶν ἀνεῖλον· περιελθόντων δὲ καὶ γενομένων ἐν τοῖς ὑψηλοτέροις ἠττῶντο ταχέως, καὶ οὔτε γυμνῆται τοὺς ὁπλίτας συστάδην ἔφερον, οὔτε ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφυγον· ὥστε ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δὲ ὑπὲρ δισχιλίους.

ΚΕΦ. ΙΘ'.

Γάλλος μὲν οὖν, ὡς οὐδὲν ἔτι ἑώρα κατὰ τὴν Γαλιλαίαν νεωτεριζόμενον, ὑπέστρεφε μετὰ τῆς στρατιᾶς εἰς Καισάρειαν. Κέστιος δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας ἐνέβαλεν εἰς Ἀντιπατρίδα· καὶ πυθόμενος ἔν τινι πύργῳ Ἀφεκοῦ καλουμένῳ συνηθροῖσθαι Ἰουδαίων δύναμιν οὐκ ὀλίγην, προῦπεμψε τοὺς συμβαλοῦντας. Οἱ δέ, πρὶν εἰς χεῖρας ἐλθεῖν, δέει τοὺς Ἰουδαίους διεσκέδασαν· ἐπελθόντες δὲ ἔρημον τὸ στρατόπεδον καὶ τὰς πέριξ κώμας ἐνέπρησαν. Ἀπὸ δὲ τῆς Ἀντιπατρίδος Κέστιος εἰς Λύδδα προελθὼν κενὴν ἀνδρῶν τὴν πόλιν καταλαμβάνει· διὰ γὰρ τὴν τῆς σκηνοπηγίας ἑορτὴν ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς Ἱεροσόλυμα. Πεντήκοντα δὲ τῶν παραφανέντων διαφθείρας καὶ τὸ ἄστυ κατακαύσας ἐχώρει πρόσω, καὶ διὰ Βαιθωρῶν ἀναβὰς στρατοπεδεύεται κατά τινα χῶρον Γαβαὼ καλούμενον, ἀπέχοντα τῶν Ἱεροσολύμων πεντήκοντα σταδίους.

β'. Οἱ δὲ Ἰουδαῖοι, κατιδόντες ἤδη πλησιάζοντα τῇ μητροπόλει τὸν πόλεμον, ἀφέμενοι τῆς ἑορτῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα τῷ πλήθει θαρροῦντες, ἄτακτοι καὶ μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν μάχην, μηδὲ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες· ἦν γὰρ δὴ τὸ μάλιστα παρ' αὐτοῖς θρησκευόμενον σάββατον. Ὁ δὲ ἐκπείσας αὐτοὺς τῆς εὐσεβείας θυμὸς ἐποίησε πλεονεκτῆσαι καὶ κατὰ τὴν μάχην. Μετὰ τοιαύτης γοῦν ὁρμῆς τοῖς Ῥωμαίοις προσέπεσον, ὡς διαρρῆξαι τὰς τάξεις

habitatores nec fugam maturare potuerint, nec ad pugnam sese parare, illos adorti omnes interfecerunt suis cum familiis, direptamque civitatem incenderunt. Cæsorum autem numerus erat ad octo millia et quadringentos. Similiter et in Narbatenen toparchiam Cæsareæ finitimam non paucos misit equites, qui et terram vastarunt, et magnam indigenarum multitudinem peremerunt, et facultates eorum diripuerunt, vicosque incendio consumpserunt.

11. In Galilæam autem misit Cestius Gallum, legionis duodecimæ ductorem, eique tantam militum manum attribuit quantam genti coercendæ satis fore existimabat. Hunc validissima Galilææ civitas Sepphoris cum lætis acclamationibus excipit, aliæque civitates, hujus prudens consilium sequutæ, quiescebant. Qui vero seditionibus et latrociniis operam dabant, omnes se receperunt in montem ipsissimo in Galilææ meditullio situm, qui est contra Sepphorin et vocatur Asamon. Adversus eos Gallus ductabat exercitum. Illi autem, quam diu erant in locis superioribus, facile Romanos ad se accedentes feriebant, et illorum fere ducentos occiderunt: verum quum Romani facto circuitu ad celsiora pervenissent, illi protinus victi cesserunt; et neque velites gravioris armaturæ militum congressum sustinebant, neque equites quum terga verterent effugiebant: adeo ut pauci quidem inter locorum asperitates delitescerent, duo vero millia et amplius occiderentur.

CAP. XIX. (XXXVIII.)

Et Gallus quidem, quum neminem quidquam novi apud Galilæam jam moliri videret, Cæsaream cum exercitu regressus est. Cestius vero, quum copias omnes inde movisset Antipatridem perrexit: auditoque Judæorum manum non exiguam in turrim quæ Apheci vocabatur confluxisse, præmisit qui cum eis congrederentur. Sed priusquam ad manus ventum esset, terrore Judæos dissiparunt, quumque eo venissent, castra deserta cum vicis finitimis incenderunt. Ex Antipatride autem Cestius in Lydda progressus, vacuam viris civitatem offendit: nam propter festum Tabernaculorum omnis fere multitudo Hierosolyma ascenderat. Quinquaginta vero, qui in conspectum venerunt, occisis, exustaque urbe, ulterius pergebat, et, facto per Bæthoron ascensu ad locum quendam, cui nomen est Gabao, castra metatur, stadiis quinquaginta ab Hierosolymis distantem.

2. At Judæi, quum jam ad metropolin appropinquare viderent bellum, festo relicto ad arma properabant; numeroque valde fidentes, incompositi ad pugnam et cum clamore prosiliebant, ne septimæ quidem diei, qua feriari solebant, ratione habita: erat quippe sabbatum apud eos maxime honoratum. Furor autem, qui animis illorum religionem excussit, fecit ut in prælio etiam superiores essent. Tanto namque impetu Romanos adorti sunt, ut eorum et aciem perrumperent, et per media amigna incederent, magnam

αὐτῶν καὶ διὰ μέσων χωρεῖν ἀναιροῦντας. Εἰ δὲ μὴ τῷ μὴ χαλασθέντι τῆς φάλαγγος οἵ τε ἱππεῖς ἐκπεριελθόντες ἐπήμυναν καὶ τῶν πεζῶν τὸ μὴ σφόδρα καμὸν, κἂν ἐκινδύνευσεν ὅλῃ τῇ δυνάμει Κέστιος. Ἀπέθανον δὲ Ῥωμαίων πεντακόσιοι δεκαπέντε, (τούτων ἦσαν οἱ τετρακόσιοι πεζοί, τὸ δὲ λοιπὸν ἱππεῖς), τῶν δὲ Ἰουδαίων δύο πρὸς τοῖς εἴκοσι. Γενναιότατοι δὲ αὐτῶν ἔδοξαν οἱ Μονοβάζου τοῦ τῆς Ἀδιαβηνῆς βασιλέως συγγενεῖς, Μονόβαζός τε καὶ Κενεδαῖος, μεθ' οὓς ὁ Περαΐτης Νίγερ καὶ Σίλας ὁ Βαβυλώνιος, αὐτομολήσας εἰς τοὺς Ἰουδαίους ἀπὸ Ἀγρίππα τοῦ βασιλέως· ἐστρατεύετο γὰρ παρ' αὐτῷ. Κατὰ πρόσωπον μὲν οὖν ἀναχοπέντες οἱ Ἰουδαῖοι πρὸς τὴν πόλιν ὑπέστρεφον, κατόπιν δὲ τοῖς Ῥωμαίοις ἐπὶ τὴν Βαιθωρῶν ἀνιοῦσι προσπεσὼν ὁ τοῦ Γιώρα Σίμων πολὺ τῆς οὐραγίας ἐσπάραξε, καὶ συχνὰ τῶν σκευοφόρων ἐξαρπάσας ἤγαγεν εἰς τὴν πόλιν. Μένοντος δὲ τοῦ Κεστίου κατὰ χώραν τρισὶν ἡμέραις, οἱ Ἰουδαῖοι τὰ μετέωρα κατειληφότες ἐπετήρουν τὰς παρόδους· ὄῆλοί τε ἦσαν οὐκ ἐρεμήσοντες, ἀρξαμένων τῶν Ῥωμαίων ὁδεύειν.

γ'. Ἔνθα δὴ κατιδὼν Ἀγρίππας οὐδὲ τὰ Ῥωμαίων ἀκίνδυνα, πλήθους ἀπείρου πολεμίων τὰ ὄρη περιέχοντος, ἔκρινεν ἀποπειραθῆναι τῶν Ἰουδαίων λόγοις· ἢ γὰρ πάντας πείσειν καταθέσθαι τὸν πόλεμον, ἢ τῶν ἐναντίων ἀποστήσειν τὸ μὴ συμφρονοῦν. Ἔπεμψεν οὖν τῶν παρ' ἑαυτῷ τοὺς μάλιστα γνωρίμους ἐκείνοις, Βορκαῖόν τε καὶ Φοῖβον, δεξιάς τε παρὰ Κεστίου καὶ συγγνώμην παρὰ Ῥωμαίων ἀσφαλῆ περὶ τῶν ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες πρὸς αὐτοὺς μεταβάλοιντο. Δείσαντες δὲ οἱ στασιασταὶ μὴ πᾶν τὸ πλῆθος ἀδείας ἐλπίδι πρὸς τὸν Ἀγρίππαν μεταβάληται, τοὺς ἀπ' αὐτοῦ πρεσβεύοντας ὥρμησαν ἀνελεῖν. Καὶ πρὶν ἢ φθέγξασθαι τὸν μὲν Φοῖβον διέφθειραν, ὁ δὲ Βορκαῖος τρωθεὶς ἔφθη διαφυγεῖν· τοῦ δήμου δὲ τοὺς ἐπαγανακτήσαντας λίθοις καὶ ξύλοις παίοντες εἰς τὸ ἄστυ συνήλασαν.

(ΛΘ'.) δ'. Κέστιος δὲ, τὴν πρὸς ἀλλήλους αὐτῶν ταραχὴν εὔκαιρον ἰδὼν εἰς ἐπίθεσιν, ἅπασαν ἐπῆγε τὴν δύναμιν, καὶ τραπέντας μέχρις Ἱεροσολύμων κατεδίωξεν. Στρατοπεδευσάμενος δὲ ἐπὶ τοῦ καλουμένου Σκοποῦ (διέχει δὲ οὗτος ἑπτὰ τῆς πόλεως σταδίους), τρισὶ μὲν ἡμέραις οὐκ ἐπεχείρει τῇ πόλει, τάχα τι παρὰ τῶν ἔνδον ἐνδοθήσεσθαι προσδοκῶν, εἰς δὲ τὰς πέριξ κώμας ἐρ' ἁρπαγὴν σίτου πολλοὺς διαφῆκε τῶν στρατιωτῶν· τῇ τετάρτῃ δὲ, ἥτις ἦν τριακὰς Ὑπερβερεταίου μηνὸς, διαταξάς τὴν στρατιὰν, εἰσήγαγεν εἰς τὴν πόλιν. Ὁ μὲν οὖν δῆμος ὑπὸ τοῖς στασιασταῖς ἔμφρουρος ἦν· οἱ δὲ στασιασταὶ, τὴν εὐταξίαν τῶν Ῥωμαίων καταπλαγέντες, τῶν μὲν ἔξω τῆς πόλεως μερῶν εἶχον, εἰς δὲ τὴν ἐνδοτέρω καὶ τὸ ἱερὸν ἀνεχώρουν. Κέστιος δὲ παρελθὼν ὑπεμπίπρησι τήν τε Βεζεθὰν προσαγορευομένην καὶ τὴν Καινόπολιν καὶ τὸ καλούμενον Δοκῶν ἀγοράν· ἔπειτα πρὸς τὴν ἄνω πόλιν ἐλθὼν ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς ἐστρατοπεδεύετο. Κἂν εἰπερ ἠθέλησε

edentes stragem. Adeo ut, nisi ei militum parti, quæ necdum locum amiserat, equites facto circuitu subvenissent, quique non admodum defatigati erant pedites, Cestius cum toto exercitu discrimen adiisset. Interfecti sunt autem quingenti et quindecim Romani milites, ex quibus quadringenti pedites, reliqui equites erant: ex Judæis vero duo et viginti. Illorum autem fortissimi visi sunt Monobazi regis Adiabenes propinqui, Monobazus et Cenedæus, et post hos Niger Peraita, et Silas Babylonius, qui ad Judæos ab Agrippa rege transfugerat: nam sub eo militabat. Et Judæi quidem, quum fronte cladem accepissent, in urbem se recipiebant; Romanos autem, quum Bethoron ascenderent, a tergo adortus Simon, Gioræ filius, plurimos extremi agminis coactores vellicavit multisque jumentis quæ sarcinas ferebant ereptis, ea in urbem ducebat. Cestio vero in regione per triduum morante, Judæi, locis editioribus occupatis, vias quibus iretur observabant; certumque erat fore ut non quiescerent, si Romani iter facere cœpissent.

3. Itaque ubi Agrippa Romanos a periculo haud tutos esse animadverterat, quum tanta hostium multitudo montibus passim insideret, verbis Judæos experiri decrevit: aut enim omnibus se persuasurum esse ut a bello desisterent, aut ab adversariis eos abducturum esse qui eadem cum illis non sentirent. Misit igitur e suis Borcæum et Phœbum, illis notissimos, qui et a Cestio fœdus amicitiæ, certamque pro delictis veniam a Romanis datum iri pollicerentur, si projectis armis ad ipsos transire vellent. Verum seditiosi, metu ne cuncta multitudo spe securitatis ad Agrippam sese conferret, legatos ab ipso missos interficiendi impetum ceperunt. Et, priusquam verbum facerent, Phœbum quidem peremerunt, Borcæus autem vulneratus fuga dilapsus est; quotquot vero e plebe de ea re indignabantur, fustibus atque lapidibus eos feriendo, in urbem compulerunt.

(XXXIX.) 4. Jam Cestius, animadverso hanc inter ipsos discordiam opportune cecidisse ut eos adoriretur, totum exercitum secum adducebat, inque fugam versos usque ad Hierosolyma persequutus est. Castra autem metatus in loco qui Scopus dicebatur (iste autem septem stadiis ab urbe distat), per triduum quidem nihil adversus urbem tentabat, forsan sperans fore ut qui in ea essent certis conditionibus sese dederent; in vicos vero finitimos non parvam militum manum ad rapienda frumenta dimisit. Quarto autem die, qui tricesimus erat mensis Hyperberetæi, quum exercitum ordinasset, in urbem introduxit. Et populus quidem a seditiosis custodiebatur; seditiosi vero, Romanorum acie instructa perterriti, exterioribus quidem cedebant civitatis partibus, in interiorem vero et templum se recipiebant. At Cestius ingressus et Bezetham quæ appellatur, et Cænopolin, et quod dicitur Materiæ forum, incendit: deinde quum ad superiorem urbem venisset, ex adverso aulæ regiæ castra ponebat.

κατ' αὐτὴν ἐκείνην τὴν ὥραν ἐντὸς τῶν τειχῶν βιάσασθαι, παραυτίκα τὴν πόλιν ἔσχε, καὶ τὸν πόλεμον συνέβη καταλελύσθαι. Ἀλλὰ γὰρ ὅ τε στρατοπεδάρχης Τυράννιος Πρίσκος καὶ τῶν ἱππάρχων οἱ πλεῖστοι χρήμασιν ὑπὸ Φλώρου δελεασθέντες ἀπέστρεψαν αὐτὸν τῆς ἐπιχειρήσεως· καὶ παρὰ τὴν αἰτίαν ταύτην ὅ τε πόλεμος ἐπὶ τοσοῦτον μῆκος προὔβη καὶ Ἰουδαίους ἀνηκέστων συμφορῶν ἀναπλησθῆναι συνέπεσεν.

ε'. Ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν, Ἀνάνῳ τῷ Ἰωνάθου παιδὶ πεισθέντες, ἐκάλουν τὸν Κέστιον ὡς ἀνοίξοντες αὐτῷ τὰς πύλας. Ὁ δὲ καὶ πρὸς ὀργὴν ὑπεριδὼν καὶ μὴ πάνυ πιστεύσας διεμέλλησεν ἕως οἱ στασιασταὶ, τὴν προδοσίαν αἰσθόμενοι, τοὺς μὲν περὶ τὸν Ἄνανον ἀπὸ τοῦ τείχους κατέβαλον καὶ λίθοις παίοντες συνήλασαν εἰς τὰς οἰκίας, αὐτοὶ δὲ διαστάντες ἐπὶ τῶν πύργων τοὺς ἀποπειρωμένους τοῦ τείχους ἔβαλλον. Πέντε μὲν οὖν ἡμέραις πάντοθεν ἐπιχειροῦσι τοῖς Ῥωμαίοις ἀμήχανος ἦν ἡ προσβολή· τῇ δὲ ἐπιούσῃ ἀναλαβὼν ὁ Κέστιος τῶν τε ἐπιλέκτων συγχοὺς καὶ τοὺς τοξότας κατὰ τὸ προσάρκτιον ἐπιχειρεῖ κλίμα τῷ ἱερῷ. Ἰουδαῖοι δὲ ἀπὸ τῆς στοᾶς εἶργον, καὶ πολλάκις μὲν ἀπεκρούσαντο τοὺς τῷ τείχει προσελθόντας, τέλος δὲ τῷ πλήθει τῶν βελῶν ἀνακοπέντες ὑπεχώρησαν. Τῶν δὲ Ῥωμαίων οἱ πρῶτοι τοὺς θυρεοὺς εἰς τὸ τεῖχος ἐξερείσαντες καὶ κατὰ τούτων οἱ κατόπιν ἄλλους, οἵ τε ἑξῆς ὁμοίως, τὴν καλουμένην παρ' αὐτοῖς χελώνην ἐφράξαντο· καθ' ἧς τὰ βέλη φερόμενα περιωλίσθανεν ἄπρακτα, μηδὲν δὲ οἱ στρατιῶται κακούμενοι τὸ τεῖχος ὑπώρυσσον, καὶ τοῦ ἱεροῦ τὴν πύλην ὑποπιμπράναι παρεσκευάζοντο.

ς'. Δεινὴ δὲ τοὺς στασιαστὰς ἔκπληξις κατέλαβεν· ἤδη δὲ πολλοὶ διεδίδρασκον ἀπὸ τῆς πόλεως, ὡς ἁλωσομένης αὐτίκα. Τὸν δὲ δῆμον συνέβαινεν ἐπὶ τούτοις θαρρεῖν, καὶ καθὸ παρείκοιεν οἱ πονηροὶ, προσήεσαν αὐτοὶ τὰς πύλας ἀνοίξοντες καὶ δεξόμενοι τὸν Κέστιον ὡς εὐεργέτην· ὃς εἰ βραχὺ τῇ πολιορκίᾳ προσελιπάρησε, κἂν εὐθέως τὴν πόλιν παρέλαβεν. Ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς ἀπεστραμμένος ὁ Θεὸς ἤδη καὶ τὰ ἅγια τέλος λαβεῖν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐκώλυσε τὸν πόλεμον.

(Μ'.) ζ'. Ὁ γοῦν Κέστιος οὔτε τὴν τῶν πολιορκουμένων ἀπόγνωσιν, οὔτε τὸ φρόνημα τοῦ δήμου συνιδὼν, ἐξαίφνης ἀνεκάλεσε τοὺς στρατιώτας, καὶ καταγνοὺς ἐπ' οὐδεμιᾷ πληγῇ τῶν ἐλπίδων παραλογώτατα ἀπὸ τῆς πόλεως ἀνέζευξεν. Πρὸς δὲ τὴν ἀδόκητον αὐτοῦ τροπὴν ἀναθαρρήσαντες οἱ λῃσταὶ κατὰ τῶν ὑστάτων ἐξέδραμον, καὶ συχνοὺς τῶν ἱππέων καὶ πεζῶν διέφθειραν. Τότε μὲν οὖν ἐν τῷ κατὰ τὸν Σκοπὸν στρατοπέδῳ αὐλίζεται Κέστιος, τῇ δὲ ἐπιούσῃ προσωτέρω χωριζόμενος μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους· καὶ τοὺς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον, καθ' ἕτερον δὲ τῆς ὁδοῦ προσιόντες ἠκόντιζον εἰς πλαγίους. Οὔτε δὲ ἐπιστραφῆναι πρὸς τοὺς κατόπιν τιτρώσκοντας ἐθάρρουν οἱ τελευταῖοι, ἄπειρόν τι πλῆθος οἰόμενοι διώκειν, καὶ τοὺς

Et si eadem illa hora voluisset vi muros perrumpere, e vestigio urbem cepisset, bellumque ab ipso confectum fuisse contigisset. Verum et exercitus præfectus Tyrannius Priscus et plurimi equitum magistri, pecunia a Floro inescati, ipsum ab incepto averterunt: atque propter hanc causam et bellum adeo in longum productum est, acciditque Judæis ut gravissimis redundarent calamitatibus.

5. Interea autem multi e melioris notæ civibus, ab Ananο Jonathæ filio adducti, Cestium, ut portas ei patefacturi, vocabant. Ille vero, præ ira fastidiosus eisque nonnihil diffisus, eo usque cunctatus est, donec seditiosi, intellecta proditione, Ananum cum suis de muro dejecerunt, eosque lapidibus feriendo in domos compulerunt: ceterum ipsi, per turres dispositi, mœnia demolientes telis impetebant. Et per dies quidem quinque irrito conatu in muros undique impressionem facere tentabant Romani; die autem sequenti Cestius, cum electissimis quibusque militum itemque sagittariis, a septemtrionali tractu templum aggreditur. Verum Judæi a porticibus eos repellebant, et crebro quidem quotquot ad muros accederent propulsarunt, tandem vero telorum multitudine ab impetu inhibiti recessere. Atque Romanorum qui in fronte prima erant quum clypeos muris firmiter applicuissent, illique qui a tergo erant alios adjunxissent, ac deinde alii similiter, testudinem ab illis appellatam fabricarunt: unde tela in eam acta circumquaque irrita delabebantur, et milites plane illæsi mœnia suffodiebant, adeo ut templi portæ ignem subjicere parati essent.

6. Tum vehemens seditiosos occupabat timor, jamque multi ex civitate diffugiebant, ac si continuo esset expugnanda. Qua re fiebat ut populus fiduciam sumeret, et prout scelerati homines cedebant, illi aderant portas aperturi et Cestium tanquam benefactorem in urbem recepturi. Qui si paullum in oppugnatione fortiter perseverasset, celeriter civitatem in potestatem suam redegisset. Sed Deus, ut arbitror, propter sceleratos etiam sacra aversatus, in causa erat quod iste dies finem bello non attulerit.

(XL.) 7. Cestius itaque, ut qui neque obsessorum desperationem neque populi in se animos rescivit, subito milites revocavit; et spe sine ulla plaga abjecta, præter omnium opinionem ex urbe discessit. Latrones autem, animis ex ejus fuga inexspectata resumptis, in postremos excursionem fecerunt, et multos tam equitum quam peditum peremerunt. Et tunc quidem Cestius in castris apud Scopum noctem agit; sequenti vero die longius progrediens magis hostes excivit et animavit: qui extremos agminum insectantes occidebant, atque ex altera viæ parte incursantes in transversos tela conjiciebant. Et neque novissimi in eos se convertere audebant, qui a tergo illos sauciarent, ingentem quippe multitudinem eos insequi existimantes, neque a lateribus urgentes propulsare sustinebant, quum ipsi

κατὰ πλευρὰν ἐγκειμένους ἀναστέλλειν οὐχ ὑπέμενον, αὐτοὶ μὲν ὄντες βαρεῖς καὶ δεδοικότες τὴν τάξιν διασπᾶν, τοὺς δὲ Ἰουδαίους ὁρῶντες κούφους καὶ πρὸς τὰς ἐπιδρομὰς εὐκόλους, ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι μηδὲν ἀντιβλάπτουσι τοὺς ἐχθρούς. Παρ' ὅλην δὲ τὴν ὁδὸν παιόμενοι καὶ τῆς φάλαγγος ἐκσειόμενοι κατέπιπτον, μέχρι πολλῶν διαφθαρέντων, ἐν οἷς ἦν Πρίσκος μὲν στρατάρχης τάγματος ἕκτου, Λογγῖνος δὲ χιλίαρχος, ἔπαρχος δὲ ἴλης Αἰμίλιος Ἰουκοῦνδος ὄνομα, μόλις εἰς Γαβαὼ κατήντησαν ἐπὶ τὸ πρότερον στρατόπεδον, τὰ πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες. Ἔνθα δύο μὲν ἡμέρας ἐπέμεινεν ὁ Κέστιος, ἀμηχανῶν ὅ τι χρὴ ποιεῖν, τῇ τρίτῃ δὲ πολλῷ πλείους τοὺς πολεμίους θεασάμενος καὶ πάντα τὰ κύκλῳ μεστὰ Ἰουδαίων, ἔγνω καθ' ἑαυτοῦ τε βραδύνας, καὶ ἐὰν ἔτι μείνῃ πλείοσι χρησόμενος ἐχθροῖς.

η'. Ἵνα δὲ συντονωτέρᾳ χρήσαιτο φυγῇ, τὰ τὴν στρατιὰν ἀνθέλκοντα περικόπτειν προσέταξε. Διαφθαρέντων δὲ τῶν τε ὀρέων καὶ τῶν ὑποζυγίων, πλὴν ὅσα βέλη παρεκόμιζε καὶ μηχανάς (τούτων γὰρ διὰ τὴν χρείαν περιείχοντο, καὶ μάλιστα δεδοικότες μὴ Ἰουδαίοις κατ' αὐτῶν ἁλῷ), προῆγε τὴν δύναμιν ἐπὶ Βαιθώρας. Οἱ δὲ Ἰουδαῖοι κατὰ μὲν τὰς εὐρυχωρίας ἧττον ἐπέκειντο, συνειληθέντων δὲ εἰς τὴν κατὰ στενὰ κατάβασιν, οἱ μὲν φθάσαντες εἶργον αὐτοὺς τῆς ἐξόδου, ἄλλοι δὲ τοὺς ὑστάτους κατεώθουν εἰς τὴν φάραγγα· τὸ δὲ πᾶν πλῆθος παρεκταθὲν ὑπὲρ τὸν αὐχένα τῆς ὁδοῦ κατεκάλυπτε τὴν φάλαγγα τοῖς βέλεσιν. Ἔνθα καὶ τῶν πεζῶν ἀμηχανούντων προσαμύνειν ἑαυτοῖς ἐπισφαλέστερος τοῖς ἱππεῦσιν ὁ κίνδυνος ἦν· οὔτε γὰρ ἐν τάξει κατὰ τῆς ὁδοῦ βαδίζειν ἐδύναντο βαλλόμενοι καὶ τὸ πρόσαντες ἐπὶ τοὺς πολεμίους ἱππάσιμον οὐκ ἦν. Τὸ δὲ ἐπὶ θάτερα κρημνοὶ καὶ φάραγγες, εἰς οὓς ἀποσφαλέντες κατεφέροντο, καὶ οὔτε φυγῆς τόπον οὔτε ἀμύνης εἶχον ἐπίνοιαν, ἀλλ' ὑπ' ἀμηχανίας ἐπ' οἰμωγὴν ἐτράποντο καὶ τοὺς ἐν ἀπογνώσεσιν ὀδυρμούς· ἀντήχει δὲ αὐτοῖς τὸ παρὰ Ἰουδαίων ἐγκέλευσμα καὶ κραυγὴ χαιρόντων ἅμα καὶ τεθυμωμένων. Ὀλίγου δὲ δεῖν πᾶσαν ἂν ἥρπασαν τὴν ἅμα Κεστίῳ δύναμιν, εἰ μὴ νὺξ ἐπέλαβεν, ἐν ᾗ Ῥωμαῖοι μὲν εἰς τὴν Βαιθώραν κατέφυγον, Ἰουδαῖοι δὲ πάντα τὰ κύκλῳ περισχόντες ἐφρούρουν αὐτῶν τὴν ἔξοδον.

θ'. Ἔνθα δὴ Κέστιος τὴν φανερὰν ὁδὸν ἀπογνοὺς δρασμὸν ἐβουλεύετο, καὶ διακρίνας τοὺς εὐψυχοτάτους στρατιώτας ὡσεὶ τετρακοσίους ἐπέστησε τοῖς ὀχυρώμασι, προστάξας ἀναβάντας σημαίας τῶν ἐν τοῖς στρατοπέδοις φυλάκων ἱστᾶν, ὅπως οἱ Ἰουδαῖοι πᾶσαν οἴωνται τὴν δύναμιν κατὰ χώραν μένειν· αὐτὸς δὲ τοὺς λοιποὺς ἀναλαβὼν ἡσυχῇ τριάκοντα πρόεισι σταδίους. Ἔωθεν δὲ Ἰουδαῖοι, κατιδόντες ἔρημον τὴν ἔπαυλιν αὐτῶν, ἐπὶ τοὺς ἐξαπατήσαντας τετρακοσίους ἔδραμον· κἀκείνους μὲν ταχέως κατηκόντισαν, ἐδίωκον δὲ τὸν Κέστιον. Ὁ δὲ τῆς νυκτὸς οὐκ ὀλίγον προειλήφει καὶ συντονώτερον ἔφευγε μεθ' ἡμέραν, ὥστε τοὺς στρατιώτας ὑπ' ἐκπλήξεως καὶ

quidem et graves essent, et valde metuerent ne acies interrumperetur, Judæos autem leves viderent et ad incursiones expeditos; unde eveniebat ut ipsi multa mala perpeterentur, cum e contra nihil hostibus nocerent. Per totam igitur viam perculsi et ex acie excussi sternebantur; donec multis occisis, in quibus erat Priscus sextæ legionis dux, et Longinus tribunus, alæque præfectus Æmilius nomine Jucundus, vix in Gabao ad priora castra pervenerunt, etiam impedimentis multis amissis. Ubi Cestius quidem biduum moratus est, incertus quid ageret. Tertio autem die, quum hostes in numerum multo majorem crevisse vidisset, et loca omnia circumcirca Judæorum plena, tum demum intellexit ei sibi obfuisse cunctationem, et, si adhuc ibi maneret, plures se hostes habiturum.

8. Itaque ut se in breviorem fugam daret, cuncta quæ militibus impedimento erant abjici præcepit. Occisisque mulis et aliis jumentis, præter illa quæ sagittas et machinas portarent (hæc enim ut usui futura servabant, præsertimque quod veriti essent ne a Judæis capta sibi in exitium verterentur), Bethoron usque deducebat exercitum. At Judæi, dum per loca quidem spatiosa iretur, minus urgebant; quum autem in angustias descensus conclusi essent, alii quidem eos prævenientes ab exitu prohibuerunt, alii vero postremos in vallem compulerunt, totaque multitudo juxta fauces viæ protensa exercitum telis operuerunt. Ubi dum et pedites incerti erant quo modo sese defenderent, in majore discrimine versabantur equites: nam neque servatis ordinibus viam insistere poterant jaculis petiti, et ne contra hostes irent, ascensus ardui prohibebant equitantibus invii. Ex altera vero parte præcipitia et hiatus erant in quos lapsi deferebantur, adeo ut neque fugæ locum haberent, neque de sui defensione cogitarent, sed præ consilii inopia ad luctus et lamentationes se convertebant, desperantium more; illisque resonabat hortatio apud Judæos cum clamore lætantium pariter atque sævientium. Parum autem aberat quin totum exercitum Cestii corripuissent, nisi nox appetisset, qua Romani quidem in Bethoron se recipiebant, Judæi vero, locis omnibus in circuitu obsessis, eorum exitus observabant.

9. Tum ubi Cestius de aperto itinere desperavit, de fuga cogitabat, militumque fortissimis ad quadringentos delectis, per munimenta eos disposuit, cum mandatis ut postquam ascendissent vigilias in castris agentium signa erigerent, ex quibus Judæi copias omnes in loco manere arbitrarentur: Ipse vero cum reliquis tacite per triginta stadia progreditur. Mane autem Judæi, quum locum ubi morati erant desertum vidissent, in quadringentos, qui ipsos deceperant, irruebant, et illos quidem ocius jaculis confecerunt, dein autem Cestium persequebantur. Ille vero et noctis partem non exiguam jam ante occupaverat, dieque properantius iter urgebat: adeo ut milites metu perculsi helepoles et catapul-

δέους τάς τε ἑλεπόλεις καὶ τοὺς ὀξυβελεῖς καὶ τὰ πολλὰ τῶν ἄλλων ὀργάνων καταλιπεῖν, ἃ τότε Ἰουδαῖοι λαβόντες αὖθις ἐχρήσαντο κατὰ τῶν ἀφέντων. Προῆλθον δὲ τοὺς Ῥωμαίους διώκοντες μέχρις Ἀντιπατρίδος. Ἔπειτα ὡς οὐ κατελάμβανον, ὑποστρέφοντες τάς τε μηχανὰς ἦρον, καὶ τοὺς νεκροὺς ἐσύλων, τήν τε ἀπολειφθεῖσαν λείαν συνῆγον, καὶ μετὰ παιάνων εἰς τὴν μητρόπολιν ἐπαλινδρόμουν, αὐτοὶ μὲν ὀλίγους ἀποβεβλημένοι παντάπασι, τῶν δὲ Ῥωμαίων καὶ τῶν συμμάχων πεζοὺς μὲν πεντακισχιλίους καὶ τριακοσίους ἀνῃρηκότες, ἱππεῖς δὲ τριακοσίους καὶ ὀγδοήκοντα. Ταῦτα μὲν οὖν ἐπράχθη Δίου μηνὸς ὀγδόῃ, δωδεκάτῳ ἔτει τῆς Νέρωνος ἡγεμονίας.

ΚΕΦ. Κ'.

Μετὰ δὲ τὴν Κεστίου συμφορὰν πολλοὶ τῶν ἐπιφανῶν Ἰουδαίων ὥσπερ βαπτιζομένης νεὼς ἀπενήχοντο τῆς πόλεως. Κοστόβαρος οὖν καὶ Σαοῦλος ἀδελφοὶ σὺν Φιλίππῳ τῷ Ἰακίμου (στρατοπεδάρχης δὲ ἦν οὗτος Ἀγρίππα τοῦ βασιλέως) διαδράντες ἐκ τῆς πόλεως ᾤχοντο πρὸς Κέστιον. Ὁ δὲ σὺν τούτοις κατὰ τὴν βασιλικὴν αὐλὴν πολιορκηθεὶς Ἀντίπας ὑπεριδὼν τὴν φυγὴν αὖθις ὡς ὑπὸ τῶν στασιαστῶν διεφθάρη δηλώσομεν. Κέστιος δὲ τοὺς περὶ Σαοῦλον ἀξιώσαντας ἀνέπεμψεν εἰς Ἀχαΐαν πρὸς Νέρωνα, τήν τε αὐτῶν δηλώσοντας ἀνάγκην καὶ τὰς αἰτίας τοῦ πολέμου τρέψοντας εἰς Φλῶρον· τῇ γὰρ ἐπ' ἐκεῖνον ὀργῇ κουφίσειν καὶ τοὺς ἑαυτοῦ κινδύνους ἤλπισεν.

β'. Κἀν τούτῳ Δαμασκηνοὶ τὴν τῶν Ῥωμαίων φθορὰν πυθόμενοι τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνελεῖν ἐσπούδασαν. Καὶ καθὸ μὲν εἶχον αὐτοὺς ἐν τῷ γυμνασίῳ πάλαι συνηθροισμένους διὰ τὰς ὑποψίας, τοῦτο πραγματευσάμενοι, ῥᾴστην τὴν ἐπιχείρησιν ἐδόκουν· ἐδεδοίκεσαν δὲ τὰς ἑαυτῶν γυναῖκας ἁπάσας πλὴν ὀλίγων ὑπηγμένας τῇ Ἰουδαϊκῇ θρησκείᾳ· διὸ μέγιστος αὐτοῖς ἀγὼν ἐγένετο λαθεῖν ἐκείνας. Τοὺς δὲ Ἰουδαίους, ὡς ἂν ἐν στενῷ χωρίῳ, τὸν ἀριθμὸν ὄντας μυρίους, καὶ πάντας ἀνόπλους ἐπελθόντες, ὑπὸ μίαν ὥραν ἀδεῶς ἔσφαξαν.

(MB'.) γ'. Οἱ δὲ διώξαντες τὸν Κέστιον ὡς ὑπέστρεψαν εἰς Ἱεροσόλυμα τοὺς μὲν βίᾳ τῶν ἔτι ῥωμαϊζόντων, τοὺς δὲ πειθοῖ προσήγοντο, καὶ συναθροισθέντες εἰς τὸ ἱερὸν στρατηγοὺς ἀπεδείκνυσαν τοῦ πολέμου πλείονας. Ἡρέθη δὲ Ἰώσηπος υἱὸς Γωρίωνος καὶ ὁ ἀρχιερεὺς Ἄνανος, τῶν τε κατὰ τὴν πόλιν ἁπάντων αὐτοκράτορες καὶ μάλιστα τὰ τείχη τῆς πόλεως ἀνεγείρειν. Τὸν γὰρ τοῦ Σίμωνος υἱὸν Ἐλεάζαρον, καίπερ ὑφ' ἑαυτῷ πεποιημένον τὴν Ῥωμαίων λείαν καὶ τὰ ἁρπαγέντα Κεστίου χρήματα, πρὸς οἷς πολλὰ τῶν δημοσίων θησαυρῶν, ὅμως οὐκ ἐπέστησαν ταῖς χρείαις, αὐτόν τε τυραννικὸν ὁρῶντες καὶ τοὺς ὑπ' αὐτῷ ζηλωτὰς δορυφόρων ἔθεσι χρωμένους. Κατ' ὀλίγον γε μὴν ἥ τε χρεία τῶν χρημάτων καὶ γοητεύων Ἐλεάζαρος ἐκπεριῆλθε τὸν δῆμον, ὥστε αὐτῷ πειθαρχεῖν περὶ τῶν ὅλων.

tas et alia multa instrumenta relinquerent, quibus tunc captis Judæi postea contra illos qui ea dimiserant usi sunt. Romanos autem persequendo Antipatridem usque processerunt. Deinde quum eos assequi non potuissent, inter revertendum et machinas capiebant, et mortuos spoliabant, prædamque relictam colligebant; et pæanas canentes ad metropolim regrediebantur, suorum quidem paucis admodum amissis, Romanorum autem et auxiliarium quinque millibus peditum ac trecentis, equitibusque trecentis et octoginta interemptis. Et ista quidem gesta sunt die octavo mensis Dii, anno decimo secundo Neronis imperii.

CAP. XX. (XLI.)

At post calamitatem a Cestio acceptam nobilium Judæorum multi, quasi in eo esset navis ut mergeretur, e civitate veluti natando egressi sunt. Costobarus itaque et Saulus fratres, una cum Philippo Jacimi filio (hic autem Agrippæ regis exercitus præfectus erat), ex urbe fuga dilapsi ad Cestium se contulerunt. Quemadmodum vero Antipas, qui cum eis in aula regia obsessus illinc profugere noluit, a seditiosis fuerit interemptus, posthac declarabimus. Cestius autem Saulum ceterosque ex ipsorum petitione in Achaiam ad Neronem misit, et propriam necessitatem indicaturos, belli inchoati culpam in Florum translaturos : faciendo enim ut illi succenseretur, fore speravit ut aliquid de suo tolleret periculo.

2. Eo etiam tempore Damasceni, clade Romanorum audita, studiose id egerunt ut Judæos apud se degentes occiderent. Et quemadmodum ipsos quidem in gymnasio olim congregatos habebant propter suspiciones, hoc effecto haud fore rem aggressu difficilem existimabant : veriti autem erant uxores suas, ad unam fere omnes religioni Judaicæ addictas. Quare maximæ illis curæ erat ut eas laterent. Judæos autem, numero ad decem millia, quippe ut in angusto loco, omnesque inermes aggressi, una hora nullo negotio jugularunt.

(XLII.) 3. Qui vero Cestium persequuti sunt, postquam Hierosolyma erant reversi, Romanorum adhuc studiosos partim vi, partim blanditiis sibi adjungebant : et in templum congregati plures belli duces crearunt. Electus est autem Josephus Gorionis filius, et pontifex Ananus, qui summæ rerum omnium in urbe præessent, maximeque civitatis muros denuo erigerent. Filium namque Simonis Eleazarum, quamvis prædam ex Romanis partam et pecunias Cestio ereptas, prætereaque multa ex publicis thesauris in potestate sua habuerit, tamen negotiis summis præficere noluerunt, utpote quod et ipsum tyrannidem affectantem viderent, ejusque sectatores ei obsequentes satellitum more se gerere. Ceterum brevi pecuniæ indigentia, et præstigiis suis Eleazarus ita populum circumvenit, ut ei in summa rerum parerent.

δ'. Εἰς δὲ τὴν Ἰδουμαίαν ἑτέρους ἐπελέξαντο στρατηγοὺς, Ἰησοῦν τε τὸν υἱὸν Σαπφία τῶν ἀρχιερέων ἕνα καὶ Ἐλεάζαρον ἀρχιερέως υἱὸν Ἀνανίου. Τῷ δὲ ἄρχοντι τότε τῆς Ἰδουμαίας Νίγερι (γένος δὲ ἦν ἐκ τῆς περὶ Ἰορδάνην Περαίας, διὸ καὶ Περαίτης ἐπεκαλεῖτο) προσέταξαν ὑποτάσσεσθαι τότε τοῖς στρατηγοῖς. Ἡμέλουν δὲ οὐδὲ τῆς ἄλλης χώρας, ἀλλ' εἰς μὲν Ἱεριχοῦντα Ἰώσηπος ὁ Σίμωνος, εἰς δὲ τὴν Περαίαν Μανασσῆς, Θαμνᾶ δὲ τοπαρχίας Ἰωάννης ὁ Ἐσσαῖος στρατηγήσων ἐπέμφθη· προσκεκλήρωτο δὲ αὐτῷ Λύδδα καὶ Ἰόπη καὶ Ἀμμασοῦς. Τῆς δὲ Γοφνιτικῆς καὶ Ἀκραβατηνῆς ὁ Ἀνανίου Ἰωάννης ἡγεμὼν ἀποδείκνυται, καὶ τῆς Γαλιλαίας ἑκατέρας Ἰώσηπος Ματθίου· προσώριστο δὲ τῇ τούτου στρατηγίᾳ καὶ Γάμαλα, τῶν ταύτῃ πόλεων ὀχυρωτάτη.

ε'. Τῶν μὲν οὖν ἄλλων στρατηγῶν ἕκαστος ὡς εἶχε προθυμίας καὶ συνέσεως διῴκει τὰ πεπιστευμένα· Ἰώσηπος δὲ εἰς τὴν Γαλιλαίαν ἐλθὼν πρῶτον ἐφρόντισε τῆς εἰς αὐτὸν εὐνοίας τῶν ἐπιχωρίων, εἰδὼς ὅτι ταύτῃ πλεῖστα κατορθώσει, κἂν τἆλλα διαμαρτάνῃ. Συνιδὼν δὲ ὅτι τοὺς μὲν δυνατοὺς οἰκειώσεται μεταδιδοὺς τῆς ἐξουσίας αὐτοῖς, τὸ δὲ πᾶν πλῆθος, εἰ δι' ἐγχωρίων καὶ συνήθων τὰ πολλὰ προστάσσοι, τῶν μὲν γηραιῶν ἑβδομήκοντα τοὺς σωφρονεστάτους ἐπιλέξας ἐκ τοῦ ἔθνους κατέστησεν ἄρχοντας ὅλης τῆς Γαλιλαίας, ἑπτὰ δὲ ἐν ἑκάστῃ πόλει δικαστὰς τῶν εὐτελεστέρων διαφορῶν· τὰ γὰρ μείζω πράγματα καὶ τὰς φονικὰς δίκας ἐφ' ἑαυτὸν ἀναπέμπειν ἐκέλευσε καὶ τοὺς ἑβδομήκοντα.

ς'. Καταστησάμενος δὲ τὰ πρὸς ἀλλήλους νόμιμα τῶν κατὰ πόλιν, ἐπὶ τὴν ἔξωθεν αὐτῶν ἀσφάλειαν ἐχώρει· καὶ γινώσκων Ῥωμαίους προσβαλοῦντας εἰς τὴν Γαλιλαίαν, τἀπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἰωτάπατα καὶ Βηρσαβεὲ καὶ Σελαμὶν, ἔτι δὲ Καφαρεχὼ καὶ Ἰαφὰ καὶ Σιγὼφ, τό τε Ἰταβύριον καλούμενον ὄρος, καὶ Ταριχέας καὶ Τιβεριάδα· πρὸς δὲ τούτοις, τὰ περὶ Γεννησὰρ τὴν λίμνην σπήλαια κατὰ τὴν κάτω καλουμένην Γαλιλαίαν ἀνετειχίσατο, τῆς τε ἄνω Γαλιλαίας τήν τε προσαγορευομένην Ἀχαβάρων πέτραν καὶ Σὲφ καὶ Ἰαμνὶθ καὶ Μηρώθ· κατὰ δὲ τὴν Γαυλανῖτιν Σελεύκειάν τε καὶ Σωγάνην καὶ Γάμαλαν ὠχύρωσεν. Μόνοις δὲ Σεπφωρίταις ἀφῆκε καθ' ἑαυτοὺς τεῖχος ἀναδείμασθαι, χρημάτων τε εὐπόρους ὁρῶν ὄντας καὶ προθύμους ἐπὶ τὸν πόλεμον δίχα προστάγματος. Ὁμοίως δὲ καὶ Γίσχαλα Ἰωάννης ὁ Λευΐου υἱὸς καθ' ἑαυτὸν ἐτείχιζεν, Ἰωσήπου κελεύσαντος. Τοῖς δὲ ἄλλοις ἐρύμασιν αὐτὸς ἅπασι συμπονῶν ἅμα καὶ προστάσσων παρῆν. Κατέλεξε δὲ καὶ δύναμιν ἐκ τῆς Γαλιλαίας ὑπὲρ δέκα μυριάδας νέων ἀνδρῶν, οὓς πάντας ἐκ τῶν συλλεγομένων παλαιῶν ὅπλων αὐτοὺς ἐγκατασκευαζόμενος ὥπλιζεν.

ζ'. Ἔπειτα συνιδὼν ἀήττητον τὴν Ῥωμαίων ἰσχὺν γεγενημένην εὐπειθείᾳ μάλιστα καὶ μελέτῃ τῶν ὅπλων, τὴν μὲν διδασκαλίαν ἀπέγνω τῇ χρείᾳ διωκομένην, τὸ δὲ εὐπειθὲς ὁρῶν περιγινόμενον ἐκ τοῦ πλήθους τῶν

4. Alios autem in Idumæam mittendos elegerunt duces, Jesum Sapphiæ filium, unum e pontificibus, et Eleazarum Ananiæ pontificis filium. Nigro autem, qui tunc Idumæam regebat (e regione trans Jordanem oriundo, unde Peraites cognominabantur), præceperunt ut tunc ducibus illis obtemperaret. Neque aliarum regionum negligentes erant, sed in Hierichuntem Josephus filius Simonis, et in Peræam Manasses, in Thamnæ vero toparchiam missus est Joannes Essæus qui eam administraret. Huic additæ sunt etiam Lydda et Iope et Ammaus. Gophniticæ autem et Acrabatenæ Joannes Ananiæ filius præficitur, et utrique Galilææ Josephus Matthiæ filius : hujusque præfecturæ attributa est etiam Gamala, civitatum illac munitissima.

5. Et aliorum quidem præsidum, pro ea qua erat voluntate et prudentia, quisque res sibi creditas administrabat : at Josepho, quum in Galilæam venisset, primum curæ fuit indigenarum sibi conciliare benevolentiam, ut qui probe norit sibi hac via in plerisque rem successuram, licet reliqua minus feliciter caderent. Quum autem secum reputasset quod potentissimos quidem amicos habiturus sit, si eos participes potestatis faceret; omnem vero multitudinem, si pleraque per indigenas et consuetos fieri præciperet, de senioribus quidem gentis septuaginta prudentissimis delectis, eos cum potestate omni Galilææ præfecit, septem vero per singulas civitates minorum litium judices constituit : nam graviora negotia causasque capitales ad se et septuagintaviros remitti jussit.

6. Disposito autem per civitates jure quo inter se uterentur, quemadmodum ab externa vi tuti essent insuper curabat : cognitoque Romanos in Galilæam facturos esse irruptionem, loca opportuna muro cingebat, Iotapata et Bersabee et Selamin, necnon Capherecchо et Iapha et Sigoph, et montem cui nomen est Itabyrio, et Taricheas et Tiberiadem : prætereaque speluncas ad lacum Gennesar, in Galilæa quæ inferior dicitur, munivit; in Galilæa etiam superiori petram quæ Achabarorum appellatur, et Seph et Jamnith et Meroth; in Gaulanitide vero Seleuciam et Soganen et Gamalam mœnibus firmavit. Solis autem Sepphoritis permisit ut murum sibimet ipsis fabricarent, quod eos et pecunia abundare videret et sponte sua ad bellum properare. Similiter et Gischala Joannes Levi filius suo suorumque opere muro cingi curavit, prout jusserat Josephus. Ceteris autem munimentis omnibus ipse intererat jubendo simul atque opem ferendo. Præterea exercitum ad centum millia tironum et amplius e Galilæa conscripsit, quos omnes, armis veteribus undique collectis ipsos instruens, armavit.

7. Deinde quum secum reputasset Romanorum virtutem factam esse invictam maxime quod dicto audientes essent, et armis sese exercerent, disciplinam quidem militarem usu assequendam insuper habebat, parendi autem facili-

ἡγεμόνων, Ῥωμαϊκώτερον ἔτεμνε τὴν στρατιάν, καὶ πλείους καθίστατο ταξιάρχας. Στρατιωτῶν δὲ ἀπέδειξνυε διαφορὰς, καὶ τούτους μὲν ὑπέτασσε δεκαδάρχαις καὶ ἑκατοντάρχαις, ἔπειτα χιλιάρχοις, καὶ ἐπὶ τούτοις ἡγεμόσι ταγμάτων ἀδροτέρων ἀφηγουμένοις. Ἐδίδασκέ τε σημείων παραδόσεις καὶ σάλπιγγος προσκλήσεις τε καὶ ἀνακλήσεις, προσβολάς τε κεράτων καὶ περιαγωγὰς, καὶ πῶς δεῖ πρὸς μὲν τὸ κάμνον ἐπιστρέφειν ἐκ τοῦ περιόντος, ἐν δὲ τῷ πονοῦντι συμπαθεῖν· ὅσα τε εἰς παράστημα ψυχῆς καὶ σώματος καρτερίαν, συνεχῶς ἀφηγεῖτο. Μάλιστα δὲ αὐτοὺς ἦσκει πρὸς τὸν πόλεμον, παρ' ἕκαστα τὴν Ῥωμαίων εὐταξίαν διηγούμενος, καὶ ὡς πολεμήσουσι πρὸς ἄνδρας, οἱ δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα πάσης ἁλίγου δεῖν τῆς οἰκουμένης κρατοῦσιν. Ἔφη δὲ πεῖραν αὐτῶν λαβεῖν τῆς κατὰ τὸν πόλεμον εὐταξίας καὶ πρὸ παρατάξεως, εἰ τῶν συνήθων ἀδικημάτων ἀπόσχοιντο, κλοπῆς καὶ ληστείας καὶ ἁρπαγῆς, τοῦ τε ἐξαπατᾶν τὸ δμόφυλον, καὶ μὴ κέρδος οἰκεῖον ἡγεῖσθαι τὴν βλάβην τῶν συνηθεστάτων. Διοικεῖσθαι γὰρ κάλλιστα τοὺς πολέμους, παρ' οἷς ἂν ἀγαθὸν τὸ συνειδὸς ἔχωσιν οἱ στρατευόμενοι· τοὺς δὲ οἴκοθεν φαύλους οὐ μόνον τοῖς ἐπιοῦσιν ἐχθροῖς, ἀλλὰ καὶ τῷ Θεῷ χρῆσθαι πολεμίῳ.

η'. Πολλὰ τοιαῦτα παραινῶν διετέλει. Καὶ τὸ μὲν ἕτοιμον εἰς παράταξιν αὐτῷ συγκεκρότητο, πεζῶν μὲν ἓξ μυριάδες, ἱππεῖς δὲ διακόσιοι καὶ πεντήκοντα· χωρὶς δὲ τούτων, οἷς ἐπεποίθει μάλιστα, μισθοφόροι περὶ τετρακισχιλίους καὶ πεντακοσίους. Ἐπιλέκτους δὲ περὶ αὐτὸν εἶχεν ἑξακοσίους φύλακας τοῦ σώματος. Ἕτερον δὲ πλὴν τῶν μισθοφόρων τὴν ἄλλην στρατιὰν αἱ πόλεις ῥᾳδίως· τῶν γὰρ καταλεγέντων ἑκάστη, τοὺς ἡμίσεις ἐπὶ τὴν στρατιὰν ἐκπέμπουσα, τοὺς λοιποὺς ἐπὶ συμπορισμὸν αὐτοῖς τῶν ἐπιτηδείων κατεῖχεν· ὥστε τοὺς μὲν εἰς ὅπλα, τοὺς δὲ εἰς ἐργασίαν διῃρῆσθαι, καὶ τοῖς τὰ σῖτα πέμπουσιν ἀντιχορηγεῖσθαι παρὰ τῶν ὁπλιτῶν τὴν ἀσφάλειαν.

ΚΕΦ. ΚΑ'.

Διοικοῦντι δὲ οὕτω τῷ Ἰωσήπῳ τὰ κατὰ τὴν Γαλιλαίαν παρανίσταταί τις ἐπίβουλος ἀνὴρ ἀπὸ Γισχάλων, υἱὸς Λευΐου, Ἰωάννης ὄνομα, πανουργότατος μὲν καὶ δολιώτατος τῶν ἐπισήμων, ἐν δὲ τοῖς πονηρεύμασιν ἁπάντων· πένης δὲ τὰ πρῶτα καὶ μέχρι πολλοῦ κώλυμα σχὼν τῆς κακίας τὴν ἀπορίαν, ἕτοιμος μὲν ψεύδεσθαι, δεινὸς δὲ ἐπιθεῖναι πίστιν τοῖς ἐψευσμένοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ τῶν φιλτάτων χρώμενος, ὑποκριτὴς φιλανθρωπίας, καὶ δι' ἐλπίδα κέρδους φονικώτατος, ἀεὶ μὲν ἐπιθυμήσας μεγάλων, τρέφων δὲ τὰς ἐλπίδας ἐκ τῶν ταπεινῶν κακουργημάτων. Λῃστὴς γὰρ ἦν μονότροπος, ἔπειτα καὶ συνοδίαν ἠῦρε τῆς τόλμης, τὸ μὲν πρῶτον ὀλίγην, προκόπτων δὲ ἀεὶ πλείονα. Φροντὶς δὲ ἦν αὐτῷ μηδένα προσλαμβάνειν εὐάλωτον, ἀλλὰ τοὺς εὐεξίᾳ σώματος videns ducum multitudini acceptam deberi, Romanorum magis ex more dividebat exercitum, pluresque constituebat ordinum principes. Milites insuper varie distribuebat, et istos quidem decurionibus subjiciebat et centurionibus, deinde tribunis, prætereaque ducibus qui agminibus plenioribus præerant. Docebat etiam quo modo signum alii aliis traderent, et tubis classicum canerent atque receptui, et cornuum conflictus et circumductiones, et quemadmodum oporteret superiores laborantibus succurrere, et cum defatigatis partiri pericula, quæque animis audaciam ingenerarent, et corpora facerent labores tolerare, frequenter inculcabat. Maxime autem eos ad bellica munera exercebat, in singulis Romanorum modestiam eis commemorans, et quod cum viris essent præliaturi, qui corporis viribus animique fortitudine totum fere terrarum orbem in suam potestatem redegerant. His addidit quo pacto belli tempore suis essent parituri præceptis, periculum se facturum etiam antequam in aciem veniant, si consuetis injuriis furtisque et latrociniis et rapinis abstineant, et a popularibus suis fraudandis, et ab ea cogitatione, sibi in lucro ponendum esse quod maxime familiaribus in damnum cedit. Illa enim bella optime administrari, in quibus milites sibi bene conscii sint : qui vero domi improbe se gerant, non solum eos qui contra ipsos veniant pro adversariis habere, sed et Deum pro hoste.

8. Multis hujusmodi admonitionibus uti non cessabat. Et jam quidem quantum prælio parandum esset conflatum erat, peditum quidem millia sexaginta, equites vero ducenti et quinquaginta; ac præter hos, quibus maxime fidebat, mercenarii ad quattuor millia et quingentos. Circa se etiam in corporis custodiam habebat sexcentos electos. Exceptis autem mercenariis facile ceteri milites a civitatibus alebantur : nam singulæ earum quas enarravimus, quum mediam sui multitudinem mitterent in militiam, reliquos ad necessaria sibi acquirenda detinebant : adeo ut una quidem pars armis destinaretur, altera vero operibus faciundis, et rem frumentariam suppeditantibus vicissim securitatem præstarent armati.

CAP. XXI. (XLIII.)

Josepho autem hoc modo Galilææ res administranti insurgit quidam insidiator, vir Gischalis oriundus, Levi filius, nomine Joannes, callidissimus quidem et dolosissimus nobilium, in nequitia vero omnium. Ab initio cum paupertate conflictatus est, ejusque malitiæ diu impedimento erat egestas, sed promptus et exercitatus ad mentiendum, ad fidem vero mendacio faciendam acer, fraudem in virtutum numero habens, eaque adversus amicissimos uti solitus, humanitatis simulator et spe lucri cædis maxime appetens, magna quidem semper affectans, spem vero ex sordidis maleficiis arripiens alensque. Latro enim erat singularis ac solitarius, deinde et quosdam inveniebat, qui se ei in audacia comites adjungerent, primo quidem pauculos, proficiens autem in latrociniis usque plures. Ei autem curæ erat neminem adsciscere qui facile capi posset,

τος καὶ ψυχῆς παραστήματι καὶ πολέμων ἐμπειρίᾳ διαφέροντας ἐξελέγετο. Μέχρι γοῦν τετρακοσίων ἀνδρῶν στῖφος συνεκρότησεν, οἳ τὸ πλέον ἐκ τῆς Τυρίων χώρας καὶ τῶν ἐν αὐτῇ κωμῶν φυγάδες ἦσαν, δι' ὧν ἐληίζετο πᾶσαν τὴν Γαλιλαίαν, καὶ μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τοὺς πολλοὺς ἐσπάρασσεν.

β'. Ἤδη δὲ αὐτὸν στρατηγιῶντα καὶ μειζόνων ἐφιέμενον ἐνδεια χρημάτων κατεῖχεν. Ἐπεὶ δὲ τὸν Ἰώσηπον ὁρῶν αὐτοῦ σφόδρα χαίροντα τῷ δραστηρίῳ, πείθει μὲν πρῶτον αὐτῷ πιστεῦσαι τὸ τεῖχος ἀνοικοδομῆσαι τῆς πατρίδος, ἐν ᾧ πολλὰ παρὰ τῶν πλουσίων ἐκέρδησεν. Ἔπειτα συνθεὶς σκηνὴν πανουργοτάτην, ὡς ἄρα φυλάττοιντο πάντες οἱ κατὰ τὴν Συρίαν Ἰουδαῖοι ἐλαίῳ χρῆσθαι μὴ δι' ὁμοφύλων ἐγκεχειρισμένῳ, πέμπειν αὐτοῖς ἐπὶ τὴν μεθορίαν ἐξητήσατο· συνωνούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμφορεῖς, τῆς αὐτῆς ἐπίπρασκε τιμῆς ἡμιαμφόριον. Οὔσης δὲ τῆς Γαλιλαίας ἐλαιοφόρου, μάλιστα καὶ τότε εὐφορηκυίας, εἰς σπανίζοντας πέμπων πολὺ καὶ μόνος, ἄπειρόν τι πλῆθος συνήγαγε χρημάτων, οἷς εὐθέως ἐχρῆτο κατὰ τοῦ τὴν ἐργασίαν παρασχόντος. Καὶ ὑπολαβὼν εἰ καταλύσειε τὸν Ἰώσηπον αὐτὸς ἡγήσεσθαι τῆς Γαλιλαίας, τοῖς μὲν ὑφ' αὐτὸν λῃσταῖς προσέταξεν εὐτονώτερον ἐγχειρεῖν ταῖς ἁρπαγαῖς, ὅπως πολλῶν νεωτεριζόντων κατὰ τὴν χώραν ἢ διαχρήσαιτό που τὸν στρατηγὸν ἐκβοηθοῦντα λοχήσας, ἢ περιορῶντα τοὺς λῃστὰς διαβάλοι πρὸς τοὺς ἐπιχωρίους. Ἔπειτα διεφήμιζε πόρρωθεν ὡς ἄρα προδιδοίη Ῥωμαίοις τὰ πράγματα Ἰώσηπος, καὶ πολλὰ τοιαῦτα πρὸς κατάλυσιν τἀνδρὸς ἐπραγματεύετο.

γ'. Καθ' ὃν καιρὸν ἀπὸ Δαβαριττων κώμης νεανίσκοι τινὲς τῶν ἐν τῷ Μεγάλῳ πεδίῳ καθεζομένων φυλάκων, ἐνεδρεύοντες Πτολεμαῖον τὸν Ἀγρίππα καὶ Βερενίκης ἐπίτροπον, ἀφείλοντο πᾶσαν ὅσην ἦγεν ἀποσκευὴν, ἐν ᾗ πολυτελεῖς ἐσθῆτες οὐκ ὀλίγαι καὶ πλῆθος ἐκπωμάτων ἀργυρῶν, χρυσοῖ τε ἦσαν ἑξακόσιοι· μὴ δυνάμενοι δὲ διελέσθαι κρύφα τὴν ἁρπαγὴν, πάντα πρὸς Ἰώσηπον εἰς Ταριχέας ἐκόμισαν. Ὁ δὲ μεμψάμενος αὐτῶν τὸ πρὸς τοὺς βασιλικοὺς βίαιον τίθησι τὰ κομισθέντα παρὰ τῷ δυνατωτάτῳ τῶν Ταριχεατῶν Ἀνναίῳ, πέμψαι κατὰ καιρὸν τοῖς δεσπόταις προαιρούμενος· ὃ δὴ μέγιστον αὐτῷ κίνδυνον ἐπήγαγεν. Οἱ γὰρ ἁρπάσαντες ἅμα μὲν ἐπὶ τῷ μηδεμιᾶς τυχεῖν μερίδος ἐκ τῶν κεκομισμένων ἀγαναχτοῦντες, ἅμα δὲ καὶ προσκεψάμενοι τοῦ Ἰωσήπου τὴν διάνοιαν, ὅτι μέλλοι τοῖς βασιλεῦσι τὸν πόνον αὐτῶν χαρίζεσθαι, νύκτωρ εἰς τὰς κώμας αὐτῶν διέδραμον, καὶ πᾶσιν ἐνεδείκνυντο τὸν Ἰώσηπον ὡς προδότην. Ἐνέπλησαν δὲ καὶ τὰς πλησίον πόλεις ταραχῆς, ὥστε ὑπὸ τὴν ἕω δέκα μυριάδας ὁπλιτῶν ἐπ' αὐτὸν συνδραμεῖν. Καὶ τὸ μὲν πλῆθος ἐν τῷ κατὰ Ταριχέας ἱπποδρόμῳ συνηθροισμένον πολλὰ πρὸς ὀργὴν ἀνεβόα· καὶ οἱ μὲν καταλεύειν, οἱ δὲ καίειν τὸν προδότην ἐκεκράγεσαν. Παρώξυνε δὲ τοὺς πολλοὺς Ἰωάννης καὶ σὺν αὐτῷ Ἰησοῦς τις υἱὸς Σαπφία, τότε

sed qui et corporis habitudine, et animi firmitate, bellorumque peritia præstarent, hos sibi eligebat. Virorum itaque manum numero ad quater mille collegit paravitque, quorum maxima pars ex Tyriorum regione ejusque vicis ad eum confugerant : eorum ope Galilæam omnem depopulabatur, multosque belli exspectatione suspensos irritabat.

2. Jam vero illi imperare desideranti et majorum appetenti pecuniæ inopia obstabat. Quum autem videret Josephum sua valde delectari industria, persuadet ei primum ut patriæ mœnia instauranda suæ mandaret fidei; qua in re multum lucri fecit ex locupletibus. Deinde, commento callidissimo excogitato, quo cautum esset ut oleo, quod non a gentilibus suis elaboratum esset, uti prohiberentur omnes apud Syriam Judæi, oleum ipsis ad confinia mittendi privilegium deposcit : nummoque Tyrio, qui quattuor drachmas Atticas valet, quatuor olei amphoras coemens, eodem pretio amphoræ dimidium vendebat. Quumque Galilæa olei esset ferax, et tunc maxime illo abundaret, in ea loca ubi erat penuria, dum solus multumque mitteret, immensam pecuniæ vim sibi parabat; qua mox in eum usus est, qui hoc sibi quæstum faciendi beneficium dederat. Ratusque, si Josephum everteret, fore ut ipse Galilææ imperaret, jussit latrones quibus præerat ăcriori studio rapinis operam dare ut, multis res novas per regionem molientibus, aut insidiis rectorem ad auxiliandum procurrentem alicubi perimeret, aut, si latrones insuper haberet, ea de re apud indigenas eum accusaret. Deinde altius res repetendo eum calumniabatur, quasi Josephus Romanis res prodere cogitaret : et hujusmodi multa ad potestatem ejus evertendam machinabatur.

3. Eo tempore juvenes quidam e vico Dabarittis in Magno campo vigilias agentes insidias struunt Ptolemæo Agrippæ et Berenices procuratori, et omnem quam secum ducebat supellectilem diripiebant, scilicet vestes pretiosas non paucas, plurimaque pocula argentea et aureos sexcentos : quum autem non potuissent prædam dividere in occulto, omnia Taricheas ad Josephum comportarunt. Ille vero, quum reprehendisset illorum violentiam regiis illatam, quæcunque afferebantur reponenda curabat apud Annæum Taricheatarum potentissimum, eo animo ut dominis ista oportune remitteret. Id quod eum in maximum periculum adducebat. Nam qui ista diripuerant, ægre ferentes se nullam partem capturos esse eorum quæ attulerant, et Josephi propositum perspectum habentes, quod ex eorum labore gratificaturus esset regibus, in vicos quisque suos nocte discurrebant, et palam omnibus prædicabant Josephum pro proditore habendum esse. Quin et urbes vicinas tumultu repleverunt, adeo ut centum armatorum millia prima luce adversus eum concurrerint. Et multitudo quidem, in circo apud Taricheas congregata, multa iracunde admodum clamabant, et alii quidem proditorem lapidandum esse, alii vero concremandum vociferabant. Plerosque autem incitabat Joannes, et cum eo Jesus quidam Sapphiæ filius, eo tempore summus

ἀρχων τῆς Τιβεριάδος. Οἱ μὲν οὖν φίλοι καὶ σωματοφύλακες τοῦ Ἰωσήπου καταπλαγέντες τὴν ὁρμὴν τοῦ πλήθους ἔφυγον πλὴν τεσσάρων πάντες. Αὐτὸς δὲ κοιμώμενος ἤδη προσφερομένου τοῦ πυρὸς διανίσταται, καὶ παραινούντων φεύγειν τῶν τεσσάρων οἳ παρέμειναν, οὔτε πρὸς τὴν καθ' αὑτὸν ἐρημίαν, οὔτε πρὸς τὸ πλῆθος τῶν ἐφεστώτων καταπλαγείς, προπηδᾷ, περιρρηξάμενος μὲν τὴν ἐσθῆτα, καταμησάμενος δὲ τῆς κεφαλῆς κόνιν, ἀποστρέψας δὲ ὀπίσω τὰς χεῖρας καὶ τὸ ἴδιον ξίφος ἐπιδήσας τῷ τένοντι. Πρὸς ἃ τῶν μὲν οἰκείως ἐχόντων καὶ μάλιστα τῶν Ταριχεατῶν οἶκτος ἦν· οἱ δὲ ἀπὸ τῆς χώρας καὶ τῶν πλησίον ὅσοις ἔδοκει φορτικὸς ἐβλασφήμουν, προφέρειν τε τὰ κοινὰ χρήματα θᾶττον ἐκέλευον, καὶ τὰς προδοτικὰς συνθήκας ἐξομολογεῖσθαι. Προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος οὐδὲν αὐτὸν ἀρνήσεσθαι τῶν ὑπονοηθέντων, ἀλλὰ ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι τὰ πρὸς τὸν ἔλεον. Τῷ δὲ ἦν ἡ ταπείνωσις προκατασκευὴ στρατηγήματος· καὶ τεχνιτεύων τοὺς ἀγανακτοῦντας καθ' αὑτοῦ κατ' ἀλλήλων στασιάσαι ἐφ' οἷς ὠργίζοντο, πάντα ὁμολογήσειν ὑπισχνεῖτο. Εἶτα δοθὲν αὐτῷ λέγειν, « ἐγὼ ταῦτα, ἔφη, τὰ χρήματα οὔτε ἀναπέμπειν « Ἀγρίππᾳ προηρούμην οὔτε κερδαίνειν αὐτός· μὴ « γὰρ ἡγησαίμην ποτὲ φίλον τὸν ὑμῖν διάφορον, ἢ κέρ« δος τὸ φέρον τῷ κοινῷ βλάβην. Ὁρῶν δέ, ὦ Τα« ριχεᾶται, μάλιστα τὴν ὑμετέραν πόλιν ἀσφαλείας « δεομένην, καὶ πρὸς κατασκευὴν τείχους χρήζουσαν « ἀργυρίου, δεδοικὼς δὲ τὸν Τιβεριέων ὄχλον καὶ τὰς « ἄλλας πόλεις ἐφεδρευούσας τοῖς ἁρπασμένοις, κατα« σχεῖν ἡσυχῇ τὰ χρήματα προειλόμην, ἵνα ὑμῖν περι« βάλωμαι τεῖχος. Εἰ δὲ μὴ δοκεῖ, προφέρω τὰ κε« κομισμένα καὶ παρέχω διαρπάζειν· εἰ δὲ καλῶς ὑμῖν « ἐβουλευσάμην, κολάζετε τὸν εὑεργέτην. »

δ'. Ἐπὶ τούτοις οἱ Ταριχεᾶται μὲν αὐτὸν ἀνευφήμουν, οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος σὺν τοῖς ἄλλοις ἐκάκιζον καὶ διηπείλουν. Καταλιπόντες δὲ ἑκάτεροι τὸν Ἰώσηπον ἀλλήλοις διεφέροντο. Κἀκεῖνος θαρρῶν ἤδη τοῖς ᾠκειωμένοις (ἦσαν δὲ εἰς τετρακισμυρίους Ταριχεᾶται) παντὶ τῷ πλήθει παρρησιαστικώτερον ὡμίλει. Καὶ πολλὰ τὴν προπέτειαν αὐτῶν κατονειδίσας ἐκ μὲν τῶν παρόντων Ταριχέας, ἔφη τειχίσειν, ἀσφαλιεῖσθαι δὲ ὅμως καὶ τὰς ἄλλας πόλεις· οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν ὁμονοῶσιν ἐφ' οὓς δεῖ πορίζειν, καὶ μὴ παροξύνωνται κατὰ τοῦ πορίζοντος.

ε'. Ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἡπατημένων ἐπανεχώρει καίτοι διωργισμένον, δισχίλιοι δὲ ἐπ' αὐτὸν ὥρμησαν ἔνοπλοι, καὶ φθάσαντος εἰς τὸ δωμάτιον παρελθεῖν, ἀπειλοῦντες ἐφεστήκεσαν. Ἐπὶ τούτοις πάλιν Ἰώσηπος ἀπάτῃ δευτέρᾳ χρῆται. Ἀναβὰς γὰρ ἐπὶ τὸ τέγος καὶ τῇ δεξιᾷ καταστείλας τὸν θόρυβον αὐτῶν ἀγνοεῖν ἔφη τίνων ἀξιοῦσι τυχεῖν· οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγχυσιν· ὅσα δ' ἂν κελεύσωσι πάντα ποιήσειν, εἰ τοὺς διαλεξομένους ἡσυχῇ πέμψειαν εἴσω πρὸς αὐτόν. Ταῦτα ἀκούσαντες οἱ γνώριμοι σὺν

Tiberiadis magistratus. Et Josephi quidem amici et satellites, multitudinis incursu perterriti, fuga salutem quærebant omnes præter quattuor. Ille vero e somno, quum jam ignis admoveretur, expergefactus surgit, et hortantibus eum quattuor illis qui remanserunt ut fugeret, neque solitudine sua neque illorum qui contra se venerunt multitudine exterritus, repente prosiluit, veste dilacerata et capite pulvere consperso, aversisque post tergum manibus, et gladio suo cervici alligato. Quibus ejus quidem familiares maximeque Taricheatæ ad misericordiam adducti sunt : rustica vero plebs et finitimorum isti, quibus molestior videbatur, ei maledicebant, et pecunias publicas ocius proferre jubebant, et proditionis pacta indicare. Nam ex habitu ejus opinabantur quod nihil eorum de quibus suspectus erat negatum iret, fecisssetque impetrandæ veniæ causa omnia quæ misericordiam moverent. Huic autem ista humilitas viam ad strategema præmuniebat : atque id callide agens, ut *contra ipsum indignantes super his unde irascerentur inter* se dissidere faceret, ipsos reum omnia confitentem habituros esse pollicebatur. Deinde facta ei dicendi potestate, « ego, inquit, has pecunias neque Agrippæ mittere, neque « quæstui eas habere cogitabam : nunquam enim eum amicum « duxerim qui vobis sit inimicus, aut lucro deputaverim quod « reipublicæ in damnum cedat. Sed quum animadverterem, « o Taricheatæ, civitatem vestram maxime omnium muni« tionis egere, et ad mœnia exstruenda pecuniæ inopia la« borare, veritusque essem ne populus Tiberiensis et aliæ « civitates raptis pecuniis insidiarentur, mecum constitui « clam pecuniam detinere, ut vobis circumdarem muros. « Si hoc displiceat, quæ fuerint allata profero et diripienda « exhibeo : *sin autem* vobis *haud male consului*, de bene« factore pœnas exigitis. »

4. Ob hæc Taricheatæ quidem de eo bona omnia dicebant, Tiberienses vero cum aliis eum vituperabant, minasque intentabant. Utrique autem relicto Josepho inter se dissidebant. Atque ille, istis jam fretus qui eadem ac ipse sentirent (erant autem Taricheatæ ad quadraginta millia), cum omni multitudine liberius colloquebatur. *Multumque in* eorum temeritatem invectus, ex præsenti quidem pecunia Taricheas se munitum ire dicebat, paratumque esse reliquis etiam civitatibus securitatem præstare : non enim pecuniam desideraturos esse, si secum de iis consentiant adversus quos paranda sit, et non in ipsum exacerbentur qui eam paret.

5. Itaque tum quidem alia multitudo, quæ decepta fuerat, recedebat, quamvis irata et offensa : duo vero armatorum millia adversus eum properabant, et, quum ille semet in tectum *jam ante recepisset*, *cum minis foribus* adstabant. Iterum autem Josephus in hos altera fraude utitur. Quum enim in tectum superius ascendisset et dextra tumultum eorum sedasset, se nescire aiebat quid sit quod ab ipso consequi velint; nihil enim se ob dissonum clamorem exaudire posse : omnia vero quæ imperaverint facturum esse, si quos placide secum acturos ad ipsum intromitti velint.

τοῖς ἄρχουσιν εἰσήεσαν. Ὁ δὲ σύρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας καὶ τὴν αὔλειον ἐπικλείσας ἐμαστίγωσε μέχρι πάντων τὰ σπλάγχνα γυμνῶσαι. Περιειστήκει δὲ τέως τὸ πλῆθος, δικαιολογεῖσθαι μακρότερα τοὺς εἰσελθόντας οἰόμενον. Ὁ δὲ τὰς θύρας ἐξαπίνης ἀνοίξας ἠμαγμένους ἐξαφῆκε τοὺς ἄνδρας, καὶ τοσαύτην, τοῖς ἀπειλοῦσιν ἐνειργάσατο κατάπληξιν, ὥστε ῥίψαντας τὰ ὅπλα φεύγειν.

ς'. Πρὸς ταῦτα Ἰωάννης ἐπετείνετο τὸν φθόνον καὶ δευτέραν ἤρτυεν ἐπιβουλὴν κατὰ τοῦ Ἰωσήπου· σκηψάμενος δὲ νόσον ἱκέτευε δι' ἐπιστολῆς τὸν Ἰώσηπον ἐπιτρέψαι πρὸς θεραπείαν αὐτῷ χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασιν. Ὁ δέ (οὔπω γὰρ ὑπώπτευε τὸν ἐπίβουλον) γράφει τοῖς κατὰ τὴν πόλιν ὑπάρχοις ξενίαν τε καὶ ταπιτήδεια Ἰωάννῃ παρασχεῖν. Ὧν ἀπολαύσας μετὰ δύο ἡμέρας ἐφ' ᾧ παρῆν διεπράττετο, καὶ τοὺς μὲν ἀπάταις, τοὺς δὲ χρήμασι διαφθείρων ἀνέπειθεν ἀποστῆναι Ἰωσήπου. Καὶ γνοὺς ταῦτα Σίλας, ὁ φυλάσσειν τὴν πόλιν ὑπὸ Ἰωσήπου καθεσταμένος, γράφει τὰ κατὰ τὴν ἐπιβουλὴν αὐτῷ κατὰ τάχος. Ὁ δὲ Ἰώσηπος, ὡς ἔλαβε τὴν ἐπιστολήν, νυκτὸς ὁδεύσας συντόνως, ἑωθινὸς παρῆν πρὸς τὴν Τιβεριάδα. Καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτῷ ὑπήντα· Ἰωάννης δὲ, καίτοι τὴν παρουσίαν ὑποπτεύων ἐπ' αὐτὸν, ὅμως πέμψας τινὰ τῶν γνωρίμων, ὑπεκρίνατο τὴν ἀσθένειαν, καὶ κλινήρης ὢν ὑστερῆσαι τῆς θεραπείας ἔλεγεν. Ὡς δὲ εἰς τὸ στάδιον τοὺς Τιβεριεῖς ἀθροίσας ὁ Ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι περὶ τῶν ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας προσέταξεν αὐτὸν ἀνελεῖν. Τούτους τὰ ξίφη γυμνοῦντας ὁ δῆμος προϊδὼν ἀνεβόησεν. Πρὸς δὲ τὴν κραυγὴν Ἰώσηπος ἐπιστραφεὶς καὶ θεασάμενος ἐπὶ τῆς σφαγῆς ἤδη τὸν σίδηρον, ἀπεπήδησεν εἰς τὸν αἰγιαλόν· εἱστήκει δὲ δημηγορῶν ἐπὶ βουνοῦ τινος ἑξαπήχους τὸ ὕψος· καὶ παρορμοῦντος ἐπιπηδήσας σκάφους, σὺν δυσὶ σωματοφύλαξιν εἰς μέσην τὴν λίμνην ἀνέφευγεν.

ζ'. Οἱ στρατιῶται δὲ αὐτοῦ ταχέως ἁρπάσαντες ὅπλα κατὰ τῶν ἐπιβούλων ἐχώρουν. Ἔνθα δείσας ὁ Ἰώσηπος μὴ πολέμου κινηθέντος ἐμφυλίου δι' ὀλίγων φθόνον παραναλώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις ἀγγέλων μόνης προνοεῖν τῆς αὐτῶν ἀσφαλείας, μήτε δὲ κτείνειν τινὰ μήτε ἀπελέγχειν τῶν αἰτίων. Καὶ οἱ μὲν τῷ παραγγέλματι πεισθέντες ἠρέμησαν, οἱ δὲ ἀνὰ τὴν περιξ χώραν, πυθόμενοι τήν τε ἐπιβουλὴν καὶ τὸν συσκευάσαντα, συνηθροίζοντο κατὰ τοῦ Ἰωάννου. Φθάνει δὲ ἐκεῖνος εἰς Γίσχαλα φυγὼν τὴν πατρίδα. Συνέρρεον δὲ πρὸς τὸν Ἰώσηπον οἱ Γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι παρεῖναι σφᾶς ἐπὶ Ἰωάννην τὸν κοινὸν ἐπίβουλον ἐβόων· συγκατάφλέξειν γὰρ αὐτῷ καὶ τὴν ὑποδεξαμένην πόλιν. Ὁ δὲ ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκε τὴν εὔνοιαν, εἶργε δὲ τὴν ὁρμὴν, χειρώσασθαι συνέσει τοὺς ἐχθροὺς μᾶλλον ἢ κτεῖναι προαιρούμενος. Ἐκλαβὼν δὲ τοὺς ἀφ' ἑκάστης πόλεως Ἰωάννῃ συναφεστῶτας Ἰώσηπος κατ'

His auditis, nobiliores cum magistratibus ad eum ingressi sunt. Ille vero, quum eos in abditissima domus traxisset, et aulæ ostia operuisset, verberavit donec viscera omnium nudaret. Interim autem circumstabat multitudo, existimans suos longiore disceptatione teneri. At ille, foribus subito patefactis, cruentos eos dimisit. Id quod malum minitantibus tantum incussit terrorem, ut projectis armis aufugerent.

6. Ex istis Joannis aucta est invidia, aliasque Josepho parabat insidias, morboque simulato per literas Josephum obsecravit ut permitteret ipsi calidis aquis in Tiberiade ad valetudinem curandam uti. Atque ille, ut qui nondum insidiatorem suspicaretur, ad præfectos civitatis scribit ut et hospitium et necessaria Joanni præberent. Quibus potitus, biduo post id cujus causa venerat peragebat : et aliis quidem fraude circumventis, aliis vero pecunia corruptis, Josephum deserere persuasit. Atque Silas, cui mandata erat a Josepho urbis custodia, ubi ista cognovit, statim ad eum literas mittit de insidiis. Josephus autem, quum primum literas accepisset, nocte iter maturavit et mane admodum Tiberiadem pervenit. Et cetera quidem multitudo ei obviam veniebat. Joannes autem, quamvis eum contra se venturum esse suspicaretur, tamen per quendam e familiaribus ad eum missum languorem ex morbo simulavit, et quod lecto affixus esset, obsequio se defuisse dicebat. Tiberiensibus autem a Josepho in stadium congregatis, ubi aggrediebatur ad eos alloquendum de literis, missis armatis jussit eum interfici. Quos quum populus prospexisset stricturos esse gladios, exclamavit. Josephus autem ad clamorem conversus quum prope jugulo suo imminere vidisset ferrum, inde in littus desiluit; nam verba faciens ad populum steterat in tumulo sex pedes alto; et navicula, quæ forsan appulerat, propere ascensa, cum duobus satellitibus medium in lacum refugiebat.

7. Milites autem ejus, armis illico correptis, contra insidiatores ibant. Unde veritus Josephus, ne moto bello intestino propter paucorum invidiam civitas consumeretur, ad suos mittit qui eos monerent, ut suæ tantum saluti consulerent, et neque quenquam occiderent, neque culpæ affinem redarguerent. Et illi quidem dicto audientes quieverunt. Qui vero in vicinia degebant, quum de insidiis inaudivissent et de illo qui eas struxerat, contra Joannem coibant. Sed ille prius in Gischala patriam suam fuga se recipiebat. At Galilæi suis quisque e civitatibus ad Josephum confluebant, et quum multa armatorum millia congregata essent, se adversus Joannem, communem insidiatorem, præsto adesse clamabant, una cum eo civitatem quæ illum susceperat igne crematuros. Ille vero aiebat, sibi quidem gratam acceptamque esse ipsorum erga se benevolentiam : impetum vero cohibebat, ut qui maluerit inimicos prudentia vincere quam occidere. Quum autem Josephus e singulis civitatibus nominatim eos excepisset, qui una cum Joanne

ὄνομα (προθύμως δὲ ἐνεδείκνυντο τοὺς σφετέρους οἱ δημόται) καὶ διὰ κηρύκων ἀπειλήσας, τῶν ἐντὸς ἡμέρας πέμπτης μὴ καταλιπόντων τὸν Ἰωάννην τάς τε οὐσίας διαρπάσειν καὶ τὰς οἰκίας ἅμα ταῖς γενεαῖς καταφλέξειν, τρισχιλίους μὲν ἀπέστησεν εὐθέως, οἳ παραγενόμενοι τὰ ὅπλα παρὰ τοῖς ποσὶν ἔρριψαν αὐτοῦ· σὺν δὲ τοῖς καταλειφθεῖσιν (ἦσαν δὲ ὅσον εἰς δισχιλίους Σύρων φυγάδες) ἀνέστελλεν Ἰωάννης πάλιν εἰς τὰς λαθραίους ἐπιβουλὰς ἐκ τῶν φανερωτέρων. Κρύφα γοῦν ἔπεμψεν ἀγγέλους εἰς Ἱεροσόλυμα, διαβάλλων τὸν Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον οὐδέπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ προκαταληφθείη. Τούτοις ὁ μὲν δῆμος (ἦν γὰρ προειδὼς) οὐ προσεῖχον, οἱ δυνατοὶ δὲ κατὰ φθόνον καὶ τῶν ἀρχόντων τινὲς λάθρα τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν μισθοφόρων ἔπεμψαν, ὅπως πολεμήσοι πρὸς Ἰώσηπον. Ἐψηφίσαντο δὲ καθ' αὑτοὺς καὶ μετακαλεῖν αὐτὸν ἀπὸ τῆς στρατηγίας· οὐ μὴν ἠξίουν ἀποχρήσειν τὸ δόγμα· δισχιλίους δὲ καὶ πεντακοσίους ὁπλίτας καὶ τέσσαρας τῶν ἐπιφανῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ Νομικοῦ Ἰωάεσδρον καὶ Ἀνανίαν Σαδδουκὶ καὶ Σίμωνα καὶ Ἰούδην Ἰωνάθου, πάντας εἰπεῖν δυνατωτάτους, ἵνα οὗτοι τὴν πρὸς τὸν Ἰώσηπον εὔνοιαν ἀποστρέψωσι· κἂν μὲν ἑκὼν παραγίνηται, λόγον ὑποσχεῖν ἐᾶν αὐτόν· εἰ δέ βιάζοιτο μένειν, ὡς πολεμίῳ χρῆσθαι. Ἰωσήπῳ δὲ παραγενέσθαι μὲν στρατιὰν ἐπεστάλκεσαν οἱ φίλοι, τὴν δὲ αἰτίαν οὐ προεδήλουν, ἅτε δὴ τῶν ἐχθρῶν λάθρα βεβουλευμένων. Διὸ καὶ μὴ προφυλαξαμένου τέσσαρες πόλεις εὐθέως πρὸς τοὺς διαφόρους ἀπέστησαν ἐλθόντας, Σέπφωρίς τε καὶ Γάμαλα καὶ Γίσχαλα καὶ Τιβεριάς. Ταχέως δὲ καὶ ταύτας προσηγάγετο δίχα τῶν ὅπλων, καὶ χειρωσάμενος στρατηγήματι τοὺς τέσσαρας ἡγεμόνας τῶν τε ὁπλιτῶν τοὺς δυνατωτάτους ἀνέπεμψεν εἰς Ἱεροσόλυμα. Πρὸς οὓς ὁ δῆμος ἠγανάκτησεν οὐ μετρίως, καὶ σὺν αὐτοῖς ὥρμησε τοὺς προπέμψαντας ἀνελεῖν, εἰ μὴ φθάσαντες ἀπέδρασαν.

η'. Ἰωάννην δὲ τὸ λοιπὸν ἐντὸς τοῦ Γισχάλων τείχους ὁ παρὰ Ἰωσήπου φόβος ἐφρούρει. Καὶ μετ' ὀλίγας ἡμέρας πάλιν ἀπέστη Τιβεριὰς, ἐπικαλεσαμένων τῶν ἔνδον Ἀγρίππαν τὸν βασιλέα. Καὶ τοῦ μὲν μὴ καταντήσαντος ἐφ' ἣν συνετέτακτο προθεσμίαν, Ῥωμαϊκῶν δὲ ἱππέων ὀλίγων κατ' ἐκείνην τὴν ἡμέραν παραφανέντων, τὸν Ἰώσηπον ἐξεκήρυσσον. Τῶν δὲ ἠγγέλθη μὲν εἰς Ταριχέας ἡ ἀπόστασις εὐθέως· ἐκπεπομφὼς δὲ τοὺς στρατιώτας πάντας ἐπὶ σίτου συλλογὴν οὔτε μόνος ἐξορμᾶν ἐπὶ τοὺς ἀποστάντας οὔτε μένειν ὑπέμενε, δεδοικὼς μὴ βραδύνοντος αὐτοῦ φθάσωσιν οἱ βασιλικοὶ παρελθεῖν εἰς τὴν πόλιν· οὐδὲ γὰρ τὴν ἐπιοῦσαν ἡμέραν ἐνεργὸν ἔξειν ἔμελλεν, ἐπέχοντος σαββάτου. Δόλῳ δὴ περιελθεῖν ἐπενόει τοὺς ἀποστάντας. Καὶ τὰς μὲν πύλας τῶν Ταριχεῶν ἀποκλεῖσαι κελεύσας, ὡς μὴ προεξαγγέλλοι τις τὸ σκέμμα τοῖς ἐπιχειρουμένοις, τὰ δὲ ἐπὶ τῆς λίμνης σκάφη πάντα συναθροίσας (διακόσια δὲ καὶ τριάκοντα ηὑρέθη καὶ ναῦται τεσσάρων οὐ πλείους

defecerant (quippe plebeii prompte admodum suos indicabant), et præconum voce denunciasset, se patrimonia eorum, qui intra quinque dies Joannem non reliquissent, direptum ire, domosque cum familiis combusturum, brevi fecit ut tria quidem ab eo millia deficerent, qui quum ad eum accessissent, ad pedes ejus arma projecerunt: Joannes autem cum reliquis (erant duo circiter millia Syrorum fugitivorum) ex insidiis apertioribus ad occultas se recipiebat. Itaque clam nuncios Hierosolyma misit, calumnians Josephum, quod ingentem copiarum multitudinem coegisset, dicensque fere in eo esse ut metropolin tyrannide occupet, nisi mature præveniatur. Istis quidem populus (jam enim rem præviderat) animum non advertebat; primores vero ex invidia nonnullique magistratuum clam pecunias Joanni miserunt ad milites mercenarios comparandos, ut adversus Josephum bellum gereret. Atque inter se decreverunt eum ab exercitu ducendo revocare: verumtamen decretum haud satis valiturum existimabant, sed duo millia et quingentos armatos, et quattuor viros ex illustrioribus miserunt, Joaesdrum Nomici filium et Ananiam Sadduci, et Simonem et Judam Jonathæ filios, omnes dicendi peritissimos, ut isti populum a sua in Josephum benevolentia averterent; et si quidem is sponte sua veniat, sinerent ipsum sui rationem reddere: sin autem urgeat ut maneat, pro hoste haberent. Josepho autem literis significarunt amici in ipsum quidem venturos esse milites, minime vero ei indicarunt quid causæ fuerit cur venirent, utpote quod clausa haberentur inimicorum consilia. Unde factum ut, quum nihil præcautum esset, quattuor civitates adversariis statim ac venerant se adjungerent, Sepphoris et Gamala et Gischala et Tiberias. Verum ille istas continuo sine armis recepit, quattuorque duces strategemate captos et ex armatis potentissimos quosque Hierosolyma remittendos curavit. Contra quos populus haud mediocri indignatione commotus est, atque ipsos et qui eos comitati erant ocius interfecisset, nisi ante aufugissent.

8. Posthac vero Joannes intra muros Gischalorum se continebat præ metu Josephi. Et paucis post diebus descivit Tiberias, postquam Agrippæ regis opem imploraverant incolæ. Et quum ille præstituto die ad eos non venisset, paucique Romani equites eo ipso die comparuissent, Josephum urbe expulsum declarabant. Horum defectionis quidem rumor statim Taricheas perlatus erat: militibus vero omnibus frumentatum missis, nec solus contra desertores subito proficisci, neque illic manere sustinuit, veritus ne, dum ipse cunctaretur, regii civitatem præoccuparent: nec enim postero die, obstante sabbato, quicquam facere poterat. Itaque dolo eos, qui ab ipso desciverant, circumvenire cogitabat. Quumque Tarichearum portas claudi jussisset, ne quis consilium iis contra quos susceptum erat proderet, et navigia quæ in lacu erant omnia congregasset (ducenta autem et triginta deprehendit, quattuorque et non amplius in singulis nautas), qua potuit celeritate pro-

ἦσαν ἐν ἑκάστῳ), διὰ τάχους ἐλαύνει πρὸς τὴν Τιβεριάδα. Καὶ τοσοῦτον ἀποσχὼν τῆς πόλεως, ἐξ ὅσου συνιδεῖν οὐ ῥᾴδιον ἦν, κενὰς τὰς ἁλιάδας μετεώρους σαλεύειν ἐκέλευσεν, αὐτὸς δὲ, μόνους ἑπτὰ τῶν σωματοφυλάκων ἀνόπλους ἔχων, ἔγγιον ὀφθῆναι προσῄει. Θεασάμενοι δὲ αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦντες οἱ διάφοροι, καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη γέμειν ὁπλιτῶν νομίσαντες, ἔρριψαν τὰ ὅπλα καὶ κατασείοντες ἱκετηρίας ἐδέοντο φείσασθαι τῆς πόλεως.

θ'. Ὁ δὲ Ἰώσηπος πολλὰ διαπειλησάμενος αὐτοῖς καὶ κατονειδίσας, εἰ πρῶτα μὲν ἀράμενοι τὸν πρὸς Ῥωμαίους πόλεμον, εἰς στάσεις ἐμφυλίους προαναλίσκουσι τὴν ἰσχὺν, καὶ τὰ εὐκταιότατα ποιοῦσι τοῖς ἐχθροῖς, ἔπειτα τὴν κηδεμόνα τῆς ἀσφαλείας αὐτῶν ἀναρπάσαι σπεύδουσι, καὶ κλείειν οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῶν τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκε, καὶ δι' ὧν βεβαιώσαιτο τὴν πόλιν. Κατέβαινον δὲ εὐθέως δέκα τῶν Τιβεριέων οἱ δυνατώτατοι. Καὶ τοὺς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων ἀνήγαγε πορρωτάτω, πεντήκοντα δὲ ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα γνωρίμους κελεύει προσελθεῖν, ὡς καὶ παρ' ἐκείνων πίστιν τινὰ βουλόμενος λαβεῖν. Ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν ἄλλους ἐπ' ἄλλοις ὡς ἐπὶ συνθήκαις προσεκαλεῖτο· τοῖς δὲ κυβερνήταις ἐκέλευσε τῶν πληρουμένων διὰ τάχους εἰς Ταριχέας ἀναπλεῖν, καὶ συγκλείειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν βουλὴν οὖσαν εἰς ἑξακοσίους, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβὼν, ἀνήγαγε σκάφεσιν εἰς Ταριχέας.

ι'. Βοώντων δὲ τῶν λοιπῶν, αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως Κλεῖτόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείδεσθαι τὴν ὀργὴν, ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προήρητο, Λευΐαν δέ τινα τῶν αὐτοῦ φυλάκων ἐκέλευσεν ἐξελθεῖν, ἵνα ἀποκόψῃ τὰς χεῖρας τοῦ Κλείτου. Δείσας δὲ ἐκεῖνος εἰς ἐχθρῶν στῖφος ἀποβήσεσθαι μόνος οὐκ ἔφη. Σχετλιάζοντα δὲ τὸν Ἰώσηπον ἐπὶ τοῦ σκάφους ὁ Κλεῖτος ὁρῶν, καὶ προθυμούμενον αὐτὸν ἀποπηδᾶν ἐπὶ τὴν τιμωρίαν, ἱκέτευεν ἀπὸ τῆς ἀκτῆς τὴν ἑτέραν τῶν χειρῶν καταλιπεῖν. Κἀκείνου κατανεύσαντος ἐφ' ᾧ τὴν ἑτέραν αὐτὸς ἀποκόψειεν ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἀπέκοψε τὴν λαιάν· εἰς τοσοῦτον δέους ὑπ' αὐτοῦ Ἰωσήπου προήχθη. Τότε μὲν δὴ κενοῖς σκάφεσι καὶ δορυφόροις ἑπτὰ τὸν δῆμον αἰχμαλωτισάμενος πάλιν τὴν Τιβεριάδα προσηγάγετο. Μετὰ δ' ἡμέρας ὀλίγας Γίσχαλα Σεπφωρίταις συναποστᾶσαν ἐλὼν ἐπέτρεψε διαρπάσαι τοῖς στρατιώταις. Συναγαγὼν μέντοι πάντα τοῖς δημόταις ἔδωκε, τοῖς τε κατὰ Σέπφωριν ὁμοίως καὶ Τιβεριάδα. Καὶ γὰρ ἐκείνους χειρωσάμενος νουθετῆσαι διὰ τῆς ἁρπαγῆς ἠθέλησε, καὶ τῇ ἀποδόσει τῶν χρημάτων πάλιν εἰς εὔνοιαν προσηγάγετο.

ticiscitur Tiberiadem: quumque tanto ab urbe abesset spatio ut ægre cerni posset, vacuis naviculis in salo fluctuare jussis, ipse, septem solum ex satellitibus inermes secum habens, propius ut conspiceretur accessit. Eum autem quum inimici, adhuc ei maledicentes, ex muro conspexissent, præ consternatione, quod scaphas armatorum plenas esse existimarunt, arma projiciunt, manusque supplices agitantes, ut parceret civitati, orabant atque obsecrabant.

9. Josephus autem quum multa illis minatus exprobrasset quod primi omnium bello Romanos adorti intestinis discordiis vires suas ante consumerent, eaque facerent quibus nihil optatius hostibus accidere potuit, ac deinde securitatis suæ curatorem de medio tollere festinarent, urbemque non erubescerent ei ipsi claudere qui eam muniverat, dicebat se eos non rejicere qui urbem de ante delictis expurgaturi venirent, quorumque interventu securitatem ei præstaret. Itaque statim ad eum decem Tiberiensium potentissimi descenderunt. Et hos quidem quum in unam e naviculis recepisset, quam longissime eos avexit, alios vero e senatoribus quinquaginta, et maxime nobiles, ad se venire jussit, quasi ab ipsis quoque sibi fidem quandam dari voluerit. Deinde novas causationes excogitans, alios adhuc atque alios fœderis obtentu accersibat, adeoque navium repletarum gubernatoribus imperavit ut celeriter Taricheas navigarent, virosque in carcerem includerent, donec universum quidem senatum ad sexcentos viros, et duo circiter millia plebeiorum comprehensa scaphis Taricheas abduxerit.

10. Quum autem reliqui vociferarent Clitum quendam esse præcipuum defectionis auctorem, atque obsecrarent ut in illum iram conferret, Josephus, qui id sibi proposuerat ut neminem interficeret, Leviam quendam e satellitibus suis egredi jussit, ut Clito manus amputaret. Ille vero veritus si solus in globum inimicorum descenderet, id facere recusabat. Clitus autem, quum Josephum in scapha indignabundum stare videret, atque in eo fere esse ut ipse desiliret ad supplicium de eo sumendum, a litore supplicabat ut unam sibi manum reliquam faceret. Quumque hoc concessisset Josephus ea lege ut alteram sibimet ipse Clitus præcideret, educto ille dextera gladio lævam sibi abscidit: adeo eum timor ipsius Josephi invaserat. Tunc quidem Josephus, quum vacuis scaphis et septem satellitibus populum in servitutem redegisset, rursum Tiberiadem sibi adjunxit. Paucis autem post diebus, quum Gischalorum urbem cepisset, quæ una cum Sepphoritis ab ipso defecerat, eam militibus diripiendam concessit. Omnia tamen, quæ colligere potuit, civibus reddenda curavit, similiter etiam Sepphoritis et Tiberiensibus. Nam illos quoque in potestatem redactos defectionis suæ ex rapinis admonitos esse voluit, atque rerum suarum restitutione eos iterum ad benevolentiam alliciebat.

ΚΕΦ. ΚΒ'.

Τὰ μὲν οὖν κατὰ Γαλιλαίαν ἐπέπαυτο κινήματα. Καὶ τῶν ἐμφυλίων παυσάμενοι θορύβων ἐπὶ τὰς πρὸς Ῥωμαίους ἐτράποντο παρασκευάς. Ἐν δὲ τοῖς Ἱεροσολύμοις Ἄνανός τε ὁ ἀρχιερεὺς καὶ τῶν δυνατῶν ὅσοι μὴ τὰ Ῥωμαίων ἐφρόνουν τό τε τεῖχος ἐπεσκεύαζον καὶ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων. Καὶ διὰ πάσης μὲν τῆς πόλεως ἐχαλκεύετο βέλη καὶ πανοπλία, πρὸς ἀτάκτοις δὲ γυμνασίαις τὸ τῶν νέων πλῆθος ἦν, καὶ μεστὰ ἦν πάντα θορύβου. Δεινὴ δὲ κατήφεια τῶν μετρίων, καὶ πολλοὶ τὰς μελλούσας προορώμενοι συμφορὰς ἀπωλοφύροντο. Θειασμοὶ δὲ τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι, τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν ἐσχεδιάζοντο πρὸς ἡδονήν, καὶ τὸ κατάστημα τῆς πόλεως πρὶν ἐπελθεῖν Ῥωμαίους ἦν οἷον ἀπολουμένης. Ἀνάνῳ γε μὴν φροντὶς ἦν κατὰ μικρὸν ἀφισταμένῳ τῶν εἰς τὸν πόλεμον παρασκευῶν κάμψαι πρὸς τὸ συμφέρον τούς τε στασιαστὰς καὶ τὴν τῶν κληθέντων ζηλωτῶν ἀφροσύνην, ἥττητο δὲ τῆς βίας. Κἀν τοῖς ἑξῆς οἷου τέλους ἔτυχε δηλώσομεν.

β'. Κατὰ δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν ὁ Γιώρα Σίμων πολλοὺς τῶν νεωτεριζόντων συστησάμενος ἐφ' ἁρπαγὰς ἐτράπετο, καὶ οὐ μόνον τὰς οἰκίας ἐσπάρασσε τῶν πλουσίων, ἀλλὰ καὶ τὰ σώματα κατηκίζετο, δῆλός τε ἦν ἤδη πόρρωθεν ἀρχόμενος τυραννεῖν. Πεμφθείσης δὲ ἐπ' αὐτὸν ὑπ' Ἀνάνου καὶ τῶν ἀρχόντων στρατιᾶς, πρὸς τοὺς ἐν Μασάδᾳ λῃστὰς μεθ' ὧν εἶχε κατέφυγε, κἀκεῖ μέχρι τῆς Ἀνάνου καὶ τῶν ἄλλων ἐχθρῶν ἀναιρέσεως μένων συνελήιζετο τὴν Ἰδουμαίαν· ὥστε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλῆθος τῶν φονευομένων καὶ τὰς συνεχεῖς ἁρπαγὰς στρατιὰν ἀθροίσαντας ἐμφρούρους τὰς κώμας ἔχειν. Καὶ τὰ μὲν κατὰ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν.

ΛΟΓΟΣ Γ.

α'. Ὅπως Νέρων πυθόμενος τὰ κατὰ τὴν Ἰουδαίαν διετέθη.
β'. Ὅπως Ἰουδαῖοι μετὰ τὴν Κεστίου πληγὴν ἐπελθόντες Ἀσκάλωνι δὶς ἡττήθησαν, δισμυρίους σχεδὸν ἀπολέσαντες.
γ'. Ὅπως Οὐεσπασιανὸς τὰς δυνάμεις ἀπὸ Ἀντιοχείας ἀναλαβὼν ἐπὶ Πτολεμαΐδα ἦει· ἔνθα ὑπαντήσαντες Σεπφωρῖται, Γαλιλαῖοι ὄντες, ἑαυτοὺς παρέδωκαν.
δ'. Ἔκφρασις Γαλιλαίας καὶ πάσης τῆς Ἰουδαίας· καὶ ὅπως ὁρμήσας Ἰώσηπος ἐλεῖν Σέπφωριν ἀπεκρούσθη, Πλακίδου χιλιάρχου προσβοηθήσαντος.
ε'. Ὅπως Τίτος, ἀπὸ Ἀχαΐας εἰς Ἀλεξάνδρειαν περαιωθείς, κἀκεῖθεν ἀπάρας, ἑνοῦται τῷ πατρὶ αὐτοῦ, πλείστην ὅσην συναγαγόντι δύναμιν.
ς'. Διαγραφὴ τῶν Ῥωμαϊκῶν στρατευμάτων τε καὶ στρατοπέδων καὶ τῶν ἄλλων, ἐφ' οἷς ἐπαινοῦνται Ῥωμαῖοι.
ζ'. Ὅπως Πλάκιδος, ὁρμήσας αἱρῆσαι Ἰωτάπατα, ἀπεκρούσθη· καὶ Οὐεσπασιανοῦ εἰσβολὴ εἰς τὴν Γαλιλαίαν ἀπὸ Πτολεμαΐδος.
η'. Ἔκφρασις τῆς τῶν Ῥωμαίων ὁδευούσης στρατιᾶς.
θ'. Ὅπως διετέθησαν Ἰουδαῖοι τὴν εὐταξίαν Ῥωμαίων ἰδόντες· καὶ ὅπως Ῥωμαῖοι τὴν Γαδαρέων ἑλόντες ἡδηδὸν πάντας ἀνεῖλον.

CAP. XXII. (XLIV.)

Et Galilææ quidem motus compositi erant. Quum autem a turbis civilibus requiescerent, id agebant ut se adversus Romanos compararent. Hierosolymis autem Ananus pontifex, et primorum quotquot cum Romanis non sentiebant, muros instaurare properabant et multa bellica instrumenta. Et passim quidem per urbem jacula et omne genus arma fabricabantur; exercitiis vero tumultuosis operam dabat juvenum multitudo, et omnia perturbationis plena conspiciebantur. Magna autem tristitia moderatos occupabat, multique futuras clades animo prospicientes in fletus et lamenta erumpebant. Et auguria erant in malum omen ab iis accepta qui pacem amabant; ii vero qui bellum accenderant, ea pro lubitu statim interpretabantur, atque tum civitas in eo erat statu ac si jam peritura esset, etiam antequam in eam venirent Romani. Anano autem in animo erat paululum desistere a bellicis instrumentis conficiendis, ut seditiosorum et zelotarum, ut vocabantur, amentiam in melius mutaret : verum ab illorum vi superatus est. Et quis ejus vitæ finis fuerit in sequentibus declarabimus.

2. At in Acrabatene toparchia Simon Gioræ filius, quum multos novis rebus studentes congregasset, ad rapinas se convertit, et non solum locupletium domos dilacerabat, verum etiam corpora verberibus conficiebat : et jam ante palam in eo erat ut tyrannidem sibimet arriperet. Ab Anano autem et magistratibus misso adversus eum exercitu, ad latrones qui Masadam occupabant cum suis effugiebat : ibique manens donec Ananus aliique ejus inimici perempti erant, Idumæam una cum latronibus populabatur, adeo ut ejus gentis magistratus propter cæsorum multitudinem et frequentes rapinas, collecto exercitu, vicos præsidiis tenerent. At Judæorum quidem res ita se habebant.

LIBER III.

1. Quomodo Nero affectus erat, quum res Judææ perturbatas accepisset.
2. Quomodo Judæi, post Cestii cladem Ascalonem adorti, bis superati erant, amissis viginti fere hominum millibus.
3. Quomodo Vespasianus copiis quæ Antiochiæ erant secum assumptis Ptolemaidem profectus est; ubi Sepphoritæ, populus Galilææ, obviam facti, sese dediderunt.
4. Galilææ et universæ Judææ descriptio : et quomodo Josephus ad Sepphorin capiendam ire contendit, et repulsus est a Placido tribuno, qui subsidio venerat.
5. Quomodo Titus Alexandriam transmisit ex Achaja, quumque inde movisset, patri se junxit, qui copias quas poterat maximas collegerat.
6. Descriptio Romanorum exercituum et castrorum, aliorumque propter quæ laudantur Romani.
7. Quomodo Placidus repulsus est tentatis oppugnatione Jotapatis : et Vespasianus Ptolemaide profectus impressionem facit in Galilæam.
8. Descriptio Romani exercitus in itineribus.
9. Quomodo affecti erant Judæi, quum Romanorum disciplinam conspexissent : utque Romani : captis Gadaris, omnes cujuscunque ætatis peremerunt.

ι'. Ὡς Ἰώσηπος εἰς Τιβεριάδα φυγὼν δέους τοὺς ἐν αὐτῇ ἐνέπλησεν· καὶ ὡς γράψας τοῖς ἐν Ἱεροσολύμοις περὶ τῶν πραγμάτων αὖθις εἰς Ἰωτάπατα εἰσέρχεται.

ια'. Ὅπως μαθὼν Οὐεσπασιανὸς τὸν Ἰώσηπον εἰς Ἰωτάπατα πεφευγέναι ἐκπολιορκεῖ τοῦτον.

ιβ'. Ἔκφρασις τῆς πόλεως Ἰωταπάτων, καὶ ὅπως Οὐεσπασιανὸς χώμασι τὰ πρὸ τοῦ τείχους ἐξομαλίσας τὰς ἀφετηρίους μηχανὰς ἐπέστησεν.

ιγ'. Ὅπως Ἰώσηπος κατεστρατήγει Ῥωμαίους, τό τε τεῖχος ὑψῶν καὶ τὸ ποτὸν τοῖς ἰδίοις μέτρῳ παρέχων, τὴν πολιορκίαν ἐπὶ μακρὸν γενέσθαι προμηθούμενος.

ιδ'. Ὅπως διὰ τὸ ἀπογνῶναι τὴν σωτηρίαν τῆς πόλεως βουλόμενος ἐξελθεῖν ἐκωλύθη παρὰ τῶν πολιτῶν.

ιε'. Περὶ τῆς κατασκευῆς τοῦ μηχανήματος τοῦ λεγομένου κριοῦ, καὶ ὡς Ἰουδαῖοι τὰ πολεμικὰ Ῥωμαίων ὄργανα πυρὶ διέφθειραν.

ις'. Περὶ Ἐλεαζάρου τοῦ υἱοῦ Σαμέου· καὶ ὡς Οὐεσπασιανὸς βέλει κατὰ τὸν πόδα τιτρώσκεται.

ιζ'. Περὶ τῆς βίας τοῦ πετροβόλου ὀργάνου, ὁπόσον διάστημα τὰ ἀπορρηγνύμενα τῶν σωμάτων ἀπεσφενδόνα μέρη.

ιη'. Ὡς Οὐεσπασιανὸς τριχῇ τὴν πόλιν περιέλαβε, καὶ οἷα Ἰώσηπος ἀντεμηχανήσατο.

ιθ'. Ὅπως Ἰώσηπος ζέον ἔλαιον καὶ τῆλιν ἐφθὴν τοῖς πολιορκοῦσι τῶν Ῥωμαίων ὑπεξέχεεν.

κ'. Ὅπως Οὐεσπασιανὸς, ἀσφαλέστερον προσάγων τῇ πόλει τὰς μηχανὰς, ὕψωσε τὰ χώματα.

κα'. Ὅπως Ἰαφὰ πόλις, ἀστυγείτων Ἰωταπάτοις, κατὰ τὰς αὐτὰς ἡμέρας ὑπὸ Ῥωμαίων ἥλω, πρῶτον μὲν ὑπὸ Τραιανοῦ πεμφθέντος, ἔπειθ' ὑπὸ Τίτου.

κβ'. Ὅπως καὶ οἱ Σαμαρεῖς ὑπὸ Κερεαλίου πανδημεὶ ἀπεσφάγησαν.

κγ'. Ὅπως ἑάλω Ἰωτάπατα ὑπὸ αὐτομόλου προδοθέντα, ἔνθα καὶ ὁ ἑκατόνταρχος Ἀντώνιος ἐσφάγη.

κδ'. Ὅπως Ἰώσηπος, δόξας λαθεῖν σὺν ἑτέροις, ὑπὸ γυναικὸς μηνυθείς, ἑαυτὸν Ῥωμαίοις ἐδουλήθη παραδοῦναι.

κε'. Ὅπως ἐκώλυον Ἰώσηπον οἱ συνόντες αὐτῷ δεξιὰς δοῦναι Ῥωμαίοις, καὶ ὁποῖα πρὸς αὐτοὺς διεξῆει.

κς'. Ὅτι μὴ δυνάμενος αὐτοὺς πεῖσαι, διά τινος ἀριθμοῦ τεχνικῶς αὐτοὺς μεθοδεύσας, πάντας ὑπ' ἀλλήλων ἀναιρεθῆναι παρασκεύασεν, αὐτὸς μόνος σὺν ἑτέρῳ καταλειφθείς, καὶ πρὸς Ῥωμαίους ἀπαχθείς.

κζ'. Ὁποῖα πρὸς Οὐεσπασιανὸν ἀχθεὶς εἶπε, καὶ ὅπως ἐκεῖνος αὐτῷ ἐχρήσατο.

κη'. Ὅπως Οὐεσπασιανὸς εἰς τὴν παραλίαν Καισάρειαν ἐπανέστρεψε, τὸν χειμῶνα ποιήσων μετὰ τῆς στρατιᾶς.

κθ'. Ὅπως οἱ ἐκπεσόντες τῶν πεπορθημένων πόλεων συνελθόντες τὴν Ἰόπην ἔκτισαν, καὶ οἵῳ τρόπῳ αὐτοί τε ὑπὸ Ῥωμαίων ἀπώλοντο καὶ ἡ πόλις κατεσκάφη.

λ'. Ὅπως διετέθησαν οἱ ἐν Ἱεροσολύμοις, πυθόμενοι τὰ κατὰ τὰ Ἰωτάπατα· καὶ ὡς πρῶτον μὲν ἀκούσαντες Ἰώσηπον τεθνάναι ὠλοφύραντο· ἔπειτα μαθόντες παρὰ Ῥωμαίοις ἐν μεγίστῃ τιμῇ αὐτὸν εἶναι σφόδρα ὠργίσθησαν, καὶ μᾶλλον πρὸς τὸν πόλεμον ὥρμησαν, ὡς καὶ αὐτὸν μετὰ τῶν Ῥωμαίων ἀμυνόμενοι.

λα'. Ὡς Οὐεσπασιανὸς ἀπὸ τῆς παράλου Καισαρείας εἰς τὴν Φιλίππου μετέβη, ὑπ' Ἀγρίππα κληθείς, ἔνθα καὶ τὴν ἀπόστασιν Τιβεριάδος καὶ Ταριχεῶν ἤκουσεν.

λβ' Ὅπως ἑάλω Τιβεριὰς μετανοίᾳ τοῦ δήμου καὶ συγγνώμῃ.

λγ'. Ὅπως Τίτος, ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς εἰς Ταριχέας, καὶ τοὺς οἰκείους διὰ τὸ πλῆθος τῶν ἐναντίων κατεπτηχότας ὁρῶν, δημηγορίᾳ τούτους παρακροτεῖ.

λδ'. Ὡς προθυμίας ἐμπλησθέντες Ῥωμαῖοι τῇ τῶν λόγων ἰσχύι Τίτου τὰς Ταριχέας ἐκράτησαν, καὶ πολλοὺς τῶν ἐν αὐτῇ πολεμίους κατέσφαξαν.

λε'. Ἔκφρασις Ἰορδάνου καὶ τῆς Γεννησὰρ χώρας.

λς'. Ὅπως τοῖς ἁλοῦσι τῶν Ταριχεατῶν Οὐεσπασιανὸς ὁ στρατηγὸς ἐχρήσατο.

10. Qualiter Josephus, quum Tiberiadem fuga se recepisset, metum incolis omnibus injecit : utque literis de rerum statu ad Hierosolymitas missis, iterum Jotapata revertitur.

11. Quomodo Vespasianus, ubi intellexit Josephum profugisse Jotapata, ipsum obsidet.

12. Descriptio urbis Jotapatenæ, et quomodo Vespasianus, quum spatium omne ante muros aggeribus complesset, machinas ad tela emittenda erexit.

13. Quomodo Josephus strategematis utitur adversus Romanos, et muros attollens, et potum mensura suis ministrans, aliaque excogitans quibus protraheretur obsidio.

14. Quomodo, quum egredi voluisset salute civitatis desperata, prohibitus est a civibus.

15. De constructione machinæ quæ aries dicitur; utque Judæi bellica Romanorum instrumenta igne corruperunt.

16. De Eleazaro Sameæ filio ; utque Vespasiano pes vulneratur jaculo.

17. De vi ballistarum et catapultarum, et quam longe corporum partes avulsæ ejaculatæ erant.

18. Quomodo Vespasianus trifariam urbem circumdedit, et quænam Josephus adversus eum machinatus est.

19. Quomodo Josephus oleum fervens et fœnum Græcum decoctum super Romanos urbem obsidentes effudit.

20. Quomodo Vespasianus, majori cum securitate machinas urbi admovens, aggeres erexit.

21. Quomodo Japha, urbs vicina Jotapatis, iisdem diebus a Romanis capta est, primo quidem a Trajano illuc misso, deinde a Tito.

24. Quomodo etiam Samaritæ a Cerealio ad internecionem cæsi sunt.

23. Quomodo expugnata sunt Jotapata, a transfuga prodita : ubi et Antonius centurio occisus est.

22. Quomodo Josephus, quum in latebras abditus una cum aliis occultari videretur, proditus a muliere, sese Romanis tradere voluit.

25. Quomodo qui simul erant cum Josepho ei obstiterunt quominus semet dederet Romanis; et quænam ad ipsos disseruit.

26. Illis non valens persuadere quod voluit, per certos numeros artificiose dispositos omnes eo deduxit ut alter ab altero perimerentur : ipse duntaxat cum altero relictus est, et ad Romanos abductus.

27. Ad Vespasianum ductus quænam verba faciebat; et quomodo ab hoc tractatus est.

28. Quomodo Vespasianus rediit Cæsaream urbem maritimam, illic cum exercitu hiematurus.

29. Quomodo ex urbibus vastatis qui effugerant in unum collecti Jopen instaurarunt : et qualiter ipsi necati sunt a Romanis, et urbs funditus eversa.

30. Quomodo affecti erant Hierosolymitæ, auditis quæ Jotapatis acciderunt: utque primum quidem, quum accepissent Josephum mortem oppetiisse, lamenta ediderunt; deinde quum apud Romanos intellexissent ipsum magno in honore esse, ira exardescebant et majori impetu ad bellum ferebantur, quasi et ipsum pariter ac Romanos ulturi essent.

31. Quomodo Vespasianus Cæsarea maritima Cæsaream Philippi transiit, ab Agrippa invitatus, ubi et de Tiberiadis et Tarichearum defectione audivit.

32. Quomodo capta est Tiberias, quum populum defectionis pœnituisset et sibi ignosci petiisset.

33. Quomodo Titus, a patre Taricheas missus, quum suos adversariorum multitudine perterritos videret, allocutione eos confirmat.

34. Quomodo Romani, Titi orationis vi alacres facti et animati, Taricheas expugnarunt, et multos in urbe hostes jugularunt.

35. Descriptio Jordanis et regionis Gennesar.

36. Quomodo Vespasianus imperator tractavit Tarichеatas quos ceperat

ΚΕΦ. Α'.

Νέρωνι δ' ὡς ἠγγέλη τὰ κατὰ τὴν Ἰουδαίαν πταίσματα, λεληθυῖα μὲν ὡς εἰκὸς ἔκπληξις ἐμπίπτει καὶ δέος· φανερῶς δ' ὑπερηφάνει καὶ προσωργίζετο, στρατηγῶν μὲν ῥαστώνῃ μᾶλλον ἢ ταῖς τῶν πολεμίων ἀρεταῖς γεγονέναι τὰ συμβάντα λέγων, πρέπειν δὲ ἡγούμενος αὐτῷ διὰ τὸν ὄγκον τῆς ἡγεμονίας καταφρονεῖσθαι τῶν σκυθρωπῶν, καὶ δοκεῖν δεινοῦ παντὸς ἐπάνω τὴν ψυχὴν ἔχειν. Διηλέγχετό γε μὴν ὁ τῆς ψυχῆς θόρυβος ὑπὸ τῶν φροντίδων.

β'. Σκεπτόμενος δὲ τίνι πιστεύσειε κινουμένην τὴν ἀνατολήν, ὃς τιμωρήσεται μὲν τὴν Ἰουδαίων ἐπανάστασιν, προκαταλήψεται δὲ αὐτοῖς ἤδη καὶ τὰ πέριξ ἔθνη συννοσοῦντα, μόνον εὑρίσκει Οὐεσπασιανὸν ταῖς χρείαις ἀναλογοῦντα καὶ τηλικούτου πολέμου μέγεθος ἀναδέξασθαι δυνάμενον, ἄνδρα ταῖς ἀπὸ νεότητος στρατείαις ἐγγεγηρακότα καὶ προειρηνεύσαντα μὲν πάλαι Ῥωμαίοις τὴν ἑσπέραν ὑπὸ Γερμανῶν ταρασσομένην, προσκτησάμενον δὲ τοῖς ὅπλοις Βρεττανίαν τέως λανθάνουσαν· ὅθεν αὐτοῦ καὶ τῷ πατρὶ Κλαυδίῳ παρέσχε χωρὶς ἱδρῶτος ἰδίου θρίαμβον καταγαγεῖν.

γ'. Ταῦτά τε δὴ προκληδονιζόμενος καὶ σταθερὰν μετ' ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν, μετὰ δὲ πίστεως αὐτοῦ τοὺς υἱοὺς ὄμηρον, καὶ τὰς τούτων ἀκμὰς χεῖρα τῆς πατρῴας συνέσεως, τάχα τι καὶ περὶ τῶν ὅλων ἤδη τοῦ Θεοῦ προοικονομουμένου, πέμπει τὸν ἄνδρα διαληψόμενον τὴν ἡγεμονίαν τῶν ἐπὶ Συρίας στρατευμάτων, πολλὰ πρὸς τὸ ἐπεῖγον, οἷα κελεύουσιν αἱ ἀνάγκαι, μειλιξάμενός τε καὶ προθεραπεύσας. Ὁ δὲ ἀπὸ τῆς Ἀχαΐας, ἔνθα συνῆν τῷ Νέρωνι, τὸν μὲν υἱὸν Τίτον ἔστειλεν ἐπ' Ἀλεξανδρείας τό τε πέμπτον καὶ τὸ δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα, περάσας δὲ αὐτὸς τὸν Ἑλλήσποντον πεζὸς εἰς Συρίαν ἀφικνεῖται κἀκεῖ τάς τε Ῥωμαϊκὰς δυνάμεις συνῆγε καὶ συχνοὺς παρὰ τῶν γειτνιώντων βασιλέων συμμάχους.

ΚΕΦ. Β'.

Ἰουδαῖοι δὲ μετὰ τὴν Κεστίου πληγὴν ἐπηρμένοι ταῖς ἀδοκήτοις εὐπραγίαις ἀκρατεῖς ἦσαν ὁρμῆς, καὶ ὥσπερ ἐκριπιζόμενοι τῇ τύχῃ προσωτέρω τὸν πόλεμον ἐξῆγον. Πᾶν γοῦν εὐθέως ὅσον ἦν μαχιμώτατον αὐτῶν ἀθροισθέντες, ὥρμησαν ἐπ' Ἀσκάλωνα. Πόλις ἐστὶν ἀρχαία, τῶν Ἱεροσολύμων εἴκοσι πρὸς τοῖς πεντακοσίοις ἀπέχουσα σταδίους, ἀεὶ διὰ μίσους Ἰουδαίοις γεγενημένη, διὸ καὶ τότε ταῖς πρώταις ὁρμαῖς ἐγγιεῖν ἔδοξεν. Ἐξηγοῦντο δὲ τῆς καταδρομῆς τρεῖς ἄνδρες, ἀλκήν τε κορυφαῖοι καὶ σύγκρισιν, Νίγερ τε ὁ Περαίτης καὶ ὁ Βαβυλώνιος Σίλας, πρὸς οἷς Ἰωάννης ὁ Ἐσσαῖος. Ἡ δὲ Ἀσκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν ἔρημος· ἐφρουρεῖτο γὰρ ὑπό τε σπείρης πεζῶν καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, ἧς ἐπῆρχεν Ἀντώνιος.

CAP. I.

Quum Neroni narratum esset res apud Judæam male cecidisse, clam quidem, ut verisimile erat, animo consternatus est et metu ictus : at palam arrogantia efferebatur, et ira intumescebat, ducum exercitus negligentia potius quam virtute hostium facta esse quæ acciderant dicens, ipsumque decere existimans propter imperii majestatem tristia spernere et nihili habere, viderique malis omnibus superiorem animum gerere. Ceterum mentis trepidationem arguebant curæ et sollicitudo.

2. Quum autem deliberaret cuinam committeret Orientem motibus agitatum, ut Judæorum rebellium pœnas persequeretur, gentesque vicinas simili insania correptas præverteret, solum Vespasianum invenit rerum necessitatibus parem, et qui in se tanti belli molem posset suscipere, virum a prima adolescentia usque ad senectutem bellis exercitatum, et qui populo Romano jampridem pacasset Occidentem a Germanis perturbatum, armisque vindicasset Britanniam antea parum cognitam : unde patri quoque ipsius Claudio præstitit ut sudore non suo triumpharet.

3. Adeoque hinc bono omine desumpto, quum et stabilem ætatem peritia rerum conjunctam videret et fidei suæ obsides liberos, eorumque ætatem integram manus suppeditantem paternæ prudentiæ, forsan et Deo aliquid de universis præordinante, virum mittit qui cum imperio præesset Syriæ exercitibus, multis blanditiis, quales postulabat necessitas, ad eum incitandum adhibitis et officiosis delinimentis. Ille autem ex Achaia, ubi tum cum Nerone erat, Titum quidem filium suum misit Alexandriam, ut inde quintam et decimam legiones moveret : ipse vero, trajecto Hellesponto, pedibus in Syriam pervenit, ibique Romanas copias et multa regum vicinorum auxilia congregabat.

CAP. II.

Judæi autem, post Cestii cladem inexspectato rerum successu elati, animorum impetus cohibere non poterant, et quasi fortunæ flabellis excitati bellum ulterius producere satagebant. Itaque statim universi, quotquot erant pugnacissimi, congregati Ascalonem contenderunt. Urbs hæc antiqua est, quingentis et viginti stadiis distans ab Hierosolymis, semper odio habita a Judæis, ac propterea tunc primis illorum incursibus propior fore visa est. Excursibus autem duces præerant tres viri et robore et prudentia eminentissimi, Niger Peraita, et Silas Babylonius, prætereaque Joannes Essæus. Et Ascalon valide quidem munita fuerat, præsidiis autem fere destituta erat : eam quippe una peditum cohors et una equitum ala tuebantur, duce Antonio.

β'. Οἱ μὲν οὖν πολὺ ταῖς ὀργαῖς συντονώτερον ὁδεύσαντες, ὡς ἐγγύθεν ὡρμημένοι, καὶ δὴ παρῆσαν. Ὁ δὲ Ἀντώνιος (οὐ γὰρ ἠγνόει μέλλουσαν ἔτι τὴν ἔφοδον αὐτῶν) προεξήγαγε τοὺς ἱππεῖς καὶ οὐδὲν οὔτε πρὸς τὸ πλῆθος οὔτε τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, καρτερῶς τὰς πρώτας ὁρμὰς ἀνεδέξατο καὶ τοὺς ἐπὶ τὸ τεῖχος ὠθουμένους ἀνέστειλεν. Οἱ δὲ πρὸς ἐμπείρους τε πολέμων ἄπειροι καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύνταχτοί τε πρὸς ἠνωμένους, καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους εἰκαιότερον ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι, πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα πράττοντας ἀντιτασσόμενοι, πονοῦσι ῥᾳδίως. Ὡς γὰρ αὐτῶν ἤδη συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατόπιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιπίπτοντες ἀλλήλων ἦσαν πολέμιοι, μέχρι πάντες ταῖς τῶν ἱππέων ἐμβολαῖς εἶξαντες ἐσκεδάσθησαν ἀνὰ πᾶν τὸ πεδίον· τὸ δὲ ἦν πλατὺ καὶ πᾶν ἱππάσιμον. Ὅ δὴ καὶ τοῖς Ῥωμαίοις συνεργῆσαν πλεῖστον εἰργάσατο τῶν Ἰουδαίων φόνον. Τούς τε γὰρ φεύγοντας αὐτῶν φθάνοντες ἐπέστρεφον καὶ τῶν ὑπὸ τοῦ δρόμου συνειλουμένων διεκπαίοντες ἀπείρους ἀνῄρουν· ἄλλοι δὲ ἄλλους, ὅπῃ τρέποιντο, κυκλούμενοι καὶ περιελαύνοντες κατηκόντιζον ῥᾳδίως. Καὶ τοῖς μὲν Ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία παρὰ τὰς ἀμηχανίας κατεφαίνετο, Ῥωμαῖοι δὲ ἐν ταῖς εὐπραγίαις, καίπερ ὄντες ὀλίγοι τῷ πολέμῳ, καὶ περισσεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. Καὶ τῶν μὲν προσφιλονεικούντων τοῖς πταίσμασιν, αἰδοῖ τε φυγῆς ταχείας καὶ μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέτεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνῃρέθησαν μὲν μύριοι τῶν Ἰουδαίων ἀριθμὸν ἄνδρες, καὶ δύο τῶν ἡγεμόνων, Ἰωάννης τε καὶ Σίλας· οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλέον, σὺν τῷ περιλειπομένῳ τῶν ἡγεμόνων Νίγερι, τῆς Ἰδουμαίας εἰς πολίχνην τινὰ (Σάλλις καλεῖται) συνέφυγον. Ὀλίγοι δέ τινες καὶ τῶν Ῥωμαίων ἐπὶ τῇδε τῇς παρατάξεως ἐτρώθησαν.

γ'. Οὐ μὴν οἱ Ἰουδαῖοι τηλικαύτῃ συμφορᾷ κατεστάλησαν τὰ φρονήματα, μᾶλλον δὲ αὐτῶν τὸ πάθος ἤγειρε τὰς τόλμας· ὑπερορῶντές τε τοὺς ἐν ποσὶ νεκροὺς ἐδελεάζοντο τοῖς προτέροις κατορθώμασιν ἐπὶ πληγὴν δευτέραν. Διαλιπόντες γοῦν οὐδὲ ὅσον ἰάσασθαι τὰ τραύματα, καὶ τὴν δύναμιν πᾶσαν ἐπισυλλέξαντες, ὀργιλώτερον καὶ πολὺ πλείους ἐπαλινδρόμουν ἐπὶ τὴν Ἀσκάλωνα. Παρείπετο δὲ αὐτοῖς μετὰ τῆς ἀπειρίας καὶ τῶν ἄλλων πρὸς πόλεμον ἐλασσωμάτων ἡ προτέρα τύχη. Τοῦ γὰρ Ἀντωνίου τὰς παρόδους προλοχίσαντος, ἀδόκητοι ταῖς ἐνέδραις ἐμπεσόντες, καὶ ὑπὸ τῶν ἱππέων πρὶν εἰς μάχην συντάξασθαι κυκλωθέντες, πάλιν πίπτουσι μὲν ὑπὲρ ὀκτακισχιλίους, οἱ λοιποὶ δὲ πάντες ἔφυγον, σὺν οἷς καὶ Νίγερ, πολλὰ κατὰ τὴν φυγὴν εὐτολμίας ἐπιδειξάμενος ἔργα· συνελαύνονται δ' οὖν, προσκειμένων τῶν πολεμίων, εἴς τινα πύργον ὀχυρὸν κώμης Βεζεδὲλ καλουμένης. Οἱ δὲ περὶ τὸν Ἀντώνιον, ὡς μήτε τρίβοιντο περὶ τὸν πύργον

2. Et illi quidem, ut qui ira incitati longe majori cum celeritate iter fecerant, ac si ex propinquo venirent, protinus aderant. Antonius vero (non enim nesciebat jam futurum esse ut impetum in urbem facerent) equites prius eduxit, et nihil veritus hostium aut multitudinem aut audaciam, primam aggressionem fortiter sustinuit, et ad mœnia irruentes propulsavit. Illi vero, belli imperiti cum peritis commissi, et pedites cum equitibus, incompositi cum densis et confertis, et leviter armati cum militibus gravi armatura instructis, et majori animo quam consilio militantes, cum dicto audientibus et uno nutu omnia facientibus dimicantes, facile profligantur. Nam ut semel eorum primæ turbatæ erant acies, ab equitibus statim in fugam vertuntur; et iis qui a tergo erant murum versus urgentibus incidentes, sibi invicem hostes erant, donec omnes, incursibus equitum cedentes, per omnem campum dispersi erant : iste autem amplus et totus equitatui commodus. Qui quum Romanos etiam plurimum juvaret, effecit ut Judæorum magna strages ederetur. Nam et illos qui fugerent prævertendo, cursum in eos flectebant, et ex iis qui e fuga se congregassent innumeros transfixos perimebant : alii vero alios, quocunque se verterent, in orbem agentes et exagitantes sagittis facile confecerunt. Et Judæis quidem suorum multitudo, quod de salute desperarent, pro solitudine habebatur : Romani vero prosperis elati, licet ad pugnam pauci essent, tamen se satis superque habere existimabant. Et illis quidem res adversas superare contendentibus, quod et puderet eos cito fugere, et fortunam in melius mutari sperarent, Romanis autem, dum feliciter res cederent, minime delassatis, ad seram usque vesperam pugnatum est, donec a Judæis quidem perempti fuerant viri numero ad decem millia, duoque duces Joannes et Silas; ceteri vero plerique saucii, cum Nigro, qui unus restabat ex ducibus, in quoddam Idumææ oppidulum, cui nomen Sallis, confugerunt. Etiam ex Romanis nonnulli in isto prælio vulnerati erant.

3. Verumtamen Judæi nequaquam tanta clade accepta cecidere animis; sed ex iis quæ passi erant major illis crevit audacia. Et mortuos ante pedes jacentes nihil morati, rebus ante prospere gestis ad cladem alteram alliciebantur. Itaque parvo tempore interjecto, quod ne curandis quidem vulneribus satis esset, copiisque suis omnibus undique collectis, majori cum indignatione multoque plures ad Ascalonem recurrebant. Illos autem, præter rei militaris imperitiam aliaque quibus in bello gerendo laborabant vitia, eadem quæ prius sequuta est fortuna. Nam quum Antonius transitus insidiis jam ante occupasset, ex improviso in eas inciderunt Judæi; et ab equitibus circumdati, priusquam instructa esset acies, iterum quidem cadunt ad octo millia et amplius; ceteri vero omnes in fugam se conjiciebant, inque his Niger, multis dum fugeret magnæ audaciæ facinoribus editis : quumque instarent hostes, compelluntur in turrim bene munitam vici cujusdam, cui nomen Bezedel. Antonius vero cum suis, ne tempus terere-

ὄντα δυσάλωτον μήτε ζῶντα τὸν ἡγεμόνα καὶ γενναιότατον τῶν πολεμίων περιίδοιεν, ὑποπιμπρᾶσι τὸ τεῖχος. Φλεγομένου δὲ τοῦ πύργου Ῥωμαῖοι μὲν ἀναχωροῦσι γεγηθότες, ὡς διεφθαρμένου καὶ Νίγερος, ὁ δὲ εἰς τὸ μυχαίτατον τοῦ φρουρίου σπήλαιον καταπηδήσας ἐκ τοῦ πύργου διασώζεται, καὶ μεθ' ἡμέραν τρίτην τοῖς μετ' ὀλοφυρμῶν πρὸς κηδείαν αὐτὸν ἐρευνῶσιν ὑποφθέγγεται· προελθὼν δὲ χαρᾶς ἀνελπίστου πάντας ἐπλήρωσεν Ἰουδαίους, ὡς προνοίᾳ Θεοῦ σωθεὶς αὐτοῖς στρατηγὸς εἰς τὰ μέλλοντα.

(Γ'.) δ'. Οὐεσπασιανὸς δὲ, τὰς δυνάμεις ἀναλαβὼν ἐκ τῆς Ἀντιοχείας, ἣ μητρόπολίς ἐστι τῆς Συρίας, μεγέθους τε ἕνεκα καὶ τῆς ἄλλης εὐδαιμονίας τρίτον ἀδηρίτως ἐπὶ τῆς ὑπὸ Ῥωμαίοις οἰκουμένης ἔχουσα τόπον, ἔνθα μετὰ πάσης τῆς ἰδίας ἰσχύος ἐκδεχόμενον αὐτοῦ τὴν ἄφιξιν καὶ Ἀγρίππαν τὸν βασιλέα κατειλήφει, ἐπὶ Πτολεμαΐδος ἠπείγετο. Καὶ κατὰ ταύτην ὑπαντῶσιν αὐτῷ τὴν πόλιν οἱ τῆς Γαλιλαίας Σέπφωριν νεμόμενοι, τῶν τῇδε εἰρηνικὰ φρονοῦντες· οἳ καὶ τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς Ῥωμαίων ἰσχύος οὐκ ἀπρονόητοι, πρὶν ἀφικέσθαι Οὐεσπασιανὸν, Κεστίῳ Γάλλῳ πίστεις τε ἔδοσαν καὶ δεξιὰς ἔλαβον καὶ παρεδέξαντο φρουράν. Τότε γε μὴν φιλοφρόνως ἐκδεξάμενοι τὸν ἡγεμόνα προθύμως σφᾶς αὐτοὺς ὑπέσχοντο κατὰ τῶν ὁμοφύλων συμμάχους. Οἷς ὁ στρατηγὸς ἀξιώσασι τέως πρὸς ἀσφάλειαν ἱππεῖς τε καὶ πεζοὺς παραδίδωσιν ὅσους ἀνθέξειν ταῖς καταδρομαῖς, εἴ τι Ἰουδαῖοι παρακινοῖεν, ὑπελάμβανεν· καὶ γὰρ οὐδὲ μικρὸν ἐδόκει τὸ κινδύνευμα πρὸς τὸν μέλλοντα πόλεμον, ἀφαιρεθῆναι τὴν Σέπφωριν, μεγίστην μὲν οὖσαν τῆς Γαλιλαίας πόλιν, ἐρυμνοτάτῳ δὲ ἐπεκτισμένην χωρίῳ, καὶ φρουρὰν ὅλου τοῦ ἔθνους ἐσομένην.

ΚΕΦ. Γ'.

Δύο δ' οὔσας τὰς Γαλιλαίας, τήν τε ἄνω καὶ τὴν κάτω προσαγορευομένην, περιίσχει μὲν ἡ Φοινίκη καὶ Συρία. Διορίζει δὲ ἀπὸ μὲν δύσεως ἡλίου Πτολεμαὶς τοῖς τῆς χώρας τέρμασι καὶ Κάρμηλος, τὸ πάλαι μὲν Γαλιλαίων, νῦν δὲ Τυρίων ὄρος· ᾧ προσίσχει Γαβὰ πόλις ἱππέων, οὕτως ἀγορευομένη διὰ τὸ τοὺς ὑφ' Ἡρῴδου τοῦ βασιλέως ἀπολυομένους ἱππεῖς ἐν αὐτῇ κατοικεῖν· ἀπὸ δὲ μεσημβρίας Σαμαρίς τε καὶ Σκυθόπολις μέχρι τῶν Ἰορδάνου ῥείθρων· πρὸς ἕω δὲ Ἱππηνή τε καὶ Γαδαρὶς ἀποτέμνεται, καὶ ἡ Γαυλανῖτις ταύτῃ, καὶ τῆς Ἀγρίππα βασιλείας οἱ ὅροι· τὰ προσάρκτια δὲ αὐτῆς Τύρῳ τε καὶ τῇ Τυρίων χώρᾳ περατοῦται. Καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας ἀπὸ Τιβεριάδος μέχρι Χαβουλὼν, ἧς ἐν τοῖς παραλίοις Πτολεμαὶς γείτων, τὸ μῆκος ἐκτείνεται, πλατύνεται δὲ ἀπὸ τῆς ἐν τῷ Μεγάλῳ πεδίῳ κειμένης κώμης, ἣ Ξαλὼθ καλεῖται, μέχρι Βηρσάβης, ἣ καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης· αὕτη δὲ τὴν τῶν Τυρίων γῆν ὁρίζει· μηκύνεται δὲ μέχρι Μηρὼθ' ἀπὸ Θελλὲ κώμης Ἰορδάνου γείτονος.

β'. Τηλικαῦται δὲ οὖσαι τὸ μέγεθος, καὶ τοσούτοις

tur circa turrim captu difficilem, et ne ducem superstitem eundemque hostium fortissimum sinerent effugere, ignem muro subjiciunt. Quum autem turris conflagraret, Romani quidem gaudio exsultantes discedunt, ac si Niger etiam perisset: ille vero, quum ex turri in abditissimum castelli specus desiliisset, servatur; triduoque post, quum socii lacrimantes eum ut sepeliretur quærerent, eos inferne alloquitur: egressusque gaudio insperato Judæos omnes complevit, tanquam Dei providentia servatus qui ipsos in posterum duceret.

(III.) 4. Vespasianus autem, assumpto secum exercitu ex Antiochia (quæ Syriæ metropolis est, magnitudine simul aliaque felicitate tertium sine dubio inter urbes terrarum orbis Romanæ ditionis locum obtinens), ubi etiam regem Agrippam cum omnibus suis viribus adventum ejus exspectantem offenderat, Ptolemaidem ire contendebat. Atque apud istam civitatem ei occurrunt Galilæi Sepphorin habitantes, qui inter regionis illius incolas paci studebant, et nec suæ salutis, nec Romanorum potentiæ improvidi, antequam veniret Vespasianus, Cestio Gallo fidem dederant et ab eo vicissim acceperant, præsidiumque militare apud se receperant. Ceterum tunc, quum ducem benigne admodum excepissent, alacriter sese etiam contra populares suos belli societatem inire cum illis pollicebantur. Quibus Vespasianus tunc, quum id postulassent, in præsidium dat equites totidem peditesque, quot resistendo fore arbitrabatur incursibus, si quid præter solitum moverent Judæi: non enim se parvum bello futuro discrimen adire existimabat, si sibi auferretur Sepphoris, civitas Galilææ maxima, et in loco natura munitissimo exstructa, quæque genti universæ foret præsidio.

CAP. III. (IV.)

Duæ autem sunt Galilææ, una Inferior, altera Superior appellata, easque Phœnice et Syria circumdant. A solis quidem occasu eas disterminat Ptolemais territorii sui finibus, atque Carmelus, olim quidem Galilæorum, nunc autem Tyriorum mons; cui adhæret Gaba, Urbs Equitum dicta, quod equites ab Herode rege dimissi illic habitent: a meridie autem Samaris et Scythopolis usque ad fluenta Jordanis: ab oriente vero eam terminant Hippene et Gadaris; atque ibidem sunt Gaulanitis, regnique Agrippæ fines: septentrionalia autem ejus Tyrus claudit et Tyriorum regio. Inferioris quidem Galilææ longitudo extenditur a Tiberiade usque ad Chabulon, cui in maritimis vicina est Ptolemais: latitudine autem patet a vico Xaloth nuncupato, qui in Magno campo situs est, usque ad Bersaben; unde etiam Galilææ superioris latitudo incipit usque ad Baca vicum, qui Tyriorum terram a Galilæa dirimit: latitudo vero ejus a Thella vico Jordani proximo usque ad Meroth protenditur.

2. Quum autem utraque tanta fuerint magnitudine, et

ἔθνεσιν ἀλλοφύλοις κεκυκλωμέναι, πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν ἀντέσχον. Μάχιμοί τε γὰρ ἐκ νηπίων, καὶ πολλοὶ πάντοτε Γαλιλαῖοι, καὶ οὔτε δειλία ποτὲ τοὺς ἄνδρας, οὔτε λιπανδρία τὴν χώραν κατέσχεν, ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐπαθείας προσκαλέσασθαι καὶ τὸν ἥκιστα γῆς φιλόπονον. Προσησκήθη γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος αὐτῆς οὐδὲν ἀργόν. Ἀλλὰ καὶ πόλεις πυκναί, καὶ τὸ τῶν κωμῶν πλῆθος παντα- χοῦ πολυάνθρωπον διὰ τὴν εὐθηνίαν, ὡς τὴν ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας.

γ'. Καθόλου δὲ, εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς Περαίας τὴν Γαλιλαίαν, προέλοιτο δ' ἂν τῇ δυνάμει· ἡ μὲν γὰρ ἐνεργὸς ὅλη, καὶ συνεχής ἐστι καρποφόρος. Ἡ Περαία δὲ πολὺ μὲν μείζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον, πρός τε καρπῶν ἡμέρων αὔξησιν ἀγριωτέρα. Τό γε μὴν μαλθακὸν αὐτῆς καὶ πάμφορον, καὶ τὰ πεδία δένδρεσι κατάφυτα ποικίλοις, τὸ πλεῖστον δὲ εἰς ἐλαίαν τε καὶ ἄμπελον καὶ φοινικῶνας ἥσκηται, διαρδομένη χειμάρροις τε τοῖς ἀπὸ τῶν ὀρῶν καὶ πηγαῖς ἀενάοις ἅλις, εἴ ποτε ἐκεῖνοι σειρίῳ φθίνοιεν. Μῆκος μὲν οὖν αὐτῆς ἀπὸ Μαχαιροῦντος εἰς Πέλλαν, εὖρος δὲ ἀπὸ Φιλαδελφείας μέχρις Ἰορδάνου. Καὶ Πέλλη μὲν ᾗ προειρήκαμεν τὰ πρὸς ἄρκτον ὁρίζεται, τὰ πρὸς ἑσπέραν δὲ Ἰορδάνῃ· μεσημβρινὸν δὲ αὐτῆς πέρας ἡ Μωαβῖτις, καὶ πρὸς ἀνατολὴν Ἀραβία τε καὶ Σιλβωνίτιδι, πρὸς δὲ Φιλαδελφηνῇ καὶ Γεράσοις ἀποτέμνεται.

δ'. Ἡ δὲ Σαμαρεῖτις χώρα μέση μὲν τῆς Ἰουδαίας ἐστὶ καὶ τῆς Γαλιλαίας (ἀρχομένη γὰρ ἀπὸ τῆς ἐν τῷ Μεγάλῳ πεδίῳ κειμένης Γιναίας ὄνομα κώμης, ἐπιλήγει τῆς Ἀκραβατηνῶν τοπαρχίας), φύσιν δὲ τῆς Ἰουδαίας κατ' οὐδὲν διάφορος. Ἀμφότεραι γὰρ ὀρειναὶ καὶ πεδιάδες, εἴς τε γεωργίαν μαλθακαὶ καὶ πολύφοροι, κατάδενδροί τε καὶ ὀπώρας ὀρεινῆς καὶ ἡμέρου μεσταί. Προσάρδεσθαι δὲ οὐδαμοῦ μὲν φύσει δαψιλὲς, ὄνται δὲ τὸ πλέον. Γλυκὺ δὲ νᾶμα πᾶν διαφόρως ἐν αὐταῖς· καὶ διὰ πλῆθος πόας ἀγαθῆς τὰ κτήνη πλέον ἢ παρ' ἄλλοις γαλακτοφόρα. Μέγιστόν γε μὴν τεκμήριον ἀρετῆς καὶ εὐθηνίας τὸ πληθύειν ἀνδρῶν ἑκατέραν.

ε'. Μεθόριος δὲ αὐτῶν ἡ Ἀνουὰθ' Βορκέως προσαγορευομένη κώμη, πέρας αὕτη τῆς Ἰουδαίας τὸ πρὸς βορέαν. Τὰ νότια δὲ αὐτῆς ἐπὶ μῆκος μετρουμένης ὁρίζει προσκυροῦσα τοῖς Ἀράβων ὅροις κώμη, καλοῦσι δ' αὐτὴν Ἰαρδὰν οἱ τῇδε Ἰουδαῖοι. Εὖρός γε μὴν ἀπὸ Ἰορδάνου ποταμοῦ μέχρις Ἰόπης ἀναπέπταται. Μεσαιτάτη δὲ αὐτῆς πόλις τὰ Ἱεροσόλυμα κεῖται· παρ' ὃ καί τινες οὐκ ἀσκόπως ὀμφαλὸν τὸ ἄστυ τῆς χώρας ἐκάλεσαν. Ἀφῄρηται δὲ οὐδὲ τῶν ἐκ θαλάσσης τερπνῶν ἡ Ἰουδαία, τοῖς παραλίοις κατατείνουσα μέχρι Πτολεμαΐδος. Μερίζεται δὲ εἰς ἕνδεκα κληρουχίας· ὧν ἄρχει μὲν ὡς βασίλειον τὰ Ἱεροσόλυμα, προανίσχουσα τῆς περιοίκου πάσης, ὥσπερ ἡ κεφαλὴ σώματος. Αἱ λοιπαὶ δὲ μετ' αὐτὴν διῄρηνται τὰς το-

tot gentibus alienigenis circumdatæ, omni semper belli periculo resistebant. Nam et ab infantia pugnaces et ubique numero abundantes Galilæi; et neque formido unquam viros occupavit, neque eorum penuria regio laboravit, quoniam tota pinguis et pascua est, et omne genus arboribus consita, ita ut vel minime studiosos agriculturæ ubertate sua alliciat. Omnis itaque ab habitantibus exculta est, et nulla ejus pars otiosa. Præterea urbes frequentes, et crebri vici ubique, populosi propter soli bonitatem, ut qui sit minimus supra quinque millia incolarum habeat.

3. In summa autem, etiam si quis Galilæam Perææ faciat magnitudine cedere, erit sane ut huic viribus et potentia eam præferat: universa enim culta est, et passim quidem fructuum ferax. Peræa autem multo quidem major, at pleraque aspera atque deserta est, et agrestior quam ut alat fructus mansuetiores. Ceterum solum molle in ea admodum est ferax, camposque habet variis arboribus consitos, maxime vero occupatum et cultum est oleis et vineis et palmetis, irrigatum etiam torrentibus e montibus, satisque aquæ perennis fontibus, si quando montani Sirio ardente defecerint. Et longitudo sane ejus a Machærunte usque ad Pellam, latitudo vero a Philadelphia ad Jordanem. Et Pella quidem, ut diximus, versus Boream terminatur, Jordane vero ad occidentem, et ad meridiem clauditur Moabitide, ad orientem vero Arabia et Silbonitide, necnon Philadelphene et Gerasis.

4. Samariensis autem regio inter Judæam quidem et Galilæam media est (nam a vico incipiens in Magno campo jacente, nomine Ginæa, desinit in Acrabatenorum toparchiam), soli vero natura et ingenio a Judæa nihil differt. Nam utræque montosæ sunt et campestres, molleque ad agriculturam, et fertiles admodum, necnon arboribus consitæ, pomisque silvestribus mansuetis abundantes. Non sunt autem natura quidem valde irriguæ, sed copiosi sunt et frequentes in iis imbres. Quæque illic sunt aquæ fluenta dulcem supra modum habent saporem; atque propter boni graminis copiam armenta majori lactis ubertate gaudent quam usquam alibi. Ceterum maximum virtutis et feracitatis argumentum est, quod utraque viris abundet.

5. In utriusque autem confinio est Anuath vicus, qui alias Borceos dicitur, terminus ille Judææ versus septentionem. Meridiana vero pars ejus, si in longitudinem eam metiaris, finem habet vicum Arabibus conterminum, quem istic habitantes Judæi Jardan appellant. Ceterum latitudo ab Jordane fluvio ad Jopen porrigitur. Ipsissimo autem in medio ejus sita est urbs Hierosolyma: qua de causa urbs a nonnullis non sine ratione dicta est regionis umbilicus. Sed nec marinis deliciis caret Judæa, locis maritimis Ptolemaidem usque extensa. Distributa est autem in undecim sortes: quarum prima quidem tanquam regia est Hierosolyma, omni regioni circumjacenti ut caput corpori superemi- nens et præstans. Ceteræ autem post ipsam divisæ sunt juxta

παρχίας. Γόφνα δευτέρα, καὶ μετ' αὐτὴν Ἀκραβαττά, Θαμνὰ πρὸς ταύταις καὶ Λύδδα καὶ Ἀμμαοῦς καὶ Πέλλη καὶ Ἰδουμαία καὶ Ἐγγαδδαὶ καὶ Ἡρώδειον καὶ Ἱεριχοῦς, μεθ' ἃς Ἰάμνεια καὶ Ἰόπη τῶν περιοίκων ἀφηγοῦνται, κἀπὶ ταύταις ἥ τε Γαμαλιτικὴ καὶ Γαυλανῖτις, Βαταναία τε καὶ Τραχωνῖτις, αἳ καὶ τῆς Ἀγρίππα βασιλείας εἰσὶ μοῖρα. Ἀρχομένη δὲ ἀπὸ Λιβάνου ὄρους καὶ τῶν Ἰορδάνου πηγῶν ἡ χώρα μέχρι τῆς Τιβεριάδος λίμνης εὐρύνεται, ἀπὸ δὲ κώμης καλουμένης Ἀρφᾶς, μέχρις Ἰουλιάδος ἐκτείνεται τὸ μῆκος. Οἰκοῦσι δὲ αὐτὴν μιγάδες Ἰουδαῖοί τε καὶ Σύροι. Τὰ μὲν δὴ περὶ τῆς πέριξ χώρας ὡς ἐνῆν μάλιστα συντόμως ἀπηγγέλκαμεν.

ΚΕΦ. Δ'.

Ἡ δὲ ὑπὸ Οὐεσπασιανοῦ πεμφθεῖσα Σεπφωρίταις βοήθεια χίλιοι μὲν ἱππεῖς, ἑξακισχίλιοι δὲ πεζοί, Πλακίδου χιλιαρχοῦντος αὐτῶν, ἐν τῷ Μεγάλῳ πεδίῳ στρατοπεδευσάμενοι διαιροῦνται· καὶ τὸ μὲν πεζὸν ἐν τῇ πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δὲ ἱππικὸν ἐπὶ τῆς παρεμβολῆς αὐλίζεται. Προϊόντες δὲ ἑκατέρωθεν συνεχῶς καὶ τὰ πέριξ τῆς χώρας κατατρέχοντες μεγάλα τοὺς περὶ τὸν Ἰώσηπον ἐκάκουν ἀτρεμοῦντας, τά τε κατὰ πόλιν ἔξωθεν ληϊζόμενοι καὶ προθέοντας ὁπότε θαρρήσειαν ἀνακόπτοντες. Ὥρμησέ γε μὴν ὁ Ἰώσηπος ἐπὶ τὴν πόλιν, αἱρήσειν ἐλπίσας ἣν αὐτὸς πρὶν ἀποστῆναι Γαλιλαίων ἐτείχισεν, ὡς καὶ Ῥωμαίοις δυσάλωτον εἶναι. Διὸ καὶ τῆς ἐλπίδος ἀφήμαρτε, τοῦ τε βιάζεσθαι καὶ τοῦ μεταπείθειν Σεπφωρίτας ἀσθενέστερος εὑρεθείς. Παρώξυνε δὲ μᾶλλον τὸν πόλεμον ἐπὶ τὴν χώραν· καὶ οὔτε νύκτωρ οὔτε μεθ' ἡμέραν ὀργῇ τῆς ἐπιβουλῆς οἱ Ῥωμαῖοι διέλιπον δηοῦντες αὐτῶν τὰ πεδία, καὶ διαρπάζοντες τὰ ἐπὶ τῆς χώρας κτήματα, καὶ κτείνοντες μὲν ἀεὶ τὸ μάχιμον, ἀνδραποδιζόμενοι δὲ τοὺς ἀσθενεστέρους. Πυρὶ δὲ ἡ Γαλιλαία καὶ αἵματι πεπλήρωτο πᾶσα, πάθους τε οὐδενὸς ἡ συμφορᾶς ἀπείρατος ἦν. Μία γὰρ καταφυγὴ διωκομένοις αἱ ὑπὸ τοῦ Ἰωσήπου τειχισθεῖσαι πόλεις ἦσαν.

β'. Ὁ δὲ Τίτος, περαιωθεὶς ἀπὸ τῆς Ἀχαΐας εἰς τὴν Ἀλεξάνδρειαν, ὠκύτερον ἢ κατὰ χειμῶνος ὥραν, παραλαμβάνει μὲν ἐφ' ἣν ἔσταλτο δύναμιν· συντόνῳ δὲ χρώμενος πορείᾳ διὰ τάχους εἰς Πτολεμαΐδα ἀφικνεῖται. Κἀκεῖ καταλαβὼν τὸν πατέρα, δυσὶ τοῖς ἅμα αὐτῷ τάγμασιν (ἦν δὲ τὰ ἐπισημότατα τὸ πέμπτον καὶ τὸ δέκατον) ζεύγνυσι καὶ τὸ ἀχθὲν ὑπ' αὐτοῦ πεντεκαιδέκατον. Τούτοις εἵποντο ὀκτωκαίδεκα σπεῖραι. Προσεγένοντο δὲ καὶ ἀπὸ Καισαρείας πέντε καὶ ἱππέων ἴλη μία, πέντε δὲ ἕτεραι τῶν ἀπὸ Συρίας ἱππέων. Τῶν δὲ σπειρῶν αἱ δέκα μὲν εἶχον ἀνὰ χιλίους πεζούς, αἱ δὲ λοιπαὶ τρισκαίδεκα ἀνὰ ἑξακοσίους μὲν πεζούς, ἱππεῖς δὲ ἑκατὸν εἴκοσι. Συχνὸν δὲ καὶ παρὰ τῶν βασιλέων συνήχθη συμμαχικὸν, Ἀντιόχου μὲν καὶ Ἀγρίππα καὶ Σοέμου παρασχομένων ἀνὰ δισχιλίους πεζοὺς τοξότας καὶ χιλίους ἱππεῖς· τοῦ δὲ Ἄραβος Μάλχου χι-

toparchias. Gophna secunda, et post eam Acrabatta, deinde Thamna, et Lydda, et Ammaus, et Pella, et Idumæa, et Engaddæ, et Herodion, et Hierichus, post quas Jamnia et Jope finitimis suis præsunt, ac præterea Gamalitica et Gaulanitis, et Batanæa et Trachonitis, quæ et partes sunt regni Agrippæ. Incipiens autem regio a monte Libano et Jordanis fontibus usque ad lacum Tiberiadem latitudine panditur: longitudo vero ejus a vico, cui nomen Arpha, usque ad Juliadem protenditur. Eam autem incolunt Judæi permixti Syris. Atque de Judæa quidem et finitimis regionibus summa qua potuimus brevitate narrationem fecimus.

CAP. IV. (V.)

Quod autem Vespasianus Sepphoritis miserat auxilium, equites scilicet mille et sex millia peditum, duce Placido tribuno, castris in Magno campo positis bifariam dividuntur: et pedites quidem in civitate, ut eam tuerentur, agebant; equites vero in castris morantur. Quum autem ab utrisque frequentes fierent excursiones, et quæ in regione erant illi incursibus vastarent, Josephum suosque, licet non moverent, magnis incommodis afficiebant, quæque circa urbem erant depopulantes, civesque, si quando prodire auderent, repellentes. Ceterum Josephus in urbem impressionem fecit, quam ipse, antequam a Galilæis descisceret, ita munivit, ut etiam Romanis captu esset difficilis. Quam ob rem et de spe sua decidit, imbecillior esse compertus quam ut Sepphoritas aut vi aut suasu in partes suas pertraheret. Magis autem bellum regioni concitabat, Romanis indigne adeo ferentibus insidias, ut nec die nec nocte ab agrorum eorum depopulatione cessarent, aut a bonorum omnium in regione direptione, aut ab occisione eorum assidua qui militaris erant ætatis, aut ab imbecilliorum in captivitatem abductione. Galilæa autem omnis oppleta erat incendio et sanguine, nec ullius miseriæ et calamitatis expers erat et immunis. Nam unicum infestatis perfugium erant urbes quas Josephus munimentis firmaverat.

2. Titus autem, quum ex Achaia Alexandriam trajecisset, citius quam hiemis tempestate fieri solet, militum quidem manum, cujus causa missus fuerat, suscipit; magnisque itineribus contendens, brevi admodum Ptolemaidem pervenit. Quumque illic patrem suum offendisset, duabus quæ cum eo erant legionibus (erant autem quinta, et decima, eæque nobilissimæ) jungit etiam quam ipse secum adduxit quintamdecimam. His adjunctæ erant decem et octo cohortes. Accesserunt illis e Cæsarea quinque, cum una equitum turma; et aliæ quinque Syrorum equitum. Decem autem cohortum singulæ quidem mille pedites habebant; reliquæ vero tredecim pedites sexcentos, equitesque centum et viginti. Ab regibus etiam auxiliares magno numero collecti erant, Antiocho quidem et Agrippa et Sohemo bina millia peditum sagittariorum et mille equites suppeditantibus; quum jam Malchus Arabs equites mille

λίους πέμψαντος ἱππεῖς ἐπὶ πεζοῖς πεντακισχιλίοις, ὧν τὸ πλέον ἦσαν τοξόται, ὡς τὴν πᾶσαν δύναμιν, συνεξαριθμουμένων τῶν βασιλικῶν, ἱππέας τε καὶ πεζοὺς εἰς ἓξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων, οἳ παμπληθεῖς μὲν εἵποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν οὐκ ἂν ἀποτάσσοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς μελέταις τῶν δεσποτῶν ἀεὶ στρεφόμενοι, συγκινδυνεύοντες δ' ἐν πολέμοις, ὡς μήτε ἐμπειρίᾳ μήτ' ἀλκῇ τινος πλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

ΚΕΦ. Ε'.

Κἂν τούτῳ μὲν οὖν θαυμάσαιτό τις ἂν Ῥωμαίων τὸ προμηθὲς, κατασκευαζομένων ἑαυτοῖς τὸ αἰκετικὸν οὐ μόνον εἰς τὰς τοῦ βίου διακονίας, ἀλλὰ καὶ πρὸς τοὺς πολέμους χρήσιμον. Εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην τῆς στρατιᾶς σύνταξιν ἀπίδοι, γνώσεται τὴν τοσήνδε ἡγεμονίαν αὐτοὺς ἀρετῆς κτῆμα ἔχοντας, οὐ δῶρον τύχης. Οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων ὁ πόλεμος, οὐδὲ ἐπὶ μόνας τὰς χρείας τὼ χεῖρε κινοῦσιν, ἐν εἰρήνῃ ἀπειρηκότες, ἀλλ' ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν οὐδὲ ἀναμένουσι τοὺς καιρούς. Αἱ μελέται δὲ αὐτοῖς οὐδὲν τῆς κατὰ ἀλήθειαν εὐτονίας ἀποδέουσιν, ἀλλ' ἕκαστος δσημέραι στρατιώτης πάσῃ προθυμίᾳ καθάπερ ἐν πολέμῳ γυμνάζεται· διὸ κουφότατα τὰς μάχας διαφέρουσιν. Οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἕθει συντάξεως, οὔτε δέος ἐξίστησιν, οὔτε δαπανᾷ πόνος. Ἕπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ ὁμοίων βέβαιον, καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας αὐτῶν χωρὶς αἵματος παρατάξεις, τὰς παρατάξεις δὲ μεθ' αἵματος μελέτας. Οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις· ὅπῃ δ' ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης ἢ τειχίσαι στρατόπεδον. Τὸ δ' οὐκ εἰκαῖον οὐδ' ἀνώμαλον ἐγείρουσιν, οὐδὲ πάντες, ἢ ἀτάκτως διαλαβόντες, ἀλλ' εἰ μὲν ἀνώμαλος ὢν τύχοι χῶρος, ἐξομαλίζεται, διαμετρεῖται δὲ παρεμβολὴ τετράγωνος αὐτοῖς. Καὶ τεκτόνων πλῆθος ἕπεται τά τε πρὸς τὴν δόμησιν ἐργαλεῖα.

β'. Καὶ τὸ μὲν ἔνδον εἰς σκηνὰς διαλαμβάνουσι, ἔξωθεν δὲ ὁ κύκλος τείχους ὄψιν ἐπέχει, πύργοις ἐξ ἴσου διαστήματος κεκοσμημένος. Ἐπὶ δὲ τῶν μεταπυργίων τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλα καὶ πᾶν ἀφετήριον ὄργανον τιθέασιν, ἅπαντα πρὸς τὰς βολὰς ἕτοιμα. Πύλαι δὲ ἐνοικοδομοῦνται τέσσαρες καθ' ἕκαστον τοῦ περιβόλου κλίμα πρός τε εἰσόδους τῶν ὑποζυγίων εὐμαρεῖς καὶ πρὸς ἐκδρομὰς αὐτῶν, εἰ κατεπείγοι, πλατεῖαι. Ῥυμοτομοῦσι δὲ εὐδιαθέτως εἴσω τὸ στρατόπεδον. Καὶ μέσας μὲν τὰς τῶν ἡγεμόνων σκηνὰς τίθενται, μεσαίτατον δὲ τούτων τὸ στρατήγιον, ναῷ παραπλήσιον· ὥσπερ δὲ ἐν σχεδίῳ πόλις καὶ ἀγορά τις ἀποδείκνυται καὶ χειροτέχναις χωρίον, θῶκοί τε λοχαγοῖς καὶ ταξιάρχοις, ὅπῃ δικάζοιεν εἴ τινες διαφέροιντο. Τειχίζεται δὲ ὁ περίβολος καὶ τὰ ἐν

misisset præter quinque millia peditum, quorum pars major erant sagittarii : adeo ut omnes copiæ, regiis in eundem numerum adscriptis, tam pedites quam equites, in sexaginta millia colligerentur, præter calones, qui magna quidem multitudine sequebantur, quod vero exercitatione bellica assueti essent, haud secernendi sunt à viris militaribus, pacis quidem tempore in dominorum exercitiis assidue versantes, bellique pericula una cum illis adeuntes, ut neque peritia neque viribus a quopiam nisi a dominis superentur.

CAP. V. (VI.)

Et in hoc quidem alicui mirari subeat providam Romanorum curam, ita suum in usum servos instituentium, ut non solum vitæ ministeriis, sed belli etiam necessitatibus accommodati sint. Si quis autem eorum ceteram quoque militarem respexerit disciplinam, profecto cognoscet tantum eos imperium non fortunæ munere, sed propria virtute adeptos esse. Non enim armis uti incipiunt, bello ingruente, neque solum urgente necessitate manus movent, ut qui pacis tempore requieverint, sed quasi illis a natura insitus esset armorum usus, nunquam ab exercitatione feriantur, neque belli tempora exspectant. Meditatio autem militaris illis nihil a vera contentione discrepat, sed quotidie miles unusquisque summa cum alacritate tanquam in bello exercetur : quo factum ut levissime dimicationes perferant. Neque enim ordinem non conservando a consueto statu dimoventur, neque metu consternantur, neque labore vires illis exhauriuntur. Atque inde est quod semper eos superent, quos non itidem firmos et immotos invenerint : et haud erraverit si quis eorum exercitationes conflictus esse dixerit sine sanguine, verum prælia exercitationes sanguineas. Neque enim repentino hostium incursu facile opprimi possunt, sed quacunque in hostilem terram impressionem fecerint, non prius se in aciem committunt quam circumvallentur castra. Non levi autem opere, nec solo inæquali statuunt castra, neque omnes aut nullo ordine occupantur : sed si forte accidat ut locus sit inæqualis, in planum redigitur; atque castra ita illis dimensa sunt et descripta, ut formam habeant quadratam. Quippe multi fabri lignarii cum instrumentis ad exstructionem necessariis eos sequuntur.

2. Et partem quidem interiorem tentoriis occupant, extrinsecus vero castrorum ambitus muri speciem præ se fert, turribus æquo inter se spatio distantibus instructus. Per intervalla autem scorpiones et catapultas et ballistas et alia omnia missilium organa disponunt, cuncta ad aliquid jaciendum accommodata. Portas autem quattuor inædificant ad unamquamque ambitus plagam, tam ad introitus jumentorum faciles, quam ad excursus si opus sit faciendos latas. Et introrsum castra in vicos commode admodum dividunt. Atque in medio quidem vicorum ponunt ducum tabernacula : horum autem ipsissimo in medio prætorium ad templi similitudinem : ac quasi de subito facta conspicitur civitas, et forum quoddam atque opificibus statio; item sedilia agminum ductoribus et ordinum principibus, ubi lites, si quæ oriantur, dijudicent. Excitatur autem ambi-

αὐτῷ πάντα θᾶσσον ἐπινοίας πλήθει καὶ ἐπιστήμῃ τῶν πονούντων. Εἰ δὲ ἐπείγοι, καὶ τάφρος ἔξωθεν περιβάλλεται, βάθος τετράπηχυς καὶ εὖρος ἴσον.

γ'. Φραξάμενοι δὲ αὐλίζονται κατὰ συντάξεις ἕκαστοι μεθ' ἡσυχίας τε καὶ κόσμου. Πάντα δὲ αὐτοῖς καὶ τὰ ἄλλα μετ' εὐταξίας ἀνύεται καὶ ἀσφαλείας, ξυλεία καὶ ἐπισιτισμὸς, εἰ δέοιντο, καὶ ὑδρεία κατὰ συντάξεις ἑκάστοις. Οὔτε γὰρ δεῖπνον ἢ ἄριστον ὁπότε θελήσειαν αὐτεξούσιον ἑκάστῳ, πᾶσι δὲ δμοῦ. Τούς τε ὕπνους αὐτοῖς καὶ τὰς φυλακὰς καὶ τὰς ἐξεγέρσεις σάλπιγγες προσημαίνουσιν, οὐδ' ἔστιν ὅ τι γίνεται δίχα παραγγέλματος. Ὑπὸ δὲ τὴν ἕω τὸ στρατιωτικὸν μὲν ἐπὶ τοὺς ἑκατοντάρχας ἕκαστοι, πρὸς δὲ τοὺς χιλιάρχους οὗτοι συνίασιν ἀσπασόμενοι, μεθ' ὧν πρὸς τὸν ἡγεμόνα τῶν ὅλων οἱ ταξιάρχαι πάντες. Ὁ δὲ αὐτοῖς τότε ἐξ ἔθους σημεῖον καὶ τὰ ἄλλα παραγγέλματα δίδωσι διαφέρειν εἰς τοὺς ὑποτεταγμένους· ὃ δὴ καὶ ἐπὶ παράταξεως πράττοντες ἐπιστρέφονται ταχέως, ἵνα, εἰ δέοι, καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς καὶ πρὸς τὰς ἀνακλήσεις χωρῶσιν ἀθρόοι.

δ'. Ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον, ὑποσημαίνει μὲν ἡ σάλπιγξ, ἠρεμεῖ δὲ οὐδείς, ἀλλὰ ἅμα νεύματι τὰς μὲν σκηνὰς ἀναιροῦσι, πάντα δὲ ἐξαρτύονται πρὸς τὴν ἔξοδον, καὶ πάλιν αἱ σάλπιγγες ὑποσημαίνουσι παρεσκευάσθαι. Οἱ δὲ ἐν τάχει τοῖς τε ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἐπιτιθέντες τὴν ἀποσκευὴν ἑστᾶσιν ὥσπερ ἐφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι, ὑποπιμπρᾶσί τε ἤδη τὴν παρεμβολὴν, ὡς αὐτοῖς μὲν ὂν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δὲ ἐκεῖνο ποτὲ τοῖς πολεμίοις χρήσιμον. Καὶ τρίτον δὲ δμοίως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον, ἐπισπέρχουσαι τοὺς δι' αἰτίαν τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθείη τάξεως. Ὁ τε κῆρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστὰς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ τρὶς ἀναπυνθάνεται. Κἀκεῖνοι τοσαυτάκις ἀντιβοῶσι μέγα τι καὶ πρόθυμον, ἕτοιμοι λέγοντες εἶναι φθάνουσί τε τὸν ἐπερωτῶντα, καί τινος ἀρηίου πνεύματος ὑποπιμπλάμενοι τῇ βοῇ συνεξαίρουσι τὰς δεξιάς.

ε'. Ἔπειτα προϊόντες ὁδεύουσιν ἡσυχῇ καὶ μετὰ κόσμου πάντες, ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάσσων, οἱ μὲν πεζοὶ θώραξί τε πεφραγμένοι καὶ κράνεσι καὶ μαχαιροφοροῦντες ἀμφοτέρωθεν, μακρότερον δὲ αὐτῶν τὸ λαιὸν ξίφος πολλῷ· τὸ γὰρ κατὰ δεξιὸν σπιθαμῆς οὐ πλέον ἔχει μῆκος. Φέρουσι δὲ οἱ μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι πεζοὶ λόγχην καὶ ἀσπίδα, ἡ δὲ λοιπὴ φάλαγξ ξυστόν τε καὶ θυρεὸν ἐπιμήκη, πρὸς οἷς πρίονα καὶ κόφινον, ἅμην τε καὶ πέλεκυν, πρὸς δὲ ἱμάντα καὶ δρέπανον καὶ ἅλυσιν, ἡμερῶν τε τριῶν ἐφόδιον, ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ὀρέων τὸν πεζόν. Τοῖς δὲ ἱππεῦσι μάχαιρα μὲν ἐκ δεξιοῦ μακρὰ καὶ κοντὸς ἐπιμήκης ἐν χειρὶ, θυρεὸς δὲ παρὰ πλευρὸν ἵππου πλάγιος, καὶ κατὰ γωρυτοῦ παρήρτηνται τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμὰς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος· κράνη δὲ

tus et quæ in eo sunt omnia prius opinione parantur, propter operariorum multitudinem et scientiam. Quodsi res urgeat, fossa etiam extra vallum circumjicitur, profunda quattuor cubitis totidemque lata.

3. Quum autem communiuntur, singuli per contubernia quiete et decenter in tentoriis agunt. Etiam cetera omnia illis bono cum ordine satisque secure expediuntur; a singulis nempe per contubernia ligni et frumenti, si opus sit, et aquæ copia comportatur. Nec enim cœnam vel prandium, prout libuerit, sumere cujusquam in potestate est, simul vero ab omnibus sumuntur. Somni etiam tempus et vigiliarum et excitationum ipsis præsignificant tubæ, neque quidquam omnino est quod sine mandato fiat. Mane autem milites quidem ad centuriones singuli, illi vero ad tribunos salutandos conveniunt, cum quibus ad summum omnium ducem universi ordinum principes eunt. Ille autem ipsis pro more signum aliaque in mandatis dat subditis perferenda: quibus in acie quoque observatis, celeriter convertuntur, ut, ubi opus sit, et ad incursiones illis et revocati densis procedant agminibus.

4. Quum autem castris digrediendum est, signum dat tuba, nemoque remisse se gerit, sed primum ad nutum tollunt tabernacula, omniaque ad exitum et profectionem apparant, iterumque paratos esse significat tuba. Atque illi celeriter mulis et jumentis imponentes sarcinas stant veluti in carceribus ad egrediendum parati. Ac jam castris ignem subjiciunt, ut quibus facile foret iterum ea ibidem construere, et ne hostibus quandoque ea usui essent. Et tertio quoque exitum præsignificant tubæ, excitantes urgentesque aliqua de causa tardiusculos, ne quis forte ordinem deserat. Tum præco ad dextram imperatoris stans an ad bellum parati sint lingua vernacula ter percontatur. Atque illi toties contra acclamant magna et alacri voce, paratos se esse dicentes, interrogantemque fere præveniunt, et martio quodam spiritu oppleti cum clamore dextras attollunt.

5. Deinde progredientes tacite incedunt decenterque universi, tanquam in bello suum quisque ordinem servantes, pedites quidem thoracibus et galeis septi et utroque latere gladiis accincti: gladius autem quem lævo gerunt multo longior est; nam qui ad dextrum longitudine palmam non excedit. Qui vero imperatorem stipant pedites electi, lanceas gestant et clypeos: cetera autem phalanx hastas et scuta oblonga; prætereaque serram et corbem rutrumque et securim, necnon et lorum et falcem et catenam triduique viaticum, adeo ut a mulis sarcinariis parum absint pedites. Equitibus autem ad latus dextrum gladius est oblongus, et contus item longus in manu, transversusque ad equi latus clypeus, et in pharetra gestantur tria aut plura jacula cuspide lata et hastis magnitudine non cedentia; etiam

καὶ θώρακες ὁμοίως τοῖς πεζοῖς ἅπασιν. Οὐδενὶ δὲ ὅπλῳ διαλλάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἐπίκριτοι τῶν ἐν ταῖς Ἴλαις ἱππέων, κλήρῳ δὲ τῶν ταγμάτων ἀεὶ τὸ λαχὸν ἡγεῖται.

ς'. Τοιαῦται μὲν οὖν αἱ Ῥωμαίων πορεῖαί τε καὶ καταλύσεις, πρὸς δὲ ὅπλων διαφοραί. Οὐδὲν δὲ ἀπροβούλευτον ἐν ταῖς μάχαις οὐδὲ αὐτοσχέδιον, ἀλλὰ γνώμῃ μὲν ἀεὶ παντὸς ἔργου προάγει, τοῖς δοχθεῖσι δὲ ἕπεται τὰ ἔργα· παρ' ὃ καὶ σφάλλονται μὲν ἥκιστα, κἂν πταίσωσι δὲ, ῥᾳδίως ἀναλαμβάνουσι τὰ σφάλματα. Ἡγοῦνταί τε τῶν ἀπὸ τύχης ἐπιτευγμάτων ἀμείνους τὰς ἐπὶ τοῖς προβουλευθεῖσι διαμαρτίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δελεάζοντος εἰς ἀπρομήθειαν, τῆς σκέψεως δὲ, κἂν ἀτυχήσῃ ποτὲ, πρὸς τὸ μὴ αὖθις καλὴν ἐχούσης μελέτην· καὶ τῶν μὲν αὐτομάτων ἀγαθῶν οὐ τὸν λαβόντα αἴτιον εἶναι, τῶν δὲ παρὰ γνώμην προσπεσόντων σκυθρωπῶν παραμυθίαν τό γε προσηκόντως βεβουλεῦσθαι.

ζ'. Παρασκευάζουσι μὲν οὖν ἐν ταῖς μελέταις τῶν ὅπλων οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους. Προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. Οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λιποταξίου μόνον, ἀλλὰ καὶ ῥᾳστώνης ὀλίγης θανατικοὶ, οἵ τε στρατηγοὶ τῶν νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς ῥύονται τοῦ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. Τοσοῦτον δὲ αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον, ὡς ἔν τε εἰρήνῃ κόσμον εἶναι καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. Οὕτως αὐτῶν συναφεῖς μὲν αἱ τάξεις, εὔστροφοι δέ εἰσιν αἱ περιαγωγαὶ, ὀξεῖαι δὲ ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. Ὅθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ παθεῖν εἰσιν. Οὐδὲ ἔστιν ὅπου συστάντες ἢ πλήθους ἡττήθησαν ἢ στρατηγημάτων ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης· καὶ γὰρ ταύτης αὐτοῖς τὸ κρατεῖν βεβαιότερον. Οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστὸν εἰ πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; δέοντως γὰρ ἄν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλασσον.

η'. Ταῦτα μὲν οὖν διεξῆλθον οὐ Ῥωμαίους ἐπαινέσαι προαιρούμενος τοσοῦτον ὅσον εἴς τε παραμυθίαν τῶν κεχειρωμένων καὶ εἰς ἀποτροπὴν τῶν νεωτεριζόντων. Εἴη δ' ἂν τοῖς ἀγνοοῦσι τῶν φιλοκαλούντων καὶ πρὸς ἐμπειρίαν ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. Ἐπάνειμι δὲ ὅθεν ἐπὶ ταῦτα ἐξέβην.

ΚΕΦ. ς'.

Οὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως ἐν Πτολεμαΐδι συνέτασσε τὰς δυνάμεις. Ὁ δὲ τὴν Γαλιλαίαν κατατρέχων Πλάκιδος, ἐπεὶ πολὺ μὲν πλῆθος ἀνῃρήκει τῶν καταλαμβανομένων (τοῦτο δὲ ἦν τὸ ἀσθενέστερον Γαλιλαίων καὶ ταῖς ψυχαῖς ἐναποκάμνον), ὁρῶν δὲ τὸ μάχιμον ἀεὶ συμφεῦγον εἰς τὰς ὑπὸ

galeas et loricas omnes habent, uti pedites. Qui vero delecti imperatori a satellitio sunt, nullo armorum genere ab equitibus turmarum discrepant: semperque agmina, cui sorte id obtigerit, is ducit.

6. Et ejusmodi quidem sunt Romanorum itinera et mansiones, itemque armorum differentia. In prœliis autem nihil inconsulto et temere agunt aut subito et præcipiti impetu, sed prius semper consilia ineunt quam manum operi admoveant, et tunc demum opus exsequuntur, quum de eo fuerit existimatum. Qua re fit ut aut quam minime errent, aut si erraverint facile possint errores corrigere. Imo infortunium, quod consultationem prius adhibitam sequitur, melius esse arbitrantur prosperis successibus qui fortunæ debentur; quasi bonum quidem fortuitum eos alliciat ad negligentiam, consultatio vero, etsi aliquando male cedat, ad cavendum ne idem rursus eveniat rectam cogitationem suggerat; et bonorum quidem fortuitorum non eum auctorem esse cui contigerint, tristium vero quæ præter sententiam accidunt solamen esse quod bene consulta fuerint.

7. Et armorum quidem exercitatione efficitur ut non modo corpora, sed animi quoque militum fortiores sint. Quin et necesse est ut in armis se exerceant pœnæ formidine. Nam et leges apud eos non solum ob aciem desertam, sed etiam ob quamvis inertiam et socordiam pœnam irrogant capitalem; et imperatores magis quam ipsæ leges terribiles: fortes vero honoribus afficiendo faciunt ne crudeles videantur in eos qui supplicia luunt. Tanto autem obsequio ducibus obtemperant, ut et in pace ornamento sint et in acie totus exercitus unum videatur corpus. Ita inter se apti copulatique sunt ordines, et faciles circumductiones, ita acutis auribus ad mandata, oculisque ad signa attentis et ad opera manibus. Unde semper ad agendum quidem celeres, ad patiendum vero tardissimi sunt. Nec est ubi prælium committentes aut multitudini cesserint, aut strategematis, aut locorum difficultati; imo ne fortunæ quidem: nam hac quoque certior est illis et constantior victoria. Quibus itaque consilium quidem rerum gerendarum initium est, consultaque adeo strenuus sequitur exercitus, quid miri si ab oriente Euphrates, et Oceanus ad occasum, itemque a meridie Africæ regio fertilissima, et ad septemtrionem Ister et Rhenus imperii limites sint? Nam jure merito quis dixerit ditionem dominis minorem esse.

8. Et ista quidem persequutus sum non tam proposito laudibus efferendi Romanos quam ut et solamen devictis adhiberem, et novarum rerum cupidos ab istis absterrerem. Fortasse autem Romanæ militiæ via et ratio illis ad experientiam aliquid conferet, qui bonarum artium studiosi rei hujusce ignari sint. Sed eo unde huc digressus sum redeo.

CAP. VI. (VII.)

Vespasianus quidem una cum Tito filio in Ptolemaide interim moratus exercitum ordinabat. At vero Galilæam incursibus vastans Placidus, postquam magnam quidem eorum quos comprehenderat multitudinem interemerat (hæc autem erat Galilæorum plebs imbecillior, et quibus animi fatiscebant), videbatque pugnacissimos quosque sem-

τοῦ Ἰωσήπου τειχισθείσας πόλεις, ὥρμησεν ἐπὶ τὴν ὀχυρωτάτην αὐτῶν Ἰωτάπατα, οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος ἑαυτῷ παρὰ τοῖς ἡγεμόσι κἀκείνοις ὄφελος εἰς τὰ λοιπὰ παρέξειν· προσχωρήσειν γὰρ δέει τὰς ἄλλας πόλεις, τῆς καρτερωτάτης ἐχομένης. Πολύ γε μὴν διήμαρτε τῆς ἐλπίδος. Ἐπιόντα γὰρ αὐτὸν οἱ Ἰωταπατηνοὶ προαισθόμενοι πρὸ τῆς πόλεως ἐκδέχονται, καὶ τοῖς Ῥωμαίοις συρραγέντες ἀδοκήτως, πολλοὶ καὶ πρὸς μάχην ἕτοιμοι πρόθυμοί τε, ὡς ἂν ὑπὲρ κινδυνευούσης πατρίδος καὶ γυναικῶν καὶ τέκνων, τρέπονται ταχέως, καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν Ῥωμαίων, ἑπτὰ δὲ ἀναιροῦσι, διὰ τὸ μήτε ἄτακτον αὐτῶν τὴν ὑποχώρησιν γενέσθαι καὶ τὰς πληγὰς ἐπιπολαίους, πεφραγμένων πάντοθεν τῶν σωμάτων, τούς τε Ἰουδαίους πόρρωθεν βάλλειν πλέον ἢ συμπλέκεσθαι θαρρεῖν, γυμνήτας ὁπλίταις. Ἔπεσον δὲ καὶ τῶν Ἰουδαίων τρεῖς ἄνδρες καὶ ἐτρώθησαν ὀλίγοι. Ὁ Πλάκιδος μὲν οὖν τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀτονώτερος εὑρεθεὶς φεύγει.

(Η'.) β'. Οὐεσπασιανὸς δὲ ὡρμημένος αὐτὸς ἐμβάλλειν εἰς τὴν Γαλιλαίαν ἐξελαύνει τῆς Πτολεμαΐδος, διατάξας τὴν στρατιὰν ὁδεύειν, καθὰ Ῥωμαίοις ἔθος. Τοὺς μέν γε ψιλοὺς τῶν ἐπικούρων καὶ τοξότας προάγειν ἐκέλευσεν, ὡς ἀνακόπτοιεν τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομὰς καὶ διερευνῷεν τὰς ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας ὕλας. Οἷς εἵπετο καὶ Ῥωμαίων ὁπλιτικὴ μοῖρα, πεζοί τε καὶ ἱππεῖς. Τούτοις ἀφ' ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα, τήν τε αὐτῶν σκευὴν καὶ τὰ μέτρα τῆς παρεμβολῆς φέροντες, καὶ μετ' αὐτοὺς ὁδοποιοί, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμαλοῦν τὰ δύσβατα, καὶ τὰς ἐμποδίους ὕλας προανακόπτειν, ὡς μὴ ταλαιπωροῖτο δυσπορουῦν τὸ στράτευμα. Κατόπιν δὲ τούτων, τάς τε ἰδίας καὶ τὰς τῶν ὑπ' αὐτὸν ἡγεμόνων ἔταξεν ἀποσκευάς, καὶ συχνοὺς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν ἱππέων. Μεθ' οὓς αὐτὸς ἐξήλαυνε, τούς τε ἐπιλέκτους τῶν πεζῶν καὶ ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων· εἵπετο δὲ αὐτῷ τὸ ἴδιον τοῦ τάγματος ἱππικὸν, ἴδιοι γὰρ ἑκάστου τάγματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. Τούτοις δὲ ἠκολούθουν οἱ τὰς ἑλεπόλεις φέροντες ὀρεῖς καὶ τὰ λοιπὰ μηχανήματα. Μετὰ δὲ τούτους ἡγεμόνες τε καὶ σπειρῶν ἔπαρχοι σὺν χιλιάρχοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες. Ἔπειτα αἱ σημαῖαι περιίσχουσαι τὸν ἀετὸν, ὃς παντὸς ἄρχει Ῥωμαίοις τάγματος, βασιλεύς τε οἰωνῶν ἁπάντων καὶ ἀλκιμώτατος ὤν· ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς καὶ κληδὼν ἐφ' οἷς ἂν ἴωσι τοῦ κρατήσειν δοκεῖ. Τοῖς ἱεροῖς δὲ ἠκολούθουν οἱ σαλπιγκταὶ, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στῖφος εἰς ἓξ πλατύνουσα. Τούτοις παρείπετό τις ἑκατοντάρχης ἐξ ἔθους τὴν τάξιν ἐπισκοπούμενος. Τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ἅπαν τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρατιωτῶν ἐπὶ τοῖς ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἄγοντες. Κατόπιν δὲ πάντων τῶν ταγμάτων ὁ μίσθιος

per in civitates confugere, quas Josephus communierat, ad munitissimam omnium, Jotapata, properavit, existimans eam quidem primo impetu facile captum iri, magnam vero apud duces sibimet gloriam, atque illis ad reliquas res gerendas emolumentum acquisiturum esse : alias quippe civitates metu deditionem facturas esse, validissima occupata. Ceterum de spe multum aberravit. Nam quum ipsum adventantem præsensissent Jotapateni, extra urbem excipiunt, prælioque ex improviso Romanos adorti, multi et ad pugnam parati simul et acres, utpote pro salute patriæ et conjugum et liberorum, statim eos in fugam vertunt, plurimosque e Romanis sauciant, septem vero solum interficiunt, quod solutis nequaquam ordinibus pedem referrent, septisque undique corporibus summa tantum cute vulnerati essent, et Judæi magis eminus jaculari quam manus conserere auderent, leviter armati cum gravis armaturæ militibus. Ex ipsis autem Judæis tres ceciderunt, paucis præterea sauciatis. Et Placidus quidem infirmior compertus quam ut urbem aggrederetur in fugam se conjicit.

(VIII.) 2. Vespasianus vero quum ipse desiderio flagrasset invadendi Galilæam, egreditur Ptolemaide, exercitus profectione ordinata more Romano. Auxilia enim levis armaturæ et sagittarios præire jussit, ut repentinos hostium incursus inhiberent, utque suspectas et opportunas insidiis silvas scrutarentur. Quos sequebatur Romanorum peditatus equitatusque pars gravis armaturæ. Illos excipiebant e singulis centuriis deni, et arma sua necessariaque portantes et castrorum mensuras. Et post illos ibant itineris patefactores, ut et obliqua viarum recta facerent et aspera complanarent, silvasque obstantes præciderent, ne transitu difficili et impedito fatigaretur exercitus. Illorum autem a tergo et sua et legatorum impedimenta ordinavit, quibus securitatis gratia multos equites adjunxit. Post quos ipse incedebat, pedites delectos equitesque et lancearios secum habens, ipsumque sequebatur proprius legioni equitatus : proprii enim erant unicuique legioni equites centum et viginti. Illis vero proximi ibant muli qui helepoles aliasque machinas ferebant. Post illos legati et cohortium præfecti cum tribunis, lectis militibus stipati. Deinde signa aquilæ circumdata, quæ omni legioni apud Romanos præest, regina ipsa omnium avium, eademque valentissima : unde etiam imperii signum ipsis est et velut omen victoriæ in quoscunque eunt. Sacra autem signa sequebantur tubicines : et post hos phalanx seuûm virorum ordinibus dilatata; quibus adjunctus erat ex more centurio quidam, cujus munus erat inspicere ordinem servandum. Servi autem cuncti uniuscujusque legionis pedites sequebantur, militum impedimenta mulis et jumentis agentes. Et post omnes legiones multitudo mercenariorum, quos securitatis gratia agminum

ὄχλος, οἷς οὐραγοὶ πρὸς ἀσφάλειαν ἠκολούθουν πεζοί τε καὶ ὁπλῖται καὶ τῶν ἱππέων συχνοί.

γ'. Οὕτως ὁδεύσας Οὐεσπασιανὸς μετὰ τῆς δυνάμεως πρὸς τοὺς ὅρους ἀφικνεῖται τῆς Γαλιλαίας, ἔνθα καταστρατοπεδευσάμενος ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖχεν, ἐπιδεικνύμενός τε τὴν στρατιὰν εἰς κατάπληξιν τοῖς πολεμίοις, καὶ μετανοίας διδοὺς καιρὸν, εἰ πρὸ μάχης μεταβάλοιντο. Ἅμα δὲ καὶ πρὸς πολιορκίαν τῶν ἐρυμάτων ἐξηρτύετο. Μετάνοιαν μὲν οὖν τῆς ἀποστάσεως ὀφθεὶς ὁ στρατηγὸς πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ πᾶσιν. Οἱ γὰρ περὶ τὸν Ἰώσηπον ἐστρατοπεδευκότες οὐκ ἄποθεν τῆς Σεπφώρεως, παρὰ πολιν Γαρὶν καλουμένην, ἐπεὶ πλησιάζοντα τὸν πόλεμον ἤκουσαν ὅσον τε οὔπω τοὺς Ῥωμαίους συμμίξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης, ἀλλὰ καὶ πρὶν ἰδεῖν τοὺς ἐχθροὺς, διασκίδνανται φυγῇ. Καταλείπεται δὲ ὁ Ἰώσηπος μετ' ὀλίγων, καὶ κατιδὼν ὡς οὔτε δέχεσθαι τοὺς πολεμίους ἀρκετὴν ἔχει δύναμιν, καὶ πεπτωκότα τὰ φρονήματα τῶν Ἰουδαίων, ἄσμενοί τε ἂν εἰ πιστεύοιντο χωροῖεν οἱ πλείους ἐπὶ σπονδὰς, ἐδεδίει μὲν ἤδη περὶ παντὸς τοῦ πολέμου, τότε δὲ ὡς πορρωτάτω χωρίζεσθαι τῶν κινδύνων ἔκρινεν· ἀναλαβὼν δὲ τοὺς συμμείναντας εἰς Τιβεριάδα καταφεύγει.

ΚΕΦ. Ζ'.

Οὐεσπασιανὸς δὲ τῇ πόλει τῶν Γαδαρέων ἐπελθὼν αἱρεῖ τε κατὰ πρώτην ἔφοδον αὐτὴν, μαχίμου πλήθους ἔρημον καταλαβὼν, καὶ παρελθὼν εἴσω πάντας ἡβηδὸν ἀναιρεῖ, μηδεμιᾶς τῶν Ῥωμαίων ἡλικίας ἔλεον ποιουμένων, μίσει τῷ πρὸς τὸ ἔθνος, καὶ μνήμῃ τῆς κατὰ τὸν Κέστιον αὐτῶν παρανομίας. Ἐμπίπρησι δ' οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς πέριξ κώμας πάσας τε καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελειμμένας, ἔστι δὲ ἃς αὐτὸς ἐξανδραποδιζόμενος.

(Γ'.) β'. Ὁ δὲ Ἰώσηπος ἦν πρὸς ἀσφάλειαν εἵλετο πόλιν αὐτὸς ἐνέπλησε δέους καταφυγών. Οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος οὐκ ἄν, εἰ μὴ πρὸς ἅπαν ἀπεγνώκει τὸν πόλεμον, τραπῆναί ποτε αὐτὸν ᾤοντο. Καὶ κατὰ τοῦτό γε οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης. Ἑώρα μὲν γὰρ οἷ ῥέψει τὰ Ἰουδαίων τέλους, καὶ μίαν αὐτῶν ἤδει σωτηρίαν εἰ μεταβάλοιντο. Αὐτὸς δὲ καίπερ συγγνωσθήσεσθαι παρὰ Ῥωμαίοις προσδοκῶν, ὅμως τεθνάναι μᾶλλον εἵλετο πολλάκις ἢ καταπροδοὺς τὴν πατρίδα καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ στρατηγίαν ὑβρίσας εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. Γράφειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετὰ ἀκριβείας τὰ πράγματα, ὡς μήτε ἐπὶ τὸ μεῖζον ἐξάρας τὴν πολεμίων ἰσχὺν αὖθις εἰς δειλίαν κακίζοιτο, μήτε ἐνδεέστερον ἀπαγγείλας, κἂν μετανοήσαντας ἴσως θρασύνειεν, ἵνα τε ἢ σπονδὰς αἱρούμενοι ταχέως ἀντιγράψωσιν, ἢ πολεμεῖν ἐγνωκότες, ἀξιόμαχον πρὸς Ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν. Ὁ μὲν οὖν ταῦτα ἐπιστείλας

coactores excipiebant, pedites levis gravisque armaturæ cum multis equitibus.

3. In hunc modum profectus Vespasianus cum copiis suis ad Galilææ fines pervenit : ubi castris positis milites ad bellum incitatos continebat, in hostium conspectum adducens exercitum, ut et terrorem illis inculeret, et spatii aliquid daret ad resipiscendum, si vellent ante prælium consilia mutare. Simul autem omnia ad munitiones oppugnandas parabat. Et conspectus quidem exercitus dux fecit ut multos defectionis pœniteret utque animis consternarentur omnes. Nam Josephus et qui cum eo castra posuerant non longe a Sepphori, ad urbem Garin appellatam, postquam hostes in propinquo esse acceperant, et Romanos fere in eo esse ut manus secum consererent, non solum ante pugnam, sed etiam antequam hostes conspicerent fuga disjecti sunt. Cum paucis autem Josephus, ubi animadvertit quod ad excipiendos hostes non satis copiarum haberet et Judæorum animi concidissent, quodque libenter, si crederentur, plerique ad fœdera irent, jam tum metuebat de totius belli eventu, et eo tempore quam longissime a periculis se subducere statuebat; assumptisque qui cum ipso remanserant, Tiberiadem confugit.

CAP. VII. (IX.)

Vespasianus autem, Gadarensium civitatem adortus, et primo impetu eam in potestatem suam redigit, quod civibus plerisque ætatis militaris vacuam reperisset, et in eam ingressus puberes omnes interfici jussit, Romanis nulli ætati misericordiam adhibentibus, tam ex odio in gentem quam memoria iniquitatis illorum in Cestium. Incendit autem non solum civitatem istam, sed etiam omnes circumcirca vicos et oppidula, nonnullis quidem penitus derelictis, ex aliis vero incolis in captivitatem ab ipso abductis.

(X.) 2. Josephus autem civitatem, quam suæ incolumitatis ergo elegerat, ipse in eam fugiendo metu opplevit. Nam Tiberienses nunquam eum, nisi omnino de belli successu desperasset, in fugam se daturum fuisse existimabant. Atque eatenus non aberrabant de animi ejus sententia conjectantes. Videbat enim quorsum evaderent res Judæorum, nullamque ad salutem illis apertum iri viam, nisi consilia mutarent. Ille vero, quamvis a Romanis veniam consequuturum esse speraret, sæpenumero tamen optabat potius emori quam patria prodita et belli sibi commissi administratione dedecorata apud illos feliciter agere, quibuscum pugnatum missus erat. Decrevit igitur magistratibus Hierosolymitanis accurate scribere quemadmodum sese res haberent, ut neque in majus extollendo hostium vires postbac timiditatis argueretur, aut eas narratione sua extenuando fortasse cœpti etiam pœnitentes audaciores redderet, utque cito rescriberent, si fœdus eis placeret, aut, si bellum gerere statuerent, copias ad confligendum cum Romanis idoneas ipsi mitterent. Et ille quidem, simul atque

πέμπει διὰ τάχους ἐπὶ Ἱεροσολύμων τοὺς τὰ γράμματα κομίζοντας.

γ'. Οὐεσπασιανὸς δὲ ὡρμημένος ἐξαιρεῖν τὴν Ἰωταπάτην (πέπυστο γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευγέναι, καὶ ἄλλως ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν), πέμπει πεζούς τε καὶ ἱππεῖς τοὺς προξομαλιοῦντας τὴν ὁδὸν, ὀρεινὴν ὑπάρχουσαν καὶ πετρώδη, δύσβατόν τε καὶ πεζοῖς, ἱππεῦσι δὲ ἀμήχανον. Οἱ μὲν οὖν τέσσαρσιν ἡμέραις ἐξειργάσαντο, καὶ πλατεῖαν ἤνοιξαν τῇ στρατιᾷ λεωφόρον. Τῇ πέμπτῃ δὲ ὁ Ἰώσηπος (αὕτη δὲ ἦν Ἀρτεμισίου μηνὸς εἰκοστὴ πρώτη) φθάνει παρελθὼν εἰς τὴν Ἰωταπάτην ἐκ τῆς Τιβεριάδος, καὶ πεπτωκότα τοῖς Ἰουδαίοις ἀνίστησι τὰ φρονήματα.

(ΙΑ'.) Οὐεσπασιανῷ δέ τις εὐαγγελίζεται τὴν μετάβασιν τοῦ ἀνδρὸς αὐτόμολος καὶ κατήπειγεν ἐπὶ τὴν πόλιν, ὡς μετ' ἐκείνης αἱρήσοντα πᾶσαν Ἰουδαίαν, εἰ λάβοι τὸν Ἰώσηπον ὑποχείριον· ὁ δὲ ἁρπάσας ὥσπερ μέγιστον εὐτύχημα τὴν ἀγγελίαν καὶ προνοίᾳ θεοῦ τὸν συνετώτατον εἶναι δοκοῦντα τῶν πολεμίων οἰόμενος εἰς αὐθαίρετον εἱρκτὴν παρελθεῖν, εὐθέως μὲν σὺν χιλίοις ἱππεῦσι πέμπει Πλάκιδον, καὶ δεκαδάρχην Ἐβούτιον, ἄνδρα τῶν ἐπισήμων κατὰ χεῖρα καὶ σύνεσιν, περικατασχεῖν κελεύσας τὴν πόλιν, ὡς μὴ λάθοι διαδρὰς ὁ Ἰώσηπος.

δ'. Αὐτὸς δὲ μετὰ μίαν ἡμέραν ἀναλαβὼν πᾶσαν τὴν δύναμιν εἵπετο καὶ μέχρι δείλης ὁδεύσας πρὸς τὴν Ἰωταπάτην ἀφικνεῖται. Ἀναλαβὼν δὲ τὴν στρατιὰν εἰς τὸ προσάρκτιον αὐτῆς μέρος πρός τινι λόφῳ στρατοπεδεύεται, διέχοντι σταδίους ἑπτὰ τῆς πόλεως, πειρώμενος ὡς μάλιστα τοῖς πολεμίοις εὐσύνοπτος εἶναι, πρὸς ἔκπληξιν· ἢ καὶ παραχρῆμα τοσαύτη τοὺς Ἰουδαίους κατέσχεν, ὡς μηδένα τοῦ τείχους τολμῆσαι προελθεῖν. Ῥωμαῖοι δ' εὐθὺς μὲν ἀπώκνησαν προσβαλεῖν, δι' ὅλης ὠδευκότες ἡμέρας· διπλῇ δὲ τῇ φάλαγγι κυκλοῦνται τὴν πόλιν καὶ τρίτην ἔξωθεν περιιστᾶσι τὴν ἵππον, πάσας ἀποφράσσοντες αὐτοῖς τὰς ἐξόδους. Τοῦτό γε ἐν ἀπογνώσει σωτηρίας παρώξυνε τοὺς Ἰουδαίους πρὸς τόλμαν· οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ μαχιμώτερον.

ε'. Γενομένης δὲ μεθ' ἡμέραν προσβολῆς, τὸ μὲν πρῶτον Ἰουδαῖοι κατὰ χώραν μένοντες ἀντεῖχον ἀντικρὺ τῶν Ῥωμαίων, ἐξεστρατοπεδευκότες πρὸ τοῦ τείχους. Ὡς δὲ Οὐεσπασιανὸς τούτοις μὲν τοὺς τοξότας καὶ σφενδονήτας καὶ πᾶν τὸ τῶν ἐκηβόλων πλῆθος ἐπιστήσας ἐπέτρεψε βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν εἰς τὸ πρόσαντες ἀνώθει καθ' ὃ τὸ τεῖχος ἦν εὐάλωτον, δείσας ὁ Ἰώσηπος περὶ τῇ πόλει προπηδᾷ, καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν Ἰουδαίων πλῆθος. Συμπεσόντες δὲ τοῖς Ῥωμαίοις ἀθρόοι τοῦ μὲν τείχους ἀνέστειλαν αὐτούς, πολλὰ δὲ ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης. Οὐκ ἐλάσσω γε μὴν ὧν ἔδρων ἀντέπασχον. Ὅσον γὰρ αὐτοὺς ἡ τῆς σωτηρίας ἀπόγνωσις, τοσοῦτον τοὺς Ῥωμαίους αἰδὼς παρεκρότει· καὶ τοὺς μὲν ἐμπειρία μετ' ἀλκῆς, τοὺς δὲ θράσος ὥπλιζε τῷ θυμῷ στρατηγουμένους.

ista scripserat, statim mittit qui literas Hierosolyma perferrent.

3. Vespasianus autem, incitatus ad Jotapata excindenda (audiverat enim quamplurimos hostium eo confugisse, et præterea hoc eorum receptaculum perquam validum esse), pedites equitesque præmittit qui viam complanarent, montanam admodum et saxosam, vel peditibus difficilem et impeditam, equitibus vero omnino insuperabilem. Et illi quidem quattuor diebus opus confecerunt et planam exercitui viam aperuere. Quinto autem die, qui erat mensis Artemisii vigesimus primus, Jotapata ingredi occupat Josephus Tiberiade profectus, et Judæos animo dejectos erigit. (XI.) Quum vero transitum ejus Vespasiano quidam transfuga nunciaret, eumque ad hoc maxime urgeret ut ad urbem ire contenderet, quod cum ea totam Judæam occupaturus esset, modo Josephum caperet : tum ille, nuncio pro maxima felicitate arrepto, dei providentia factum ratus ut qui hostium prudentissimus videretur ultro se in custodiam traderet, statim quidem cum mille equitibus eo mittit Placidum, unaque Ebutium decurionem, virum tam manus fortitudine quam rerum scientia insignem, illisque præcepit urbem circumdare, ne clam inde Josephus aufugeret.

4. Ille autem una post die cum copiis suis omnibus sequutus est, factoque ad seram usque vesperam itinere Jotapata pervenit. Adducto vero ad septemtrionalem ejus partem exercitu, in quodam tumulo castra metatur, distante ab urbe stadiis septem, id agens de industria ut quam maxime ab hostibus conspiceretur, ad terrorem incutiendum : qui tantus continuo Judæos invasit, ut nemo muris egredi auderet. Romani autem statim quidem impressionem facere supersederunt, quod per totum diem in itineribus fuissent; aciem vero duplicem urbi circumdant, ac tertiam præterea circumjiciunt, eamque equitum, omnes Judæis exitus obstruentes. Id quod Judæos, ut qui de salute desperarent, ad animos sumendos incitabat : nihil enim in bello homines pugnaciores facit quam necessitas.

5. Postridie vero aggressione facta primo quidem Judæi, qui in ista regione manserant, castris extra urbem ante muros positis, Romanis obviam ibant. Quum autem Vespasianus illis sagittarios quidem admovisset et funditores et universos eminus jaculantes, missilibus eos uti permisit, ipse vero cum peditibus locum acclivem ascendebat, ubi murus erat expugnabilis : tunc Josephus civitati metuens prosiluit, et cum eo cuncta Judæorum multitudo. Simulque Romanos omnes adorti, a muris quidem illos repulerunt, et multa tam manu forti quam animo virili ediderunt facinora ; ceterum non minora quam patrabant vicissim perpessi sunt. Nam quantum ipsos salutis desperatio, tantum Romanos pudor incitabat : et hos quidem peritia cum fortitudine, illos vero armabat audacia animis

νους. Παραταξάμενοι δὲ δι' ὅλης ἡμέρας νυκτὶ διαλύονται, τρώσαντες μὲν πλείστους Ῥωμαίων, τρισκαίδεκα δὲ ἀνελόντες ἄνδρας· αὐτῶν δὲ ἔπεσον μὲν δέκα καὶ ἑπτά, τραυματίαι δὲ ἐγένοντο ἑξακόσιοι.

ς'. Τῇ δὲ ὑστεραίᾳ πάλιν προσβάλλουσι τοῖς Ῥωμαίοις ἐπεξελθόντες πολὺ καρτερώτερον ἀντιπαρετάξαντο, θαρραλεώτεροι μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγενημένοι, χρώμενοι δὲ καὶ τοῖς Ῥωμαίοις μαχιμωτέροις· ὑπὸ γὰρ αἰδοῦς εἰς ὀργὴν ἐξεκαίοντο, τὸ μὴ ταχέως νικᾶν ἧττον ἡγούμενοι. Καὶ μέχρι πέμπτης ἡμέρας προσβολαὶ μὲν ἐγίνοντο τῶν Ῥωμαίων ἀδιάλειπτοι, ἐκδρομαὶ δὲ τῶν Ἰωταπατηνῶν καὶ τειχομαχίαι καρτερώτεραι· καὶ οὔτε Ἰουδαῖοι τὴν τῶν πολεμίων ἰσχὺν κατωρρώδουν, οὔτε Ῥωμαῖοι πρὸς τὸ τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

(ΙΒ'.) ζ'. Ἔστι δὲ Ἰωταπάτη πλὴν ὀλίγου πᾶσα κρημνὸς, ἐκ μὲν τῶν ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπείροις ἀπότομος, ὡς τῶν κατιδεῖν πειρωμένων τὰς ὄψεις προεξασθενεῖν τοῦ βάθους· ἀπὸ βορέου δὲ προσιτὴ μόνον, καθ' ὃ λήγοντι τῷ ὄρει πλαγίῳ προσέκτισται. Καὶ τοῦτο δ' ὁ Ἰώσηπος ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς ἀκατάληπτον εἶναι πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν. Κυκλόθεν δὲ ἄλλοις ὄρεσι καλυπτομένη, πρὶν εἰσαφίκοιτό τις αὐτὴν, παντελῶς ἀόρατος ἦν. Εἶχε μὲν οὕτως ὀχυρότητος Ἰωταπάτη.

η'. Οὐεσπασιανὸς δὲ, τῇ τε φύσει τοῦ χωρίου καὶ ταῖς τόλμαις τῶν Ἰουδαίων ἀντιφιλονεικῶν, ἔγνω καρτερώτερον ἅπτεσθαι τῆς πολιορκίας, καὶ προσκαλεσάμενος τοὺς ὑπ' αὐτὸν ἡγεμόνας ἐβουλεύετο περὶ τῆς προσβολῆς. Δόξαν δὲ χῶσαι τὸ προσιτὸν τοῦ τείχους, ἐπὶ συγκομιδὴν ὕλης ἐκπέμπει πᾶν τὸ στράτευμα, καὶ κοπέντων τῶν περὶ τὴν πόλιν ὀρῶν, συναλισθείσης δὲ ἅμα τοῖς ξύλοις ἀπείρου χερμάδος, οἱ μὲν πρὸς ἀλεώραν τῶν ὑπερθεν ἀφιεμένων βελῶν γέρρα διατείναντες ὑπὲρ χαρακωμάτων ἐχώννυον ὑπ' αὐτοῖς, οὐδὲν ἢ μικρὰ βλαπτόμενοι ταῖς ἀπὸ τοῦ τείχους βολαῖς, οἱ δὲ τοὺς πλησίον ὄχθους ἀνασπῶντες γῆν αὐτοῖς ἀδιαλείπτως προσέφερον· καὶ τριχῇ διηρημένων ἀργὸς ἦν οὐδείς. Οἱ δὲ Ἰουδαῖοι πέτρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς σκεπάσμασιν αὐτῶν ἐπηφίεσαν καὶ πᾶν εἶδος βελῶν. ἦν δὲ καὶ μὴ διικνουμένων πολὺς ὁ ψόφος καὶ φοβερὸς ἐμπόδιον τοῖς ἐργαζομένοις.

θ'. Οὐεσπασιανὸς δὲ ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπιστήσας (τὰ πάντα δὲ ἦν ἑκατὸν ἑξήκοντα ὄργανα), βάλλειν ἐκέλευσε τοὺς ἐπὶ τοῦ τείχους. Ὁμοῦ δὲ οἵ τε καταπέλται τὰς λόγχας ἀνερροίζουν καὶ ταλαντιαῖοι λίθοι μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλλοντο, πῦρ τε καὶ πλῆθος ἀθρόων ὀϊστῶν, ἅπερ οὐ μόνον τὸ τεῖχος ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ τῆς ἐντὸς οὔσης ἐφικνεῖτο χώρας. Καὶ γὰρ τὸ τῶν Ἀράβων τοξοτῶν πλῆθος, ἅκοντισταί τε καὶ σφενδονῆται πάντες, ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. Οὐ μὴν εἰργόμενοι τῆς καθύπερθεν ἀμύνης ἠρέμουν. Ἐκτρέχοντες γὰρ λῃστρικώτερον κατὰ λόχους περιέσπων τε τῶν ἐοiracundis militantes. Quum autem tota die pugnatum esset, prælium nox dirimit, Romanorum quidem plurimis sauciatis, virisque tredecim interfectis, illorum vero septemdecim quidem ceciderunt, vulnerati autem erant sexcenti.

6. Verumtamen die sequenti facta eruptione iterum adversus aggressos Romanos, multo acrius aciem contra instruxerunt, inde quidem audaciores facti, quod eos pridie præter spem sustinuerant, Romanos vero tum pugnaciores experti, quippe quos pudor in iram accenderat, se superari existimantes quod non cito vicerant. Et usque ad quintum diem in urbem impressionem facere non cessabant Romani, neque ipsi Jotapateni ab excursionibus pugnisque e muro acrioribus: et neque Judæi vires hostium formidabant, neque Romani urbis capiendæ difficultate fatiscebant.

(XII.) 7. Est autem Jotapata propemodum omnis prærupta, ex aliis quidem partibus profundis vallibus adeo præceps, ut in eas despicere cupientium aspectus ante deficiat quam ad imum perveniat; a septemtrione vero tantummodo adiri potest, ubi montis desinentis ad latus declive exædificata est. Quod quidem ipsum muro complexus est Josephus quum civitatem muniret, ut summitas ei imminens ab hostibus occupari non possit. Undique autem montibus circumsepta, priusquam in eam quis perveniret, omnino conspici nequibat. Ad hunc quidem modum communita erat Jotapata.

8. Vespasianus autem, et contra loci naturam contendere volens et contra Judæorum audaciam, statuit urbem acriter oppugnare, et advocatis quos sub se habebat ducibus, cum illis de impressione facienda consultabat. Quum autem visum esset aggerem excitare, qua parte murus accessu erat facilis, totum ad comportandam materiam mittit exercitum, urbique propinquis montibus excisis, simulque cum lignis magna vi lapidum congesta, alii quidem cratibus, ad evitanda jacula desuper missa, super vallis expansis, sub illis aggerem construebant, nihil aut parum admodum telis, quæ de muro jacerentur, læsi; alii vero, propinquos tumulos evellentes, terram illis sine intermissione afferebant, cumque trifariam divisi essent, nemo otiosus erat. At Judæi saxa ingentia et omne telorum genus in eorum tegumenta e muris immiserunt: quorum multa licet minime penetrarent, magnum tamen sonitum edentia et horribilem impedimento erant operantibus.

9. At Vespasianus, quum missilium machinas circumposuisset (organa autem omnia erant centum et sexaginta) eos qui super murum astarent jussit impetere. Simul igitur et catapultæ lanceas cum stridore jaciebant, et e ballistis lapides talenti pondere mittebantur, ignisque et assidue magno numero sagittæ, quæ non solum murum Judæis inacessum fecerunt, sed etiam ad spatium intra situm pertingebant. Namque magna Arabum sagittariorum manus, itemque jaculatores et funditores omnes una cum machinis tela emittebant. Non tamen prohibiti ne desuper propugnarent quiescebant. Nam agminibus, prædonum magis ex more, excurrentes, et tegmina operantium undique detra-

γαζομένων τὰς σκέπας καὶ τοὺς γυμνουμένους ἔπαιον· καὶ καθ' ὃ παρείκοιεν ἐκεῖνοι διερρίπτουν τὸ χῶμα, καὶ τὰ χαρακώματα σὺν τοῖς γέρροις ἐνεπίμπρασαν, μέχρι συνεὶς Οὐεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων αἰτίαν εἶναι τῆς βλάβης (τὰ γὰρ διαστήματα τοῖς Ἰουδαίοις προσβολῆς παρεῖχε τόπον), ἑνοῖ τὰς σκέπας· καὶ συναφθείσης ἅμα αὐταῖς τῆς δυνάμεως ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων παραδύσεις.

(ΙΓ'.) ι'. Ἐγειρομένου δὲ τοῦ χώματος ἤδη καὶ ταῖς ἐπάλξεσιν ὅσον οὔπω πλησιάζοντος, δεινὸν ὁ Ἰώσηπος νομίσας εἰ μηδὲν ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας, καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦν. Τῶν δὲ ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε. Δρυφάκτους πήξασθαι κελεύσας ἐμπετάσαι τε βύρσας νεοδόρους βοῶν, ὡς ἂν δέχοιντο μὲν τοὺς ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι, περιολισθάνοι δὲ ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη, καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴργοιτο, προανίστησι τῶν τεκτόνων· ἐφ' οἷς ἀσφαλῶς ἐργαζόμενοι δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν εἰς εἴκοσι πήχεις τὸ ὕψος, καὶ συχνοὺς μὲν πύργους ἐνῳκοδόμησαν αὐτῷ, καρτεράν τε ἔπαλξιν ἐφημόσαντο. Τοῦτο τοῖς Ῥωμαίοις ἐντὸς ἤδη τῆς πόλεως οἰομένοις εἶναι πολλὴν ἐποίησεν ἀθυμίαν καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσήπου καὶ τὸ παράστημα τῶν ἐπὶ τῆς πόλεως κατεπλάγησαν.

ια'. Οὐεσπασιανὸς δὲ καὶ πρὸς τὸ πανοῦργον τοῦ στρατηγήματος καὶ πρὸς τὰς τόλμας παρωξύνετο τῶν Ἰωταπατηνῶν. Πάλιν γὰρ ἀναθαρσήσαντες ἐπὶ τῷ τειχισμῷ τοῖς Ῥωμαίοις ἐπεξέθεον, καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ κατὰ λόχους, ἐπίνοιά τε ληστρικὴ πᾶσα, καὶ τῶν προστυχόντων ἁρπαγαί, καὶ τῶν ἄλλων ἔργων πυρπολήσεις, ἕως Οὐεσπασιανός, ἀναπαύσας τὴν στρατιὰν μάχης, διέγνω προσκαθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν πόλιν· ἢ γὰρ ἀναγκαζομένους ἀπορίᾳ τῶν ἀναγκαίων ἱκετεύσειν αὐτὸν, ἢ μέχρι παντὸς ἀπαυθαδισαμένους διαφθαρήσεσθαι λιμῷ, πολύ τε ῥᾴοσιν αὐτοῖς χρήσεσθαι ἠξίου κατὰ τὴν μάχην, εἰ διαλιπὼν αὖθις ἐκτετρυχωμένοις ἐπιπέσοι. Φρουρεῖν δὴ πάσας αὐτῶν ἐκέλευσε τὰς διεξόδους.

ιβ'. Τοῖς δὲ σίτου μὲν ἦν πλῆθος ἔνδον καὶ τῶν ἄλλων πλὴν ἁλὸς ἁπάντων, ἔνδεια δὲ ὕδατος, ὡς ἂν πηγῆς μὲν οὐκ οὔσης κατὰ τὴν πόλιν, τῷ δὲ ὀμβρίῳ διαρκουμένων τῶν ἐν αὐτῇ. Σπάνιον δὲ εἴ ποτε τὸ κλίμα τοῦτο θέρους ὕεται. Καὶ κατὰ ταύτην τὴν ὥραν πολιορκουμένων ἀθυμία δεινὴ πρὸς τὴν τοῦ δίψους ἐπίνοιαν ἦν, ἠσχαλλόν τε ὡς ἤδη ἐπιλελοιπότος καθάπαν ὕδατος. Ὁ γὰρ Ἰώσηπος τήν τε πόλιν ὁρῶν τῶν ἄλλων ἐπιτηδείων εὔπορον καὶ τὰ φρονήματα γενναῖα τῶν ἀνδρῶν, βουλόμενός τε Ῥωμαίοις παρ' ἐλπίδα ἐκτεῖναι τὴν πολιορκίαν, μέτρῳ τὸ ποτὸν αὐτοῖς διένεμεν. Οἱ δὲ τὸ ταμιεύεσθαι χαλεπώτερον ἐνδείας ὑπελάμβανον καὶ τὸ μὴ αὐτεξούσιον αὐτῶν πλέον ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ εἰς ἔσχατον ἤδη δίψους προήκοντες

hebant, nudatosque feriebant: et ubicunque illi loco cederent, aggerem disjiciebant, vallorumque munimenta una cum cratibus incendebant, donec Vespasianus, intellecto operum intervalla hujusce damni causam esse (nam spatia interjecta Judæis locum aggrediendi præbebant), tegumenta omnia in unum conferebat; et cum ipsis pariter conjunctis copiis factum est ut coercerentur hostium obreptiones.

(XIII.) 10. Jam vero aggere erecto et propemodum propugnaculis æquato, Josephus grave fore ratus si nihil contra moliretur quod urbi salutare esset, opifices convocat, murumque altius attolli jussit. Quumque illi dicerent fieri non posse ut ædificarent dum tot jaculis peterentur, hujusmodi tegmen illis excogitabat. Quum sudes defigi superque eis cruda boum coria expandi præcepisset, ut lapides quidem e tormentis emissos sinuata exciperent, reliqua vero tela inde dilaberentur, et humoris vi ignis arceretur, hoc machinamentum opificibus prætendit, sub quo tuto operantes die nocteque murum ad viginti cubitorum altitudinem evexerunt, et crebras turres in eo ædificarunt, validaque adaptarunt propugnacula. Id quod Romanis, jam intra civitatem se esse credentibus, magnam anxietatem injecit, fecitque ut tam ex iis quæ excogitaverat Josephus, quam ex civium præsenti fortitudine animis consternarentur.

11. At Vespasianus et commenti vafritie et Jotapatenorum audacia magis irritabatur. Nam resumpta ex munitione fiducia in Romanos excursiones faciebant, et quotidie turmatim confligebant, et omne genus latrocinia adhibebant, ut et eorum quæ casus obtulerit rapinas, ceterorumque operum igne vastationes, donec Vespasianus, contento a pugna milite, statuit urbem ariete obsidere et necessariorum penuria laborantem capere: aut enim coactos necessariorum inopia ipsi supplicaturos, aut si ad extremum in eadem pertinacia duraverint, fame perituros; multoque languidiores in pugna eos habiturum esse putabat, si rursus post intervallum inedia attritos adoriatur. Itaque omnes exitus eorum observari jussit.

12. Illis autem intus frumenti satis erat, aliarumque rerum præter salem omnium: attamen aqua egebant, utpote quod nullus fons erat intra urbem, imbre autem se sustentabant eam habitantes. Verum rarum est si unquam in illo tractu per æstatem pluit. Quumque illa ipsa tempestate obsiderentur, valde animos despondebant de siti cogitantes; et indignabantur, ac si aqua prorsus eos defecisset. Josephus enim, quum et civitatem videret aliis necessariis abundare, virosque animo fortes esse, velletque obsidionem Romanis præter exspectationem protrahere, certa mensura potum civibus distribuebat. Illi vero aquam ipsis ita dispensari penuria gravius esse existimabant, et cupiditatem ipsorum magis accendebat, quod liberam bibendi potestatem non haberent; et, quasi ad extre-

ἀπέκαμνον. Διακείμενοι δὲ οὕτως οὐκ ἐλάνθανον τοὺς Ῥωμαίους· ἀπὸ γὰρ τοῦ κατάντους ἑώρων αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ' ἕνα συρρέοντας τόπον καὶ μετρουμένους τὸ ὕδωρ, ἐφ' ὃν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι πολλοὺς ἀνήρουν.

ιγ'. Καὶ Οὐεσπασιανὸς μὲν οὐκ εἰς μακρὰν τῶν ἐκδοχείων κενωθέντων ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐτῷ παραδοθήσεσθαι τὴν πόλιν. Ὁ δὲ Ἰώσηπος κλάσαι τὴν ἐλπίδα ταύτην αὐτῷ προαιρούμενος ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια, καὶ κατακρεμάσαι περὶ τὰς ἐπάλξεις, ὥστε περιρρεῖσθαι πᾶν ἐξαπίνης τὸ τεῖχος. Πρὸς τοῦτο ἀθυμία τῶν Ῥωμαίων καὶ κατάπληξις ἦν, θεασαμένων εἰς χλεύην τοσοῦτον παραναλίσκοντας ὕδατος, οὓς οὐδὲ ποτὸν ἔχειν ὑπελάμβανον. Ὥστε καὶ τὸν στρατηγὸν ἀπογνόντα τὴν δι' ἐνδείας ἅλωσιν τρέπεσθαι πάλιν πρὸς ὅπλα καὶ βίαν· ὃ δὴ τοῖς Ἰουδαίοις δι' ἐπιθυμίας ἦν. Ἀπεγνωκότες γὰρ ἑαυτοὺς καὶ τὴν πόλιν πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν πολέμῳ θάνατον ᾑροῦντο.

ιδ'. Ὁ μέντοι γε Ἰώσηπος πρὸς τῷδε τῷ στρατηγήματι καὶ ἕτερον ἐνενόησεν εἰς περιουσίαν αὐτῷ. Διά τινος χαράδρας δυσβάτου, καὶ διὰ τοῦτο ὑπὸ τῶν φυλάκων ἀμελουμένης, κατὰ τὰ πρὸς δύσιν μέρη τῆς φάραγγος ἐκπέμπων τινάς, γράμματά τε πρὸς οὓς ἐβούλετο τῶν ἔξω Ἰουδαίων διεπέμψατο καὶ παρ' αὐτῶν ἐλάμβανε, παντός τε ἐπιτηδείου τῶν ἐπιλελοιπότων ἀνὰ τὴν πόλιν εὐπόρησεν, ἕρπειν τὰ πολλὰ παρὰ τὰς φυλακὰς κελεύσας τοῖς εἰσιοῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν, μέχρι συναισθόμενοι τὴν ἐπίνοιαν οἱ φρουροὶ περιίσχουσι τὴν χαράδραν.

(ΙΔ'.) ιε'. Καὶ τότε Ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ἀνθέξειν ὁρῶν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν εἰ μένοι, δρασμὸν ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. Συναισθόμενον δὲ τὸ πλῆθος καὶ περιχυθὲν αὐτῷ κατηντιβόλουν μὴ σφᾶς περιιδεῖν ἐπ' αὐτῷ μόνῳ κειμένους· εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας μὲν ἐλπὶς, ὡς παραμένοντος αὐτοῦ, παντὸς ἀγωνισομένου δι' αὐτὸν προθύμως· κἂν ἁλῶσι δὲ, παραμυθία· πρέπειν δὲ αὐτῷ μήτε φεύγειν τοὺς ἐχθροὺς μήτε ἐγκαταλείπειν τοὺς φίλους, μήτε ἀποπηδᾶν, ὥσπερ χειμαζομένης νεὼς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν· ἐπιβαπτίσειν γὰρ αὐτὸν τὴν πόλιν, μηδενὸς ἔτι τολμῶντος τοῖς πολεμίοις ἀνθίστασθαι, δι' ὃν ἀναθαρροῖεν οἰχομένου.

ις'. Ὁ δὲ Ἰώσηπος τὸ καθ' αὑτὸν ἀσφαλὲς ὑποστελλόμενος ὑπὲρ αὐτῶν ἔφασκε ποιεῖσθαι τὴν ἔξοδον. Μένων μὲν γὰρ εἴσω οὔτ' ἂν ὠφελῆσαί τι μέγα σωζομένους, κἂν ἁλίσκωνται συναπολέσθαι περισσός· ἐκδὺς δὲ τῆς πολιορκίας, ἔξωθεν ὠφελήσειν αὐτοὺς μέγιστα· τούς τε γὰρ ἐκ τῆς χώρας Γαλιλαίους συναθροίσειν ᾗ τάχος καὶ Ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. Οὐχ ὁρᾶν δὲ τί παρακαθεζόμενος αὐτοῖς χρήσιμος εἴη νῦν, πλὴν ἢ Ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, ὡς περὶ πλείστου ποιεῖσθαι

mam jam perventum esset sitim, fatiscebant. Verum Romanos quod ita se haberent non latebat. Nam ex adverso trans murum animadvertebant eos unum in locum confluentes, et aquam demensam accipientes; eoque pertingentibus telis, quæ e machinis jacerentur, multos occidebant.

13. Et Vespasianus quidem, cisternis non multo post exhaustis, ex ipsa necessitate sibi traditum iri civitatem sperabat. Josephus autem, hanc illius spem frangendi propositum habens, quamplurimos jubet vestes in aquam immergere, easque de propugnaculis undique suspendere, ita ut omnem derepente murum humor circumflueret. Ad hoc animis concidunt Romani et consternantur, quum vidissent eos tantum aquæ in ludibrium consumere, quos ne potum quidem habere existimabant. Adeoque imperator, quum inedia captum iri urbem desperasset, iterum se ad arma et vim convertit: id quod Judæi maxime desiderabant. Nam quum et ipsorum et civitatis salus desperata esset, per bellum quam per famem et sitim emori malebant.

14. Verumtamen Josephus, præter strategema jam memoratum, etiam aliud excogitavit in sui incolumitatem. Via quadam salebrosa admodum et ardua, propterea que a custodibus negligenter habita, per vallis latera occidentalia certos quosdam mittens, literas ad quoscunque vellet Judæorum extra civitatem dedit, vicissimque ab iis accepit, et necessariorum quæ in urbe defecerant abunde habuit, mandato commeantibus ut reperent plerumque dum excubias præterirent, et terga velleribus tegerent, ut si quis eos noctu conspiceret, canes esse viderentur, donec vigiles detecto commento sese locis confragosis circumdarent.

(XIV.) 15. Et tunc quidem Josephus, quum urbem non diu resistere posse videret, suamque salutem in incerto esse si maneret, de fuga cum primoribus deliberabat. Id vero ubi populus intellexit, seque ei circumfuderat, ne se negligeret orabant, omnem in ipso solo fiduciam reponentes: civitati enim adhuc salutis quidem spem esse, quod ipso manente omnes ejus causa alacriter dimicaturi essent; sin vero capiantur, eundem solatio fore: decere autem ipsum nec inimicos fugere, nec in eo esse ut amicos deserat, neque veluti ex navi tempestate oppressa desilire, in quam quum mare esset tranquillum venisset: ipsum enim demersurum esse civitatem, quum jam nemo ausurus esset hostibus se opponere, ipso discedente cui confiderent.

16. Josephus autem cavens ne ipsum saluti suæ prospicere cogitarent, illorum commodo se egredi dicebat. Etenim manendo se parum admodum illis, dum salvi essent, profuturum, et, si caperentur, una cum illis frustra esse periturum, obsidione vero liberatum, extra urbem maximo eis emolumento fore: Galilæos enim e regione quam celerrime esse congregaturum, et alio bello Romanos ab ipsorum civitate revocaturum. Nunc autem non videre cui bono foret si apud ipsos remaneret, nisi ut Romanos ad obsidionem magis incitaret, ut qui ipsum capere maximi facerent:

λαβεῖν αὐτόν· εἰ δὲ ἐκδράντα πύθοιντο, πολὺ τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνήσειν. Οὐκ ἔπειθε δὲ αὐτοὺς, ἀλλὰ μᾶλλον ἐξέκαυσε τὸ πλῆθος αὐτῷ περιέχεσθαι. Παῖδες γοῦν καὶ γέροντες καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα προσέπιπτον αὐτῷ, καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάντες εἶχοντο, καὶ μετὰ κωκυτῶν κοινωνὸν σφίσι τῆς τύχης μένειν ἐκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σωτηρίας, ἔμοιγε δοκεῖν, ἀλλ' ἐλπίδι τῆς αὐτῶν· οὐδὲν γὰρ ἠξίουν πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος.

ιζ'. Ὁ δὲ πειθομένῳ μὲν ἱκετηρίαν ταῦτα νομίσας, βιαζομένῳ δὲ φρουρὰν, πολὺ δὲ αὐτοῦ τὴν εἰς τὴν ἀπόλειψιν ὁρμὴν καὶ ὁ τῶν ὀδυρομένων ἔκλασεν οἶκτος, μένειν τε ἔγνω καὶ τὴν κοινὴν τῆς πόλεως ἀπόγνωσιν ὁπλισάμενος, « νῦν καιρὸς, εἰπὼν, ἄρχεσθαι μάχης, « ὅτε ἐλπὶς οὐκ ἔστι σωτηρίας, καλὸν εὔκλειαν ἀντικαταλλαξάμενον τοῦ βίου, καὶ δράσαντά τι γενναῖον εἰς « μνήμην ὀψιγόνων παίδων, » ἐπ' ἔργα τρέπεται· καὶ προελθὼν μετὰ τῶν μαχιμωτάτων διεσκίδνα τε τοὺς φρουροὺς, καὶ μέχρι τοῦ στρατοπέδου τῶν Ῥωμαίων κατέτρεχε, καὶ τὰς μὲν ἐπὶ τῶν χωμάτων δέρρεις, αἷς ὑπεσκήνουν, διέσπα, τοῖς δὲ ἔργοις ἐνέβαλλε πῦρ, τῇ θ' ἑξῆς ὁμοίως, καὶ τῇ τρίτῃ, καὶ ἐπὶ συχνὰς ἡμέρας καὶ νύκτας, πολεμῶν οὐκ ἔκαμνεν.

(IE'.) ιη'. Οὐεσπασιανὸς δὲ, τῶν Ῥωμαίων κακουμένων ταῖς ἐκδρομαῖς (τρέπεσθαί τε γὰρ ὑπὸ Ἰουδαίων ᾐδοῦντο καὶ τραπέντων ἐπιδιώκειν βάρει τῶν ὅπλων ἦσαν βραδεῖς, οἵ τε Ἰουδαῖοι πρίν τι παθεῖν ἀεὶ δρῶντες, ἀνέφευγον εἰς τὴν πόλιν), τοῖς μὲν ὁπλίταις τὰς ὁρμὰς αὐτῶν ἐκκλίνειν ἐκέλευσε, καὶ μὴ συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις· οὐδὲν γὰρ ἀλκιμώτερον εἶναι τῆς ἀπογνώσεως, περισβέννυσθαι δὲ αὐτοῖς τὰς ὁρμὰς, σκοπῶν ἀπορουμένας, ὥσπερ ὕλης τὸ πῦρ. Προσήκειν γε μὴν καὶ Ῥωμαίοις μετὰ ἀσφαλείας καὶ τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλὰ προσκτωμένοις. Τοῖς δὲ τῶν Ἀράβων τοξόταις καὶ τοῖς ἀπὸ τῆς Συρίας σφενδονήταις καὶ λιθοβόλοις, τὰ πολλὰ τοὺς Ἰουδαίους ἀνέστελλεν. Ἠρέμει δὲ οὐδὲ τῶν ἀφετηρίων ὀργάνων τὸ πλῆθος. Οἱ δὲ τούτοις μὲν εἶκον κακούμενοι, τῶν δὲ πόρρω βαλλομένων ἐνδοτέρω γενόμενοι προσέκειντο τοῖς Ῥωμαίοις χαλεποὶ, καὶ ψυχῆς καὶ σώματος ἀφειδοῦντες ἐμάχοντο, ἐκ διαδοχῆς ἑκάτεροι τὸ κεκμηκὸς ἑαυτῶν ἀναλαμβάνοντες.

ιθ'. Οὐεσπασιανὸς δὲ, ἡγούμενος τῷ μήκει τοῦ χρόνου καὶ ταῖς ἐκδρομαῖς ἀντιπολιορκεῖσθαι, τῶν χωμάτων ἤδη τοῖς τείχεσι πελαζόντων, προσάγειν ἔγνω τὸν κριόν. Ὁ δὲ ἐστὶν ὑπερμεγέθης δοκὸς, ἰστῷ νηὸς παραπλήσιος· ἐστόμωται δὲ παχεῖ σιδήρῳ κατ' ἄκρον εἰς κριοῦ προτομὴν, ἀφ' οὗ καὶ καλεῖται, τετυπωμένῳ· καταιωρεῖται δὲ κάλοις μέσος, ὥσπερ ἀπὸ πλάστιγγος ἑτέρας δοκοῦ, σταυροῖς ἑκατέρωθεν ἑδραίοις ὑπεστηριγμένης. Ἀνωθούμενος δὲ ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, τῶν αὐτῶν ἀθρόως πάλιν εἰς τοὔμπροσθεν ἐπιβρισάντων, τύπτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ. Καὶ οὐδεὶς οὕτω καρτερὸς πύργος, ἢ περίβολος πλατὺς, ὃς,

at si aufugisse se resciverint, multum eos de impetu in urbem faciendo remissuros esse. Non autem his quicquam eos movebat, sed eo magis populum ad se circumsistendum accendit. Pueri igitur et senes, itemque mulieres cum infantibus flentes ad pedes illius accidebant, eosque complexi omnes tenebant, et cum ejulatu eum obsecrabant ut apud ipsos maneret ejusdem fortunæ particeps; non quod illius saluti inviderent, ut mihi videtur, sed quod de sua spem haberent: nihil enim mali dum maneret Josephus se passuros esse existimabant.

17. Ille autem, si quidem pareret, ista pro precibus habenda esse ratus, pro custodia vero, si cogeretur; multum etiam ipsius impetum quo ferebatur ad discessum fregerat lamentantium misericordia: quare manere statuit, et quum cives de salute omnes desperantes armasset, atque « nunc tempus est, dixisset, pugnam capessendi, quum spes nulla incolumitatis est, utpote quod pulcrum gloriam vel vita redimere, forti aliquo facinore edito seris nepotibus memorando, » ad opera se convertit: cumque pugnacissimis egressus, et custodes disjicere, et usque ad Romanorum castra excursiones facere, et nunc quidem pelles sub quibus tendebant distrahere, nunc vero ignem operibus injicere; ac die sequenti similiter, et tertio, et per aliquot deinceps dies noctesque bellando non defatigari.

(XV.) 18. Vespasianus autem, quum Romani his excursibus multum vexarentur (nam et terga dare Judæis pudebat, eosque in fugam versos præ armorum pondere tardius insequebantur; atque Judæi, semper aliquid agentes priusquam paterentur, in urbem se recipiebant), gravis armaturæ militibus præcepit eorum impetum declinare, et non cum hominibus mori cupientibus manus conserere: quippe nihil fortius esse desperatione: restingui autem illorum impetus, si proposito exciderint, uti ignis si desit materia. Ceterum decere Romanos non nisi magna cum cautione etiam vincere, ut qui non ex necessitate pugnarent, sed ad dominium augendum. Sagittariis vero Arabum usus et Syrorum funditoribus, et qui lapides jaciebant, plerumque Judæos repellebat. Verum neque missilium machinæ, quarum magna copia, quiescebant. Illi autem istis quidem male accepti cedebant: verum quum intra jactum essent eminus missorum, acrius Romanis instabant, et vitæ corporisque prodigi pugnabant, vicibus alteri alterorum fatigatorum locum occupantes.

19. Vespasianus igitur, quum existimaret se ex temporis longitudine et hostium excursibus vicissim quasi obsideri, aggeribus jam muris propius accedentibus, arietem admovere decrevit. Est autem trabs ingens malo navis haud dissimilis, ejusque summitas crasso ferro munitur in capitis formam arietis, unde etiam nomen accepit: medius funibus ex trabe alia velut ex trutina suspenditur, firmis utrinque palis suffultâ. Retrorsum itaque magna hominum vi delatus, et ab iisdem rursus junctis viribus antrorsum propulsus, ferro prominente muros diverberat. Neque est ulla turris tam valida, aut mœnia tam lata, quæ, etsi primos

εἰ καὶ τὰς πρώτας πληγὰς ἐνέγκαι, κατισχύσει τῆς ἐπιμονῆς. Ἐπὶ ταύτην τὴν πεῖραν ὁ στρατηγὸς τῶν Ῥωμαίων μετέβαινε, βίᾳ τὴν πόλιν ἑλεῖν σπεύδων, ὡς τὸ προσκαθέζεσθαι βλαβερὸν ἦν, Ἰουδαίων οὐκ ἠρεμούντων. Οἱ μὲν οὖν τούς τε καταπέλτας καὶ τὰ λοιπὰ τῶν ἀφετηρίων, ὡς ἐξικνοῖτο τῶν ἐπὶ τοῦ τείχους κωλύειν πειρωμένων, ἔγγιον προσαγαγόντες ἔβαλλον· ὁμοίως δὲ συνήγγιζον οἱ τοξόται καὶ σφενδονῆται. Διὰ δὲ ταῦτα μηδενὸς τῶν περιβόλων ἐπιβῆναι τολμῶντος, προσῆγον ἕτεροι τὸν κριὸν, γέρροις τε διηνεκέσι καὶ καθύπερθε πεφραγμένον δέρρει, πρός τε αὐτῶν καὶ τοῦ μηχανήματος ἀσφάλειαν· καὶ κατὰ τὴν πρώτην πληγὴν διεσείσθη μὲν τὸ τεῖχος, κραυγὴ δὲ μεγίστη παρὰ τῶν ἔνδοθεν ἤρθη, καθάπερ ἑαλωκότων ἤδη.

κ'. Πολλάκις δὲ εἰς τὸν αὐτὸν παίοντας τόπον ὁ Ἰώσηπος ὁρῶν, καὶ ὅσον οὔπω καταρριφθησόμενον τὸ τεῖχος, σοφίζεται πρὸς ὀλίγον τὴν βίαν τοῦ μηχανήματος. Σάκκους ἀχύρων πληρώσαντας ἐκέλευσε καθιμᾶν, καθ' ὃ φερόμενον ἀεὶ τὸν κριὸν ὁρῷεν, ὡς πλάζοιτό τε ἡ ἐμβολὴ καὶ δεχόμενοι τὰς πληγὰς ἐκκενοῖεν τῇ χαυνότητι. Τοῦτο πλείστην διατριβὴν παρέσχε τοῖς Ῥωμαίοις, καθὸ μὲν τρέποιεν τὴν μηχανὴν, ἀντιπαραγόντων τοὺς σάκκους τῶν ὑπερθεν, ὑποβαλλόντων δὲ ταῖς ἐμβολαῖς, ὡς μηδὲν κατ' ἀντιτυπίαν βλάπτεσθαι τὸ τεῖχος, ἕως ἀντεπινοήσαντες κοντοὺς οἱ Ῥωμαῖοι μακροὺς, καὶ δρέπανα δήσαντες ἐπ' ἄκρων τοὺς σάκκους ἀπέτεμνον. Ἐνεργοῦ δὲ οὕτω τῆς ἑλεπόλεως γενομένης καὶ τοῦ τείχους (νεοπαγὲς γὰρ ἦν) ἐνδιδόντος ἤδη, τὸ λοιπὸν ἐπὶ τὴν ἐκ πυρὸς ἄμυναν οἱ περὶ τὸν Ἰώσηπον ὥρμησαν. Ἀψάμενοι δὲ ὅσον αὖης εἶχον ὕλης τριχόθεν ἐπεκθέουσι, καὶ τά τε μηχανήματα καὶ τὰ γέρρα καὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπεπίπρασαν. Οἱ δὲ κακῶς ἐπεβοήθουν, πρός τε τὴν τόλμαν αὐτῶν καταπεπληγότες καὶ ὑπὸ τῆς φλογὸς τὰς ἀμύνας φθανόμενοι. Ξηρᾶς γὰρ ὕλης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔτι δὲ καὶ θείου, διίπτατο τὸ πῦρ ἐπινοίας τάχιον, καὶ τὰ πολλῷ καμάτῳ πεπονημένα Ῥωμαίοις ἐπὶ μιᾶς ὥρας ἐνέμετο.

(ΙϚ'.) κα'. Ἔνθα καὶ ἀνήρ τις ἐξεφάνη Ἰουδαῖος λόγου καὶ μνήμης ἄξιος. Σαμαίου μὲν παῖς ἦν, Ἐλεάζαρος δ' ἐκαλεῖτο, Σαὰβ δὲ πατρὶς αὐτῷ τῆς Γαλιλαίας. Ὑπερμεγέθη πέτραν ἁράμενος ἀφίησιν ἀπὸ τοῦ τείχους ἐπὶ τὴν ἑλέπολιν μετὰ τοσαύτης βίας, ὥστε ἀπορράξαι τὴν κεφαλὴν τοῦ μηχανήματος, ἣν δὴ καὶ καταπηδήσας ἐκ μέσων αἴρεται τῶν πολεμίων, καὶ μετὰ πολλῆς ἀδείας ἐπὶ τὸ τεῖχος ἔφερε. Σκοπὸς δὲ πᾶσι τοῖς ἐχθροῖς γενόμενος καὶ γυμνῷ τῷ σώματι τὰς πληγὰς δεξάμενος πέντε μὲν διαπείρεται βέλεσι, πρὸς οὐδὲν δὲ τούτων ἐπιστραφεὶς, ὅτε τὸ τεῖχος ἀνέβη καὶ περίοπτος πᾶσι τῆς εὐτολμίας ἔστη, ἱλυσπώμενος ὑπὸ τῶν τραυμάτων μετὰ τοῦ κριοῦ κατέπεσεν. Ἄριστοι μετὰ τοῦτον ἐφάνησαν ἀδελφοὶ δύο Νετίρας καὶ Φίλιππος, ἀπὸ Ῥουμᾶς κώμης, Γαλιλαῖοι καὶ αὐτοί. Προπηδῶσι μὲν εἰς τοὺς ἀπὸ τοῦ δεκάτου τάγματος, τοσούτῳ δὲ ῥοίζῳ καὶ βίᾳ

ictus sustineant, assiduis possint resistere. Ad istud experiendum aggrediebatur Romanorum dux, vi urbem expugnare properans, quod illis in damnum cederet in obsidione pergere, Judæis ipsos nunquam lacessere cessantibus. Et illi quidem catapultis et ceteris missilium machinis propius adductis, ut eos ferirent qui de muris tentamini obstare niterentur, tela jaciebant; itidemque in propinquo simul erant sagittarii et funditores. Quum autem ea de causa muros nemo ascendere auderet, alii arietem admovebant, et cratibus perpetuis et pellibus desuper septum, tam in sui quam machinæ securitatem: et primo quidem ictu murus concussus est, et ab iis qui intus erant clamor sublatus est maximus, quasi jam capti essent.

20. Josephus autem, quum eundem locum sæpe feriri animadverteret, et murum tantum non dejectum esse, commentum ad vim machinæ parumper eludendam adhibet. Saccos paleis oppletos in eum demitti locum præcepit, in quem arietem semper intorqueri viderent, ut et impetu errante ferretur, et plagam exceptam saccorum frustraret laxitas. Id quod Romanis multum moræ negotiique facessebat, quocunque hi machinam quidem converterent, illis, qui super murum stabant, saccos eo traducentibus et impressioni subjicientibus, ut inflictu nihil læderetur murus, donec Romani proceros adinvenirent contos, et eorum summitati falces ad saccos abscindendos alligarent. Quum autem hoc modo agendi vim reciperet aries, ac murus (nam recens exstructus erat) tandem ictibus cederet, deinceps Josephus et qui cum eo erant ad se igne defendendos properarunt. Quippe arida omni, quæ ad manus erat, materia accensa, trifariam excursionem faciunt, atque machinas et crates et aggeres Romanorum succenderunt. Hi vero non sine damno subveniebant, audacia simul illorum perterriti, et ne adjumento essent flammis præpediti. Nam propter aridum fomitem, et præterea bitumen ac picem, necnon etiam sulphur, celerius quam fert cogitatio volitabat ignis; et quæ multi laboris erant Romanis, una hora depascebat.

(XVI.) 21. Et hic vir quidam Judæus se dignum ostendit qui prædicetur pariter et memoretur. Samææ quidem filius erat, nomine Eleazarus; Saab vero Galilææ ei patria erat. Is, ingenti lapide sublato, tanta vi super arietem ex muro eum demittit, ut caput machinæ diffringeret; quo facto in medios hostes saltu delatus illud tollit, et sine minimo metu in murum ferebat. Factus autem scopus in quem hostes collimarent omnes, et ictibus nudo corpore exceptis, sagittis quidem quinque configitur; ad harum vero nullam attentus, quando murum ascendebat steteratque omnibus conspicuus ob facinoris audaciam, præ vulneribus revolutus arietem tenens corruit. Post hunc fortissimi apparuerunt duo fratres Netiras et Philippus, e Ruma vico, ipsi quoque quoque Galilæi. Prosiliunt illi in decimæ legionis milites, ac tanto impetu et vi in Romanos invecti sunt, ut et

τοῖς Ῥωμαίοις συνέπεσον, ὡς διαρρῆξαί τε τὰς τάξεις καὶ τρέψασθαι καθ' οὓς ἂν ἐφορμήσειαν ἅπαντας.

κϐ'. Μετὰ τούτους δ' τε Ἰώσηπος καὶ τὸ λοιπὸν πλῆθος ἀράμενοι πολὺ πῦρ τὰ μηχανήματα καὶ τὰς ὑποδύσεις ἅμα τοῖς ἔργοις ὑφῆψαν τοῦ τε πέμπτου καὶ τοῦ δεκάτου τραπέντος τάγματος, οἱ λοιποὶ δὲ φθάσαντες καὶ τὰ ὄργανα καὶ πᾶσαν ὕλην κατέχωσαν. Περὶ δὲ δείλην ἀναστήσαντες προσῆγον τὸν κριὸν πάλιν, ᾗ προπεπονήκει τυπτόμενον τὸ τεῖχος. Ἔνθα τις τῶν ἀμυνομένων ἀπ' αὐτοῦ βάλλει τὸν Οὐεσπασιανὸν βέλει κατὰ τὸν ταρσὸν τοῦ ποδὸς, καὶ τιτρώσκει μὲν ἐπιπολαίως, προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος, μέγιστον δὲ θόρυβον ἐνεποίησε τοῖς Ῥωμαίοις. Πρὸς γὰρ τὸ αἷμα ταραχθέντων τῶν πλησίον, φήμη διὰ παντὸς ἐμπίπτει ἐπὶ τῇ πληγῇ τοῦ στρατηγοῦ, καὶ τῆς πολιορκίας οἱ πλείους ἀφέμενοι μετ' ἐκπλήξεως καὶ δέους ἐπὶ τὸν στρατηγὸν συνέθεον· πρὸ δὲ πάντων Τίτος δείσας περὶ τῷ πατρὶ παρῆν, ὡς τὸ πλῆθος καὶ τῇ περὶ τὸν ἡγούμενον εὐνοίᾳ καὶ τῇ τοῦ παιδὸς ἀγωνίᾳ συγχυθῆναι. Ῥᾷστα μέντοι τόν τε υἱὸν ὁ πατὴρ δεδιότα καὶ τὴν στρατιὰν ἔπαυσε τοῦ θορύβου. Τῶν γὰρ ἀλγηδόνων ἐπάνω γενόμενος καὶ πᾶσι τοῖς ἐπτοημένοις δι' αὐτὸν ὀφθῆναι σπουδάσας χαλεπώτερον Ἰουδαίοις ἐπήγειρε τὸν πόλεμον· ἕκαστος γὰρ ὡς τιμωρὸς τοῦ στρατηγοῦ προκινδυνεύειν ἤθελε καὶ βοῇ παρακροτοῦντες ἀλλήλους ἐπὶ τὸ τεῖχος ὥρμων.

κγ'. Οἱ δὲ περὶ τὸν Ἰώσηπον, καίπερ ἐπ' ἀλλήλοις πίπτοντες ὑπὸ τῶν καταπελτικῶν καὶ τῶν πετροβόλων, ὅμως οὐκ ἀπετρέποντο τοῦ τείχους, ἀλλὰ πυρὶ καὶ σιδήρῳ καὶ πέτροις τοὺς ἐπὶ τὰ γέρρα τὸν κριὸν ἐπιβρίθοντας ἔβαλλον. Καὶ ἤνυον μὲν οὐδὲν ἢ μικρὸν, αὐτοὶ δ' ἀδιαλείπτως ἔπιπτον, ὑπὸ μὴ βλεπομένων καθορώμενοι. Αὐτοί τε γὰρ ὑπὸ τῆς σφετέρας περιλαμπόμενοι φλογὸς σκοπὸς ἦσαν τοῖς πολεμίοις εὐσύνοπτος, ὥσπερ ἐν ἡμέρᾳ, καὶ τῶν ὀργάνων πόρρωθεν μὴ βλεπομένων, δυσφύλακτον ἦν τὸ βαλλόμενον. Ἥ τε γὰρ τῶν ὀξυβελῶν καὶ καταπελτῶν βία πολλοὺς ἅμα διήλαυνε καὶ τῶν ὑπὸ τῆς μηχανῆς ἀφιεμένων πετρῶν ὁ ῥοῖζος ἐπάλξεις τε ἀπέσυρε καὶ γωνίας ἀπέθρυπτε πύργων. Ἀνδρῶν μὲν γὰρ οὐκ ἦν οὕτως ἰσχυρὸν στῖφος, ὃ μὴ μέχρις ἐσχάτης στρώννυται φάλαγγος βίᾳ τε καὶ μεγέθει τοῦ λίθου. Μάθοι δ' ἄν τις τὴν τοῦ μηχανήματος ἀλκὴν ἐκ τῶν ἐπὶ τῆσδε τῆς νυκτὸς γενομένων. (ΙΖ'.) Πληγείς γάρ τις ἀπ' αὐτοῦ τῶν περὶ τὸν Ἰώσηπον ἑστώτων ἀνὰ τὸ τεῖχος ἀπαράσσεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας καὶ τὸ κρανίον ἀπὸ τριῶν ἐσφενδονήθη σταδίων· γυναικός τε μεθ' ἡμέραν ἐγκύμονος πληγείσης τὴν γαστέρα (προῆει δὲ νέον ἐξ οἰκίας) ἐξέσεισεν ἐφ' ἡμιστάδιον τὸ βρέφος· τοσαύτη ἦν ἡ τοῦ λιθόβολου βία. Τῶν οὖν ὀργάνων φοβερώτερος ὁ ῥοῖζος, τῶν δὲ βαλλομένων ἦν ὁ φόφος. Ἐπάλληλοι δ' ἐκτύπουν οἱ νεκροὶ κατὰ τοῦ τείχους ῥιπτόμενοι, καὶ δεινὴ μὲν ἔνδοθεν κραυγὴ γυναικῶν ἠγείρετο, συνήχουν δὲ ἔξωθεν οἰμωγαὶ φονευομένων, αἵματι δ' ἐρρεῖτο πᾶς ὁ

ordines perrumperent, et omnes in quos irruerent in fugam verterent.

22. Post hos, quum Josephus et cetera multitudo, igne multo correpto, machinas et subterfugia cum operibus quintæ itemque decimæ, quæ terga dederat, legionis succenderunt, reliqui mox consequuti et instrumenta et omne genus materiam humo obruerunt. Rursus autem Romani arietem sub vesperam erectum ad eam muri partem adducebant, quæ jam ante a pulsatione laboraverat. Ubi quidam eorum qui vim illius arcerent, Vespasianum juxta pedis plantam jaculo ferit, et leviter quidem vulnerat, impetu projecti propter distantiam debilitato, maximam autem trepidationem Romanis injecit. His enim qui propius aderant viso sanguine perterritis, fama de vulnere imperatoris totum pervasit exercitum, plurimique relicta obsidione animis consternati et pavefacti ad imperatorem confluebant; atque ante omnes Titus aderat, metuens patri, adeo ut multitudo ex sua in ducem benevolentia et filii anxietate conturbata fuerit. Facile tamen pater et sollicitudine filium et trepidatione liberavit exercitum. Superato enim ex vulnere cruciatu, dataque opera ut ab omnibus, qui in pavore erant propter ipsum, conspiceretur, ad bellum contra Judæos acrius gerendum eos concitabat: nam quisque velut imperatoris ultor periculum adire cupiebant, et clamore alius alium adhortantes, impetu ferebantur in murum.

23. Josephus autem cum suis, licet alii super alios catapultarum itemque ballistarum ictibus caderent, nequaquam tamen a muro depulsi sunt; sed flammis et ferro et saxis eos petebant, qui cratibus protecti arietem propellebant. Et nihil quidem aut parum proficiebant, ipsi vero sine ulla intermissione occumbebant, ab illis conspecti quos videre non poterant. Namque in ipsos ignibus collustratos facile intuebantur et collimabant hostes, haud aliter ac si dies esset: atque, machinis e longinquo minime visis, difficile erat a missilibus sibi cavere. Nam et vi scorpionum et catapultarum multi simul transfigebantur; atque saxorum, e tormentis cum stridore emissorum, impetus et murorum pinnas auferebat, et turrium angulos diffringebat. Nullus autem erat adeo densus virorum ordo, qui non usque ad extremam aciem saxi vi et magnitudine sterneretur. Atque ex istis quæ ea nocte contigerunt, licet discere quantum robore valeret machina. (XVII.) Cuidam enim eorum qui in muro Josephum circumstarent saxi percussione caput avulsum est, et cranium ad tertium usque stadium quasi e funda jactum: interdiu quoque mulieris prægnantis, quæ paulo ante domo exierat, utero percusso, ad stadii dimidium infantem excussit: tanta ballistæ vis fuit. Tormentorum quidem terribilior erat stridor, missilium vero strepitus. Mortui autem alii super alios per muros dejecti sonitum edebant, et ingens quidem intus tollebatur mulierum clamor, foris vero respondebant cæsorum gemitus, totusque

πρὸ τῆς μάχης περίβολος καὶ προσβατὸν ὑπὸ πτωμάτων τὸ τεῖχος ἐγίνετο. Φοβερωτέραν δὲ ἐποίουν τὴν βοὴν περιηχοῦντα τὰ ὄρη, καὶ οὐδὲν ἐπ' ἐκείνης τῆς νυκτὸς οὔτε εἰς ἀκοῆς οὔτε εἰς ὄψεως κατάπληξιν ἀπελείφθη. Πλεῖστοι μέν γε τῶν ἐπὶ τῆς Ἰωταπάτης ἀγωνιζόμενοι γενναίως ἔπεσον, πλεῖστοι δ' ἐγένοντο τραυματίαι, καὶ μόλις περὶ τὴν ἑωθινὴν φυλακὴν ἐνδίδωσι τοῖς μηχανήμασι τὸ τεῖχος, ἀδιαλείπτως τυπτόμενον· οἱ δὲ φραξάμενοι τὰ σώματα τοῖς ὅπλοις τὸ καταρριφθὲν ἀντωχύρωσαν, πρὶν βληθῆναι τὰς ἐπιβατηρίους ὑπὸ τῶν Ῥωμαίων μηχανάς.

(III'.) κδ'. Ὑπὸ δὲ τὴν ἕω Οὐεσπασιανὸς ἐπὶ τὴν κατάληψιν τῆς πόλεως συνῆγε τὴν στρατιάν, ὀλίγον ἀπὸ τοῦ νυκτερινοῦ πόνου διαναπαύσας. Βουλόμενος δὲ ἀπὸ τῶν καταρριφθέντων περισπάσαι τοὺς εἴργοντας, τοὺς μὲν γενναιοτάτους τῶν ἱππέων ἀποβήσας τῶν ἵππων τριχῇ διέταξε κατὰ τὰ πεπτωκότα τοῦ τείχους, πάντοθεν πεφραγμένους τοῖς ὅπλοις, καὶ τοὺς κοντοὺς προίσχοντας, ὡς, ὁπότε τὰς ἐπιβατηρίους βάλλοιεν μηχανὰς, κατάρχοιντο τῆς εἰσόδου. Κατόπιν δὲ αὐτῶν ἔταξε τοῦ πεζοῦ τὸ ἀκμαιότατον, τὸ δὲ λοιπὸν ἱππικὸν ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ πᾶσαν τὴν ὀρεινὴν, πρὸς τὸ μηδένα τῶν ἀναφευγόντων ἐκ τῆς ἁλώσεως διαλαθεῖν· κατόπιν δὲ τούτων περιέστησε τοὺς τοξότας, ἔχειν κελεύσας ἕτοιμα τὰ βέλη πρὸς ἄφεσιν, ὁμοίως δὲ καὶ σφενδονήτας, καὶ τοὺς ἐπὶ τῶν μηχανημάτων, ἑτέρους δὲ κλίμακας ἀραμένους προσφέρειν ἐπάνω τοῖς ἀκεραίοις τείχεσιν, ἵνα οἱ μὲν τούτους κωλύειν πειρώμενοι καταλίποιεν τὴν ἐπὶ τοῖς καταρριφθεῖσι φυλακὴν, οἱ λοιποὶ δὲ ὑπ' ἀθρόων βιαζόμενοι τῶν βελῶν εἴξωσι τῆς εἰσόδου.

κε'. Ἰώσηπος δὲ συνεὶς τὴν ἐπίνοιαν ἐπὶ μὲν τοῦ μένοντος τείχους σὺν τοῖς κεκμηκόσιν ἵστησι τοὺς γηραιοὺς, ὡς μηδὲν ταύτῃ βλαβησομένους, κατὰ δὲ τὰ παρερρωγότα τοῦ τείχους τοὺς δυνατωτάτους καὶ πρὸ πάντων ἀνὰ ἓξ ἄνδρας, μεθ' ὧν καὶ αὐτὸς εἰς τὸ προκινδυνεύειν ἐκληρώσατο· ἐκέλευσέ τε πρὸς μὲν τὸν ἀλαλαγμὸν τῶν ταγμάτων ἐπιφράξαι τὰς ἀκοὰς, ὡς ἂν μὴ καταπλαγεῖεν, πρὸς δὲ τὸ πλῆθος τῶν βελῶν συνοκλάσαντας καλύπτεσθαι καθύπερθεν τοῖς θυρεοῖς, ὑποχωρῆσαί τε πρὸς ὀλίγον ἕως τὰς φαρέτρας κενώσωσιν οἱ τοξόται· βαλλόντων δὲ τὰς ἐπιβατηρίους μηχανὰς αὐτοὺς προπηδᾶν, καὶ διὰ τῶν ἰδίων ὀργάνων ἅπαντᾶν τοῖς πολεμίοις, ἀγωνίζεσθαί τε ἕκαστον, ὡς οὐχ ὑπὲρ σωθησομένης, ἀλλ' ὥσπερ ὑπὲρ ἀπολωλυίας ἤδη τῆς πατρίδος ἀμυνόμενον, λαμβάνειν τε πρὸ ὀφθαλμῶν σφαγησομένους γέροντας καὶ τέκνα καὶ γυναῖκας ἀναιρεθησομένας ὑπὸ τῶν ἐχθρῶν ὅσον οὐδέπω, καὶ τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας, ἐναφεῖναι τοῖς δράσουσιν αὐτάς.

κς'. Ἔταξε μὲν οὖν οὕτως ἑκάτερον. Τὸ δὲ ἀργὸν ἀπὸ τῆς πόλεως πλῆθος γύναια καὶ παῖδες, ὡς ἐθεάσαντο τριπλῇ μὲν φάλαγγι τὴν πόλιν ἐζωσμένην (οὐδὲν γὰρ εἰς τὴν μάχην μετακεχίνητο τῶν πάλαι φυλάloci ambitus, ubi pugnabatur, sanguine fluebat, et murus cadaverum aggestione poterat ascendi. Montes autem circumsonantes clamoris horrorem augebant, nec quicquam illi nocti defuit, quod vel auribus vel oculis terrorem posset incutere. Plurimi quidem pro Jotapata decertantes fortiter ceciderunt, plurimi etiam sauciati sunt; et tamen vix matutinas ad vigilias murus assiduis tormentorum ictibus cessit: alii vero, quibus corpora septa erant armis, parti labefactatæ munimina opposuerunt, antequam machinæ ascensoriæ a Romanis jacerentur.

(XVIII.) 24. Mane autem Vespasianus, quum ex nocturno labore paululum eos recreasset, exercitum colligebat ad urbem capiendam. Volensque a parte muri dejecta propugnatores depellere, equitum strenuissimos, quum eos equis descendere fecisset, trifariam collocat qua murus ceciderat, armis undique obseptos, contosque prætendentes, ut factis machinis ascensoriis primi ingrederentur. At post illos peditum validissimos statuit, reliquum vero equitatum juxta muros extendebat per totam montanam partem, ut nemo in excidio fuga dilaberetur: a tergo autem illorum sagittarios constituit, paratas ut emitterentur sagittas habere jussos, similiterque funditores, et qui a machinis erant; adhuc etiam alios scalas portantes integris muri partibus applicandas, ut hi qui ipsos prohibere niterentur muri dejecti custodiam relinquerent, ceteri vero introitu cederent magna telorum vi adacti.

25. Ubi autem hoc consilium rescivit Josephus, per murum quidem integrum labore fatigatos itemque senes disposuit, ut qui levissime illac læderentur; ad partem vero muri collapsam, validissimum quemque, senosque ante omnes viros, in quibus et ipse ad pericula primo adeunda sortitus est: hisque præcepit ut ad clamorem legionum aures quidem obstruerent, ne percellerentur, telorum vero multitudinem summissis genibus scutisque desuper protecti exciperent, et paulatim recederent, donec pharetras exinanirent sagittarii. Quum autem machinas ascensorias jacerent, ipsos prosilire jussit, suisque cum organis hostibus obviam ire, et unumquemque dimicare, non pro patria conservanda, sed quasi jam perditam vindicaturos; sibique ob oculos proponere senes liberosque mactandos, et conjuges in eo fere esse ut ab hostibus occidantur; iramque ob futuras clades collectam in auctores earum effundere.

26. Atque ita quidem utrosque disposuit. Ubi autem otiosa civium multitudo, mulieres ac pueri, urbem videre triplici quidem phalange circumdatam (nihil enim e custodiis ante habitis dimotum erat ad pugnam), strictisque gladiis ad

κων), πρὸς δὲ τοῖς βεβλημένοις τείχεσι τοὺς πολεμίους ξιφήρεις, καὶ τὴν καθύπερθεν ὀρεινὴν λαμπομένην ὅπλοις, τά τε βέλη τοῖς τοξόταις ἐπανέχοντα τῶν Ἀράβων, ὕστατον τινὰ κωκυτὸν ἁλώσεως συνήχησαν, ὡς οὐκ ἀπειλουμένων ἔτι τῶν κακῶν, ἀλλ' ἤδη παρόντων. Ὁ δὲ Ἰώσηπος τὰ μὲν γύναια, ὡς μὴ θηλύνοιεν οἰκτῳ τὰς ὁρμὰς τῶν σφετέρων, κατακλείει ταῖς οἰκίαις, μετ' ἀπειλῆς ἡσυχάζειν κελεύσας· αὐτὸς δὲ πρὸ τῶν ἐρριφθέντων, ἧ ἔλαχε, παρῆει. Τοῖς μὲν οὖν καθ' ἕτερα προσφέρουσι τὰς κλίμακας οὐ προσεῖχεν, ἀπεκαραδόκει δὲ τὴν ὁρμὴν τῶν βελῶν.

κζ'. Ὁμοῦ δὲ οἵτε σαλπιγκταὶ τῶν ταγμάτων ἁπάντων συνήχησαν καὶ δεινὸν ἐπηλάλαξεν ἡ στρατιά· καὶ πάντοθεν ἀφιεμένων ἀπὸ συνθήματος τῶν βελῶν, τὸ φῶς ὑπετέμνετο. Μεμνημένοι γε μὴν τῶν τοῦ Ἰωσήπου προσταγμάτων οἱ σὺν αὐτῷ τάς τε ἀκοὰς πρὸς τὴν βοὴν καὶ τὰ σώματα πρὸς τὰς ἀφέσεις ἐφράξαντο, καὶ βαλόντων τὰς μηχανὰς ἐπεξέδραμον δι' αὐτῶν, πρὶν ἐπιβῆναι τοὺς διαβαλόντας. Συμπλεκόμενοί γε μὴν τοῖς ἀνιοῦσι παντοῖα καὶ χειρῶν ἔργα καὶ ψυχῆς ἐναπεδείκνυντο, πειρώμενοι παρὰ τὰς ἐσχάτας συμφορὰς μὴ χείρους φαίνεσθαι τῶν ἐν ἀκινδύνῳ τῶν κατὰ σφᾶς ἀνδριζομένων· ὅστε οὐ πρότερον ἀπερρήγνυντο τῶν Ῥωμαίων πρὶν ἢ πεσεῖν ἢ διαφθεῖραι. Ὡς δὲ οἱ μὲν ἔκαμνον διηνεκῶς ἀμυνόμενοι καὶ τοὺς ἑαυτῶν ἀμείβειν οὐκ ἔχοντες, τὸ κεκμηκὸς δὲ τῶν Ῥωμαίων ἀκραιφνεῖς διεδέχοντο, καὶ ταχέως ἀντὶ τῶν ὑποδιασθέντων ἐπέβαινον ἕτεροι, παρακελευσάμενοι ἀλλήλοις, καὶ πλευρὰν μὲν ἑνώσαντες, τοῖς δὲ θυρεοῖς καθύπερθε φραξάμενοι, στῖφος ἄρρηκτον ἐγένοντο, καὶ καθάπερ ἑνὶ σώματι πάσῃ τῇ φάλαγγι τοὺς Ἰουδαίους ἀνωθοῦντες ἤδη τοῦ τείχους ἐπέβαινον.

(ΙΘ'.) κη'. Ὁ δὲ Ἰώσηπος ἐν ταῖς ἀμηχανίαις σύμβουλον λαβὼν τὴν ἀνάγκην (ἡ δέ ἐστι δεινὴ πρὸς ἐπίνοιαν, ὅταν αὐτὴν ἀπόγνωσις ἐρεθίζῃ), ζέον ἔλαιον ἐκέλευσε καταχεῖν τῶν συνησπικότων. Οἱ δέ, ὡς παρεσκευασμένον ἔχοντες μετὰ τάχους πολλοὶ καὶ πολύ, πάντοθεν τῶν Ῥωμαίων κατέχεον, συνεπαφιέντες καὶ τὰ ἀγγεῖα βρασσόμενα τῇ θέρμῃ. Τοῦτο καιομένων τῶν Ῥωμαίων διεσκέδασε τὴν τάξιν καὶ μετὰ δεινῶν ἀλγηδόνων ἀπεκυλινδοῦντο τοῦ τείχους. Ῥᾷστα μὲν γὰρ τὸ ἔλαιον ἀπὸ κόρσης μέχρι ποδῶν ὑπὸ τὰς πανοπλίας διέρρει τοῦ σώματος ὅλου καὶ τὴν σάρκα φλογὸς οὐδὲν ἔλασσον ἐπεβόσκετο, θερμαινόμενόν τε φύσει ταχέως καὶ ψυχόμενον βραδέως διὰ τὴν πιότητα. Τοῖς δὲ θώραξι καὶ τοῖς κράνεσιν ἐνδεδεμένων ἀπαλλαγὴ τῆς καύσεως οὐκ ἦν· πηδῶντες δὲ καὶ συνειλούμενοι ταῖς ἀλγηδόσιν ἀπὸ τῶν γεφυρωμάτων ἔπιπτον. Οἱ δὲ τραπέντες εἰς τοὺς σφετέρους πρόσω βιαζομένους εὐχείρωτοι τοῖς κατόπιν τιτρώσκουσιν ἦσαν.

κθ'. Ἐπέλιπε δὲ οὔτε Ῥωμαίους ἐν ταῖς κακοπραγίαις ἰσχὺς οὔτε τοὺς Ἰουδαίους σύνεσις· ἀλλ' οἱ μὲν καίπερ οἰκτρὰ πάσχοντας ὁρῶντες τοὺς καταχυθέντας, ὅμως εἰς τοὺς καταγέοντας ἐφέροντο τὸν πρὸ

partem muri dejectam hostes instare, armisque loca montana desuper collucere, tela etiam sagittariorum Arabum prompta eminere, extremum quendam ululatum ob urbis excidium ediderunt, quasi non amplius illis intenderentur mala, sed jam adessent. At mulieres quidem Josephus, ne ipsarum miseratio suorum animos impetusque debilitaret, domibus inclusas tenet, et silere jussit minis etiam additis: ipse vero ante murum dejectum, qua sors tulerat, semet sistebat. Et scalas quidem ex altera parte applicantibus animum non advertit, sed telorum impetum sollicite observabat.

27. Simul autem legionum omnium tubicines classicum cecinerunt, et ingentem clamorem sustulit exercitus; telisque, ex composito undique emissis, intercepta est lux. Ceterum qui a Josepho stabant, præceptorum ejus memores, et aures adversus clamorem obstruxerunt, et corpora contra jaculationes obsepserunt; quumque jactæ essent machinæ, eas cursu invadebant, antequam pedem in illis ponerent qui eas jaciendas curaverant. Porro cum iis qui ascendere nitebantur confligentes, varia ediderunt facinora, quæ animi pariter ac manuum fortitudinem ostendebant, id agentes in extrema calamitate, ne deteriores illis viderentur, qui extra periculum constituti adversum ipsos fortiter se gererent, adeo ut non prius a Romanis divellerentur quam vel caderent vel occiderent. Postquam autem Judæi quidem assidue hostes propulsando laborabant, alios non habentes qui ipsos exciperent, Romanorum vero defessis integri succedebant, statimque pro vi depulsis alii ascendebant, se mutuo adhortati, quum et latera junxissent et scutis se desuper texissent, agmen fiebant inexpugnabile, et tota phalange velut uno corpore Judæos repellentes jam inde in muro pedem ponebant.

(XIX.) 28. Josephus autem in his rerum angustiis necessitate in consilium adhibita (hæc autem in rebus excogitandis sollers cum desperatione exacuitur), oleo ferventi perfundi jussit scutorum conjunctione tectos. Id quod Judæi, quum cito paratum haberent multi et magna copia, undique in Romanos effundebant, simul etiam vasa æstu fervefacta in eos demittentes. Hoc ipsum, ustulatis quippe Romanis, ordinem dissolvit, et vehementi cum dolore e muro devolvebantur, siquidem facile oleum sub armatura per totum corpus a vertice ad imos defluebat talos, et carnem non secus atque flamma depascebat: quippe quod natura facile accenditur, et tarde ob pinguedinem refrigeratur. Quum autem loricis illigati essent et galeis, ex incendio effugere non poterant; sed hinc inde salientes aut doloribus convoluti de pontibus decidebant. Ad suos autem ex adverso urgentes quum se reciperent, facile subacti erant ab iis qui a tergo vulnera infligebant.

29. Verum neque Romanos, dum res male cederent, deficiebat virtus, neque Judæos prudentia: sed illi quidem, licet suos oleo perfusos miseranda pati viderent, tamen in eos qui id effundebant invehebantur, præeuntem quisque

αὐτοῦ κακίζων ἕκαστος ὡς ἐμπόδιον ὄντα τῆς ῥώμης. Οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον, τῆλιν ἐφθὴν ἐπιχέοντες ταῖς σανίσιν, αἷς ἐπολισθάνοντες ὑπεσύροντο· καὶ οὔτε τῶν τρεπομένων οὔτε τῶν προσβαινόντων τις ὀρθὸς ἔμενεν, ἀλλ' οἱ μὲν ὑπ' αὐτῶν ὑπτιαζόμενοι τῶν ἐπιβατηρίων μηχανῶν συνεπατοῦντο, πολλοὶ δὲ ἐπὶ τὸ χῶμα κατέπιπτον. Ἐπαίοντο δ' ὑπὸ τῶν Ἰουδαίων οἱ πεσόντες. Σφαλλομένων γὰρ τῶν Ῥωμαίων οὗτοι, τῆς κατὰ χεῖρα συμπλοκῆς ἐλευθερωθέντες, πρὸς τὰς βολὰς ἠσχόλουν. Πολλὰ δὲ κακουμένους ἐν τῇ προσβολῇ τοὺς στρατιώτας ὁ στρατηγὸς περὶ δείλην ἀνεκάλει. Ἔπεσον δὲ τούτων μὲν οὐκ ὀλίγοι καὶ πλείους ἐτρώθησαν· τῶν δὲ ἀπὸ τῆς Ἰωταπάτης ἀπέθανον μὲν ἓξ ἄνδρες, τραυματίαι δὲ ὑπὲρ τριακοσίους ἀνεκομίσθησαν. Εἰκάδι μὲν οὖν Δαισίου μηνὸς ἡ παράταξις ἦν.

(Κ'.) λ.' Οὐεσπασιανὸς δὲ ἐπὶ τοῖς συμβεβηκόσι τὴν στρατιὰν παραμυθούμενος, ὡς θυμουμένους ἑώρα, καὶ οὐ προτροπῆς, ἀλλ' ἔργων δεομένους, προσυψῶσαι μὲν τὰ χώματα, πύργους δὲ τρεῖς, πεντήκοντα ποδῶν ἕκαστον τὸ ὕψος, κατασκευάσαι κελεύσας, πάντοθεν σιδήρῳ κεκαλυμμένους, ὡς ἑδραῖοί τε εἶεν ὑπὸ βρίθους καὶ δυσάλωτοι πυρί, τῶν χωμάτων ἐπέστησεν, προσεπιβήσας αὐτοῖς ἀκοντιστάς τε καὶ τοξότας καὶ τῶν ἀφετηρίων ὀργάνων τὰ κουφότερα· πρὸς δὲ τοὺς ῥωμαλεωτάτους σφενδονήτας, οἳ μὴ καθορώμενοι διὰ τὸ ὕψος καὶ τὰ θωρακεῖα τῶν πύργων εἰς καθορωμένους τοὺς ἐπὶ τοῦ τείχους ἔβαλλον. Οἱ δὲ, μήτε κατὰ κόρσης φερομένων τῶν βελῶν ἐκκλίνειν ῥαδίως δυνάμενοι μήτε τοὺς ἀφανεῖς ἀμύνεσθαι, καὶ τὸ μὲν ὕψος τῶν πύργων δυσέφικτον ὁρῶντες ἐκ χειρὸς βέλει, πυρὶ δὲ τὸν περὶ αὐτοῖς σίδηρον ἀνάλωτον, ἔφευγον ἀπὸ τοῦ τείχους, καὶ προσβάλλειν πειρωμένοις ἐπεξέθεον. Καὶ οἱ μὲν ἐπὶ τῆς Ἰωταπάτης ἀντεῖχον οὕτως, ἀναιρούμενοί τε καθ' ἡμέραν πολλοὶ καὶ μηδὲν ἀντικακοῦν τοὺς πολεμίους, ὅτι μὴ μετὰ κινδύνων ἀνείργειν, ἔχοντες.

(ΚΑ'.) λα'. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας Οὐεσπασιανὸς ἐπί τινα τῶν τῆς Ἰωταπάτης ἀστυγειτόνων πόλιν (Ἰαφὰ καλεῖται) νεωτερίζουσαν, καὶ τῶν Ἰωταπατηνῶν παρὰ δόξαν ἀντεχόντων ἐπαιρομένην, Τραϊανὸν, ὄντα τοῦ δεκάτου τάγματος ἡγεμόνα, ἐκπέμπει, παραδοὺς αὐτῷ χιλίους μὲν ἱππεῖς, πεζοὺς δὲ δισχιλίους. Ὁ δὲ τὴν μὲν πόλιν δυσάλωτον καταλαβὼν (πρὸς γὰρ τῷ φύσει καρτερὰ τυγχάνειν οὖσα καὶ διπλῷ περιβόλῳ τετείχιστο), προαπαντηκότας δὲ τοὺς ἐξ αὐτῆς ἑτοίμους εἰς μάχην ἰδὼν συμβάλλει, καὶ πρὸς ὀλίγον ἀντισχόντας ἐδίωκε. Συμφυγόντων δὲ εἰς τὸ πρῶτον τεῖχος οἱ Ῥωμαῖοι κατὰ πόδας προσκείμενοι συνεισέπεσον, ὁρμήσαντας δὲ πάλιν εἰς τὸ δεύτερον τεῖχος ἀποκλείουσι τῆς πόλεως οἱ σφέτεροι, δείσαντες μὴ συνεισβάλωσιν οἱ πολέμιοι. Θεὸς δ' ἦν ἄρα ὁ Ῥωμαίοις τὰ Γαλιλαίων πάθη χαριζόμενος, ὃς καὶ τότε τὸν τῆς πόλεως λαὸν αὐτανδρον, χερσὶν οἰκείαις ἐκκλεισθέντα, πρὸς ἀπώλειαν ἔκδοτον φονῶσιν ἐχθροῖς παρέστησεν. Ἐμπίπτοντες

ignavum appellantes, quasi suis obstarent viribus. Judæi vero illos in ascensu dolo altero eludebant, fœnum Græcum decoctum in tabulata effundentes, unde lapsantes deorsum ferebantur, ut neque fugientium quisquam, neque ascendentium rectus stare potuerit: sed nonnulli quidem, ab istis resupinati machinis ascensoriis, conculcati sunt; multi vero in aggeres delabebantur, quumque cecidissent, a Judæis feriebantur. Namque illi, postquam Romani lapsi erant, manuum consertione liberati, missilium jactui vacabant. Milites autem in hac aggressione mala multa perpessos circa vesperam revocabat imperator. Et horum quidem non pauci ceciderunt, pluresque vulnera acceperunt: ex Jotapatenis autem sex quidem viri mortem oppetierunt, saucii vero plures quam trecenti reportati erant. Et die quidem vigesimo mensis Dæsii commissa est hæc pugna.

(XX.) 30. Vespasianus autem, solamen adhibens exercitui ob ea quæ acciderant, postquam videret eos in iram accensos, et non adhortatione egentes, sed opere, quum aggeres quidem altius tolli, turres vero tres ad quinquaginta unamquamque pedum altitudinem ædificari præcepisset, undique tectas, tum ut stabiliores essent ob pondus, tum ut igni non cederent, super aggeres eas collocavit, impositis in eas jaculatoribus et sagittariis, itemque levioribus missilium machinis, ac præterea funditorum validissimis. Qui quum minime conspicerentur propter altitudinem et propugnacula turrium, eos tamen qui super murum conspecti erant feriebant. Illi vero, quum neque tela superne venientia facile declinarent, neque ulcisci possent quos minime aspicerent, et turrium quidem altitudinem vix telis e manu jactis attingi posse viderent, ferrumque quo septæ erant ab igne haud facile expugnari, mœnia deserebant, et impressionem in ea facere nitentibus obviam excurrebant. Et Jotapateni quidem ita resistebant, et in dies singulos magno numero interfecti, et nihil quicquam mali hostibus inferre valentes, nisi quod eos suo non sine periculo arcerent.

(XXI.) 31. Iisdem autem diebus Vespasianus emittit Trajanum, decimæ legionis præfectum, contra finitimam quandam Jotapatæ urbem, cui nomen Japha, novas res adfectantem, et, quod præter opinionem restiterant Jotapateni, valde elatam, traditis ei duobus peditum millibus et mille equitibus. Ille vero, quum urbem quidem expugnatu difficilem reperisset (nam præterquam quod natura valida esset, duplici etiam muro cincta fuerat), eam vero habitantes vidisset ad pugnam paratos sibi obviam processisse, prælium committit, eosque paulisper resistere ausos in fugam vertit. Quum autem intra primum murum se recepissent, Romani vestigiis illorum instantes cum ipsis irrumpunt: at quum rursus murum secundum petiissent, cives sui eos urbe excludunt, veriti ne cum illis subintrarent hostes. Deus utique erat qui Romanis donabat Galilæorum clades: atque tunc civitatis universum populum, suorum manibus exclusum, ad interitum dedit hostibus cædium avidissimis. Con-

γὰρ ἀθρόοι ταῖς πύλαις καὶ πολλὰ τοὺς ἐπ' αὐτῶν ὀνομαστὶ καλοῦντες ἐν μέσαις ἀπεσφάττοντο ταῖς ἱκετείαις. Καὶ τὸ μὲν πρῶτον αὐτοῖς τεῖχος οἱ πολέμιοι, τὸ δεύτερον δ' ἔκλεισαν οἱ σφέτεροι, μέσοι δὲ τῶν δυοῖν κατειλούμενοι περιβόλων βύζην πολλοὶ μὲν τοῖς ἀλλήλων, πολλοὶ δὲ τοῖς ἰδίοις περιεπείροντο ξίφεσιν, ἄπειροι δὲ ὑπὸ Ῥωμαίων ἔπιπτον, οὐδὲ ὅσον εἰς ἄμυναν ἀναθαρροῦντες· πρὸς γὰρ τῷ καταπεπλῆχθαι τοὺς πολεμίους τὰς ψυχὰς αὐτῶν ἔκλασεν ἡ τῶν οἰκείων προδοσία. Πέρας ἔθνησκον, οὐ Ῥωμαίοις, ἀλλὰ τοῖς ἰδίοις καταρώμενοι, μέχρι πάντες ἀπώλοντο μύριοι καὶ δισχίλιοι τὸν ἀριθμὸν ὄντες. Κενὴν δὲ μαχίμων λογιζόμενος εἶναι τὴν πόλιν ὁ Τραϊανὸς, εἰ δὲ καί τινες ἔνδον εἶεν, οἰόμενος μηδὲν αὐτοὺς τολμήσειν ὑπὸ δέους, ἀνετίθει τῷ στρατηγῷ τὴν ἅλωσιν· καὶ στεῖλας ἀγγέλους πρὸς Οὐεσπασιανὸν ᾐτεῖτο πέμψαι τὸν υἱὸν αὐτοῦ Τίτον ἐπιθήσοντα τῇ νίκῃ τὸ τέλος. Ὁ δὲ συμβαλὼν ὑπολείπεσθαί τινα πόνον, μετὰ στρατιᾶς τὸν υἱὸν ἐπιπέμπει πεντακοσίων μὲν ἱππέων, χιλίων δὲ πεζῶν. Ὁ δὲ πρὸς τὴν πόλιν ἐλθὼν διὰ τάχους, καὶ διατάξας τὴν στρατιὰν, ἐπὶ μὲν τοῦ λαιοῦ κέρως τὸν Τραϊανὸν ἵστησιν, αὐτὸς δὲ τὸ δεξιὸν ἔχων ἐξηγεῖτο πρὸς τὴν πολιορκίαν. Τῶν δὲ στρατιωτῶν κλίμακας πάντοθεν τῷ τείχει προσφερόντων, πρὸς ὀλίγον οἱ Γαλιλαῖοι καθύπερθεν ἀμυνόμενοι λείπουσι τὸν περίβολον. Ἐπιπηδήσαντες δὲ οἱ περὶ τὸν Τίτον τῆς μὲν πόλεως ἐκράτησαν ταχέως, πρὸς δὲ τοὺς ἔνδον αὐτοῖς συστραφέντας καρτερὰ μάχη συρρήγνυται. Καὶ γὰρ ἐν τοῖς στενωποῖς οἱ δυνατοὶ προσέπιπτον, καὶ ἀπὸ τῶν οἰκιῶν αἱ γυναῖκες ἔβαλλον πᾶν τὸ προστυχὸν αὐταῖς· καὶ μέχρι μὲν ἓξ ὡρῶν ἀντεῖχον μαχόμενοι, δαπανηθέντων δὲ τῶν μαχίμων, τὸ λοιπὸν πλῆθος ἔν τε τοῖς ὑπαίθροις καὶ κατὰ τὰς οἰκίας ἀπεσφάττοντο, νέοι τε ὁμοῦ καὶ γέροντες· οὐδὲν γοῦν ἄρρεν ἀπελείφθη δίχα νηπίων, ἃ μετὰ γυναικῶν ἐξηνδραποδίσαντο. Τῶν μὲν οὖν ἀναιρεθέντων ἀνά τε τὴν πόλιν καὶ ἐπὶ τῆς προτέρας παρατάξεως ἀριθμὸς μύριοι πρὸς τοῖς πεντακισχιλίοις ἦν, τὰ δὲ αἰχμάλωτα δισχίλια καὶ ἑκατὸν καὶ τριάκοντα. Τοῦτο συνέβη τὸ πάθος Γαλιλαίοις πέμπτῃ καὶ εἰκάδι Δαισίου μηνός.

(ΚΒ'.) λϐ'. Ἐμειναν δὲ οὐδὲ Σαμαρεῖς ἀπείρατοι συμφορῶν. Ἀθροισθέντες γὰρ ἐπὶ τὸ Γαριζὶν καλούμενον ὄρος, ὅπερ αὐτοῖς ἐστιν ἅγιον, κατὰ χώραν μὲν ἔμενον, πολέμου δὲ εἶχεν ἀπειλὴν ἥ τε σύνοδος αὐτῶν καὶ τὰ φρονήματα. Καὶ οὐδὲ τοῖς γειτνιῶσι κακοῖς ἐσωφρονίζοντο, πρὸς δὲ τὰς Ῥωμαίων εὐπραγίας ἐν ἀλογίστῳ τῇ κατὰ σφᾶς ἀσθενείᾳ διώδευον καὶ μετέωροι πρὸς ταραχὴν ὑπῆρχον. Ἐδόκει δὲ Οὐεσπασιανῷ φθάσαι τὸ κίνημα καὶ τὰς ὁρμὰς αὐτῶν ὑποτέμνεσθαι. Καὶ γὰρ ἀεὶ φρουραῖς ἡ Σαμαρεῖτις ὅλη διείληπτο, τό τε πλῆθος τῶν ἐληλυθότων καὶ ἡ σύνταξις ἦν φοβερά. Κερεάλιον οὖν ἔπαρχον ὄντα τοῦ πέμπτου τάγματος μεθ' ἑξακοσίων ἱππέων καὶ πεζῶν τρισχιλίων πέμπει. Τούτῳ προσβαίνειν μὲν τὸ ὄρος καὶ συνάπτειν μάχην οὐκ ἀσφαλὲς ἔδοξε, τῶν πολεμίων πολλῶν καθύπερθεν ὄντων· ἀθρόοι γὰρ ἐπιόντες ταῖς πύλαις καὶ πολλὰ τοὺς ἐπ' αὐτῶν ὀνομαστὶ καλοῦντες ἐν μέσαις ἀπεσφάττοντο ταῖς ἱκετείαις. Καὶ τὸ μὲν πρῶτον αὐτοῖς τεῖχος οἱ πολέμιοι, τὸ δεύτερον δ' ἔκλεισαν οἱ σφέτεροι, μέσοι δὲ τῶν δυοῖν κατειλούμενοι περιβόλων βύζην πολλοὶ μὲν τοῖς ἀλλήλων, πολλοὶ δὲ τοῖς ἰδίοις περιεπείροντο ξίφεσιν, ἄπειροι δὲ ὑπὸ Ῥωμαίων ἔπιπτον, οὐδὲ ὅσον εἰς ἄμυναν ἀναθαρροῦντες· πρὸς γὰρ τῷ καταπεπλῆχθαι τοὺς πολεμίους τὰς ψυχὰς αὐτῶν ἔκλασεν ἡ τῶν οἰκείων προδοσία. Πέρας ἔθνησκον, οὐ Ῥωμαίοις, ἀλλὰ τοῖς ἰδίοις καταρώμενοι, μέχρι πάντες ἀπώλοντο μύριοι καὶ δισχίλιοι τὸν ἀριθμὸν ὄντες. Κενὴν δὲ μαχίμων λογιζόμενος εἶναι τὴν πόλιν ὁ Τραϊανὸς, εἰ δὲ καί τινες ἔνδον εἶεν, οἰόμενος μηδὲν αὐτοὺς τολμήσειν ὑπὸ δέους, ἀνετίθει τῷ στρατηγῷ τὴν ἅλωσιν· καὶ στεῖλας ἀγγέλους πρὸς Οὐεσπασιανὸν ᾐτεῖτο πέμψαι τὸν υἱὸν αὐτοῦ Τίτον ἐπιθήσοντα τῇ νίκῃ τὸ τέλος. Ὁ δὲ συμβαλὼν ὑπολείπεσθαί τινα πόνον, μετὰ στρατιᾶς τὸν υἱὸν ἐπιπέμπει πεντακοσίων μὲν ἱππέων, χιλίων δὲ πεζῶν. Ὁ δὲ πρὸς τὴν πόλιν ἐλθὼν διὰ τάχους, καὶ διατάξας τὴν στρατιὰν, ἐπὶ μὲν τοῦ λαιοῦ κέρως τὸν Τραϊανὸν ἵστησιν, αὐτὸς δὲ τὸ δεξιὸν ἔχων ἐξηγεῖτο πρὸς τὴν πολιορκίαν. Τῶν δὲ στρατιωτῶν κλίμακας πάντοθεν τῷ τείχει προσφερόντων, πρὸς ὀλίγον οἱ Γαλιλαῖοι καθύπερθεν ἀμυνόμενοι λείπουσι τὸν περίβολον. Ἐπιπηδήσαντες δὲ οἱ περὶ τὸν Τίτον τῆς μὲν πόλεως ἐκράτησαν ταχέως, πρὸς δὲ τοὺς ἔνδον αὐτοῖς συστραφέντας καρτερὰ μάχη συρρήγνυται. Καὶ γὰρ ἐν τοῖς στενωποῖς οἱ δυνατοὶ προσέπιπτον, καὶ ἀπὸ τῶν οἰκιῶν αἱ γυναῖκες ἔβαλλον πᾶν τὸ προστυχὸν αὐταῖς· καὶ μέχρι μὲν ἓξ ὡρῶν ἀντεῖχον μαχόμενοι, δαπανηθέντων δὲ τῶν μαχίμων, τὸ λοιπὸν πλῆθος ἔν τε τοῖς ὑπαίθροις καὶ κατὰ τὰς οἰκίας ἀπεσφάττοντο, νέοι τε ὁμοῦ καὶ γέροντες· οὐδὲν γοῦν ἄρρεν ἀπελείφθη δίχα νηπίων, ἃ μετὰ γυναικῶν ἐξηνδραποδίσαντο. Τῶν μὲν οὖν ἀναιρεθέντων ἀνά τε τὴν πόλιν καὶ ἐπὶ τῆς προτέρας παρατάξεως ἀριθμὸς μύριοι πρὸς τοῖς πεντακισχιλίοις ἦν, τὰ δὲ αἰχμάλωτα δισχίλια καὶ ἑκατὸν καὶ τριάκοντα. Τοῦτο συνέβη τὸ πάθος Γαλιλαίοις πέμπτῃ καὶ εἰκάδι Δαισίου μηνός.

fertim enim ad portas irruentes, et sæpiuscule illis præpositos nominatim inclamantes, medias inter preces mactabantur. Et primum quidem murum illis hostes clauserunt, alterum vero cives sui; mediique inter duorum murorum ambitus conclusi, multi quidem suis invicem, multique suis ipsorum gladiis transfigebantur, innumeri vero Romanorum manibus cadebant, ne ad ulciscendum quidem sumpta fiducia: nam præterquam quod hostes eis terrorem incusserant, animos illis fregit suorum proditio. Denique moriebantur, non Romanis, sed suis diras imprecantes, usque dum omnes interierunt, numero ad duodecim millia. Tum Trajanus, urbem prælatoribus vacuam reputans, et si qui adhuc intus essent, nihil eos ausuros esse existimans præ timore, imperatori excidium urbis reservabat: missisque ad Vespasianum nunciis, postulabat ut filium suum Titum mitteret, finem victoriæ impositurum. Ille vero, laboris aliquid superesse conjiciens, filium mittit cum exercitu quingentorum quidem equitum, mille vero peditum. Ille autem, quum ad urbem properasset et exercitum ordinasset, in lævo quidem latere Trajanum constituit, atque ipse in dextro obsidioni præerat. At postquam milites scalas muris undique applicaverant, Galilæi, paulisper eos desuper propellentes, continuo mœnia relinquunt. Titus vero cum suis saltu demissi statim quidem urbem occupant: cum illis vero qui intus se in orbem collegerant, vehemens commissa est pugna. Nam et in angiportis cives validiores impressionem in eos faciebant, et mulieres quicquid illis in manus venerat e tectis jaciebant: et per sex quidem horas pugnam sustinuerunt. Absumptis autem pugnæ idoneis, cetera multitudo, partim sub dio, partim per domos, senes pariter ac juvenes, mactabantur; adeo ut nemo sexus virilis superfuerit præter infantes, qui una cum mulieribus abducti sunt in servitutem. Et cæsi quidem per civitatem et in priori congressu numero erant ad quindecim millia, captivi vero facti ad duo millia, centum et triginta. Hæc Galilæis clades contigit, die quinto et vigesimo mensis Dæsii.

(XXII.) 32. Verum nec Samaritæ cladis erant expertes. Congregati quippe in montem Garizin appellatum, qui ab illis pro sacro habetur, in eodem quidem loco manebant; bellum vero minari videbatur iste conventus eorum, et elati animi spiritus. Et ne vicinorum quidem malis reprimebantur, sed ad prosperos Romanorum successus temere suarum virium infirmitate nixi iter faciebant, et pronis in tumultum animis pendebant. Vespasiano itaque factu optimum videbatur motum prævenire, impetumque illorum præcidere. Nam etsi præsidiis omnis regio Samaritica occupata erat, tamen et multitudo illorum qui eo venerant et conspiratio timebatur. Ea de causa Cerealem, quintæ legionis præfectum, cum sexcentis equitibus et tribus peditum millibus mittit. Istis comitatus montem quidem ascendere pugnamque committere nequaquam tutum esse duxit, quod hostium

των, κυκλωσάμενος δὲ τῇ δυνάμει πᾶσαν τὴν ὑπώρειαν δι' ὅλης αὐτοὺς ἐφρούρει τῆς ἡμέρας. Συνέβη δὲ ὕδατος ἀπορουμένων τῶν Σαμαρέων ἐκφλεγῆναι τότε καὶ καῦμα δεινόν (ὥρα δὲ ἦν θέρους καὶ τῶν ἐπιτηδείων τὸ πλῆθος ἀπαράσκευον), ὡς τινὰς μὲν αὐθημερὸν ἀπὸ τοῦ δίψους ἀποθανεῖν, πολλοὺς δὲ τῆς τοιαύτης ἀπωλείας τὸ δουλεύειν προελομένους, Ῥωμαίοις προσφυγεῖν. Ἐξ ὧν συνεὶς ὁ Κερεάλιος καὶ τοὺς ἔτι συμμένοντας ὑπὸ τῶν δεινῶν κατεαγότας, ἐπαναβαίνει τῷ ὄρει, καὶ τὴν δύναμιν ἐν κύκλῳ περιστήσας τοῖς πολεμίοις, τὸ μὲν πρῶτον ἐπὶ δεξιὰς προὐκαλεῖτο καὶ σώζεσθαι παρεκάλει, διαβεβαιούμενος ἀσφάλειαν τὰ ὅπλα ῥίψασιν· ὡς δ' οὐκ ἔπειθε, προσπεσὼν ἀπέκτεινε πάντας, χιλίους ἑξακοσίους ἐπὶ μυρίοις ὄντας. Δαισίου μηνὸς εἰκάδι καὶ ἑβδόμῃ ἐπράχθη. Καὶ τοιαύταις μὲν συμφοραῖς Σαμαρεῖται ἐχρήσαντο.

(ΚΓ'.) λγ'. Τῶν δὲ ἀνὰ τὰ Ἰωτάπατα διαχαρτερούντων καὶ παρ' ἐλπίδα τοῖς δεινοῖς ἀντεχόντων τεσσαρακοστῇ μὲν ἡμέρᾳ καὶ ἑβδόμῃ τὰχώματα τῶν Ῥωμαίων ὑπερήρθη τὸ τεῖχος· αὐτομολεῖ δέ τις πρὸς τὸν Οὐεσπασιανὸν τῆς αὐτῆς ἡμέρας, τήν τε ὀλιγότητα τῶν ἐπὶ τῆς πόλεως ἐξαγγέλλων καὶ τὴν ἀσθένειαν, καὶ ὡς ἀγρυπνίᾳ διηνεκεῖ καὶ μάχαις ἐπαλλήλοις δεδαπανημένοι δυνατοὶ μὲν εἶεν οὐδὲ βιαζομένους ἔτι φέρειν, καὶ δόλῳ δ' ἂν ἁλοῖεν, εἴ τις ἐπιθοῖτο· περὶ γὰρ τὴν ἐσχάτην φυλακὴν, καθ' ἣν ἄνεσίν τε τῶν δεινῶν ἐδόκουν ἔχειν, καὶ καθάπτεται μάλιστα κεκοπωμένων ἑωθινὸς ὕπνος, καταδαρθάνειν ἔφασκε τοὺς φύλακας, συνεβούλευέ τε κατὰ ταύτην τὴν ὥραν ἐπελθεῖν. Τῷ δὲ ἦν μὲν δι' ὑπονοίας ὁ αὐτόμολος, τό τε πρὸς ἀλλήλους πιστὸν εἰδότι τῶν Ἰουδαίων καὶ τὴν πρὸς τὰς κολάσεις ὑπεροψίαν, ἐπειδὴ καὶ πρότερον ληφθείς τις τῶν ἀπὸ τῆς Ἰωταπάτης πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχε, καὶ μηδὲν διὰ πυρὸς ἐξερευνῶσι τοῖς πολεμίοις περὶ τῶν ἔνδον εἰπὼν ἀνεσταυρώθη τοῦ θανάτου καταμειδιῶν. Τά γε μὴν εἰκότα πιστὸν ἐποίει τὸν προδότην, καὶ τάχα μὲν ἀληθεύειν ἐκεῖνον, μηδὲν δὲ αὐτὸς ἐξ ἑνέδρας πείσεσθαι μέγα προσδοκῶν, τὸν μὲν φυλάσσειν ἐκέλευσεν, ἐπὶ δὲ τὴν καταλῆψιν τῆς πόλεως παρεσκεύαζε τὴν στρατιάν.

λδ'. Κατὰ δὲ τὴν μηνυθεῖσαν ὥραν ἦσαν ἡσυχῇ πρὸς τὸ τεῖχος· καὶ πρῶτος ἐπιβαίνει Τίτος σὺν ἑνὶ τῶν χιλιάρχων Δομιτίῳ Σαβίνῳ, τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος τινὰς ὀλίγους ἄγων· ἀποσφάξαντες δὲ τοὺς φύλακας εἰσίασιν εἰς τὴν πόλιν ἡσυχῇ, μεθ' οὓς Σέξτος τις Κερεάλιος χιλίαρχος καὶ Πλάκιδος τοὺς ὑπό σφισι τεταγμένους εἰσῆγον. Κατειλημμένης δὲ τῆς ἄκρας καὶ τῶν πολεμίων ἐν μέσῃ τῇ πόλει στρεφομένων, ἤδη δὲ καὶ ἡμέρας οὔσης, ὅμως οὔπω τῆς ἁλώσεως τοῖς κρατουμένοις αἴσθησις ἦν· καμάτῳ τε γὰρ οἱ πολλοὶ καὶ ὕπνῳ διελέλυντο καὶ τῶν διανισταμένων ὁμίχλη τὰς ὄψεις ἀπήμβλυνε πολλὴ, κατὰ τύχην τότε τῇ πόλει περιχυθεῖσα, μέχρι πάσης τῆς στρατιᾶς εἰσπεσούσης πρὸς μόνην τὴν τῶν κακῶν αἴσθησιν ἐξανέστη-

quamplurimi superiora ejus occupaverant-: quum autem montis radices copiis suis undique cinxisset, per totum diem eos observabat. Atque tunc evenit, quum Samaritæ aquam non haberent, etiam graves accendi æstus (erat enim tempus æstatis, neque se rebus necessariis vulgus instruxerat), adeo ut nonnulli eo ipso die siti morerentur, multi autem, ejusmodi morti servitium præferentes, ad Romanos transfugerent. Ex quibus ubi Cerealis intellexit eos qui conjuncti manebant, malis infractos esse, montem ascendit, et quum exercitum hostibus circumdedisset, primum quidem eos ad fœdera hortabatur, utque salvi esse vellent obsecrabat, confirmans iis datum iri securitatem, modo arma projicerent: quum autem illis hoc non persuasisset, eos adortus omnes occidebat, numero ad decem millia et sexcentos. Dæsii mensis die vigesimo septimo gesta sunt ista. Atque hujusmodi quidem calamitatibus usi sunt Samaritæ.

(XXIII.) 33. Jotapatenis autem obsidionem perferentibus, et præter spem mala tolerantibus, quadragesimo quidem ac septimo die Romanorum aggeres supra murorum altitudinem evecti sunt. Quidam vero ad Vespasianum eodem die transfugit, paucitatem civium et infirmitatem simul eorum nuncians, atque ut perpetuis vigiliis et præliis assiduis consumpti, minime quidem amplius vim ferre possent, tamen dolo caperentur, si qui eos aggredi vellent: nam extremam circa vigiliam, quando et requiem ex malis habere videantur, et fatigatos maxime occupet somnus matutinus, dormire custodes dicebat, suadebatque ut eadem hora urbem invaderent. Vespasiano suspectus quidem erat transfuga, ut qui norit et Judæorum erga se invicem fidem, et quanto contemptu ferrent supplicia: quod et antea Jotapatenorum quidam captus omni tormentorum cruciatui resistebat, et, quum nollet igne adhibito hostibus quid intus ageretur exquirentibus prodere, mortem deridens cruci suffixus erat. Ista tamen utpote veri similia fidem fecerunt proditori, fortasse ipsum vera dicere. Vespasianus autem, se parum admodum ex insidiis læsum iri existimans, asservari hominem jussit, et ad civitatem capiendam parabat exercitum.

34. Ad horam igitur indicatam tacite ad muros iverunt, primusque ascendit Titus cum uno e tribunis Domitio Sabino, paucis ex decima quinta legione secum ductis; quumque interfecissent vigiles, in civitatem quiete ingrediuntur; post quos Sextus quidam Cerealis tribunus et Placidus milites suo sub imperio introducebant. Arce vero occupata, quum hostes in media urbe versarentur, jamque plane illuxisset dies, ne tunc quidem illi qui capti tenebantur adhuc excidium sentiebant: nam plerique et labore et somno dissoluti erant, visusque eorum qui exsurgerent magna obscuravit nebula, quæ tunc forte circumfusa erat civitati, usque dum toto ingresso exercitu ad solum malorum sensum excitati erant et urbem excisum iri credebant dum in eo-

σαν καὶ τὴν ἅλωσιν ἐπίστευον ἀναιρούμενοι. Ῥωμαίους δὲ, κατὰ μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθον, οὔτε φειδὼ εἰσῄει τινὸς οὔτε ἔλεος, ἀλλ' εἰς τὸ κάταντες ἀπὸ τῆς ἄκρας τὸν λεὼν συνωθοῦντες ἐφόνευον· ἔνθα καὶ τοὺς ἔτι μάχεσθαι δυναμένους ἡ δυσχωρία τὴν ἄμυναν ἀφείλετο. Θλιβόμενοι γὰρ ἐν τοῖς στενωποῖς καὶ κατὰ τοῦ πρανοῦς ὑπολισθάνοντες, ῥέοντι κατ' ἄκρας ἐκαλύπτοντο τῷ πολέμῳ. Τοῦτο πολλοὺς καὶ τῶν περὶ τὸν Ἰώσηπον ἐπιλέκτων ἐπ' αὐτοχειρίαν παρώξυνε. Κατιδόντες γὰρ ὡς οὐδένα τῶν Ῥωμαίων ἀνελεῖν δύνανται, τό γε μὴ πεσεῖν αὐτοὶ ὑπὸ Ῥωμαίων προέλαβον, καὶ συναθροισθέντες ἐπὶ τὰ καταλήγοντα τῆς πόλεως σφᾶς αὐτοὺς ἀνεῖλον.

λε'. Ὅσοι γε μὴν ὑπὸ πρώτην τῆς καταλήψεως αἴσθησιν τῶν φυλάκων διαφυγεῖν ἔφθασαν, ἀναβάντες εἴς τινα τῶν προσαρκτίων πύργων μέχρι μέν τινος ἀπημύναντο, περισχεθέντες δὲ τῷ πλήθει τῶν πολεμίων ὀψὲ παρῆκαν τὰς δεξιὰς καὶ τοῖς ἐφεστῶσι τὴν σφαγὴν εὔθυμοι παρέσχον. Ἀναίμακτον δ' ἂν ἦν αὐχῆσαι Ῥωμαίοις τὸ τέλος τῆς πολιορκίας, εἰ μὴ κατὰ τὴν ἅλωσιν εἷς ἔπεσεν ἑκατοντάρχης, ὃς ἦν Ἀντώνιος· θνήσκει δὲ ἐξ ἐνέδρας. Τῶν γὰρ εἰς τὰ σπήλαιά τις συμπεφευγότων (πολὺ δὲ οὗτοι πλῆθος ἦσαν) ἱκέτευε τὸν Ἀντώνιον ὀρέξαι δεξιὰν αὐτῷ, πίστιν τε σωτηρίας καὶ βοήθειαν πρὸς ἄνοδον· ὁ δὲ ἀφυλάκτως ὤρεγε τὴν χεῖρα, καὶ φθάσας αὐτὸν ἐκεῖνος, νύττει κάτωθεν ὑπὸ τὸν βουβῶνα δόρατι καὶ παραχρῆμα διεργάζεται.

λς'. Κατ' ἐκείνην μὲν οὖν τὴν ἡμέραν τὸ φανερὸν πλῆθος ἀνεῖλον Ῥωμαῖοι, ταῖς δὲ ἐπιούσαις ἀνερευνώμενοι τὰς καταδύσεις τοὺς ἐν τοῖς ὑπονόμοις καὶ τοῖς σπηλαίοις ἐπεξῆσαν, καὶ διὰ πάσης ἐχώρουν ἡλικίας, πλὴν νηπίων καὶ γυναικῶν. Καὶ τὰ μὲν αἰχμάλωτα χίλια πρὸς τοῖς διακοσίοις συνήχθη, νεκροὶ δὲ κατά τε τὴν ἅλωσιν καὶ κατὰ τὰς πρότερον μάχας συνηριθμήθησαν τετρακισμύριοι. Οὐεσπασιανὸς δὲ τήν τε πόλιν κατασκάψαι κελεύει καὶ τὰ φρούρια πάντα προσεμπίπρησιν αὐτῆς. Ἰωτάπατα μὲν οὖν οὕτως ἑάλω, τρισκαιδεκάτῳ τῆς Νέρωνος ἡγεμονίας ἔτει, Πανέμου νουμηνίᾳ.

ΚΕΦ. Η'.

Ῥωμαῖοι δὲ τὸν Ἰώσηπον ἀναζητοῦντες κατά τε ὀργὴν σφετέραν καὶ σφόδρα τοῦ στρατηγοῦ φιλοτιμουμένου (μεγίστη γὰρ ἦν μοῖρα τοῦ πολέμου ληφθείς), τούς τε νεκροὺς διηρεύνων καὶ τοὺς ἀποκρύφους τῆς πόλεως μυχούς. Ὁ δὲ ἄρτι τῆς πόλεως ἁλισκομένης, δαιμονίῳ τινὶ συνεργίᾳ χρησάμενος, μέσον μὲν ἑαυτὸν ἐκκλέπτει τῶν πολεμίων, καθάλλεται δ' εἰς τινα βαθὺν λάκκον, ᾧ πλατὺ σπήλαιον διέζευκτο κατὰ πλευρὰν τοῖς ἄνωθεν ἀόρατον· ἔνθα τεσσαράκοντα μὲν τῶν ἐπισήμων ἄνδρας καταλαμβάνει λανθάνοντας, παρασκευὴν δὲ τῶν ἐπιτηδείων οὐκ ὀλίγαις ἡμέραις διαρκεῖν δυναμένην. Μεθ' ἡμέραν μὲν οὖν ὑπεστέλλετο τῶν πολεμίων πάντα διειληφότων, νυκτὸς δ' ἀνιὼν ἐζήτει δρασμοῦ διάδυσιν καὶ

essent ut occiderentur. Romanis autem, ut qui meminerint quæ in obsidione pertulissent, curæ non erat cuiquam parcere aut quenquam miserari; sed populum ex arce in pronum compulsum trucidabant, ubi loci difficultas etiam eis qui adhuc pugnare poterant resistendi copiam negavit. Viarum namque angustiis pressi, ac per declivia delabentes, bellatorum ab arce incursione obruebantur. Id quod multos etiam delectorum, qui circa Josephum erant, sui ad cædem incitabat. Nam quum viderent se Romanorum neminem posse occidere, ne Romanorum manibus caderent præcaverunt, et in extrema parte civitatis congregati semet interfecerunt.

35. Ceterum quotquot vigilum, primi captam civitatem sentientes, fugere prius occupaverant, quum in turrim quandam septemtrionalem ascendissent, aliquamdiu quidem restiterunt, hostium autem multitudine circumfusi sero dextras dederunt et instantibus jugulum alacri animo obtulerunt. Potuissent autem Romani de obsidionis fine incruento gloriari, nisi unus, dum caperetur urbs, centurio cecidisset, Antonius, insidiis peremptus. Nam quidam ex illis qui in speluncas confugerant (erant autem magno numero) rogabat Antonium ut dextram sibi admoveret et in spem salutis et in auxilium ad ascendendum: ille vero manum incaute porrigebat, alterque ipsum prævenit, et hasta sub inguine utpote inferior eum perculit, statimque interficit.

36. Et illo quidem die quotquot comparuerunt peremere Romani: sequentibus autem diebus latibulas scrutantes, omnes in cuniculis et speluncis inventos adorti sunt, et in universos cujuscunque ætatis sævitum est, præter infantes et feminas. Et in captivitatem quidem deducendi ad mille et ducentos collecti erant, mortui vero in urbis excidio et pugnis superioribus simul omnes ad quadraginta millia numerati sunt. Vespasianus autem et urbem ipsam exscindi jubet, et præterea castella ejus omnia incendit. Et ita quidem capta sunt Jotapata, anno imperii Neronis decimo tertio, primo Panemi mensis die.

CAP. VIII. (XXIV.)

Romani autem quum Josephum investigarent, et ex sua in eum ira, et valde hoc volente imperatore (is enim captus maxima pars belli foret), mortuos perscrutati sunt itemque abditos civitatis recessus. Ille autem, quum modo capta esset urbs, divino quodam auxilio usus, per medios quidem hostes se subducit, et in puteum quendam profundum saltu descendit, cujus a latere specus amplum disjunctum erat, quod eorum qui supra erant effugit intuitum: ubi quadraginta viros insignes latitantes offendit, rerumque necessariarum apparatum, qui diebus non paucis sufficeret. Et interdiu quidem se occultabat, quod hostes omnia occupaverant; noctu vero ascendens fuga dilabi quærebat et vigilias

τὰς φυλακὰς κατεσκέπτετο. Φρουρουμένων δὲ παντα-
χόθεν πάντων δι' αὐτὸν, ὡς λαθεῖν οὐκ ἦν, αὖθις εἰς τὸ
σπήλαιον κατῄει. Δύο μὲν οὖν ἡμέρας διαλανθάνει, τῇ
δὲ τρίτῃ γυναικὸς ἁλούσης τῶν ἅμα αὐτοῖς μηνύεται.
Καὶ Οὐεσπασιανὸς αὐτίκα μετὰ σπουδῆς πέμπει δύο
χιλιάρχους Παυλῖνον καὶ Γαλλικανὸν, δεξιὰς τῷ Ἰω-
σήπῳ δοῦναι κελεύσας καὶ προτρεψομένους ἀνελθεῖν.

β'. Ἀφικόμενοι δὲ παρεκάλουν οὗτοι τὸν ἄνδρα καὶ
πίστεις περὶ σωτηρίας ἐδίδοσαν, οὐ μὴν ἔπειθον· ἐκ
γὰρ ὧν εἰκὸς ἦν τὸν τοσαῦτα δράσαντα παθεῖν, οὐκ ἐκ
τοῦ φύσει τῶν παρακαλούντων ἡμέρου, τὰς ὑποψίας
συνέλεγεν· ἐδεδίει τε ὡς ἐπὶ τιμωρίαν προκαλουμέ-
νους, ἕως Οὐεσπασιανὸς τρίτον ἔτι πέμπει χιλίαρχον
Νικάνορα, γνώριμον τῷ Ἰωσήπῳ καὶ συνήθη πάλαι.
Παρελθὼν δ' οὗτος τό τε φύσει Ῥωμαίων χρηστὸν, πρὸς
οὓς ἂν ἅπαξ ἕλωσι, διεξῄει καὶ ὡς δι' ἀρετὴν αὐτὸς
θαυμάζοιτο μᾶλλον ἢ μισοῖτο πρὸς τῶν ἡγεμόνων, σπου-
δάζειν τε τὸν στρατηγὸν οὐκ ἐπὶ τιμωρίᾳ ἀγαγεῖν αὐτόν
(ἐνεῖναι γὰρ ταύτην καὶ παρὰ μὴ προϊόντος λαβεῖν),
ἀλλὰ σῶσαι προαιρούμενον ἄνδρα γενναῖον. Προσετί-
θει δὲ ὡς οὔτ' ἂν Οὐεσπασιανὸς ἐνεδρεύων φίλον ἔπεμ-
πεν, ἵνα τοῦ κακίστου πράγματος προστήσηται τὸ κάλ-
λιστον, ἀπιστίας φιλίαν, οὔτ' ἂν αὐτὸς ἀπατήσων ἄνδρα
φίλον ὑπήκουσεν ἐλθεῖν.

γ'. Ἐνδοιάζοντος δὲ τοῦ Ἰωσήπου καὶ πρὸς τὸν Νι-
κάνορα, τὸ μὲν στρατιωτικὸν ὑπ' ὀργῆς ἐκκαίειν τὸ
σπήλαιον ὥρμητο, κατεῖχε δὲ αὐτοὺς ὁ πολέμαρχος,
ζωγρῆσαι τὸν ἄνδρα φιλοτιμούμενος. Ὡς δὲ ὅ τε Νι-
κάνωρ προσέκειτο λιπαρῶς καὶ τὰς ἀπειλὰς τοῦ πολε-
μίου πλήθους ὁ Ἰώσηπος ἔμαθεν, ἀνάμνησις αὐτῷ
τῶν διὰ νυκτὸς ὀνείρων εἰσέρχεται, δι' ὧν ὁ Θεὸς τάς
τε μελλούσας συμφορὰς αὐτῷ προεσήμαινεν Ἰουδαίων
καὶ τὰ περὶ τοὺς Ῥωμαίων βασιλεῖς ἐσόμενα. Ἦν
δὲ καὶ περὶ κρίσεις ὀνείρων ἱκανὸς συμβάλλειν τὰ ἀμ-
φιβόλως ὑπὸ τοῦ θείου λεγόμενα· τῶν γε μὴν ἱερῶν
βίβλων οὐκ ἠγνόει τὰς προφητείας, ὡς ἂν αὐτός τε ὢν
ἱερεὺς καὶ ἱερέων ἔκγονος. Ὅς ἐπὶ τῆς τότε ὥρας
ἔνθους γενόμενος καὶ τὰ φρικώδη τῶν προσφάτων
ὀνείρων σπάσας φαντάσματα προσφέρει τῷ Θεῷ λελη-
θυῖαν εὐχήν· « καὶ ἐπειδὴ τὸ Ἰουδαῖον, ἔφη, φῦλον
« ὀκλάσαι δοκεῖ σοι τῷ κτίσαντι, μετέβη δὲ πρὸς Ῥω-
« μαίους ἡ τύχη πᾶσα, καὶ τὴν ἐμὴν ψυχὴν ἐπελέξω τὰ
« μέλλοντα εἰπεῖν, δίδωμι μὲν Ῥωμαίοις τὰς χεῖρας
« ἑκὼν καὶ ζῶ, μαρτύρομαι δὲ ὡς οὐ προδότης, ἀλλὰ
« σὸς ἄπειμι διάκονος. »

(ΚΕ.') δ'. Ταῦτα εἰπὼν ἐνεδίδου τῷ Νικάνορι, καὶ
τῶν Ἰουδαίων οἱ συγκαταφυγόντες ὡς τὸν Ἰώσηπον συν-
ίεσαν εἴκοντα τοῖς παρακαλοῦσιν, ἀθρόοι περιστάντες,
« ἦ μεγάλα γε ἂν στενάξειαν, ἐβόων, οἱ πάτριοι νόμοι
« καὶ κατηφήσαι Θεὸς ὁ Ἰουδαίοις κτίσας ψυχὰς θανά-
« του καταφρονούσας. Φιλοζωεῖς, Ἰώσηπε, καὶ φῶς
« ὁπομένεις ὁρᾶν δοῦλος; Ὡς ταχέως ἐπελάθου σαυτοῦ·
« πόσους ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν ἔπεισας. Ψευδῆ
« μὲν ἄρα δόξαν ἀνδρείας, ψευδῆ δὲ καὶ συνέσεως

explorabat. Quum autem omnia ipsius causa undique custodirentur, ut latere non posset, in speluncam iterum descendebat. Et biduum quidem delitescit : tertia vero die, capta muliere quæ cum ipsis fuerat, illius indicio proditus est. Tum Vespasianus e vestigio mittit duos tribunos, Paulinum et Gallicanum, jussos dextras dare Josepho, hortarique eum ad ascensum.

2. Quum autem ad eum venirent, illi virum hortabantur et suadebant, ipsumque salvum fore fidem ei dederunt, non tamen persuadebant : nam ex iis quæ ipsum passurum esse verisimile erat, qui tanta commiserat, non ex innata rogantium mansuetudine, suspiciones colligebat; et, ne ad pœnam forsan evocaretur, veritus est, donec Vespasianus tertium quoque tribunum mittit, Nicanorem, Josepho notum, et olim familiarem. Atque is, quum ad eum se contulisset, narravit ei quam mite esset Romanorum ingenium in eos quos semel debellassent, quodque ipse propter fortitudinem magis admirationi esset quam odio ducibus, operamque dare imperatorem non ut ad supplicium duceretur, quod etiam sine deditione ei liceret exigere, sed potius quod virum strenuum conservare vellet. Addebat etiam quod nec Vespasianus ad insidias struendas amicum mitteret, ut rem optimam pessimæ, perfidiæ amicitiam, prætexeret; neque ipse ad amicum decipiendum assensurus fuisset ut veniret.

3. Quum autem etiam ad ea, quæ dixerat Nicanor, hæsitaret Josephus, milites quidem irati properabant ad ignem speluncæ injiciendum; verum eos cohibebat dux, id modis omnibus agens ut Josephum vivum caperet. At quum vehementer instaret Nicanor, et hostilis multitudinis minas intelligeret Josephus, animum ejus subit somniorum memoria quæ nocte somniaverat, quibus ei Deus et futuras Judæorum calamitates præsignificaverat, quæque Imperatoribus Romanorum essent eventura. Quin et in somniis interpretandis de iis bene conjiciebat quæ Deus ambigue innuerat; porroque sacrorum librorum vaticinia non ignorabat, utpote et ipse sacerdos, ortusque parentibus qui sacerdotes fuerant. Is tunc illa hora, quasi divino afflatu, horrendas recentium somniorum imagines mente complexus, preces clam Deo offert, hujusmodi verbis : « quandoquidem Ju-
« dæorum gentem deprimere tibi visum est qui eam creasti,
« fortuna vero omnis ad Romanos migravit, meamque
« elegesti animam ad futura prædicenda, non invitus qui-
« dem manus do Romanis, et vivere non recuso; testor
« autem quod non proditor, sed tuus minister ad eos
« transeo. »

(XXV.) 4. Quum ista dixisset, Nicanori consentiebat. Et Judæi, qui una eo confugerant, ubi intellexerunt Josephum hortantibus cedere, universi eum circumstantes clamabant, « est sane cur plurimum ingemiscant leges patriæ
« et contristetur Deus qui Judæis indidit animas mortis
« contemptrices. Præ vitæ amore, o Josephe, sustines lu-
« cem aspicere servus? Quam cito tui oblitus es! quam
« multis pro libertate mori persuasisti! Profecto haud ve-
« ram præ te ferebas fortitudinem, falsamque etiam pru-

« εἶχες, εἴ γε σωτηρίαν μὲν ἐλπίζεις παρ' οἷς οὕτως « ἐπολέμησας, σώζεσθαι δὲ ὑπ' ἐκείνων, κἂν ᾖ βέ- « βαιον, θέλεις. Ἀλλ' εἰ καὶ σοὶ λήθην τινὰ σαυτοῦ « κατέχεεν ἡ Ῥωμαίων τύχη, προνοητέον ἡμῖν τοῦ « πατρῴου κλέους. Χρήσομέν σοι δεξιὰν καὶ ξίφος. « Σὺ δὲ ἂν μὲν ἑκὼν θνήσκῃς, Ἰουδαίων στρατηγὸς, ἂν « δὲ ἄκων, προδότης τεθνήξῃ. » Ταῦθ' ἅμα λέγοντες ἐπανετείναντο τὰ ξίφη καὶ διηπείλουν ἀναιρήσειν αὐ- τὸν, εἰ τοῖς Ῥωμαίοις ἐνδιδοίη.

ε'. Δείσας δὲ τὴν ἔφοδον ὁ Ἰώσηπος καὶ προδοσίαν εἶναι ἡγούμενος τῶν τοῦ Θεοῦ προσταγμάτων, εἰ προα- ποθάνοι τῆς διαγγελίας, ἦρχετο πρὸς αὐτοὺς φιλοσοφεῖν ἐπὶ τῆς ἀνάγκης. « Τί γὰρ τοσοῦτον, ἔφη, σφῶν αὐ- « τῶν ἑταῖροι φονῶμεν; ἢ τί τὰ φίλτατα διαστασιάζο- « μεν, σῶμα καὶ ψυχήν; Ἠλλάχθαι τις ἐμὲ φησίν· ἀλλ' « οἴδασι Ῥωμαῖοι τοῦτό γε. Καλὸν ἐν πολέμῳ θνή- « σκειν, ἀλλὰ πολέμου νόμῳ, τουτέστιν ὑπὸ τῶν κρα- « τούντων. Εἰ μὲν οὖν τὸν Ῥωμαίων ἀποστρέφομαι « σίδηρον, ἄξιός εἰμι ἀληθῶς τοὐμοῦ ξίφους καὶ χειρὸς « τῆς ἐμῆς· εἰ δὲ ἐκείνους εἰσέρχεται φειδὼ πολεμίου, « πόσῳ δικαιότερον ἂν ἡμᾶς ἡμῶν αὐτῶν εἰσέλθοι; καὶ « γὰρ ἠλίθιον ταῦτα δρᾶν σφᾶς αὐτοὺς περὶ ὧν πρὸς « ἐκείνους διιστάμεθα. Καλὸν ὑπὲρ τῆς ἐλευθερίας « ἀποθνήσκειν, φημὶ κἀγὼ, μαχομένους μέντοι, καὶ « ὑπὸ τῶν ἁφαιρουμένων αὐτήν. Νῦν δὲ οὔτε εἰς « μάχην ἀντιάζουσιν ἡμῖν οὔτε ἀναιροῦσιν ἡμᾶς. « Δειλὸς δὲ ὁμοίως ὅ τε μὴ βουλόμενος θνήσκειν ὅταν « δέῃ καὶ ὁ βουλόμενος ὅταν μὴ δέῃ. Τί δὲ καὶ δε- « δοικότες πρὸς Ῥωμαίους οὐκ ἄνιμεν; ἆρα οὐχὶ θάνα- « τον; Εἶτα ὃν δεδοίκαμεν ἐκ τῶν ἐχθρῶν ὑποπτευόμε- « νον, ἑαυτοῖς βέβαιον ἐπιτιμήσομεν; Ἀλλὰ δουλείαν, « ἐρεῖ τις. Πάνυ γοῦν νῦν ἐσμεν ἐλεύθεροι. Γενναῖον « δὲ ἀνελεῖν ἑαυτὸν φήσει τις. Οὐ μὲν οὖν, ἀλλὰ ἀγεν- « νέστατον, ὡς ἔγωγε καὶ κυβερνήτην ἡγοῦμαι δειλότα- « τον, ὅστις χειμῶνα δεδοικὼς πρὸ τῆς θυέλλης ἐβά- « πτισεν ἑκὼν τὸ σκάφος. Ἀλλὰ μὴν ἡ αὐτοχειρία καὶ « τῆς κοινῆς ἁπάντων ζῴων φύσεως ἀλλότριον καὶ πρὸς « τὸν κτίσαντα Θεὸν ἡμᾶς ἐστιν ἀσέβεια. Τῶν μέν γε « ζῴων οὐδέν ἐστιν ὃ θνήσκει μετὰ προνοίας, ἢ δι' « αὐτοῦ. Φύσεως γὰρ νόμος ἰσχυρὸς ἐν ἅπασι, τὸ ζῆν « ἐθέλειν· διὰ τοῦτο καὶ τοὺς φανερῶς ἀφαιρουμένους « ἡμᾶς τούτου πολεμίους ἡγούμεθα καὶ τοὺς ἐξ ἐνέδρας « τιμωρούμεθα. Τὸν δὲ Θεὸν οὐκ οἴεσθε ἀγανακτεῖν, « ὅταν ἄνθρωπος αὐτοῦ τὸ δῶρον ὑβρίζῃ; καὶ γὰρ εἰλή- « φαμεν παρ' ἐκείνου τὸ εἶναι καὶ τὸ μηκέτι εἶναι πάλιν « ἐκείνῳ δίδομεν. Τὰ μέν γε σώματα θνητὰ πᾶσι καὶ « ἐκ φθαρτῆς ὕλης δημιουργεῖται· ψυχὴ δὲ ἀθάνατος « ἀεὶ καὶ Θεοῦ μοῖρα τοῖς σώμασιν ἐνοικίζεται. Εἶτα « ἂν μὲν ἀφανίσῃ τις ἀνθρώπου παρακαταθήκην, ἢ διά- « θηται κακῶς, πονηρὸς εἶναι δοκεῖ καὶ ἄπιστος· εἰ δέ « τις τοῦ σφετέρου σώματος ἐκβάλλει τὴν παρακατα- « θήκην τοῦ Θεοῦ, λελῆθέναι δοκεῖ τὸν ἀδικούμενον; Καὶ « κολάζειν μὲν τοὺς ἀποδράντας οἰκέτας δίκαιον νενό- « μισται, κἂν πονηροὺς καταλίπωσι δεσπότας, αὐτοὶ

« dentiam, si quidem salutem apud eos speras, cum qui- « bus fortiter adeo dimicasti, aut, etiam si certa sit salus, « ab illis servari cupias. Sed quamvis te Romanorum « fortuna tui oblivione perfuderit, nos tamen oportet pa- « triæ gloriæ consulere. Et dextram tibi et gladium com- « modabimus. Tu vero, si quidem sponte moriare, dux « Judæorum; sin vero invitus, proditor morieris ». Simul atque ista dicebant, gladios ei intentarunt, ipsosque illum interfecturos minitabantur, si Romanis se dederet.

5. Josephus autem veritus ne in ipsum impetum face- rent, seque Dei mandatorum proditorem fore existimans, si mortem obiret priusquam omnia illis denunciaret, ne- cesse habuit ut inciperet apud illos philosophari. « Quor- « sum enim, o socii, propriæ cædis avidi sumus? aut « cur res amicissimas, corpus et animam, inter se dissidere « facimus? Me mutatum esse quispiam dicat. Verum hoc « quidem probe norunt Romani. Pulchrum in bello mori, « sed lege belli, id est, victorum manu. Et quidem si Ro- « manorum ferrum deprecor, profecto dignus sum qui meo « gladio meaque manu cadam : sin illorum animos sub- « eat hostibus parcere, quanto justius nobis in mentem « veniat nobismet ipsis parcere? etenim dementiæ est ea « in nosmet admittere, quorum gratia ab illis dissentimus. « Honestum esse pro libertate mori et ipse fateor; pugnando « tamen, et illorum manibus qui eam ereptum eunt. Nunc « autem neque contra nos veniunt in aciem, neque nos in- « terficiunt. Itidemque timidus est et qui mori recusat « quando oportet, et qui vult quum minime oportet. Imo « vero cujus rei metu prohibemur ab ascensu ad Romanos? « an non mortis? Nunc demum quam ex suspicione ab ho- « stibus metuimus, eam certam ipsi nobismet irrogabimus? « Verum ad servitutem evitandam, dicet aliquis. Quasi « nunc quidem ipsi valde liberi essemus. At enim magni « animi est, dicet aliquis, mortem sibi consciscere. Mi- « nime vero, sed pusilli et ignavissimi, ut ego gubernato- « rem quoque timidissimum puto, qui metu tempestatis « ante procellam sponte demerserit navigium. Quid? quod « sui ipsius occisio tum a communi omnium animantium « natura aliena est, tum summa impietas in Deum qui nos « creavit. Nullum quippe animal est, quod ex industria « vel sponte sua moritur. Naturæ enim lex, qua docemur « velle vivere, in omnibus plurimum valet : idcirco et qui « nobis vitam palam ademptum eunt, pro hostibus habemus, « et qui nobis insidiantur pœna persequimur. Nonne deum « id indigne ferre arbitramini, quum homo quod ab eo do- « natur plane despiciat? nam et ab illo accepimus ut es- « semus, rursumque ut esse desinamus fas est illi con- « cedamus. Corpora quidem cunctis mortalia sunt, et « ex caduca materia facta et formata : anima vero in « omne ævum duratura est, et corporibus inest auræ « divinæ particula. Accedit quod, si quis hominis depo- « situm profuderit aut male administraverit, improbus esse « videtur et perfidiosus : sin vero Dei depositum e cor- « pore ejecerit, num eum se latuisse putabit quem injuria « affecit? Imo servis quidem fugitivis pœnam infligere « justum creditur, etiamsi nequam dominos reliquerint :

« δὲ κάλλιστον δεσπότην ἀποδιδράσκοντες τὸν Θεὸν, οὐ « δοκοῦμεν ἀσεβεῖν; Ἆρα οὐκ ἴστε ὅτι τῶν μὲν ἐξιόντων « τοῦ βίου κατὰ τὸν τῆς φύσεως νόμον καὶ τὸ ληφθὲν « παρὰ τοῦ Θεοῦ χρέος ἐκτινόντων, ὅταν ὁ δοὺς κομί- « σασθαι θέλῃ, κλέος μὲν αἰώνιον, οἶκοι δὲ καὶ γενεαὶ « βέβαιοι, καθαραὶ δὲ καὶ ἐπήκοοι μένουσιν αἱ ψυχαὶ, « χῶρον οὐρανοῦ λαχοῦσαι τὸν ἁγιώτατον, ἔνθεν ἐκ « περιτροπῆς αἰώνων ἁγνοῖς πάλιν ἀντενοικίζονται σώ- « μασιν· ὅσοις δὲ καθ' ἑαυτῶν ἐμάνησαν αἱ χεῖρες, « τούτων μὲν ᾅδης δέχεται τὰς ψυχὰς σκοτιώτερος, ὁ « δὲ τούτων πατὴρ Θεὸς εἰς ἐκγόνους τιμωρεῖται τοὺς « θάτερον ὑβριστάς. Διὰ τοῦτο μεμίσηται παρὰ τῷ « Θεῷ τοῦτο καὶ παρὰ τῷ σοφωτάτῳ κολάζεται νομο- « θέτῃ. Τοὺς γοῦν ἀνελόντας ἑαυτοὺς παρὰ μὲν ἡμῖν « μέχρις ἡλίου δύσεως ἀτάφους ἐκρίπτειν ἔκριναν, καί- « τοι καὶ πολεμίους θάπτειν θεμιτὸν ἡγούμενοι· παρ' « ἑτέροις δὲ, καὶ τὰς δεξιὰς τῶν τοιούτων νεκρῶν ἀπο- « κόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, « ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, « οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος. Καλὸν οὖν, ἑταῖ- « ροι, δίκαια φρονεῖν, καὶ μὴ ταῖς ἀνθρωπίναις συμ- « φοραῖς προσθεῖναι τὴν εἰς τὸν κτίσαντα ἡμᾶς δυσ- « σέβειαν. Εἰ σώζεσθαι δοκεῖ, σωζώμεθα· καὶ γὰρ οὐκ « ἄδοξος ἡ σωτηρία, παρ' οἷς διὰ τοσούτων ἔργων ἐπε- « δειξάμεθα τὰς ἀρετάς· εἰ τεθνάναι, καλὸν ὑπὸ τῶν « ἐλόντων. Οὐ μεταβήσομαι δ' ἐγὼ εἰς τὴν τῶν πο- « λεμίων τάξιν, ἵνα ἐμαυτοῦ προδότης γένωμαι. Καὶ « γὰρ ἂν εἴην πολὺ τῶν αὐτομολούντων πρὸς τοὺς πολε- « μίους ἠλιθιώτερος, εἴ γε ἐκεῖνοι μὲν ἐπὶ σωτηρίᾳ τοῦτο « πράττουσιν, ἐγὼ δ' ἐπ' ἀπωλείᾳ, καί γε τῇ ἐμαυτοῦ. « Τὴν μέντοι Ῥωμαίων ἐνέδραν ἐπεύχομαι· μετὰ γὰρ « δεξιὰν ἀναιρούμενος ὑπ' αὐτῶν, εὐθύμως τεθνήξομαι, « τὴν τῶν ψευσαμένων ἀπιστίαν νίκης μεῖζον ἀποφέρων « παραμύθιον. »

(ΚΖ'.) ς'. Ὁ μὲν Ἰώσηπος πολλὰ τοιαῦτα πρὸς ἀπο- τροπὴν τῆς αὐτοχειρίας ἔλεγεν. Οἱ δὲ πεφραγμένας ἀπο- γνώσει τὰς ἀκοὰς ἔχοντες, ὡς ἂν πάλαι καθοσιώσαντες ἑαυτοὺς τῷ θανάτῳ, παρωξύνοντο πρὸς αὐτόν· καὶ προσ- τρέχων ἄλλος ἄλλοθεν ξιφήρης ἐκάκιζόν τε εἰς ἀνανδρίαν καὶ ὡς ἕκαστος αὐτίκα καταπλήξων ὅπλος ἦν. Ὁ δὲ τὸν μὲν ὀνομαστὶ καλῶν, τῷ δὲ στρατηγικώτερον ἐμβλέπων, τοῦ δὲ δρασσόμενος τῆς δεξιᾶς, ὃν δὲ δεήσει δυσωπῶν, καὶ ποικίλοις διαιρούμενος πάθεσιν, ἐπὶ τῆς ἀνάγκης εἶργεν ἀπὸ τῆς σφαγῆς πάντων τὸν σίδηρον, ὥσπερ τὰ κατακυκλωθέντα τῶν θηρίων ἀεὶ πρὸς τὸν καθαπτό- μενον ἀντιστρεφόμενος. Τῶν δὲ καὶ παρὰ τὰς ἐσχά- τας συμφορὰς ἔτι τὸν στρατηγὸν αἰδουμένων, παρε- λύοντο μὲν αἱ δεξιαὶ, περιωλίσθανε δὲ τὰ ξίφη, καὶ πολλοὶ τὰς ῥομφαίας ἐπιφέροντες αὐτομάτως παρεί- θησαν.

ζ'. Ὁ δὲ ἐν ταῖς ἀμηχανίαις οὐκ ἠπόρησεν ἐπινοίας, ἀλλὰ πιστεύων τῷ κηδεμόνι Θεῷ τὴν σωτηρίαν παρα- βάλλεται. « Καὶ ἐπειδὴ δέδοκται τὸ θνήσκειν, ἔφη, « φέρε κλήρῳ τὰς ἀλλήλων σφαγὰς ἐπιτρέψωμεν, ὁ « ipsi vero Deum fugientes, dominum optimum, nonne « impie facere videmur? An nescitis morientium juxta na- « turæ legem, et qui Deo debitum exsolvunt repetenti quod « dederat, laudem esse æternam, domum, sobolemque « firmam, puras autem et dicto audientes animas manere, « locum in cœlo habituras sanctissimum, unde rursum per « sæculorum lapsus ad corpora munda inhabitanda mitten- « tur : quorum vero manus in se ipsos insanierunt, horum « quidem animas orcus tenebricosior suscipiet, paterque « illorum Deus culpam eorum, qui in alterutram partem in- « juriosi fuerint, in liberos persequetur. Hinc Deo invisum « hoc est et a sapientissimo legislatore pœna ei statuitur. « Quippe apud nos quidem sancitum est ut qui se ipsos « occiderint ad solis occasum insepulti abjiciantur, quan- « quam et hostes sepelire fas arbitremur : apud alios vero « ejusmodi mortuis etiam dextras, quibus contra se usi « sunt, amputari jusserunt, quemadmodum corpus ab « anima, ita et manum a corpore disjungi debere existi- « mantes. Pulchrum igitur, o socii, justa sentire, neque « humanis casibus et calamitatibus addere impietatem in « creatorem nostrum. Si salvi esse volumus, nosmet ser- « vemus (nam et nobis haud dedecori est salutem illis ac- « ceptam referre, quibus virtutem tot facinoribus demon- « stratam dedimus) : sin mori placeat, ab his occidi pulcrum « est, a quibus capti sumus. Ego vero hostium ordini « me adscribi non patiar, ut ipse mei proditor fiam. Nam « ita multo stolidior essem quam qui ad hostes ultro profu- « giunt, siquidem illi hoc faciunt suæ salutis ergo, ipse « vero interitûs, idque mei. Romanorum tamen insidias « quam maxime expeto : nam si post fidem datam me in- « terfecerint, lætus admodum moriar, mendacium perfidiam « reportans, solatium victoriâ majus. »

(XXVI.) 6. Et Josephus quidem hujusmodi multa dicebat, ut socios a cædè propria dehortaretur. Illi vero, aures ex desperatione obstructas habentes, ut qui jamdudum semet morti devoverant, in eum exasperantur; et alii aliunde cum gladiis accurrentes et ignaviam ei exprobrabant et quisque palam in eo erat ut eum e vestigio interficerent. Ille autem, quum alium nominatim vocaret, alium severo ducis aspectu intueretur, alium dextra prehenderet, alium precibus exoraret, variaque animi affectione, (ut in tali necessitate, distractus, ferrum omnium a cæde sua diver- tebat, non secus ac feræ circumclusæ, ad eum semper qui se ei admoveret, ora vultusque convertens. Illorum au- tem, qui ducem in extrema etiam miseria et ærumna adhuc revererentur, debilitabantur dextræ, gladiique de manibus elabebantur, multique quum ensibus ipsum peterent, sponte eos dimittebant.

7. Illi autem in angustiis non deerat sollertia ad excogi- tandum, sed Dei curæ se committens salutis discrimen adit. « Et quoniam mori decretum est, inquit, agite, cædes mutuas in sortem conjiciamus, et, cui sors obti-

« λαχὼν δὲ ὑπὸ τοῦ μετ' αὐτὸν πιπτέτω, καὶ διοδεύσει « πάντων οὕτως ἡ τύχη, μηδὲ ἐπὶ τῆς ἰδίας κείσθω « δεξιᾶς ἕκαστος· ἄδικον γὰρ οἰχομένων τῶν ἄλλων « τινὰ μετανοήσαντα σωθῆναι ». Πιστὸς ἔδοξε ταῦτα εἰπὼν, καὶ συνεκληροῦτο πείσας· ἑτοίμην δὲ ὁ λαχὼν τῷ μετ' αὐτὸν παρεῖχε τὴν σφαγὴν, ὡς αὐτίκα τεθνηξομένου καὶ τοῦ στρατηγοῦ· ζωῆς γὰρ ἡδίω τὸν μετὰ τοῦ Ἰωσήπου θάνατον ἡγοῦντο. Καταλείπεται δὲ οὗτος, εἴτε ὑπὸ τύχης χρὴ λέγειν εἴτε ὑπὸ Θεοῦ προνοίας, σὺν ἑτέρῳ, καὶ σπουδάζων μήτε ὑπὸ τοῦ κλήρου καταδικασθῆναι μήτε εἰ τελευταῖος λείποιτο μιᾶναι τὴν δεξιὰν ὁμοφύλῳ φόνῳ, πείθει κἀκεῖνον ἐπὶ πίστει ζῆν.

η'. Ὁ μὲν οὖν οὕτω τόν τε Ῥωμαίων καὶ τὸν οἰκείων διαφυγὼν πόλεμον ἐπὶ Οὐεσπασιανὸν ἤγετο διὰ τοῦ Νικάνορος. Οἱ δὲ Ῥωμαῖοι πάντες ἐπὶ θέαν αὐτοῦ συνέτρεχον, καὶ τοῦ πλήθους συνθλιβομένου περὶ τῷ στρατηγῷ θόρυβος ἦν ποικίλος, τῶν μὲν γεγηθότων ἐπὶ τῷ ληφθέντι, τῶν δὲ ἀπειλούντων, τῶν δὲ ἐγγύθεν ἰδεῖν βιαζομένων. Καὶ οἱ μὲν πόρρωθεν κολάζειν ἐβόων τὸν πολέμιον, τῶν δὲ πλησίον ἀνάμνησις αὐτοῦ τῶν ἔργων εἰσῄει καὶ πρὸς τὴν μεταβολὴν θάμβος· τῶν τε ἡγεμόνων οὐδεὶς ἦν, ὃς, εἰ καὶ πρότερον ὠργίζετο, τότε πρὸς τὴν ὄψιν οὐκ ἐνέδωκεν αὐτοῦ. Μάλιστα δὲ τὸν Τίτον ἐξ ἀρετῆς τό τε καρτερικὸν ἐν ταῖς συμφοραῖς ἤρει τοῦ Ἰωσήπου, καὶ πρὸς τὴν ἡλικίαν ἔλεος· ἀναμιμνησκομένῳ τε τὸν οὐ πάλαι μαχόμενον καὶ τὸν ἐν χερσὶν ἐχθρῶν ἄρτι κείμενον ὁρῶντι παρῆν τε νοεῖν ὅσον δύναται τύχη καὶ ὡς ὀξεῖα μὲν πολέμου ῥοπὴ, τῶν δὲ ἀνθρωπίνων οὐδὲν βέβαιον. Παρὸ καὶ τότε συνδιέθηκε μὲν πλείστους ἑαυτῷ καὶ πρὸς οἶκτον τοῦ Ἰωσήπου. Πλείστη δὲ αὐτῷ καὶ παρὰ τῷ πατρὶ μοῖρα σωτηρίας ἐγένετο. Ὁ μέντοι Οὐεσπασιανὸς φρουρεῖν αὐτὸν μετὰ πολλῆς ἀσφαλείας προσέταττεν, ὡς ἀναπέμψων αὐτίκα Νέρωνι.

(KZ'.) θ'. Τοῦτο ἀκούσας ὁ Ἰώσηπος μόνῳ τι διαλεχθῆναι θέλειν ἔλεγεν αὐτῷ. Μεταστησαμένου δὲ ἐκείνου, πλὴν τοῦ παιδὸς Τίτου καὶ δυοῖν φίλων, τοὺς ἄλλους ἅπαντας, « σὺ μὲν, εἶπεν, Οὐεσπασιανὲ, νομίζεις αἰ« χμάλωτον αὐτὸν μόνον εἰληφέναι τὸν Ἰώσηπον· ἐγὼ « δὲ ἄγγελος ἥκω σοι μειζόνων. Μὴ γὰρ ὑπὸ Θεοῦ « προπεμπόμενος ᾔδειν τὸν Ἰουδαίων νόμον, καὶ πῶς « στρατηγοῖς ἀποθνήσκειν τρέπει. Νέρωνί με πέμπεις; « τί γάρ; οἱ μετὰ Νέρωνα μέχρι σοῦ διάδοχοι μένουσι; « Σὺ Καῖσαρ, Οὐεσπασιανὲ, καὶ αὐτοκράτωρ σὺ καὶ « παῖς ὁ σὸς οὗτος. Δέσμει δέ με νῦν ἀσφαλέστερον, « καὶ τήρει σαυτῷ· δεσπότης μὲν γὰρ οὐ μόνον ἐμοῦ « σὺ, Καῖσαρ, ἀλλὰ καὶ γῆς καὶ θαλάσσης καὶ παντὸς « ἀνθρώπων γένους. Ἐγὼ δὲ ἐπὶ τιμωρίαν δέομαι « φρουρᾶς μείζονος, εἰ κατασχεδιάζω καὶ Θεοῦ. » Ταῦτα εἰπόντος, παραχρῆμα μὲν Οὐεσπασιανὸς ἀπιστεῖν ἐδόκει, καὶ τὸν Ἰώσηπον ὑπελάμβανε ταῦτα περὶ σωτηρίας πανουργεῖν· κατὰ μικρὸν δὲ εἰς πίστιν ὑπήγετο, τοῦ Θεοῦ διεγείραντος αὐτὸν εἰς τὴν ἡγεμονίαν ἤδη, καὶ

« gerit, manu illum excipientis occumbat, atque ita for« tuna faciet ut omnes mortem obeant, neque sua quisquam « dextra se jugulet : injustum est enim, ceteris interemptis, « quenquam, si pœnituerit, salvum esse ». Quum ista dixisset, dignus visus est cui fides haberetur; et postquam persuasisset, una cum illis semet sorti commisit. Cui autem sors primo obvenit, is jugulum proximo libenter præbebat, quasi duce etiam mox perituro : nam mortem cum Josepho oppetere vita dulcius esse videbatur. Ille vero cum altero, sive forte fortuna dicendum, sive Dei providentia, relictus est; operamque dans ut neque a sorte condemnaretur, neque, si ultimus superesset, dextram macularet populari cæde, illi etiam fide data persuadet vitam non prodigere.

8. Atque ita quidem ille, quum bellum et a Romanis et a suis evasisset, ad Vespasianum per Nicanorem ducebatur. Omnes autem Romani ad illum intuendum confluebant; quumque multitudo circa ducem se premeret, varius ortus est tumultus, his exsultantibus quod captus esset, aliis minitantibus, nonnullisque ut propius eum viderent alios urgentibus. Et qui longius quidem aberant, hostem ad supplicium ducendum clamabant : qui vero in propinquo erant, facta ejus in memoriam revocabant, ejusque ad mutationem attoniti hærebant : et e ducibus nemo erat cui, licet ante ei irasceretur, ad aspectum ejus ira non defervesceret. Maxime autem omnium Titus ex indole et patientia Josephi in calamitatibus et ætatis ejus misericordia capiebatur : qualisque jam pridem fuerat in præliis reminiscenti, et qualis nunc sit in hostium manibus positus intuenti subiit cogitare et quanta sit fortunæ vis, quamque velox belli inclinatio, et quanta rerum humanarum instabilitas. Unde et tunc multi quidem eandem cum ipso affectionem induebant, et ad Josephi miserationem pertrahebantur; ipseque apud patrem plurimum valebat ad Josephi salutem. Vespasianus tamen præcipiebat ut magna cum cautione custodiretur, ac si statim ad Neronem eum missurus esset.

(XXVII.) 9. Quum istud intellexisset Josephus, significabat se cum eo solo paucis colloqui velle. Summotisque ab illo omnibus aliis præter Titum et duos amicos, infit Jose« phus : tu quidem, Vespasiane, putas Josephum duntaxat « captivum cepisse; at ego rerum majorum venio tibi nun« cius. Nisi enim a Deo ad te missus essem, Judæorum « consuetudinem novissem, quemadmodum duces exerci« tuum mori deceret. Ad Neronem me mittis? Quid enim? « num qui Neroni usque ad te successuri sunt manebunt? « Tu Cæsar eris, Vespasiane, et Imperator tu et filius iste « tuus. Vincito autem me aliquanto arctius et tibimet adser« vato : nam tu quidem non mei solius dominus eris, Cæsar, « verum etiam terræ marisque et omnis generis humani. « Ego vero in supplicium arctiore dignus sum custodia, si « quid temere etiam in Deum mentitus fuero. » Quum ista dixisset, Vespasianus statim quidem ei fidem non habebat, et Josephum suspicabatur astute hæc sui in salutem comminisci : paulatim vero ad credendum inductus erat, quum Deus jam ipsum excitaret ad cogitandum de imperio, sce-

τὰ σκῆπτρα δι' ἑτέρων σημείων προδεικνύντος. Ἀτρεκῆ δὲ καὶ τὸν Ἰώσηπον ἐν ἄλλοις κατελάμβανε. Τῶν γὰρ τοῖς ἀπορρήτοις παρατυχόντων φίλων ὁ ἕτερος θαυμάζειν ἔφη πῶς οὔτε τοῖς ἐπὶ τῶν Ἰωταπάτων περὶ ἀλώσεως οὔτε αὐτῷ προὐμαντεύσατο περὶ αἰχμαλωσίας, εἰ μὴ ταῦτα λῆρος εἴη διακρουσομένου τὰς ἐπ' αὐτὸν ὀργάς. Ὁ δὲ Ἰώσηπος καὶ τοῖς Ἰωταπατηνοῖς ὅτι μετὰ τεσσαρακοστὴν ἑβδόμην ἡμέραν ἁλώσονται προειπεῖν ἔφη καὶ ὅτι πρὸς Ῥωμαίων αὐτὸς ζωγρηθήσεται. Ταῦτα παρὰ τῶν αἰχμαλώπων κατ' ἰδίαν ὁ Οὐεσπασιανὸς ἐκπυθόμενος ηὕρισκεν ἀληθῆ, καὶ πιστεύειν περὶ τῶν κατ' αὐτὸν ἤρκτο. Φρουρᾶς μὲν οὖν καὶ δεσμῶν οὐκ ἀνίει τὸν Ἰώσηπον, ἐδωρεῖτο δὲ ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις, φιλοφρονούμενός τε καὶ περιέπων διετέλει, τὰ πολλὰ Τίτου τῇ τιμῇ συνεργοῦντος.

ΚΕΦ. Θ'.

Τετάρτῃ δὲ Πανέμου μηνὸς ἀναζεύξας εἰς τὴν Πτολεμαΐδα ἐκεῖθεν εἰς τὴν παράλιον ἀφικνεῖται Καισάρειαν, μεγίστην τε Ἰουδαίας πόλιν καὶ τὸ πλέον ὑφ' Ἑλλήνων ἐποικουμένην. Ἐδέχοντο δὲ καὶ τὴν στρατιὰν καὶ τὸν στρατηγὸν μετὰ πάσης εὐφημίας καὶ φιλοφροσύνης οἱ ἐπιχώριοι, καὶ κατ' εὔνοιαν μὲν τὴν πρὸς τοὺς Ῥωμαίους, τὸ δὲ πλέον ἔχθει τῶν κατεστραμμένων. Διὸ καὶ τὸν Ἰώσηπον ἀθρόοι καταβοῶντες ἠξίουν κολάζειν. Οὐεσπασιανὸς δὲ τὴν μὲν περὶ τούτου δέησιν ὡς ὑπ' ἀκρίτου γενομένην πλήθους ἐξέλυσεν ἡσυχίᾳ, τῶν δὲ ταγμάτων τὰ μὲν δύο χειμερίσοντα ἐκάθισεν ἐπὶ τῆς Καισαρείας, ἐπιτήδειον ὁρῶν τὴν πόλιν· τὸ δέκατον δὲ καὶ πέμπτον εἰς Σκυθόπολιν, ὡς μὴ θλίβοι παντὶ τῷ στρατῷ τὴν Καισάρειαν. Ἀλεεινὴ δὲ ἦν κἀκείνη χειμῶνος ὥρᾳ, καθόσον ἦν πνιγώδης θέρους ὑπὸ καύματος, πεδιὰς οὖσα καὶ παράλιος.

(ΚΘ'.) β'. Ἐν δὲ τούτῳ συναθροισθέντες οἵ τε κατὰ στάσιν ἐκπίπτοντες τῶν πολεμίων καὶ οἱ διαφυγόντες ἐκ τῶν κατεστραμμένων, πλῆθος οὐκ ὀλίγον, ἀνακτίζουσιν Ἰόπην ὁρμητήριον σφίσιν, ἐρημωθεῖσαν ὑπὸ Κεστίου πρότερον· καὶ τῆς χώρας ἐκπεπολεμωμένης ἀνειργόμενοι μεταβαίνειν ἔγνωσαν εἰς τὴν θάλασσαν. Πηξάμενοί τε πειρατικὰ σκάφη πλεῖστα, τόν τε Συρίας καὶ Φοινίκης καὶ τὸν ἐπ' Αἰγύπτῳ πόρον ἐλῃστευον, ἁπλωτά τε πᾶσιν ἐποίουν τὰ τῇδε πελάγη. Οὐεσπασιανὸς δὲ ὡς ἔγνω τὴν σύνταξιν αὐτῶν, πέμπει πεζούς τε καὶ ἱππεῖς ἐπὶ τὴν Ἰόπην, οἱ νύκτωρ ὡς ἀφύλακτον εἰσέρχονται τὴν πόλιν. Οἱ δὲ ἐν αὐτῇ προῄσθοντο μὲν τὴν εἴσοδον, καὶ καταδείσαντες τοῦ μὲν εἴργειν τοὺς Ῥωμαίους ἀπετρέποντο, συμφυγόντες δὲ εἰς τὰς ναῦς ἔξωτέρω βέλους διενυκτέρευσαν.

γ'. Ἁλιμένου δὲ οὔσης φύσει τῆς Ἰόπης (αἰγιαλῷ γὰρ ἐπιλήγει τραχεῖ, καὶ τὸ μὲν ἄλλο πᾶν ὀρθίῳ, βραχὺ δὲ συννεύοντι κατὰ τὰς κεραίας ἑκατέρωθεν, αἱ δὲ εἰσὶ κρημνοὶ βαθεῖς καὶ προὔχουσαι σπιλάδες εἰς τὸ πέλαγος, ἔνθα καὶ τῶν Ἀνδρομέδας δεσμῶν ἔτι δεικνύ-

ptrumque ad eum deventurum esse diversis signis præmonstraret. Sed et in aliis veracem esse Josephum deprehendebat. Altero namque amicorum, qui secretis intererant, se mirari dicente quid causæ esset cur neque Jotapatenis de excidio, neque sibi de captivitate quidquam antea vaticinatus esset, si ista non vana sint illius commenta, qui iram in se casuram depulsum eat. Ad hæc Josephus Jotapatenis aiebat se prædixisse excidium eos post septimum et quadragesimum diem mansurum esse, foreque ut ipse a Romanis vivus caperetur. Quum de istis a captivis clam inquisivisset Vespasianus, veraque esse comperisset, etiam illis quæ de se dixerat fidem habere cœpit. Et Josepho quidem neque custodiam neque vincula remittebat: verum vestimentis eum donabat aliisque pretiosis muneribus, et benevolentia eum prosequi et complecti perseverabat, Tito pleraque ad ejus honorem conferente.

CAP. IX. (XXVIII.)

Quarto autem die Panemi mensis Vespasianus in Ptolemaidem reversus est, atque inde Cæsaream maritimam pervenit, urbem et Judææ maximam, et majori ex parte a Græcis inhabitatam. Ubi exercitum pariter ac imperatorem cum magno plausu et hilaritate excipiebant indigenæ, etiam ex sua quidem in Romanos benevolentia, magis autem ex suo in eversos odio. Unde et multi simul contra Josephum inclamantes, de eo supplicium sumendum esse postulabant. Vespasianus autem ab ista quidem petitione, quæ ab inconsulta facta esset multitudine, se liberavit nihil respondendo. Legionum vero duas quidem Cæsareæ hiematuras constituit, quod civitatem huic rei opportunam esse videret; decimam vero et quintam in Scythopoli, ne totius onere exercitûs attereretur Cæsarea. Erat autem et illa hieme aprica, quantum æstate præ fervore æstuosa, utpote in planitie sita et maritima.

(XXIX.) 2. Interea quum non exigua collecta esset multitudo ex iis qui vel seditione ab hostibus defecerant, vel ex civitatibus eversis effugerant, Jopen, quam antea diruerat Cestius, instauratum eunt sibimet in refugium; et, quia iis impedimento erat regio vastata, in mare migrare decreverunt. Quumque naves piraticas quamplurimas fabricassent, qua in Phœnicen et Syriam et Ægyptum transitur, latrocinia exercebant, et omnibus ad oras istas invium faciebant pelagus. Vespasianus autem cognito quod constituerant, equites pariter ac pedites in Jopen mittit, qui noctu in urbem utpote non custoditam ingrediuntur. Qui vero in ea erant, impressionem quidem factum iri jam ante sentiebant, sed metu perculsi Romanos arcere detrectabant; in naves autem confugientes, quum extra teli jactum essent, pernoctarunt.

3. Quum vero Jope natura esset importuosa (nam in littus asperum ceteraque arduum desinit, ac summis utrinque cornibus leviter inflexum, in quibus profundæ rupes et saxa ingentia quæ mari prominent, ubi et adhuc ostensa Andromedæ vinculorum vestigia fidem faciunt antiquitati

μενοι τύποι πιστοῦνται τὴν ἀρχαιότητα τοῦ μύθου, τύπτων δὲ τὸν αἰγιαλὸν ἀντίος βορέας, καὶ πρὸς ταῖς δεχομέναις πέτραις ὑψηλὸν ἀνακόπτων τὸ κῦμα, σφαλερώτερον ἐρημίας τὸν ὅρμον ἀπεργάζεται), κατὰ τοῦτον σαλεύουσι τοῖς ἀπὸ τῆς Ἰόπης ὑπὸ τὴν ἕω πνεῦμα βίαιον ἐπιπίπτει (μελαμβόρειον ὑπὸ τῶν ταύτῃ πλωϊζομένων καλεῖται) καὶ τὰς μὲν πρὸς ἀλλήλαις τῶν νεῶν αὐτόθι συνήραξε, τὰς δὲ πρὸς ταῖς πέτραις· πολλὰς δὲ πρὸς ἀντίον κῦμα βιαζομένας εἰς τὸ πέλαγος (τόν τε γὰρ αἰγιαλὸν ὄντα πετρώδη καὶ τοὺς ἐπ' αὐτοῦ πολεμίους ἐδεδοίκεσαν) μετέωρος ὑπεραρθεὶς ὁ κλύδων ἐβάπτισεν. Ἦν δὲ οὔτε φυγῆς που τόπος οὔτε μένουσι σωτηρία, βίᾳ μὲν ἀνέμου τῆς θαλάσσης ἐξωθουμένοις, Ῥωμαίων δὲ τῆς πόλεως. Καὶ πολλὴ μὲν οἰμωγὴ συρρηγνυμένων ἐγίνετο τῶν σκαφῶν, πολὺς δὲ ἀγνυμένων ὁ ψόφος· καὶ τοῦ πλήθους οἱ μὲν ὑπὸ τῶν κυμάτων καλυπτόμενοι διεφθείροντο, πολλοὶ δὲ τοῖς ναυαγίοις ἐμπλεκόμενοι· τινὲς δὲ ὡς κουφοτέρῳ τὴν θάλασσαν ἔφθανον τῷ σιδήρῳ σφᾶς αὐτοὺς ἀναιροῦντες· τό γε μὴν πλεῖστον ὑπὸ τῶν κυμάτων ἐκφερόμενον περιεξαίνετο ταῖς ἀπορρῶξιν, ὡς αἱμαχθῆναι μὲν ἐπὶ πλεῖστον τὸ πέλαγος, πληρωθῆναι δὲ νεκρῶν τὴν παραλίαν· καὶ γὰρ τοὺς ἐπὶ τὸν αἰγιαλὸν ἐκφερομένους ἐφεστῶτες οἱ Ῥωμαῖοι διέφθειρον. Ἀριθμὸς δὲ τῶν ἐκβρασθέντων σωμάτων τετρακισχίλιοι πρὸς τοῖς διακοσίοις ἦν. Ῥωμαῖοι δὲ λαβόντες ἁμαχητὶ τὴν πόλιν κατασκάπτουσιν.

δ'. Ἰόπη μὲν οὕτως ἐν ὀλίγῳ χρόνῳ δεύτερον ὑπὸ Ῥωμαίοις ἑάλω. Οὐεσπασιανὸς δέ, ὡς μὴ πάλιν οἱ πειραταὶ συναλισθεῖεν εἰς αὐτήν, στρατόπεδόν τε ἐπὶ τῆς ἀκροπόλεως ἐγείρει καὶ τὸ ἱππικὸν ἐν αὐτῷ καταλείπει μετὰ πεζῶν ὀλίγων, ἵνα οὗτοι μὲν κατὰ χώραν μένοντες φρουρῶσι τὸ στρατόπεδον, οἱ δὲ ἱππεῖς προνομεύωσι τὴν πέριξ, καὶ τὰς περιοίκους κώμας τε καὶ πολίχνας ἐξαιρῶσι τῆς Ἰόπης. Οἱ μὲν οὖν κατὰ τὰ προσταχθέντα τὴν χώραν κατατρέχοντες καθ' ἡμέραν ἔτεμνόν τε καὶ ἠρήμουν ἅπασαν.

(Α'.) ε'. Ὡς δὲ εἰς τὰ Ἱεροσόλυμα τὸ κατὰ τὴν Ἰωτατάτην πάθος ἠγγέλθη, τὸ μὲν πρῶτον ἠπίστουν οἱ πολλοὶ καὶ διὰ τὸ μέγεθος τῆς συμφορᾶς καὶ διὰ τὸ μηδένα τῶν λεγομένων αὐτόπτην παρεῖναι (διεσώθη γὰρ οὐδὲ ἄγγελος, ἀλλὰ αὐτομάτη διεκήρυσσε φήμη τὴν ἅλωσιν, οἰκεία φύσει τῶν σκυθρωποτέρων)· κατ' ὀλίγον δὲ διὰ τῶν προχώρων ὥδευε τὸ ἀληθές, καὶ παρὰ πᾶσιν ἀμφιβολίας ἦν ἤδη βεβαιότερον, προσεσχεδιάζετό γε μὴν τοῖς πεπραγμένοις καὶ τὰ μὴ γενόμενα· τεθνεὼς γὰρ ἐπὶ τῆς ἁλώσεως καὶ Ἰώσηπος ἠγγέλλετο. Τοῦτο μεγίστου τὰ Ἱεροσόλυμα πένθους ἐπλήρωσε· κατὰ μέν γε οἴκους καὶ κατὰ συγγενείας οἷς προσήκων ἦν ἕκαστος τῶν ἀπολωλότων ἐθρηνεῖτο, τὸ δὲ ἐπὶ τῷ στρατηγῷ πένθος ἐδημοσιεύθη· καὶ οἱ μὲν ξένους, οἱ δὲ συγγενεῖς, οἱ δὲ φίλους, οἱ δὲ ἀδελφοὺς ἐθρήνουν, τὸν Ἰώσηπον δὲ πάντες, ὡς ἐπὶ τριακοστὴν μὲν ἡμέραν μὴ διαλιπεῖν τὰς ὀλοφύρσεις ἐν τῇ πόλει, πλείστους δὲ μισθοῦσθαι τοὺς αὐλητάς, οἳ θρήνων ἐξῆρχον αὐτοῖς.

fabulæ, adversus autem aquilo feriens littora et cautibus objectis tumidos illidens fluctus, stationem mari aperto periculosiorem efficit), eo in salo fluctuantibus Jopenis sub diluculum vehemens flatus ingruit, quem illac navigantes Melamboream (*Nigrum Boream*) vocant, et alias quidem naves inter se, alias vero collisit in scopulos : multas autem, quum adversus æstum omni vi tenderent in altum, (nam et littus saxosum et hostes ei circumfusos metuebant), ventus in sublime attollens fluctus demersit. Ac neque fugæ usquam locus erat, neque manentibus spes salutis, quum ventorum vis eos mari pelleret et Romani civitate prohiberent. Et multi quidem ejulatus erant quum colliderentur naves, multus vero fragor quum frangerentur : et Jopenorum alii fluctibus obruti perierunt, aliique quamplurimi naufragiis implicati : nonnulli autem ferro se interficientes, quasi id levius esset, mare præveniebant : ceterum plerique undis delati in petras abruptas discerpti sunt, adeo ut mare sanguine redundaret, oraque maritima cadaveribus repleretur : namque ad littus appulsos stantes in eo Romani trucidabant. Atque ejectorum corpora numero erant ad quattuor millia et ducenta. Romani vero sine prælio urbem ceperunt et funditus diruerunt.

4. Atque ita quidem Jope brevi tempore bis a Romanis excisa est. Vespasianus autem, ne rursus eo piratæ confluerent, et castra in arce excitat, et equitatum illic cum paucis peditibus reliquit, ita ut illi eo in loco manentes castra custodirent, equitesque finitimam regionem depopularentur, et villas Jope vicinas cum oppidulis e medio tollerent. Et illi quidem imperata facientes regionem percursabant, eamque omnem quotidie diripiebant et vastabant.

(XXX.) 5. Ubi autem ea quæ Jotapatis acciderant famâ perlata erant Hierosolyma, primo quidem multi et propter magnitudinem calamitatis, et quia nemo aderat spectator eorum quæ ferebantur, non habebant fidem (neque enim nuncius supererat, sed temere excidium nunciabat fama, natura apta ad tristia spargenda; paulatim vero per finitimos verus ibat rumor, et apud omnes jam certior habebatur quam ut de eo ambigeretur; ceterum rebus gestis affingebant quæ minime gesta erant : nam et Josephum in excidio occubuisse nunciatum est : id quod maximo luctu replevit Hierosolyma : et per singulas quidem domos itemque cognationes amissorum quisque lugebatur a suis; luctus vero ducis publicus erat : et hi quidem hospites, alii propinquos, amicos alii, nonnulli etiam fratres plorabant, Josephum autem universi, adeo ut per triginta dies fletus et lamentatio in civitate non cessarint, plurimosque conduxerint tibicines qui sibi lessu præirent.

ς'. Ὡς δὲ τὸ ἀληθὲς διεκαλύπτετο τῷ χρόνῳ, καὶ τὰ μὲν κατὰ τὴν Ἰωταπάτην ὥσπερ εἶχεν, ἐσχεδιασμένον δὲ τὸ κατὰ τὸν Ἰώσηπον πάθος ηὑρίσκετο, ζῆν δὲ αὐτὸν ἔγνωσαν καὶ παρὰ Ῥωμαίοις ὄντα πρὸς τῶν ἡγεμόνων πλέον ἢ κατ' αἰχμαλώτου τύχην περιέπεσθαι, τοσοῦτον ὀργῆς ἐπὶ ζῶντος, ὅσον εὐνοίας ἐπὶ τεθνάναι δοκοῦντος πρότερον ἀνελάμβανον· καὶ παρ' οἷς μὲν εἰς ἀνανδρίαν, παρ' οἷς δὲ εἰς προδοσίαν ἐκακίζετο. Πλήρης δὲ ἀγαναχτήσεως ἦν καὶ τῶν κατ' αὐτοῦ βλασφημιῶν ἡ πόλις. Παρωξύνοντο δὲ ταῖς πληγαῖς, καὶ προσεξεκαίοντο ταῖς κακοπραγίαις· τό γε μὴν πταίειν, ὃ γίνεται τοῖς εὖ φρονοῦσιν ἀσφαλείας καὶ τῶν ὁμοίων φυλακῆς αἴτιον, ἐκείνοις κέντρον ἑτέρων ἐγίνετο συμφορῶν, καὶ τὸ τέλος ἀεὶ τῶν κακῶν αὖθις ἀρχή. Μᾶλλον γοῦν ὥρμων ἐπὶ τοὺς Ῥωμαίους, ὡς καὶ τὸν Ἰώσηπον ἐν αὐτοῖς ἀμυνούμενοι. Τοὺς μὲν οὖν ἐπὶ τῶν Ἱεροσολύμων τοιοῦτοι θόρυβοι κατεῖχον.

(ΛΑ'.) ζ'. Οὐεσπασιανὸς δὲ καθ' ἱστορίαν τῆς Ἀγρίππα βασιλείας (ἐνῆγε γὰρ βασιλεὺς αὐτὸς, ἅμα καὶ δεξιώσασθαι τὸν ἡγεμόνα σὺν τῇ στρατιᾷ τῷ κατὰ τὸν οἶκον ὅλῳ προαιρούμενος καὶ καταστεῖλαι δι' αὐτῶν τὰ νοσοῦντα τῆς ἀρχῆς) ἄρας ἀπὸ τῆς παράλου Καισαρείας, εἰς τὴν Φιλίππου καλουμένην μεταβαίνει Καισάρειαν. Ἔνθα μέχρι μὲν ἡμερῶν εἴκοσι τὴν στρατιὰν διαναπαύων καὶ αὐτὸς ἐν εὐωχίαις ἦν, ἀποδιδοὺς τῷ Θεῷ χαριστήρια τῶν κατωρθωμένων. Ὡς δὲ αὐτῷ Τιβεριὰς μὲν νεωτερίζειν, ἀφεστάναι δὲ ἠγγέλλοντο Ταριχέαι (μοῖρα δὲ τῆς Ἀγρίππα βασιλείας ἦσαν ἀμφότεραι), πανταχόθεν τοὺς Ἰουδαίους καταστρέφεσθαι διεγνωκὼς, τὴν ἐπὶ τούτοις στρατείαν εὔκαιρον ἡγεῖτο, καὶ δι' Ἀγρίππαν, ὡς εἰς ξενίας ἀμοιβὴν, σωφρονίσων αὐτῷ τὰς πόλεις. Πέμπει δὴ τὸν υἱὸν Τίτον εἰς Καισάρειαν, μετάξοντα τὴν ἐκεῖθεν στρατιὰν εἰς Σκυθόπολιν (ἡ δέ ἐστι μεγίστη τῆς Δεκαπόλεως, καὶ γείτων τῆς Τιβεριάδος), ἔνθα καὶ αὐτὸς παραγενόμενος ἐκδέχεται τὸν υἱόν. Καὶ μετὰ τριῶν ταγμάτων προελθὼν στρατοπεδεύεται μὲν ἀπὸ τριάκοντα τῆς Τιβεριάδος σταδίων, κατά τινα σταθμὸν εὐσύνοπτον τοῖς νεωτερίζουσι (Σενναβρὶς ὀνομάζεται), πέμπει δὲ δεκαδάρχην Οὐαλεριανὸν σὺν ἱππεῦσι πεντήκοντα, διαλεχθησόμενον εἰρηνικὰ τοῖς κατὰ τὴν πόλιν, καὶ προτρεψόμενον ἐπὶ πίστεις· ἠκηκόει γὰρ ὡς ἐπιθυμοίη μὲν εἰρήνης ὁ δῆμος, καταστασιάζοιτο δὲ ὑπό τινων πολεμεῖν βιαζομένων. Προσελάσας δὲ ὁ Οὐαλεριανὸς, ἐπεὶ πλησίον ἦν τοῦ τείχους, αὐτός τε καταβαίνει καὶ τοὺς σὺν αὐτῷ τῶν ἱππέων ἀπέβησεν, ὡς μὴ δοκοῖεν ἀκροβολισόμενοι παρεῖναι. Καὶ πρὶν εἰς λόγους ἐλθεῖν, ἐπεχθέουσιν αὐτῷ τῶν στασιαστῶν οἱ δυνατώτεροι μετὰ ὅπλων· ἐξηγεῖτο δὲ αὐτῶν Ἰησοῦς τις ὀνόματι, παῖς Σαφάτου, τοῦ λῃστρικοῦ στίφους ὁ κορυφαιότατος. Οὐαλεριανὸς δὲ, οὔτε παρὰ τὰς ἐντολὰς τοῦ στρατηγοῦ συμβαλεῖν ἀσφαλὲς ἡγούμενος, εἰ καὶ τὸ νικᾶν εἶη βέβαιον, καὶ σφαλερὸν τὸ μάχεσθαι πολλοῖς μετ' ὀλίγων, ἀπαρασκεύων τε πρὸς ἑτοίμους, καὶ ἄλλως ἐκπλαγεὶς πρὸς

6. Quum autem tempore indicaretur veritas, et quemadmodum se haberent res Jotapatenæ, fictumque compertum esset quod de Josephi morte acceperant, eumque vivere et cum Romanis esse resciscerent, ac supra captivi fortunam a ducibus honorari, tantum in viventem iracundiæ, quantum benevolentiæ prius habuerunt, quum mortuum esse crederent: et ab aliis quidem ignavia, ab aliis vero proditio ei vitio vertebatur. Civitas autem indignationis plena erat et convicia ei faciebat. Plagis autem exasperabantur, magisque accendebantur rebus adversis: porro clades inopina, quæ sapientes facit suæ securitati prospicere, et ne similia patiantur sibimet cavere, ad alias calamitates stimulabat, et unius mali finis alterius semper principium erat. Denique majore in Romanos impetu ferebantur, ac si Josephi maleficia in illis vindicaturi essent. Atque Hierosolymitanos quidem hujuscemodi tenebant tumultus.

(XXXI.) 7. Vespasianus autem studio visendi regnum Agrippæ (nam et rex ipse eum invitabat, partim desiderio laute pro domus suæ divitiis excipiendi imperatorem cum exercitu, partim ut per eos discordias regni sui sedaret) motis ex Cæsarea maritima castris, in eam quæ Philippi dicitur Cæsaream transit. Ubi per viginti quidem dies exercitum recreans, ipse etiam convivia agitabat, gratias Deo reddens pro rebus bene prospereque gestis. Postquam vero Tiberiadem res novas moliri, et Tarichеas deficere nunciatum erat (ad regnum autem Agrippæ utraque pertinebat), decreto apud se Judæos ubique eversum ire, opportunum esse credebat contra eos exercitum ducere, urbes istas, etiam ut Agrippæ vicem reponderet ob hospitium, ejus in gratiam castigaturus. Titum igitur filium Cæsaream mittit, ut inde militem Scythopolim traduceret: est autem ea urbs maxima Decapoleos et vicina Tiberiadi. Quo quum ipse venisset, ibi filium præstolabatur. Deinde cum tribus legionibus progressus ad trigesimum a Tiberiade stadium, mansione conspicua novarum rerum studiosis (cui nomen est Sennabris) castra metatur. Atque hinc Valerianum decurionem cum equitibus quinquaginta mittit, de iis quæ ad pacem spectarent cum civibus acturum, hortaturumque ut in fidem ipsorum se dederent: audierat enim quod pacem quidem populus desideraret, seditione autem agitaretur a nonnullis ad bellum eos urgentibus. Valerianus igitur, maturato itinere, ubi muris appropinquavit, et ipse de equo descendit, et equites qui cum ipso erant desilire fecit, ne contra illos velitaturi adesse viderentur. Et antequam verbum faceret, armati in eum excurrunt seditiosi qui plurimum valebant: ducebat autem eos Jesus quidam nomine, Saphati filius, latrocinalis agminis princeps. Atqui Valerianus, præter mandata imperatoris prælio congredi haud tutum esse ratus, etiamsi de victoria certus esset, et periculosum esse, si cum multis pauci et instructis imparati confligerent, ac præterea

τὴν ἀδόκητον τῶν Ἰουδαίων τόλμαν, φεύγει πεζὸς, ἕτεροί τε ὁμοίως πέντε τοὺς ἵππους ἀπέλιπον· οὓς οἱ περὶ τὸν Ἰησοῦν ἀπήγαγον εἰς τὴν πόλιν, γεγηθότες ὥσπερ μάχῃ ληφθέντας, οὐκ ἐνέδρᾳ.

(ΛΒ′.) η′. Τοῦτο καταδείσαντες οἱ γηραιοὶ τοῦ δήμου καὶ προΰχειν δοκοῦντες φεύγουσι μὲν εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον· ἐπαγόμενοι δὲ τὸν βασιλέα προσπίπτουσιν ἱκέται Οὐεσπασιανῷ, μὴ σφᾶς περιδεῖν δεόμενοι, μηδὲ τὴν ὀλίγων ἀπόνοιαν ἡγήσασθαι τῆς πόλεως ὅλης· φείσασθαι δὲ τοῦ δήμου Ῥωμαίοις φιλοφρονοῦντος ἀεὶ, καὶ τοὺς αἰτίους τιμωρήσασθαι τῆς ἀποστάσεως, ὑφ' ὧν αὐτοὶ φρουρηθῆναι μέχρι νῦν ἐπὶ δεξιᾶς ἐπειγόμενοι πάλαι. Ταύταις ἐνεδίδου ταῖς ἱκεσίαις ὁ στρατηγὸς, καίτοι διὰ τὴν ἁρπαγὴν τῶν ἵππων ἐφ' ὅλην ὠργισμένος τὴν πόλιν· καὶ γὰρ ἀγωνιῶντα περὶ αὐτῆς τὸν Ἀγρίππαν ἑώρα. Λαβόντων δὲ τούτων τοῦ δήμου δεξιὰς, οἱ περὶ τὸν Ἰησοῦν, οὐκέτι ἀσφαλὲς ἡγούμενοι μένειν ἐπὶ τῆς Τιβεριάδος, εἰς Ταριχέας ἀποδιδράσκουσι. Καὶ μεθ' ἡμέραν Οὐεσπασιανὸς σὺν ἱππεῦσι προπέμπει πρὸς τὴν ἀκρώρειαν Τραϊανὸν, ἀποπειραθῆναι τοῦ πλήθους εἰ πάντες εἰρηνικὰ φρονοῖεν. Ὡς δὲ ἔγνω τὸν δῆμον ὁμονοοῦντα τοῖς ἱκέταις, ἀναλαβὼν τὴν δύναμιν ἦει πρὸς τὴν πόλιν. Οἱ δὲ τάς τε πύλας ἀνοίγουσιν αὐτῷ, καὶ μετ' εὐφημιῶν ὑπήντων, σωτῆρα καὶ εὐεργέτην ἀνακαλοῦντες. Τῆς δὲ στρατιᾶς τριβομένης περὶ τὴν τῶν εἰσόδων στενότητα, παραρρῆξαι τοῦ κατὰ τὴν μεσημβρίαν τείχους Οὐεσπασιανὸς κελεύσας, πλατύνει τὴν εἴσοδον αὐτοῖς· ἁρπαγῆς μέντοι καὶ ὕβρεως ἀπέχεσθαι παρήγγελλε, τῷ βασιλεῖ χαριζόμενος, τῶν τε τειχῶν διὰ τοῦτον ἐφείσατο, συμμένειν πρὸς τὸ λοιπὸν ἐγγυωμένου τοὺς ἐν αὐτοῖς, καὶ τὰ ἄλλα κεκακωμένην τὴν πόλιν ἐκ τῆς στάσεως ἀνελάμβανεν.

ΚΕΦ. Ι′.

Ἔπειτα προελθὼν αὐτῆς τε μεταξὺ καὶ Ταριχεῶν στρατοπεδεύεται, τειχίζει δὲ τὴν παρεμβολὴν ὀχυρωτέραν, ὑφορώμενος ἐκεῖ πολέμου τριβὴν αὐτῷ γενησομένην· συνέρρει γὰρ εἰς τὰς Ταριχέας πᾶν τὸ νεωτερίζον, τῇ τε τῆς πόλεως ὀχυρότητι καὶ τῇ λίμνῃ πεποιθότες, ἣ καλεῖται Γεννησὰρ πρὸς τῶν ἐπιχωρίων. Ἡ μὲν γὰρ πόλις, ὥσπερ ἡ Τιβεριὰς ὑπώρειος οὖσα, καθὰ μὴ τῇ λίμνῃ προσεκλύζετο, πάντοθεν ὑπὸ τοῦ Ἰωσήπου τετείχιστο καρτερῶς, ἐλάσσω μέντοι τῆς Τιβεριάδος. Τὸν μὲν γὰρ ἐκεῖ περίβολον ἐν ἀρχῇ τῆς ἀποστάσεως δαψιλείᾳ χρημάτων καὶ δυνάμεως ἐκρατύνατο· Ταριχέαι δὲ αὐτοῦ τὰ λείψανα τῆς φιλοτιμίας μετέλαβον. Σκάφη δὲ ἦν αὐτοῖς ἐπὶ τῆς λίμνης παρεσκευασμένα πολλὰ, πρός τε τὸ συμφυγεῖν ἐπὶ γῆς ἡττωμένους, κἂν εἰ δέοι διαναυμαχεῖν, ἐξηρτυμένα. Περιβαλλομένων δὲ τῶν Ῥωμαίων τὸ στρατόπεδον, οἱ περὶ τὸν Ἰησοῦν, οὔτε πρὸς τὸ πλῆθος οὔτε πρὸς τὴν εὐταξίαν τῶν πολεμίων ὑποδείσαντες, προθέουσι, καὶ πρὸς τὴν πρώτην ἔφοδον τῶν τειχοποιῶν σκεδασθέντων, ὀλίγα τῆς δομήσεως σπαράξαντες, ὡς ἑώρων τοὺς ὁπλίτας ἀθροιζομένους,

ad inopinatam Judæorum perculsus audaciam, ipse pedibus fugit et quinque alii similiter equis relictis : quos Jesus ejusque comites, quasi pugna, non insidiis captos, cum lætitia in urbem abduxerunt.

(XXXII.) 8. Hac de re solliciti seniores populi, quique dignitate præstare videbantur, in Romanorum castra se fuga recipiunt, adscitoque sibi rege, supplices accidunt ad Vespasiani genua, ne se despiceret obsecrantes, neve quæ paucorum esset pro totius civitatis insania haberet, sed populo parceret, Romanos semper benevolentia prosequenti, ultumque iret defectionis auctores, a quibus ipsi, olim ad fœdus venire properantes, hucusque, ne id facerent, præsidiis tenebantur. Istis precibus annuebat imperator, quanquam toti civitati ob equos raptos infensus erat : Nam et Agrippam videbat de ea anxium esse. Quum autem isti a populo fidem datam accepissent, Jesus et qui cum eo erant, haud satis tutum esse arbitrantes apud Tiberiadem manere, inde ad Taricheas fugiunt. Posteroque die Vespasianus in montis summitatem cum equitibus præmittit Trajanum, qui multitudinem, an omnes pacem cuperent, exploraret. Ubi autem populum eadem sentire ac supplices compererat, ad civitatem ducebat exercitum. Illi vero et portas ei patefaciunt et cum faustis acclamationibus obviam ibant, servatorem et benefactorem appellantes. Quum autem milites circa aditus angustias premerentur angerenturque, murorum partem ad meridiem dirui jussit Vespasianus, et latiorem illis facit introitum : ut præda tamen et injuriis abstinerent in gratiam regis edixit, ejusdemque causa-, spondentis cives postea in fide mansuros, muris pepercit; atque civitatem aliusmodi malis vexatam ex dissensione recreavit.

CAP. X. (XXXII.)

Deinde ab ea digressus inter ipsam et Taricheas castra metatur, eaque vallo firmiora reddit, suspicans bellum illic sibi protractum iri : nam omnes rerum novarum cupidi ad Taricheas confluebant, civitatis munitionibus confisi, pariter ac lacu, qui Gennesar ab indigenis appellatur. Etenim urbs, Tiberiadis ad instar monti subjecta, undique a Josepho, qua lacu non alluebatur, cincta erat muro valido, non ita tamen ac Tiberias. Nam hujus quidem ambitum sub defectionis initium larga pecuniarum itemque virium copia vallaverat : Taricheæ vero non nisi de largitatis ejus reliquiis participabant. Attamen scaphas quamplurimas in lacu paratas habebant, tam in refugium, si terra vincerentur, quam ad prælium, si opus esset, navale instructas. Romanis autem castra munientibus, Jesus ejusque socii, neque multitudine neque pulcro hostium ordine perterriti, excursionem faciunt; atque primo impetu disjectis muri fabricatoribus, quum nonnihil exstructionis dissipassent, ubi

πρίν τι παθεῖν, εἰς τοὺς σφετέρους ἀνέφευγον· ἐπιδιώξαντες δὲ οἱ Ῥωμαῖοι συνελαύνουσιν αὐτοὺς εἰς τὰ σκάφη. Καὶ οἱ μὲν ἀναχθέντες εἰς ὅσον ἐξικνεῖσθαι τῶν Ῥωμαίων βάλλοντες δύναιντο, τάς τε ἀγκύρας ἔβαλλον καὶ πυκνώσαντες ὥσπερ φάλαγγας τὰς ναῦς ἐπαλλήλους τοῖς ἐπὶ τῆς γῆς διεναυμάχουν πολεμίοις. Οὐεσπασιανὸς δὲ τὸ πολὺ πλῆθος αὐτῶν ἠθροισμένον ἀκούων ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, πέμπει τὸν υἱὸν σὺν ἱππεῦσι ἑξακοσίοις ἐπιλέκτοις.

(ΛΓ'.) β'. Ὁ δὲ ὑπέρογκον εὑρὼν τὴν τῶν πολεμίων πληθὺν πρὸς μὲν τὸν πατέρα πέμπει πλείονος δυνάμεως αὐτῷ δεῖν λέγων. Αὐτὸς δὲ τοὺς μὲν πλείους τῶν ἱππέων ὡρμημένους ὁρῶν, καὶ πρὶν ἀφικέσθαι βοήθειαν, ἔστι δὲ οὓς ἡσυχῇ πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων καταπεπληγότας, ἐν ἐπηκόῳ στὰς, « ἄνδρες, ἔφη, Ῥωμαῖοι· « καλὸν γὰρ ἐν ἀρχῇ τῶν λόγων ὑπομνῆσαι τοῦ γένους « ὑμᾶς, ἵνα εἰδῆτε τίνες ὄντες καὶ πρὸς τίνας μάχεσθαι « μέλλομεν. Τὰς μὲν γὰρ ἡμετέρας χεῖρας οὐδὲν εἰς « τοῦτο τῶν ἐπὶ τῆς οἰκουμένης διαπέφευγεν, Ἰουδαῖοι « δὲ, ἵνα εἴπω καὶ ὑπὲρ αὐτῶν, μέχρι νῦν οὐ κοπιῶσιν « ἡττώμενοι. Καὶ δεινὸν, ἑστώτων ἐκείνων ἐν ταῖς « κακοπραγίαις, ἡμᾶς τοῖς εὐτυχήμασιν ἐγκάμνειν. « Προθυμίας μὲν οὖν εἰς τὸ φανερὸν ὑμᾶς εὖ ἔχοντας « χαίρω βλέπων, δέδοικα δὲ μή τινι τὸ πλῆθος τῶν « πολεμίων κατάπληξιν λεληθυῖαν ἐνεργάσηται. Λο« γισάσθω δὴ πάλιν οἷος πρὸς οἵους παρατάξεται· καὶ « διότι Ἰουδαῖοι μὲν, εἰ καὶ σφόδρα τολμηταὶ καὶ « θανάτου καταφρονοῦντες, ἀλλὰ ἀσύντακτοί τε καὶ « πολέμων ἄπειροι, καὶ ὄχλος ἂν ἄλλως, οὐ στρατιὰ, « λέγοιντο. Τὰ δὲ τῆς ἡμετέρας ἐμπειρίας καὶ τάξεως « τί δεῖ καὶ λέγειν; ἐπὶ τούτῳ μέντοι γε μόνοι καὶ κατ' « εἰρήνην ἀσκούμεθα τοῖς ὅπλοις, ἵν' ἐν πολέμῳ μὴ « πρὸς τὸ ἀντίπαλον ἀριθμῶμεν ἑαυτούς. Ἐπεὶ καὶ « τίς ὄνησις τῆς διηνεκοῦς στρατείας, ἐὰν ἴσοι πρὸς « ἀστρατεύτους ἀντιτασσώμεθα; Λογίζεσθε δὲ ὅτι καὶ « πρὸς γυμνήτας ὁπλῖται καὶ ἱππεῖς πρὸς πεζοὺς, καὶ « στρατηγούμενοι πρὸς ἀστρατηγήτους διαγωνίζεσθε, « καὶ ὡς ὑμᾶς μὲν ταῦτα πολλαπλασίους ποιεῖ τὰ πλε« ονεκτήματα, πολὺ δὲ τῶν πολεμίων ἀριθμὸν παραι« ρεῖται τὰ ἐλαττώματα. Κατορθοῖ δὲ τοὺς πολέμους « οὐ πλῆθος ἀνθρώπων, κἂν ᾖ μάχιμον, ἀνδρεία δὲ, « κἂν ἐν ὀλίγοις ᾖ. Οἱ μέν γε καὶ παρατάξασθαι ῥά« διοι καὶ προσαμύνειν ἑαυτοῖς, αἱ δὲ ὑπέρογκοι δυνά« μεις ὑφ' ἑαυτῶν βλάπτονται πλέον ἢ τῶν πολεμίων. « Ἰουδαίων μὲν οὖν τόλμα καὶ θράσος ἡγεῖται, ἀπονοίας « πάθη, κατὰ μὲν τὰς εὐπραγίας εὔτονα, σβεννύμενα « δὲ ἐν ἐλαχίστοις σφάλμασιν· ἡμῶν δὲ ἀρετὴ καὶ εὐ« πείθεια καὶ τὸ γενναῖον, ὃ κἂν τοῖς εὐτυχήμασιν ἀκμά« ζει κἂν τοῖς πταίσμασιν οὐ μέχρι τέλους σφάλλεται. « Καὶ ὑπὲρ μειζόνων δὲ ἡ Ἰουδαῖοι διαγωνιεῖσθε. Καὶ « γὰρ εἰ περὶ ἐλευθερίας καὶ πατρίδος ἐκείνοις ὁ πόλε« μος κινδυνεύεται, τί μεῖζον ἡμῖν εὐδοξίας καὶ τοῦ « μὴ δοκεῖν μετὰ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἐν « ἀντιπάλῳ τὰ Ἰουδαίων προτίθεσθαι; Σκεπτέον δὲ ὅτι

armatos congregari viderunt, ad suos, antequam mali aliquid paterentur, refugiunt : et Romani fugientes persequuti ad navigia eos compellunt. Et illi quidem tantum provecti, unde Romanos possent missilibus contingere, et ancoras jaciunt, et phalangium more densatis inter se navibus, hostibus in terra constitutis prælium navale movent. Vespasianus autem cum audiret magnam eorum multitudinem in planitie civitati proxima congregatam, filium suum cum sexcentis delectis eo mittit.

(XXXIII.) 2. Is vero, quum ingentem hostium multitudinem offendisset, patri quidem significatum mittit sibi opus esse copiis majoribus. Ceterum ipse equitum plerosque, etiam antequam subsidia venirent, incitatos animadvertens, nonnullos vero, visa Judæorum multitudine, animis paululum consternatos, quum constitisset unde exaudiri posset, « viri, inquit, « Romani! vos quippe generis, quum dicere inci« piam, admonere decet, ut qui sitis, et cum quibus simus « pugnaturi, non nescialis. Nostris enim e manibus nullus « adhuc populus per totum terrarum orbem salvus evasit : « Judæi vero, ut etiam pro illis aliquid dicam, hucusque « non fatiscunt, licet victi. Indignum itaque, dum illi cum « adversis conflictati erectis stant animis, nos etiam rebus « prospere fluentibus languescere. Equidem lætor vos cer« nens tantum alacritatis palam facere : veritus autem « sum ne cui vestrûm tanta hostiûm multitudo clam metum « incutiat. Idcirco quisque iterum secum cogitet qui vir « sit et adversus quos in aciem progressurus; quodque Ju« dæi, licet valde audaces sint et mortem contemnant, in« compositi tamen, et belli imperiti, atque turba potius « quam exercitus appellandi. De vestra autem peritia et « ordinis observantia quid est quod dicere laborem? eo uti« que pacis etiam tempore soli armis exercemur, ut ne in « bello nos cum hostibus numero conferamus. Alioquin, « quid proderit nosmet in perpetuam militiæ disciplinam « tradere, si pares cum inexercitatis congrediamur? Porro « vobiscum reputate quod armati cum inermibus et equites « cum peditibus, et quique ducis sub imperio cum illis qui « ductorem non agnoscunt, dimicaturi sitis; quodque ista qui« dem commoda vos multo plures efficiant, incommoda au« tem multum de numero hostium detrahant. Nec hominum « multitudo, quamvis pugnacissimi fuerint, facit ut res « prospere cedant in bello, sed fortitudo, etiamsi paucorum. « Quippe hi facile possunt ordinari et sibi invicem succurre« re, numerosæ autem nimis copiæ plus damni a se ipsis « accipiunt quam ab hostibus. Judæos sane ducunt temeritas « et audacia, quæ desperatis solent accidere, et dum res « bene succedunt plurimum valent, ex levissimo vero lapsu « impetus restinguitur : nos autem virtute ducimur et mo« rigera voluntate, itemque fortitudine, quæ in prospera « fortuna viget, et ad extremum usque non labitur in ad« versis. Accedit quod vos pro rebus potioribus quam Ju« dei pugnaturi estis. Nam si illi pro libertate ac patria « belli discrimen adeunt, quid est nobis majoris faciendum « quam gloria, et ne post orbis terrarum imperium adeptum « existimetur nos æquo marte cum Judæis in certamen ve-

« καὶ παθεῖν μὲν οὐδὲν ἀνήκεστον ἡμῖν φόβος (πολλοὶ « γὰρ οἱ βοηθήσοντες, καὶ πλησίον), ἁρπάσαι δὲ τὴν « νίκην δυνάμεθα, καὶ χρὴ τοὺς ὑπὸ τοῦ πατρὸς ἡμῖν « πεμπομένους συμμάχους φθάνειν, ἵν' ἀκοινώνητόν τε « ᾖ τὸ κατόρθωμα καὶ μεῖζον. Νομίζω δὲ ἐγὼ ἐπὶ « τῇσδε τῆς ὥρας καὶ τὸν πατέρα τὸν ἐμὸν κρίνεσθαι « κἀμὲ καὶ ὑμᾶς, εἰ τῶν μὲν προκατορθωμένων ἄξιος « ἐκεῖνος, ἐγὼ δ' ἐκείνου παῖς, στρατιῶται δ' ὑμεῖς « ἐμοῦ. Καὶ γὰρ ἐκείνῳ τὸ νικᾶν ἔθος, κἀγὼ πρὸς αὐ- « τὸν ὑποστρέφειν οὐκ ἂν ὑπομείναιμι λειφθείς. Ὑμεῖς « δὲ πῶς οὐκ ἂν αἰσχύνοισθε προκινδυνεύοντος ἡγεμόνος « ἡττώμενοι; προκινδυνεύσω γὰρ, εὖ ἴστε, καὶ πρῶτος « εἰς τοὺς πολεμίους ἐμβαλῶ. Μὴ λείπεσθε δ' ὑμεῖς « ἐμοῦ, πεπεισμένοι τὴν ὁρμὴν ἐμὴν παραχροτεῖσθαι « θεῷ συμμάχῳ· καὶ προγινώσκετε σαφῶς ὅτι τῆς ἔξω « μάχης πλέον τι κατορθώσομεν. »

(ΛΔ'.) γ'. Ταῦτα τοῦ Τίτου διεξιόντος προθυμία δαι- μόνιος ἐμπίπτει τοῖς ἀνδράσι, καὶ προσγενομένου πρὶν συμβαλεῖν Τραϊανοῦ μετὰ τετρακοσίων ἱππέων, ἠσχαλ- λον ὡς μειουμένης τῆς νίκης αὐτοῖς διὰ τὴν κοινωνίαν. Ἔπεμψε δὲ Οὐεσπασιανὸς καὶ Ἀντώνιον Σίλωνα σὺν διχιλίοις τοξόταις, κελεύσας καταλαβόντας τὸ ἀντικρὺ τῆς πόλεως ὄρος τοὺς ἐπὶ τοῦ τείχους ἀνείργειν. Καὶ οἱ μὲν, ὡς προσετέτακτο, τοὺς ταύτῃ πειρωμένους ἐκβοηθεῖν περιέσχον. Ὁ δὲ Τίτος πρῶτος τὸν ἵππον ἤλαυνε εἰς τοὺς πολεμίους, καὶ σὺν κραυγῇ μετ' αὐτὸν οἱ λοιποὶ, παρατείναντες ἑαυτοὺς εἰς ὅσον ἐπεῖχον οἱ πολέμιοι τὸ πεδίον, παρὸ καὶ πολὺ πλείους ἔδοξαν. Οἱ δὲ Ἰουδαῖοι, καίτοι τήν τε ὁρμὴν καὶ τὴν εὐταξίαν αὐτῶν καταπλα- γέντες, πρὸς ὀλίγον μὲν ἀντέσχον ταῖς ἐμβολαῖς, νυσ- σόμενοι δὲ τοῖς κοντοῖς καὶ τῷ ῥοίζῳ τῶν ἱππέων ἀνατρεπόμενοι συνεπατοῦντο. Πολλῶν δὲ πανταχοῦ φονευομένων διασκίδνανται καὶ πρὸς τὴν πόλιν ὡς ἕκα- στος εἶχε τάχους ἔφευγον. Τίτος δὲ τοὺς μὲν κατόπιν προσκείμενος ἀνῄρει, τοὺς δὲ διεκπαίων ἀθρόους, οὓς δὲ φθάνων κατὰ στόμα διήλαυνε, πολλοὺς δὲ συνηλόα περὶ ἀλλήλοις πεσόντας ἐμπηδῶν. Πᾶσι δὲ τὰς πρὸς τὸ τεῖχος φυγὰς ὑπετέμνετο, καὶ πρὸς τὸ πεδίον ἀπέ- στρεφεν, ἕως τῷ πλήθει βιασάμενοι καὶ διεκπεσόντες εἰς τὴν πόλιν συνέφευγον.

δ'. Ἐκδέχεται δ' αὐτοὺς στάσις εἴσω χαλεπή. Τοῖς μὲν γὰρ ἐπιχωρίοις διά τε τὰς κτήσεις καὶ τὴν πόλιν οὐκ ἐδόκει πολεμεῖν ἀπ' ἀρχῆς, καὶ τότε διὰ τὴν ἧτταν πλέον· ὁ δ' ἔπηλυς πολὺς ὢν πλέον ἐδιάζετο, καὶ διωργισμένων ἐπ' ἀλλήλοις κραυγή τε ἦν καὶ θόρυβος, ὡς ὅσον οὔπω φερομένων εἰς ὅπλα. Κατακούσας δὲ τῆς ταραχῆς Τίτος (οὐ γὰρ ἦν ἄπωθεν τοῦ τείχους) « οὗτος ἦν ὁ καιρὸς, ἐκβοᾷ, καὶ τί, συστρατιῶται, « μέλλομεν, ἐκδιδόντος ἡμῖν Ἰουδαίους θεοῦ; δέξασθε « τὴν νίκην, οὐκ ἀκούετε βοῆς; στασιάζουσιν οἱ τὰς « χεῖρας ἡμῶν διαφυγόντες. Ἔχομεν τὴν πόλιν, ἐὰν « ταχύνωμεν. Δεῖ δὲ πόνου πρὸς τῷ τάχει καὶ λή- « ματος. Οὐδὲν γὰρ τῶν μεγάλων φιλεῖ δίχα κινδύνου « κατορθοῦσθαι. Φθάνειν δ' οὐ μόνον χρὴ τὴν τῶν

« nire? Præterea cogitandum nihil esse quod timeamus, ne « mali aliquid gravioris patiamur (multi enim sunt iique in « propinquo nobis suppetias laturi); illis autem præ- « ripere possumus victoriam, missosque a patre nobis in « auxilium prævenire convenit, ut et majores sint res pro- « spere gestæ, nullosque earundem socios habeamus. Equi- « dem putandum nunc de me ac patre meo vobisque pariter « factum iri judicium, an ille quidem gloria ex rebus jam « ante feliciter gestis fuerit dignus, ego vero ejus sim filius, « vosque mei milites. Etenim illi vincere familiare est, « neque est ut ipse sustineam victus ad eum reverti. Quo- « modo autem vos non pudebit vinci, quum dux semet « periculis objecerit? nam in pericula proruam, mihi credite, « primusque in hostes irruam. Vos vero ne me deseratis, « persuasum habentes impetum meum a deo auxiliatore « adjutum iri: et pro certo noscitote quod manibus conser- « tis plus præstabimus quam eminus telis. »

(XXXIV.) 3. Postquam Titus ita disseruerat, alacritas quasi divino afflatu militibus incidit: atque ægre ferebant Trajanum, antequam prælio congrederentur, cum quadrin- gentis equitibus venire, ac si ipsis victoriæ laus minueretur illorum societate. Misit autem Vespasianus et Antonium Silonem cum duobus millibus sagittariorum, cum mandatis ut monte e regione urbis occupato murorum propugnatores repellerent. Et illi quidem, ita ut jussi erant, eos qui ea ex parte suis auxiliari conabantur, continebant. Titus autem primus equum in hostem agebat, et post eum ceteri cum clamore magno, in tantum spatii exporrecti quantum acies adversa occupaverat, quo multo etiam plures æstimabantur. Judæi vero, licet incursu eorum ordinibus conservatis per- territi, paulisper tamen primas sustinuerunt impressiones; percussi autem contis et equorum impetu eversi conculca- bantur. Atque ita multis passim peremptis dissipantur et in urbem pro sua quisque velocitate fugiunt. Titus autem aliquos a tergo instans occidebat, alios vero confertos per- rumpens, rursus alios prævertens ictibus ora transverbe- rabat, multosque, in eos insiliens alium super alium lapsos, conterebat. Fugam autem ad mœnia omnibus præcidebat et in planitiem avertebat, donec vi multitudinis elapsi in urbem confugerent.

4. Illos autem, quum intus essent, excipit acerba dissen- sio. Namque indigenis et facultatum suarum et civitatis gratia, ab initio bellum displicebat, et hoc tempore multo magis ob cladem acceptam: sed advenæ, qui plurimi erant, eo magis urgebant, dumque sibimet invicem succenserent, magnus cietur clamor et tumultus, quasi in eo fere essent ut arma caperent. Titus autem strepitu exaudito (non enim procul a muris aberat) statim exclamabat, « hoc tempus est, « et quid moramur, commilitones, deo nobis dedente Ju- « dæos? victoriam accipite, annon clamores auditis? qui « manus nostras evasere, inter se dissident. Habemus civi- « tatem, si modo properemus. Sed celeritati accedat opor- « tet labor et fortitudo. Nihil enim magni præclare geri « solet absque periculo. Non solum autem hostium con-

« πολεμίων δμόνοιαν, οὓς ἀνάγκη διαλλάσσει ταχέως, « ἀλλὰ καὶ τὴν τῶν ἡμετέρων βοήθειαν, ἵνα πρὸς τῷ « νικῆσαι τοσοῦτο πλῆθος ὀλίγοι καὶ τὴν πόλιν ἕλωμεν « μόνοι. »

ε'. Ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀναπηδᾷ, καὶ καθηγεῖται πρὸς τὴν λίμνην, δι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν εἰσέρχεται, καὶ μετ' αὐτὸν οἱ λοιποί. Δέος δὲ πρὸς τὴν τόλμαν αὐτοῦ τοῖς ἐπὶ τῶν τειχῶν ἐνέπεσε, καὶ μάχεσθαι μὲν ἢ διακωλύειν οὐδεὶς ὑπέμεινε, λιπόντες δὲ τὴν φρουρὰν οἱ μὲν περὶ τὸν Ἰησοῦν διὰ τῆς χώρας ἔφυγον, οἱ δὲ ἐπὶ τὴν λίμνην καταθέοντες ὑπαντιάζουσι τοῖς πολεμίοις περιέπιπτον· ἐκτείνοντο δὲ οἱ μὲν ἐπιβαίνοντες τῶν σκαφῶν, οἱ δὲ τοῖς ἀναχθεῖσι προσπίπτειν πειρώμενοι· πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπηλύδων, ὅσοι μὴ διαφεύγειν ἔφθασαν, ἀντιτασσομένων, ἀμαχητὶ δὲ τῶν ἐπιχωρίων (κατὰ γὰρ ἐλπίδα δεξιᾶς καὶ τὸ συνειδὸς τοῦ μὴ βεβουλεῦσθαι πολεμεῖν μάχης ἀπετρέποντο), μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελὼν, οἰκτείρας δὲ τοὺς ἐπιχωρίους ἀνεπαύσατο φόνου. Καὶ οἱ μὲν εἰς τὴν λίμνην καταφυγόντες, ἐπεὶ τὴν πόλιν ἑαλωκυῖαν εἶδον, ὡς πορρωτάτω τῶν πολεμίων ἀνήχθησαν.

ς'. Τίτος δὲ ἐκπέμψας τινὰ τῶν ἱππέων εὐαγγελίζεται τῷ πατρὶ τὸ ἔργον. Ὁ δέ, ὡς εἰκὸς, ὑπερησθεὶς τῇ τε τοῦ παιδὸς ἀρετῇ καὶ τῷ κατορθώματι (μεγίστη γὰρ ἐδόκει καθηρῆσθαι μοῖρα τοῦ πολέμου), τότε μὲν ἐλθὼν περισχόντας τὴν πόλιν φρουρεῖν ἐκέλευσεν, ὡς μὴ διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν ἐκέλευσε, τῇ δ' ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς σχεδίας ἐκέλευσε πήσσειν ἐπὶ τοὺς καταπεφευγότας. Αἱ δ' ἐγίνοντο ταχέως ἀφθονίᾳ τε ὕλης καὶ πλήθει τεχνιτῶν.

(ΛΕ'.) ζ'. Ἡ δὲ λίμνη Γεννησὰρ μὲν ἀπὸ τῆς προσεχοῦς χώρας καλεῖται, σταδίων δὲ εὖρος οὖσα τεσσαράκοντα, καὶ πρὸς τούτοις ἑτέρων ἑκατὸν τὸ μῆκος, γλυκεῖά τε ὅμως ἐστὶ καὶ ποτιμωτάτη· καὶ γὰρ τῆς ἑλώδους παχύτητος ἔχει τὸ νᾶμα λεπτότερον, καθαρά τέ ἐστι πάντοθεν αἰγιαλοῖς ἐπιλήγουσα καὶ ψάμμῳ, πρὸς δὲ εὔκρατος ἀρύσασθαι· ποταμοῦ μὲν ἢ κρήνης προσηνεστέρα, ψυχροτέρα δ' ἢ κατὰ λίμνης διάχυσιν ἀεὶ μένουσα. Καὶ τὸ μὲν ὕδωρ οὐκ ἀποδεῖ χιόνος ἐξαιθριασθὲν, ὅπερ θέρους νυκτὸς ποιεῖν ἔθος τοῖς ἐπιχωρίοις. Γένη δὲ ἰχθύων ἐν αὐτῇ διάφορα πρὸς τοὺς ἀλλαχοῦ γεῦσίν τε καὶ ἰδέαν· μέση τε ὑπὸ τοῦ Ἰορδάνου τέμνεται. Καὶ δοκεῖ μὲν Ἰορδάνου πηγὴ τὸ Πάνειον· φέρεται δὲ ὑπὸ γῆν εἰς τοῦτο κρυπτῶς ἐκ τῆς καλουμένης Φιάλης. Ἡ δέ ἐστιν ἀνιόντων εἰς τὴν Τραχωνῖτιν ἀπὸ σταδίων ἑκατὸν εἴκοσι Καισαρείας, τῆς ὁδοῦ κατὰ δεξιὸν μέρος οὐκ ἄπωθεν. Ἐκ μὲν οὖν τῆς περιφερείας ἐτύμως Φιάλη κέκληται τροχοειδὴς οὖσα λίμνη· μένειν δὲ ἐπὶ χείλους αὐτῆ ἀεὶ τὸ ὕδωρ, μήτε ὑπονοστοῦν μήτε ὑπερχεόμενον. Ἀγνοούμενος δὲ τέως ὁ Ἰορδάνης ἐντεῦθεν ἄρχεσθαι διὰ τοῦ τετραρχήσαντος Τραχωνιτῶν ἠλέγχθη Φιλίππου. Βαλὼν γὰρ οὗτος εἰς τὴν Φιάλην ἄχυρα κατὰ τὸ Πάνειον, ἔνθεν ἐδόκουν οἱ πάλαι γεννᾶσθαι τὸν ποταμὸν,

« cordiam, quos necessitas faciet brevi in gratiam redire, « sed et nostrorum auxilia prævenire debemus : ut præter « victoriam, qua tantas copias pauci superavimus, etiam « civitate soli potiamur.

5. Simul atque istadixerat, in equum insiluit, et ad lacum contendit, perque eum profectus urbem primus ingreditur, et post eum ceteri. Ad hanc illius audaciam animis consternati erant murorum defensores : et pugnare quidem vel arcere nemo sustinuit; relictis autem excubiis Jesus et qui cum eo erant per agros fuga dilabuntur, alii vero ad lacum decurrentes in manus hostium contra venientium incidebant. Mactabantur autem alii, dum navigia scanderent, itemque alii, dum jam provecta assequi natando conarentur : plurimaque illorum qui in urbe manebant edita erat strages; advenarum quidem, quotquot non effugissent, adversa acie resistentium, indigenarum vero sine prælio (nam spe gratiæ impetrandæ, quodque sibi conscii essent bellum haud suo consilio initum esse, pugnam detrectabant), donec Titus, interemptis qui culpæ affines erant, miseratus indigenas a cæde requievit. Qui vero in lacum confugerant, ubi civitatem captam viderunt, quam longissime ab hostibus in altum se subduxerunt.

5. Titus autem unum ex equitibus ad patrem misit cum læto rei gestæ nuncio. Ille vero, ut par erat, mirum in modum delectatus et filii virtute et facinore præclaro (nam maxima pars belli confecta videbatur) tunc quidem, cum eo venisset, urbi circumdatis observare præcepit, ne quis ex ea fuga dilaberetur, et occidere jussit : postero autem die quum ad lacum descendisset, in mandatis dedit ut naves adversus illos compingerent qui fuga in eum se receperant. Idque celeriter factum erat, quod et materiæ copia esset, et magna artificum multitudo.

(XXXV.) 7. Lacus autem Gennesar a regione quidem adjacente nomen sortitur, stadiorum vero quadraginta latitudine patens, et præter hæc centum aliorum longitudine, quæ tamen dulcis et maxime potabilis : etenim tenuiores quam pro palustrium crassitie habet latices, et limpidus est undique in arenam ad littus desinens, insuper ad hauriendum temperatus; fluvii quidem aut fontis aqua lenior est aliquanto, frigidior autem quam pro lacu tam diffuso perpetuo est. Et aqua quidem frigore nihil quicquam nivi cedit, postquam habita est sub dio : quod per æstatem indigenæ solent noctu facere. Varia autem in eo sunt piscium genera, figura et sapore ab aliorum locorum piscibus diversa, mediusque Jordane fluvio secatur. Et Jordanis quidem fons Panium esse videtur : sub terram vero huc occulto defertur ex Phiala quæ appellatur. Hæc autem est qua in Trachonitidem ascenditur ad centum et viginti stadia a Cæsarea, ad dextram non longe a via. Et propter rotunditatem quidem vero nomine Phiala dictus est lacus, rotæ in modum rotundus. Semper autem intra labra ejus continetur aqua, nunquam subsidens, nunquam exundans. Quumque olim hoc esse Jordanis principium nesciretur, a tetrarcha quondam Trachonitidis Philippo deprehensum est. Immissis enim ejus jussu in Phialam paleis inventæ sunt delatæ in

ηὗρεν ἀνενεχθέντα. Τοῦ γε μὴν Πανείου τὸ φυσικὸν κάλλος ὑπὸ τῆς βασιλικῆς προσεξήσκηται πολυτελείας, τῶν Ἀγρίππα πλούτων κεκοσμημένον. Ἀρχόμενος δὲ φανεροῦ ῥεύματος ὁ Ἰορδάνης ἀπὸ τοῦδε τοῦ ἄντρου κόπτει μὲν τὰ τῆς Σεμεχωνίτιδος λίμνης ἕλη τε καὶ τέλματα· διαμείψας δὲ ἑτέρους ἑκατὸν εἴκοσι σταδίους μετὰ πόλιν Ἰουλιάδα διεκτέμνει τὴν Γεννησὰρ μέσην, ἔπειτα πολλὴν ἀναμετρούμενος ἐρημίαν εἰς τὴν Ἀσφαλτῖτιν ἔξεισι λίμνην.

η'. Παρατείνει δὲ τὴν Γεννησὰρ ὁμώνυμος χώρα, θαυμαστὴ φύσιν τε καὶ κάλλος. Οὔτε γὰρ αὐτή τι φυτὸν ἀρνεῖται διὰ τὴν πιότητα καὶ πᾶν πεφυτεύκασιν οἱ νεμόμενοι· τοῦ δὲ ἀέρος τὸ εὔκρατον ἁρμόζει καὶ τοῖς διαφόροις. Καρύαι μέν γε, φυτῶν τὸ χειμεριώτατον, ἄπειροι τεθήλασιν· ἔνθα φοίνικες, οἳ καύματι τρέφονται, συκαῖ τε καὶ ἐλαῖαι πλησίον τούτων, αἷς μαλθακώτερος ἀὴρ ἀποδέδεικται. Φιλοτιμίαν ἄν τις εἴποι τῆς φύσεως, βιασαμένης εἰς ἓν συναγαγεῖν τὰ μάχιμα καὶ τῶν ὡρῶν ἀγαθὴν ἔριν, ἑκάστης ὥσπερ ἀντιποιουμένης τοῦ χωρίου· καὶ γὰρ οὐ μόνον τρέφει παρὰ δόξαν τὰς διαφόρους ὀπώρας, ἀλλὰ καὶ διαφυλάσσει. Τὰ μέν γε βασιλικώτατα, σταφυλήν τε καὶ σῦκον, δέκα μησὶν ἀδιαλείπτως χορηγεῖ, τοὺς δὲ λοιποὺς καρποὺς δι' ἔτους ὅλου περιγηράσκοντας αὐτοῖς. Πρὸς γὰρ τῇ τῶν ἀέρων εὐκρασίᾳ καὶ πηγῇ διάρδεται γονιμωτάτῃ· Καφαρναοὺμ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι. Ταύτην φλέβα τοῦ Νείλου τινὲς ἔδοξαν, ἐπεὶ γεννᾷ τῷ κατὰ τὴν Ἀλεξανδρέων λίμνην κορακίνῳ παραπλήσιον. Μῆκος δὲ τοῦ χωρίου παρατείνει κατὰ τὸν αἰγιαλὸν τῆς ὁμωνύμου λίμνης ἐπὶ σταδίους τριάκοντα καὶ εὖρος εἴκοσι. Ταῦτα μὲν οὖν οὕτω φύσεως ἔχει.

θ'. Οὐεσπασιανὸς δέ, ἐπεὶ παρεσκευάσθησαν αἱ σχεδίαι, τῆς δυνάμεως ἐπιβήσας ὅσον ᾤετο τοῖς κατὰ τὴν λίμνην ἀνταρκέσειν, ἐπανήγετο. Τοῖς δὲ συνελαυνομένοις οὔτε ἐπὶ γῆν διαφεύγειν ἐνῆν, ἐκπεπολεμωμένων πάντων, οὔτε ἐξ ἴσου διαναυμαχεῖν. Τά τε γὰρ σκάφη μικρὰ ὄντα καὶ λῃστρικὰ πρὸς τὰς σχεδίας ἦν ἀσθενῆ καὶ καθ' ἕκαστον ἐμπλέοντες ὀλίγοι, πρὸς ἀθρόους ἐφεστῶτας τοὺς Ῥωμαίους ἐγγίζειν ἐδεδοίκεσαν. Ὅμως δ' οὖν ἐμπεριπλέοντες τὰς σχεδίας, ἔστι δὲ ὅπου καὶ πλησιάζοντες πόρρωθεν τοὺς Ῥωμαίους ἔβαλλον λίθοις, καὶ παραξύοντες ἐγγύθεν ἔπαιον· ἐκακοῦντο δὲ αὐτοὶ πλέον κατ' ἀμφότερα. Ταῖς γὰρ χερμάσιν οὐδὲν δρῶντες ὅτι μὴ κτύπον ἐπάλληλον (εἰς γὰρ πεφραγμένους ἔβαλλον), ἐφικτοὶ τοῖς Ῥωμαίων ἐγίνοντο βέλεσι, καὶ πλησιάζειν τολμῶντες, πρὶν δρᾶσαί τι παθεῖν ἔφθανον, καὶ σὺν αὐτοῖς ἐβαπτίζοντο τοῖς σκάφεσι. Τῶν δὲ διεκπαίειν πειρωμένων πολλοὺς μὲν ἐφικνούμενοι κοντοῖς διέπειρον, οὓς δὲ ξιφήρεις ἐπικαταπηδῶντες εἰς τὰ σκάφη, τινὰς δὲ συντρεχούσαις ταῖς σχεδίαις ἐναπολῃφθέντας μέσους εἷλον ἅμα ταῖς ἁλιάσι. Τῶν δὲ βαπτισθέντων τοὺς ἀνανεύοντας ἢ βέλος ἔφθανεν, ἢ σχεδία κατελάμβανε, καὶ προσβαίνειν ὑπ' ἀμηχανίας εἰς τοὺς ἐχθροὺς πειρωμένων ἢ κεφαλὰς ἢ χεῖρας ἀπέ-

Panium, unde antiquitus fluvium nasci crediderunt. Hujus quidem Panii naturalis pulchritudo insuper regia magnificentia exculta erat, Agrippæ quippe opibus exornata. Ab hoc autem antro incipiens manifesto fluere Jordanes, medius quidem secat Semechonitidis paludes cœnosas; indeque alia centum et viginti stadia lapsus post urbem Juliadem per medium transit lacum Gennesar, deinde multum solitudinis emensus in lacum Asphaltiten exit.

8. Gennesar autem lacum prætendit ejusdem nominis regio, natura simul et pulchritudine admirabilis. Nullam enim ipsa arborem pro ubertate recusat, atque omnigenas conseruere agri cultores, aerisque temperies etiam diversis est accommodata. Nam et nuces, quæ arborum maxime frigoribus gaudent, magna istic crescunt copia : ibi palmæ, quæ calore vigent, juxtaque has ficus, item oleæ, quibus aura mollior designata est. Naturæ dixerit aliquis ambitionem esse, quæ vim sibimet adhibuerit, ut in unum compingat pugnantia, annique tempestatum gratam quandam contentionem, unaquaque earum regionem illam veluti sibi propriam vindicante : neque modo alit præter opinionem poma varia, sed et diu conservat. Nam et omnium præstantissima, uvas et ficus, per decem menses sine intermissione suppeditat, ceteros vero fructus per totum annum cum illis consenescentes. Ad aeris etiam temperiem accedit quod fonte irrigatur uberrimo, qui Capharnaum ab indigenis appellatur. Hunc nonnulli venam esse Nili existimarunt, quod generat pisces coracino, (qui in Alexandrina palude alitur, similes. Longitudine autem regio juxta littora lacus cognominis triginta stadiis extenditur et latitudine viginti. Atque ejus quidem natura ejusmodi est.

9. Vespasianus autem, postquam paratæ erant rates, imposito in eas tanto militum numero quantum adversus eos qui in lacum effugerant satis fore arbitrabatur, oram solvebat. Atqui illi qui compulsi erant, neque in terram se recipiendi, infestis omnibus, neque æquo marte pugnam navalem ineundi potestatem habebant. Nam et scaphæ, quum et parvæ essent et piraticæ, adversus rates parum valebant : et quum pauci singulis veherentur, cunctis simul instantibus Romanis appropinquare metuebant. Verumtamen circum rates navigando, nonnunquam etiam propius ad eas accedendo, lapidibus Romanos eminus petebant, aut cominus etiam irritando feriebant : plus autem ipsis utroque modo nocebatur. Nec enim saxis quicquam agebant nisi quod sonitum crebrum ederent (quippe contra armis septos ea jaciebant), atque ad ipsos pervenire potuerunt Romanorum tela; et si accedere propius ausi fuissent, læsi erant priusquam aliquid patrarent, cumque ipsis navigiis demergebantur. Et multos quidem, id agentes ut erumperent, contis ad eos pertingentes transfigebant, alios vero in scaphas desiliendo strictis gladiis, nonnullosque concurrentibus inter se ratibus in medio deprehensos cum naviculis capiebant. Et si qui ex submersis capita sustulissent, aut sagitta ad eos celerius perveniebat, aut ratis eos comprehendebat : et si desperatione compulsi ad inimicos adnatare tentassent, aut manibus aut capitibus eos

κοπτον οἱ Ῥωμαῖοι. Πολλή τε ἦν αὐτῶν καὶ ποικίλη φθορὰ πανταχοῦ, μέχρι τραπέντες ἐπὶ τὴν γῆν ἐξεώσθησαν οἱ λοιποὶ, κεκυκλωμένων αὐτοῖς τῶν ἁλιάδων. Ἐκκλειόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τῇ λίμνῃ, πολλοὺς δὲ ἐκπηδήσαντας οἱ Ῥωμαῖοι διέφθειραν ἐπὶ γῆς. Ἦν δὲ ἰδεῖν κεκραμένην μὴ αἵματι, πεπληρωμένην δὲ νεκρῶν τὴν λίμνην ἅπασαν· διεσώθη γὰρ οὐδείς. Δεινὴ δὲ ταῖς ἑξῆς ἡμέραις περιέσχε τὴν χώραν ὀδμή τε καὶ ὄψις· οἱ μὲν γὰρ αἰγιαλοὶ ναυαγίων ἅμα καὶ διοιδούντων ἔγεμον σωμάτων· ἐγκαιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ τὸν ἀέρα διέφθειρον, ὡς μὴ μόνον οἰκτρὸν Ἰουδαίοις γενέσθαι τὸ πάθος, ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν ἐλθεῖν. Τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος. Ἀπέθανον δὲ σὺν τοῖς ἐπὶ τῆς πόλεως πρότερον πεσοῦσιν ἑξακισχίλιοι πεντακόσιοι.

(ΛϚ′.) ι′. Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην καθίζει μὲν ἐπὶ βήματος ἐν Ταριχέαις, διακρίνων δὲ ἀπὸ τῶν ἐπιχωρίων τὸν ἔπηλυν λεών (κατάρξαι γὰρ οὗτος ἐδόκει πολέμου), μετὰ τῶν ἡγεμόνων εἰ χρὴ καὶ τούτους σώζειν ἐσκέπτετο. Φαμένων δὲ πάντων βλαβερὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν (οὐ γὰρ ἠρεμήσειν ἀπολυθέντας ἀνθρώπους ἐστερημένους μὲν πατρίδων, βιάζεσθαι δὲ ὡς καὶ πρὸς οὓς ἂν καταφύγωσι πολεμεῖν δυναμένους), Οὐεσπασιανὸς ὡς μὲν οὔτε ἄξιοι σωτηρίας εἶεν καὶ διαφεύξονται κατὰ τῶν ἀφέντων ἐγίνωσκε, τὸν δὲ τρόπον τῆς ἀναιρέσεως αὐτῶν διενοεῖτο. Καὶ γὰρ αὐτόθι κτείνων ἐκπολεμώσειν ὑφεωρᾶτο τοὺς ἐπιχωρίους· οὐ γὰρ ἀνέξεσθαι φονευομένων ἱκετῶν τοσούτων παρ' αὐτοῖς, καὶ μετὰ πίστεις ἐπιθέσθαι προελθοῦσιν οὐχ ὑπέμενεν. Ἐξενίκων δὲ οἱ φίλοι, μηδὲν κατὰ Ἰουδαίων ἀσεβὲς εἶναι λέγοντες, καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι πρὸ τοῦ πρέποντος, ὅταν ᾖ μὴ δυνατὸν ἄμφω. Κατανεύσας οὖν αὐτοῖς ἄδειαν ἀμφίβολον, ἐπέτρεψεν ἐξιέναι διὰ μόνης τῆς ἐπὶ Τιβεριάδα φερούσης ὁδοῦ. Τῶν δὲ ταχέως πιστευσάντων οἷς ἤθελον, καὶ μετὰ φανερῶν ἐν ἀσφαλεῖ τῶν χρημάτων, ἅπερ ἐπετράπη χωροῦντων, διαλαμβάνουσι μὲν οἱ Ῥωμαῖοι τὴν μέχρι Τιβεριάδος πᾶσαν, ὡς μή τις ἀποκλίνειε, συγκλείουσι δὲ αὐτοὺς εἰς τὴν πόλιν· καὶ Οὐεσπασιανὸς ἐπελθὼν ἵστησι πάντας ἐν τῷ σταδίῳ· καὶ γηραιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις διακοσίους ἐπὶ χιλίοις ὄντας ἀνελεῖν ἐκέλευσεν, τῶν δὲ νέων ἐπιλέξας τοὺς ἰσχυροτάτους ἑξακισχιλίους ἔπεμψεν εἰς τὸν Ἰσθμὸν Νέρωνι, καὶ τὸ λοιπὸν πλῆθος εἰς τρισμυρίους καὶ τετρακοσίους ὄντας πιπράσκει, χωρὶς τῶν Ἀγρίππα χαρισθέντων· τοὺς γὰρ ἐκ τῆς τούτου βασιλείας ἐπέτρεψεν αὐτῷ ποιεῖν ὅ τι βούλοιτο· πιπράσκει δὲ καὶ τούτους ὁ βασιλεύς. Ὁ μέν γε ἄλλος ὄχλος, Τραχωνῖται καὶ Γαυλανῖται καὶ Ἱππηνοὶ καὶ οἱ ἐκ τῆς Γαδαρίτιδος, τὸ πλέον ἦσαν στασιασταὶ καὶ φυγάδες καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον προὐξένει· ἑάλωσαν δὲ Γορπιαίου μηνὸς ὀγδόῃ.

detruncabant Romani. Atque multa et varia passim eorum cædes, donec in fugam versi in terram compulsi erant reliqui, circumclusis ipsorum navibus. Multi autem exclusi in ipso quidem lacu telis configebantur, in terra vero multos, postquam exsilierant, peremerunt Romani. Cernere autem erat lacum omnem mixtum sanguine et cadaveribus plenum: nemo enim salvus evasit. Diebus autem sequentibus gravis odor regionem invasit, et tristis erat rerum facies: nam littora quidem naufragiis simul plena erant, et cadaveribus tumefactis; præterea mortui exusti et putrescentes aerem corrumpebant, ut non Judæis solum miserabilis fieret calamitas, verum etiam ipsis auctoribus invisa. Iste quidem illius prælii navalis exitus erat. Perierunt autem cum his, qui jam ante in civitate ceciderant, sex millia et quingenti.

(XXXVI.) 10. At Vespasianus pugna peracta pro tribunali apud Taricheas sedet, atque advenas ab indigenis secernens (namque bellum incepisse isti videbantur), cum ducibus consultabat, an illi etiam servandi essent. Quum autem omnes dicerent rebus suis damno fore si illi dimitterentur, utpote quod liberati non quiescerent homines patria extorres, quique possent ad arma sumenda eos cogere ad quos confugerent, Vespasianus, ubi intellexit quod salute quidem indigni essent; atque evasuri adversus eos qui ipsos dimiserint, secum cogitabat quo mortis genere eos afficeret. Etenim si ibi occiderentur, indigenas inde sibi infestos fore suspicabatur, ut qui haud perpessuri essent tot apud se supplices necari, fideque interposita deditis vim pigebat afferre. Verum ab amicis vincebatur, nihil in Judæos non licere dicentibus, utileque debere anteferri honesto, quum utrumque obtineri nequeat. Ambigua igitur illis data libertate, ea sola via quæ Tiberiadem duceret exire permisit. Quumque illi facile istis quæ volebant fidem habuissent, et haud metuerent ne ipsis, cum facultatibus palam qua licebat euntibus, adversi quid accideret, totam ad Tiberiadem usque viam Romani, ne quis evaderet, occupant, eosque in civitatem concludunt: et Vespasianus mox insequutus omnes sistit in stadio; et seniores quidem cum imbellibus ad mille ducentos jussit occidi, juvenum vero validissimorum sex millia adhibito delectu Neroni ad Isthmum misit, et reliquam multitudinem ad triginta millia et quadringentos vendidit, præter eos quos Agrippæ donavit: illis enim, qui ex ejus regno essent, facere quod vellet ipsi permisit: atque ipsos etiam rex vendidit. Turba autem reliqua, Trachonitæ et Gaulanitæ et Hippeni et Gadaritæ, majori ex parte seditiosi erant et fugitivi, et quos probra pace admissa ad bellum incitabant; et capta est mensis Gorpiæi die octavo.

ΛΟΓΟΣ Δ'.

α'. Ὅσα φρούρια παρέλαβον οἱ Ῥωμαῖοι, καὶ περὶ τῆς Σεμεχωνιτῶν λίμνης.

β'. Ἔκφρασις Γαμάλας πόλεως, καὶ ὅσα ἔπαθον Ῥωμαῖοι πολιορκοῦντες αὐτήν· ὅτι καὶ Ἀγρίππας, Ῥωμαίοις σπείσασθαι τοὺς ὁμοφύλους παρακαλῶν, ἀπὸ σφενδόνης ἐβλήθη λίθῳ.

γ'. Ὡς καταρρίψαντες Ῥωμαῖοι τὰ τείχη Γαμάλας καὶ εἰσελθόντες αὖθις μετὰ μεγάλων κινδύνων ἀπηλάθησαν.

δ'. Ὅπως Οὐεσπασιανὸς σὺν ὀλίγοις ἀπελείφθη καὶ μόλις ἐξέφυγεν· ὅτι καὶ ὁ δεκάρχης Ἐβούτιος ἔπεσεν· καὶ περὶ τοῦ ἑκατοντάρχου Γάλλου.

ε'. Ὅπως ἀθυμοῦσαν τὴν στρατιὰν ἐπὶ τοῖς πταίσμασι λόγοις ἀνεκτήσατο· καὶ ὡς πάλιν εἰς πολιορκίαν παρεσκευάσθη.

ς'. Περὶ τοῦ Ἰταβυρίου ὄρους, καὶ ὡς ὑπὸ Πλακίδου ἥλω.

ζ'. Ἅλωσις Γαμάλας, καὶ ὡς οὐδεὶς ἐκεῖθεν πλὴν δύο γυναικῶν διέφυγεν.

η'. Ὅπως Γίσχαλα, μόνην ἀπολειφθεῖσαν ἀχείρωτον, Ἰωάννης ὁ τοῦ Λευΐου ἐστασίαζεν· καὶ ὡς Οὐεσπασιανὸς ἐπ' αὐτὴν μὲν Τίτον ἔπεμψεν, αὐτὸς δὲ εἰς Καισάρειαν ὑπέστρεψεν.

θ'. Ὅπως Τίτος λόγοις ἐπειρᾶτο αὐτοὺς προσάγεσθαι, Ἰωάννης δὲ πείσας αὐτοὺς ταύτην ὑπερθέσθαι τὴν ἡμέραν, νύκτωρ εἰς Ἱεροσόλυμα φεύγει· ἡ δὲ πόλις ἅμα ἡμέρᾳ δέχεται Τίτον.

ι'. Ὅπως ἐδέξαντο Ἰωάννην ἐν Ἱεροσολύμοις, καὶ περὶ τῆς γενομένης ἐν τῇ πόλει καὶ τῇ χώρᾳ στάσεως.

ια'. Περὶ τῶν ζηλωτῶν, οἷα κακὰ ἔπραττον.

ιβ'. Ὅπως ὁ δῆμος ἐπανέστη τούτοις, Ἀνάνου τοῦ ἀρχιερέως αὐτὸν παροξύναντος· καὶ περὶ ὧν οἱ ζηλωταὶ διὰ κλήρων εἰς τὴν ἀρχιερωσύνην ἐποίουν.

ιγ'. Δημηγορία Ἀνάνου πρὸς δῆμον κατὰ τῶν ζηλωτῶν.

ιδ'. Ὅπως ἀντιπαρετάξαντο ἀλλήλοις οἵ τε ζηλωταὶ καὶ οἱ περὶ τὸν Ἄνανον· καὶ ὡς ὠσάμενοι οἱ τοῦ δήμου τοὺς ζηλωτὰς ἠνάγκαζον ἐντὸς τοῦ ἱεροῦ γενέσθαι.

ιε'. Ὅπως Ἰωάννης πεμφθεὶς πρεσβευτὴς πρὸς τοὺς ζηλωτὰς περὶ διαλύσεως μᾶλλον αὐτοὺς παρώξυνεν, ὡς καὶ τοὺς Ἰδουμαίους εἰς συμμαχίαν προσκαλέσασθαι.

ις'. Ὡς Ἰδουμαῖοι κληθέντες εὐθὺς ἦλθον, καὶ ἀποκλεισθέντες ἔξω τῆς πόλεως ηὐλίσαντο· πρὸς οὓς ἀρχιερεὺς Ἰησοῦς ἐδημηγόρησεν.

ιζ'. Ὡς, χειμῶνος σφοδροτάτου καταρραγέντος, ἐδυνήθησαν οἱ ζηλωταὶ, νύκτωρ τοὺς μοχλοὺς τῶν πυλῶν πρίσαντες, εἰσαγαγεῖν τοὺς Ἰδουμαίους, καὶ τῶν τε δυσμενῶν κρατῆσαι, καὶ πολλὰ κατὰ τὴν πόλιν κακὰ διαπράξασθαι.

ιη'. Ἀναίρεσις τῶν ἀρχιερέων Ἀνάνου καὶ Ἰησοῦ.

ιθ'. Ὅπως οἱ ζηλωταὶ τὸν εἰκαῖον ὄχλον, ὥσπερ ἄλογα ζῷα, κατέσφαττον· καὶ περὶ Ζαραχίου υἱοῦ Βαρούχ μετὰ παρρησίας ἀναιρεθέντος.

κ'. Ὅπως δεινοπαθήσαντες Ἰδουμαῖοι ἐφ' οἷς οἱ ζηλωταὶ ἐποίουν ἀνεχώρησαν οἴκοι, καὶ ὡς ἐκείνων ἀπαλλαγέντες πλείονας κατὰ τὴν πόλιν ἀπέκτειναν.

κα'. Ὡς Οὐεσπασιανὸς Ῥωμαίους κατὰ Ἰουδαίων ὁρμῶντας ἀνέπειθε μὴ πολεμεῖν τέως.

κβ'. Ὅτι πολλοὶ τῶν Ἰουδαίων ηὐτομόλουν πρὸς τοὺς Ῥωμαίους, διά τε τὴν ὠμότητα τῶν ζηλωτῶν, καὶ διὰ τὸ μὴ ταφῆς ἀξιοῦν τοὺς ὑπ' αὐτῶν ἀνῃρημένους.

κγ'. Ὅπως Ἰωάννης ὁ τοῦ Λευΐου κατ' ὀλίγον ἐτυράννησεν.

κδ'. Ὁποῖα κακὰ τὸ φρούριον Μασάδαν οἱ ζηλωταὶ χειρωσάμενοι ἐν αὐτῷ τῷ πάσχα εἰργάσαντο· καὶ περὶ ἄλλων διαφόρων λῃστῶν.

κε'. Ὅπως Οὐεσπασιανὸς τήν τε Γάδαραν εἶλε, καὶ τοὺς στασιαστὰς ἐκφυγόντας Πλάκιδον πέμψας ἀπέκτεινεν· ἔπειτα καὶ τὰς πέριξ πολίχνας τε καὶ κώμας κατέσχεν.

κς'. Ὅπως Οὐίνδιξ κατὰ τὴν Γαλατίαν ἀπέστη Νέρωνος· καὶ

LIBER IV.

1. Quot castella in potestatem suam redegerant Romani, deque lacu Semechonitarum.
2. Descriptio urbis Gamalæ, quæque passi sunt Romani in ejus obsidione : quodque Agrippa, dum populares suos ad fœdus cum Romanis hortaretur, lapide e funda percussus est.
3. Quod Romani, postquam Gamalæ mœnia dejecerant, urbem ingressi, inde magno cum periculo repulsi erant.
4. Quomodo Vespasianus cum paucis relictus erat, et ægre evasit : quodque Ebutius decurio pugna cecidit; deque Gallo centurione.
5. Quomodo Vespasianus exercitum, ex adversis casibus despondentem, verbis recreavit : utque iterum paratus erat ad urbem obsidendam.
6. De monte Itabyrio, et quomodo a Placido captus erat.
7. Excidium Gamalæ, quodque nemo inde præter duas mulierculas effugit.
8. Quomodo in urbe Gischalorum, quæ sola relicta erat indomita, Joannes Levi filius seditionem movit : utque Vespasianus contra eam Titum misit, ipse vero Cæsaream reversus est.
9. Quomodo Titus nitebatur cives sibi verbis conciliare; Joannes vero, quum eis persuasisset unius diei moram facere, nocte fugit Hierosolyma : atque urbs prima luce Titum recipit.
10. Quomodo Joannem excipiunt Hierosolymis; et de seditione in urbe et vicina regione excitata.
11. De zelotis, quæ facinora patrarunt.
12. Quomodo populus in eos insurrexit, incitati ab Anano pontifice : deque iis quæ zelotæ per sortes fecerunt contra pontificatus dignitatem.
13. Anani ad populum concio contra zelotas.
14. Quomodo acies adversas instruxerunt zelotæ et Ananus cum suis : utque populus, pulsis zelotis, eos in templum se recipere cogebant.
15. Quomodo Joannes ad zelotas missus legatus de pace ineunda, magis eos irritavit, adeo ut Idumæos in auxilium acciverint.
16. Quod Idumæi accersiti statim venerunt, atque exclusi pernoctarunt extra urbem : ad quos verba facit Jesus pontifex.
17. Quod zelotæ, sectis portarum vectibus dum vehementissima ingrueret tempestas, Idumæos introduxerunt, inimicos comprehenderunt, et multis injuriis civitatem affecerunt.
18. Anani et Jesu pontificum cædes.
19. Quomodo zelotæ turbam promiscuam, veluti animantia ratione carentia, interfecerunt : deque Zacharia filio Baruch palam et audacter occiso.
20. Quomodo Idumæi indigne ferentes zelotarum facinora domum discesserunt, utque ab illis liberati majorem stragem ediderunt in civitate.
21. Ut Romanos adversus Judæos ire desiderantes in præsens cohibuit Vespasianus.
22. Quod multi e Judæis ad Romanos transfugiebant, et propter immanitatem zelotarum, et quia ab ipsis occisos sepultura prohibebant.
23. Quomodo Joannes Levi filius paulatim dominatum occupavit.
24. Quæ mala patrarunt zelotæ in Masada castello, dum Paschatis festum ageretur : deque aliis diversis latronibus.
25. Quomodo Vespasianus et Gadaram in potestatem suam redegit; et seditiosos fuga elapsos misso in eos Placido interfecit : et dein finitima oppidula et vicos occupavit.
26. Quomodo Vindex in Gallia a Nerone defecit : utque Ve-

Οὐεσπασιανὸς, τὰς κώμας πάσας καταστρεψάμενος λαμβάνει καὶ τὴν Ἰεριχώ.

κζ'. Ἔκφρασις τῆς πόλεως Ἰεριχοῦντος καὶ τοῦ καλουμένου Μεγάλου πεδίου· καὶ περὶ τῆς ἐν αὐτῇ πηγῆς, καὶ τοῦ γενομένου θαύματος παρὰ Ἐλισσαίου· ἔτι δὲ καὶ περὶ τῆς Ἀσφαλτίτιδος λίμνης καὶ τῶν Σοδόμων.

κη'. Ὅπως Οὐεσπασιανὸς τοῖς ἐν Ἱεροσολύμοις τὰς ἐξόδους ἀποτειχίζων φρουρὰς ἐν ταῖς χειρουμέναις πόλεσι καθίστησι, καὶ Γέρασαν πόλιν Λούκιον πέμψας ἐπόρθησεν.

κθ'. Ὅπως ἀνῃρέθη Νέρων καὶ Γάλβας ἀνηγορεύθη, εἶτα Ὄθων, ἔπειτα Βιτέλλιος, δι' ὀλίγον ἄρξαντες, πάντες ἐτελεύτησαν.

λ'. Περὶ Σίμωνος τοῦ τυράννου, καὶ ὅσα κατὰ τῶν ζηλωτῶν ἔπραξεν.

λα'. Περὶ Χεβρὼν τῆς πόλεως, ἐν ᾗ κατῴκησεν ὁ προπάτωρ Ἄβραμος.

λβ'. Ὡς τοῦ Σίμωνος τὴν Ἰδουμαίαν κατατρέχοντος οἱ ζηλωταὶ τὴν γυναῖκα λοχήσαντες διαρπάζουσιν.

λγ'. Περὶ Γάλβα αὖθις καὶ τῶν μετ' αὐτὸν κρατησάντων ἐν Ῥώμῃ καὶ ἀπολωλότων.

λδ'. Ὅτι Οὐεσπασιανὸς αἱρεῖ τήν τε Γωφνιτινὴν καὶ Ἀκραβατηνὴν τοπαρχίαν, καὶ ἕτερα πολίχνια.

λε'. Περὶ Σίμωνος αὖθις τοῦ τυράννου καὶ τῶν ἐν τῇ πόλει κακῶν· καὶ ὅπως, στασιάσας πρὸς τοὺς ζηλωτὰς, τὸν Σίμωνα κατ' αὐτῶν ἐν τῇ πόλει εἰσήγαγεν.

λς'. Ὅπως Βιτέλλιος ἀπὸ Γερμανίας εἰς Ῥώμην ἦλθεν.

λζ'. Ὡς οἱ στρατιῶται τὰ κατὰ τὴν Ῥώμην πυθόμενοι Οὐεσπασιανὸν ἀνηγόρευσαν αὐτοκράτορα.

λη'. Ὅπως Οὐεσπασιανὸς πρότερον τὴν Ἀλεξάνδρειαν καὶ τὴν Αἴγυπτον χειρώσασθαι ἐσπούδασεν· καὶ ἔκφρασις αὐτῆς τε Αἰγύπτου καὶ τοῦ ποταμοῦ Νείλου.

λθ'. Ὅπως τὸν συγγραφέα Ἰώσηπον τῶν δεσμῶν Οὐεσπασιανὸς ἀνίησιν.

μ'. Ὅτι καλῶς ἐχόντων ἐπ' Ἀλεξανδρείας αὐτῷ τῶν πραγμάτων εἰς Ἀντιόχειαν πρότερον ἀφικόμενος Μουκιανὸν προεκπέμπει.

μα'. Ὅπως ὁ τοῦ Βιτελλίου στρατηγὸς Καικίνας τὸ πλῆθος τῶν Οὐεσπασιανοῦ στρατευμάτων ἰδὼν πέπεικε τοὺς ὑφ' ἑαυτὸν στρατιώτας πρὸς τὸν Ἀντώνιον αὐτομολῆσαι. Ἐν ᾧ μεταγνόντων τῶν στρατιωτῶν καὶ μελλόντων αὐτὸν τῷ Βιτελλίῳ πέμπειν δέσμιον φθάσας Ἀντώνιος Πρῖμος διέφθειρε πολλοὺς, καὶ τὸν Καικίναν τῷ Οὐεσπασιανῷ ἀνέπεμπε.

μβ'. Ὅτου Βιτελλίου ἡττηθέντος καὶ ἀναιρεθέντος Οὐεσπασιανὸς εἰς Ῥώμην ὥρμησεν· ὁ γὰρ υἱὸς αὐτοῦ Τίτος ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

spasianus vicis omnibus eversis etiam Hierichuntem capit.

27. Hierichuntis urbis et Campi magni qui vocatur descriptio : deque fonte in ea et miraculo ab Elissæo edito; insuper et de lacu Asphaltitide et Sodomis.

28. Quomodo Vespasianus, exitus Hierosolymitis occludens, præsidia in civitatibus subactis collocavit; et urbem Gerasam misso in eam Lucio vastavit.

29. Quomodo Nero occisus est et Galba declaratus Imperator; deinde Otho, et post eum Vitellius : qui, quum brevi tempore imperassent, omnes obierunt.

30. De Simone tyranno, et quænam gessit adversus zelotas.

31. De urbe Chebrone, quam habitaverat proavus noster Abramus.

32. Ut Simone Idumæam percursante zelotæ uxorem ejus structis insidiis diripiunt.

33. Iterum de Galba, deque illis qui post eum Romæ imperarunt, et diem supremum obierunt.

34. Quod Vespasianus et toparchiam Gophniticam et Acrabatenam subegit, aliaque oppida.

35. Rursus de Simone tyranno et malis quæ passa est civitas; utque populus, dissentiens a zelotis, Simonem contra eos in urbem introduxit.

36. Quomodo Vitellius e Germania profectus est Romam.

37. Quomodo milites, ubi acceperunt quæ Romæ acciderant, Vespasianum declararunt Imperatorem.

38. Quomodo Vespasianus prius operam dedit ut Alexandriam et Ægyptum in potestatem suam redigeret : Ægyptique descriptio et fluvii Nili.

39. Quomodo Josephum, qui ista scripsit, e vinculis liberat Vespasianus.

40. Quod rebus Alexandriæ bene se habentibus prius Antiochiam profectus Mucianum præmittit.

41. Quomodo Vitelliani exercitus dux Cæcinas, conspecta ingenti militum Vespasiani multitudine, suis persuasit militibus ad Antonium transire. Interea, dum milites facti pœniteret, atque in eo essent ut Cæcinam ad Vitellium vinctum mitterent, eos prævenit Antonius Primus, multosque interfecit, et Cæcinam remittebat Vespasiano.

42. Quod Vitellio victo et interempto Vespasianus Romam ire contendit, et filius ejus Titus reversus est Hierosolyma.

ΚΕΦ. Α'.

Ὅσοι δὲ μετὰ τὴν τῶν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχέαις ἡττηθέντων προσεχώρουν· καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια καὶ τὰς πόλεις, πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος κατειληφότων. Συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταριχεῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. Τῆς δὲ Ἀγρίππα λήξεως αὕτη τε ἦν καὶ Σωγάνη καὶ Σελεύκεια. Καὶ αἱ μὲν ἐκ τῆς Γαυλανίτιδος ἀμφότεραι (τοῦ γὰρ ἄνω καλουμένου Γαυλανῖ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δὲ ἡ Γάμαλα), Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. Ταύτῃ τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδια· διατείνει δὲ αὐτῆς τὰ ἕλη μέχρι Δάφνης χωρίου, τά τε ἄλλα τρυφεροῦ καὶ πηγὰς ἔχοντος, αἳ τρέφουσαι τὸν μικρὸν

CAP. I.

Quicunque autem Galilæorum post Jotapatorum excidium a Romanis defecerant, hi se iis dediderunt, postquam superati erant Taricheatæ : et Romani castella omnia et civitates accipiebant, præter Gischala et qui montem Itabyrium occupaverant. Cum istis autem conspirabat Gamala, urbs in ora lacus Taricheis obversa. Ad fines autem Agrippæ hæc pertinebat, itemque Sogane, et Seleucia. Et hæ quidem Gaulanitidis regionis ambæ (superioris quippe, quæ Gaulana vocatur, pars erat Sogane, et inferioris Gamala), Seleucia vero sita ad Semechonitarum lacum. Huic quidem latitudo est stadiorum triginta, longitudo vero sexaginta, paludesque suas extendit usque ad locum Daphnen, cetera deliciis abundantem fontesque habentem; qui minorem, ut

καλούμενον Ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν προσπέμπουσι τῷ μεγάλῳ. Τοὺς μὲν οὖν ἐπὶ Σωγάνην καὶ Σελεύκειαν παρὰ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξιαῖς Ἀγρίππας προσηγάγετο, Γάμαλα δὲ οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων. (Β'.) Τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ κατατείνων ὄρους μέσον ἐπαίρει τένοντα· μηκύνεται δὲ ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τρανὸν τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων. Κατὰ πλευρὰν μὲν δὴ καὶ πρόσωπον εἰς φάραγγας ἀβάτους περισχίζεται· τὸ κατ' οὐρὰν δὲ ὀλίγον ἀναφεύγει τῆς δυσχωρίας, ὅθεν ἀπῆρτηται τοῦ ὄρους, καὶ τοῦτο ἐπικαρσίᾳ παρακόψαντες τάφρῳ δύσβατον οἱ ἐπιχώριοι κατεσκεύασαν. Πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι δεδομημέναι πεπύκνωνται δεινῶς ἐπ' ἀλλήλαις αἱ οἰκίαι, κρημνιζομένη τε ἡ πόλις ἐοικυῖα κατέτρεχεν εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος· καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν· ὁ νότιος δὲ αὐτῆς ὄχθος εἰς ἄπειρον ὕψος ἀνατείνων ἄκρα τῆς πόλεως ἦν· ἀτείχιστος δὲ ὑπὲρ αὐτὴν κρημνὸς, εἰς τὴν βαθυτάτην κατατείνων φάραγγα. Πηγὴ δὲ ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ κατέληγεν.

β'. Οὕτως οὖσαν φύσει δύσμαχον τὴν πόλιν τειχίζων ὁ Ἰώσηπος ἐποίησεν ὀχυρωτέραν ὑπονόμοις τε καὶ διώρυξιν. Οἱ δὲ ἐν αὐτῇ φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ τὴν Ἰωταπάτην ἦσαν, πολὺ δὲ ἐλάττους μάχιμοι, καὶ τῷ τόπῳ πεποιθότες οὐδὲ πλείονας ὑπελάμβανον. Πεπλήρωτο γὰρ ἡ πόλις διὰ τὴν ὀχυρότητα συμφυγόντων, παρὸ καὶ τοῖς Ἀγρίππα προπεμφθεῖσιν ἐπὶ τὴν πολιορκίαν ἀντεῖχεν ἐπὶ μῆνας ἑπτά.

γ'. Οὐεσπασιανὸς δὲ, ἄρας ἀπὸ τῆς Ἀμμαοῦς, ἔνθα πρὸ τῆς Τιβεριάδος ἐστρατοπεδεύκει (μεθερμηνευομένη δὲ Ἀμμαοῦς θερμὰ λέγοιτ' ἄν, ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν ὑδάτων πρὸς ἄκεσιν ἐπιτήδειος), ἀφικνεῖται πρὸς τὴν Γάμαλαν. Καὶ πᾶσαν μὲν κυκλώσασθαι φυλακῇ τὴν πόλιν οὐχ οἷόστε ἦν οὕτω διακειμένην, πρὸς δὲ τοῖς δυνατοῖς φρουροὺς καθίστη καὶ τὸ ὑπερκείμενον ὄρος καταλαμβάνεται. Τειχισαμένων δὲ ὥσπερ ἔθος τῶν ταγμάτων ὑπὲρ αὐτοῦ στρατόπεδον, χωμάτων ἤρχετο κατ' οὐρὰν, καὶ τὸ κατ' ἀνατολὰς αὐτοῦ μέρος, ὅπερ ὁ ἀνωτάτω τῆς πόλεως πύργος ἦν, ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον ἐστρατοπεδεύκει τάγμα· καὶ τὸ πέμπτον μὲν κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς διώρυγας δὲ ἀνεπλήρου καὶ τὰς φάραγγας τὸ δέκατον. Κἀν τούτῳ προσελθόντα τοῖς τείχεσιν Ἀγρίππαν τὸν βασιλέα, καὶ περὶ παραδόσεως τοῖς ἐφεστῶσι πειρώμενον διαλέγεσθαι, βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα λίθῳ. Καὶ ὁ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη, Ῥωμαίους δὲ ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ βασιλέως καὶ περὶ σφῶν αὐτῶν δέος· οὐ γὰρ ἀπολείψειν ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων, τοὺς πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

vocatur, Jordanem augentes sub fano Bovis aureæ immittunt in majorem. Et Soganes quidem atque Seleuciæ incolas sub initium defectionis sibi fœdere adjunxerat Agrippa, Gamala vero ei se dedere nolebat, freta locorum difficultate magis quam Jotapata. (II.) Jugum namque asperum ab alto monte porrectum in medio tendonem erigit : atque ubi eminere incipit, se aliquantulum protendit, eadem a parte anteriori ac a posteriori declivitate, ut cameli figuram referat; unde nomen etiam duxit, quanquam indigenæ id accurate non exprimant. Et a latere quidem et a fronte diffinditur in profundos hiatus : a tergo vero ubi monti jungitur, non adeo inaccessum est; atque id indigenæ, fossa per obliquum excisa, invium fecerunt. Ejus autem ad latus acclive domus crebræ admodum erant ædificatæ, atque urbs pendenti similis in se a vertice accuminato ruitura videbatur · et ad meridiem quidem vergebat : ejus vero a meridie collis præaltus urbi erat pro arce; superque eam præcipitium erat muris non inclusum, in vallem profundam despectans. Fons etiam intra murorum ambitum erat, in quem urbs desinebat.

2. Quum civitas ita esset a natura expugnatu difficilis, eam fossis et cuniculis adhuc firmiorem reddidit Josephus, quum ei muniendæ operam daret. Qui vero eam tenebant, loci quidem natura audentiores facti erant quam Jotapateni, multo autem pauciores qui pugnæ idonei : locique firmitate freti ne recipiebant quidem plures. Nam virorum plena erat civitas, qui in eam, utpote valide munitam, confugerant. Qua re fiebat ut missis ab Agrippa ad eam obsidendam per menses septem restiterint.

3. Atqui Vespasianus ex Ammaunte profectus, ubi pro Tiberiade castra posuerat (Ammaus autem, si quis nomen interpretetur, Aquæ calidæ vocantur : ibi enim fons est sanandis corporum vitiis idoneus), Gamalam pervenit. Et civitatem quidem omnem in ejusmodi positu custodia circumdare non valebat : qua vero fieri posset excubias collocat, montemque superiorem occupabat. Quum autem milites castra super eo pro more posuissent, aggeres a tergo jacere incipiebat, et ad orientalem quidem ejus partem, qua in loco supra urbem editissimo turris erat, ubi legio decima et quinta castra posuerant : et quinta quidem contra mediam civitatem opus absolvebat; fossas autem et valles replebat decima. Interea quum ad mœnia accessisset rex Agrippa et de deditione ad eos qui super muris stabant verba facere conaretur, funditorum quidam dextrum ejus cubitum lapide percutit. Et ille quidem celeriter a familiaribus suis circumseptus est : Romanos autem et ira ob regem et sui metus ad obsidionem protinus incitabat, nihil quippe crudelitatis illos in alienigenas atque hostes præterm issum ire credentes, qui in popularem suum, et quæ e re ipsorum essent suadentem, sævitiam exercuerunt.

(Γ'.) δ'. Συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει χειρῶν καὶ τῶν πραττομένων ἔθει προσῆγον τὰς μηχανάς. Οἱ δὲ περὶ τὸν Χάρητα καὶ Ἰώσηπον (οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνατώτατοι) καίπερ καταπεπληγότας τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι· παρακροτήσαντες δὲ ὅμως ἐξήγαγον ἐπὶ τὸ τεῖχος. Καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο τοὺς προσάγοντας τὰς μηχανὰς, βαλλόμενοι δὲ τοῖς καταπελτικοῖς καὶ τοῖς πετροβόλοις ἀνεχώρουν εἰς τὴν πόλιν. Καὶ προσάγοντες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς διασείουσι μὲν τὸ τεῖχος, ὑπὲρ δὲ τῶν ῥιφθέντων εἰσχεόμενοι μετὰ πολλοῦ σαλπίγγων ἤχου καὶ κτύπου τῶν ὅπλων αὐτοί τε ἐπαλαλάζοντες συνερρήγνυντο τοῖς κατὰ τὴν πόλιν. Οἱ δὲ, τέως μὲν κατὰ τὰς πρώτας εἰσόδους ἐνιστάμενοι, προσωτέρω χωρεῖν ἐκώλυον, καὶ καρτερῶς τοὺς Ῥωμαίους ἀνεῖργον· βιαζόμενοί τε ὑπὸ πολλῶν καὶ πάντοθεν τρεπόντων καὶ πρὸς τὰ ὑψηλὰ τῆς πόλεως, προσκειμένοις τοῖς πολεμίοις ἐξ ὑποστροφῆς ἐπιπεσόντες, συνώθουν εἰς τὸ κάταντες, καὶ τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβομένους ἀνῄρουν. Οἱ δὲ μήτε τοὺς κατὰ κορυφὴν ἀμύνασθαι δυνάμενοι μήτε διεκπαίειν τῶν σφετέρων πρόσω βιαζομένων ἐπὶ τὰς οἰκίας τῶν πολεμίων (πρόσγειοι γὰρ ἦσαν) ἀνέφευγον. Αἱ δὲ ταχέως κατηρείποντο πληρούμεναι καὶ τὸ βάρος μὴ στέγουσαι· κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτὴν πεσοῦσα, καὶ πάλιν ἐκεῖναι τὰς ὑπ' αὐτάς. Τοῦτο πλείστους διέφθειρε τῶν Ῥωμαίων· ὑπὸ γὰρ ἀμηχανίας, καίτοι συνιζούσας ὁρῶντες, ἐπεπήδων ταῖς στέγαις. Καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς ἐρειπίοις, πολλοὶ δὲ ὑποφεύγοντες μέρει τοῦ σώματος κατελαμβάνοντο, πλείστους δὲ ὁ κονιορτὸς ἄγχων ἀνῄρει. Συνέργειαν Θεοῦ τοῦτο Γαμαλεῖς ὑπελάμβανον, καὶ τῆς κατὰ σφᾶς ἀμελοῦντες βλάβης ἐπέκειντο, πρός τε τὰ τέγη τοὺς πολεμίους ἀνωθοῦντες καὶ τοὺς κατολισθάνοντας ἐν ὀξέσι τοῖς στενωποῖς καὶ ἀεὶ τοὺς πίπτοντας ὕπερθεν βάλλοντες ἔκτεινον. Καὶ τὰ μὲν ἐρείπια χερμάδων πλέα ἦν αὐτοῖς, σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί· παρασπῶντες γὰρ τὰ τῶν πεσόντων ξίφη κατὰ τῶν δυσθανατούντων ἐχρῶντο. Πολλοὶ δὲ ἀποπίπτοντες ἤδη τῶν δωμάτων σφᾶς αὐτοὺς βάλλοντες ἔθνησκον. Ἦν δὲ οὐδὲ τραπέντων ἡ φυγὴ ῥᾴδιος· κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ παχύτητα τοῦ κονιορτοῦ μηδὲ ἀλλήλους ἐπιγινώσκοντες ἀνειλοῦντο, καὶ περὶ σφᾶς ἔπιπτον.

(Δ'.) ε'. Οἱ μὲν οὖν μόλις εὑρίσκοντες τὰς ἐξόδους ἀνεχώρησαν ἐκ τῆς πόλεως· Οὐεσπασιανὸς δὲ ἀεὶ προσμένων τοῖς πονουμένοις (δεινὸν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην ὁρῶντα περὶ τῷ στρατῷ τὴν πόλιν), ἐν λήθῃ τοῦ καθ' αὑτὸν ἀσφαλοῦς γενόμενος λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς· οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν, τηνικαῦτα πρὸς Μουκιανὸν εἰς Συρίαν ἀπεσταλμένος· τραπῆναι μὲν

(III.) 4. Itaque aggeribus cito perfectis et ob militum multitudinem et quod opere assuefacti essent, machinas adducebant. Chares autem et Josephus (nam illi potentissimi eorum qui in urbe erant) armatis, licet metu perculsis, ordinandis operam dant, quoniam non din obsidionem sustineri posse arbitrabantur, quum aquæ aliorumque necessariorum copia non abundarent : atque eos exhortati simul ad mœnia eduxerunt. Et ad breve quidem tempus propulsabant eos qui machinas adducebant, catapultis autem et ballistis percussi in urbem se recipiebant. Atque Romani, tribus ex locis arietes adducentes, murum quidem concutiunt : qua vero dejectus erat, irruentes magno cum tubarum sonitu et armorum strepitu, ipsorumque etiam clamore, cum iis qui in urbe erant prælio congrediebantur. Illi autem aliquo tempore ad primos aditus instantes, ne *ultra progrederentur* obstabant, eosque fortiter repellebant. Quumque superati essent a multitudine illorum, qui eos undique urgebant, compulsique ut ad excelsa civitatis loca refugerent, tum demum conversi et hostes instantes adorti in declivia eos contrudebant, locorumque angustia et difficultate compressos interficiebant. Romani autem, quum neque a vertice imminentes depellere, neque in partem aliquam evadere possent, suis contra ipsos ire nitentibus, in fastigia domorum hostilium (quippe humiles erant) se fuga recipiebant. Illæ autem, quum militum plenæ pondus sustinendo non essent, statim collapsæ sunt; et una dejecta *multas infra se illæque alias deturbabant*. Quo factum ut plurimi Romanorum perierint : quippe incerti quid agerent, in tecta insiliebant, quamvis ea subsidere viderent. Atque ita multi quidem ruinis opprimebantur, haud pauci vero, non nisi parte corporis mulctati subterfugiebant : plurimosque pulvis eos suffocando enecabat. Id quod Gamalenses a Deo esse ipsos adjuvante existimabant, adeoque sua damna insuper habentes hostibus instabant, eosque *urgendo in tecta propellebant*, ac *delapsos in asperis viarum* angustiis, ut quisque caderet, telis desuper missis interficiebant. Et ruinæ quidem eis lapidum affatim dabant, ferrum vero mortui hostes suppeditabant : nam cæsorum gladios distringentes, contra semineces illis utebantur. Porro multi, quum de tectis decidissent, semet ferientes occidebant. Quin et terga dantibus ne fuga quidem facilis erat : viarum namque ignorantia et pulveris crassitie sese non internoscentes pererrabant et circa suos cadebant.

(IV.) 5. Atque illi quidem, qui exitus inveniebant, ex urbe recesserunt. Vespasianus autem, qui laborantibus semper intererat (nam vehemens eum dolor occupabat, quum urbem super militem ruere videret), suæ salutis oblitus, quum se paulatim in superiora urbis ascendisse non sensisset, ubi cum paucis admodum e suis media inter pericula relictus erat (neque enim tunc aderat ei Titus filius, ad Mucianum eo tempore in Syriam missus); et dare quidem terga neque tu-

οὖν οὔτε ἀσφαλὲς οὔτε πρέπον ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν τοὺς ἅμα αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας, ἐνυφίσταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον, καὶ οὔτε ἀνδρῶν πλῆθος οὔτε βελῶν ὑποπτήξας ἐπέμενε, μέχρι δαιμόνιον τὸ παράστημα τῆς ψυχῆς συννοήσαντες οἱ πολέμιοι ταῖς ὁρμαῖς ἐνέδοσαν. Ἀτονώτερον δὲ προσκειμένων αὐτὸς ἐπὶ πόδα ἀνεχώρει, νῶτα μὴ δεικνὺς ἕως ἔξω τοῦ τείχους ἐγένετο. Πλεῖστοι μὲν οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον τὴν μάχην, ἐν οἷς καὶ ὁ δεκαδάρχης Ἔβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ πανταχοῦ καὶ πρότερον γενναιότατος φανεὶς, καὶ πλεῖστα κακὰ Ἰουδαίοις ἐργασάμενος. Ἑκατοντάρχης δέ τις, Γάλλος ὀνόματι, μετὰ στρατιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ, κατέδυ μὲν εἴς τινος οἰκίαν, τῶν δὲ ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπνον ὅσα κατὰ τῶν Ῥωμαίων ἡ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο καταπροασάμενος (ἦν δὲ αὐτός τε καὶ οἱ σὺν αὐτῷ Σύροι), νύκτωρ ἐπανίσταται, καὶ πάντας ἀποσφάξας μετὰ τῶν στρατιωτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

(Ε'.) ς'. Οὐεσπασιανὸς δὲ ἀθυμοῦσαν τὴν στρατιὰν ἐννοίᾳ πταισμάτων, καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ συμφορᾷ κέχρηντο, τό γε μὴν πλέον αἰδουμένους ἐπὶ τῷ τὸν στρατηγὸν μόνον τοῖς κινδύνοις ἐγκαταλιπεῖν, παρεμυθεῖτο, περὶ μὲν τοῦ καθ' αὑτὸν ὑποστελλόμενος, ὡς μηδὲ τὴν ἀρχὴν μέμφεσθαι δοκοίη, « δεῖν δὲ τὰ κοινὰ λέγων ἀνδρείως φέρειν, τὴν τοῦ πολέμου φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ περιγίνεται· ἡ γὰρ παλίμπους τύχη περίσταται. Τοσαύτας μέντοι μυριάδας Ἰουδαίων ἀνελόντας αὐτοὺς ὀλίγην τῷ δαίμονι δεδωκέναι συμβολήν. Εἶναι δὲ ὥσπερ ἀπειροκάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως ἀνάνδρων τὸ καταπτήσσειν ἐν τοῖς πταίσμασιν. Ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολὴ, κἀκεῖνος ἄριστος ὁ κἀν τοῖς ἀτυχήμασι νήφων, ἵνα μένῃ καὶ δι' εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα. Τὰ μέντοι συμβεβηκότα νῦν οὔτε μαλακισθέντων ἡμῶν, οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν· ἀλλὰ κἀκείνοις τοῦ πλεονεκτῆσαι καὶ τοῦ διαμαρτεῖν ἡμῖν αἴτιον ἡ δυσχωρία. Καθ' ἣν ἄν τις ὑμῶν μέμψαιτο τῆς ὁρμῆς τὸ ἀταμίευτον. Ἀναφυγόντων γὰρ ἐπὶ τὰ ὑψηλὰ τῶν πολεμίων ἑαυτοὺς ὑποστέλλειν ἐχρῆν, καὶ μὴ κατὰ κορυφὴν ἱσταμένοις τοῖς κινδύνοις ἔπεσθαι· κρατοῦντας δὲ τῆς κάτω πόλεως κατ' ὀλίγον προκαλεῖσθαι τοὺς ἀναφυγόντας εἰς ἀσφαλῆ καὶ ἑδραίαν μάχην. Νυνὶ δὲ ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι τῆς ἀσφαλείας ἠμελήσατε. Τὸ δὲ ἀπερίσκεπτον ἐν πολέμῳ καὶ τῆς ὁρμῆς μανιῶδες οὐ πρὸς Ῥωμαίων, οἳ πάντα ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ βαρβαρικὸν, καὶ ᾧ μάλιστα Ἰουδαῖοι κρατοῦνται. Χρὴ τοίνυν ἐπὶ τὴν ἑαυτῶν ἀρετὴν ἀναδραμεῖν καὶ θυμοῦσθαι μᾶλλον ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν πταίσματι. Τὴν δὲ ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν. Οὕτω γὰρ τοῖς

tum neque honestum putasset, rerum autem quas ab adolescentia gesserat et suæ virtutis memor, quasi Dei afflatu, ex eorum qui cum ipso erant corporibus et armaturis testudinem facit. Atque ita bellum a vertice defluens sustinet, et neque virorum neque telorum multitudinem formidans, perseverabat, donec hostes, ejus animi præsentiam divinam esse reputantes, ardorem remitterent. Quum autem minus acriter instarent, ipse pedem referebat, non prius tergum convertens quam extra muros esset. Et plurimi quidem Romani milites ea pugna ceciderunt, in quibus et Ebutius decurio, vir qui non eo tantum prælio quo periit, sed ubique antea se fortissimum præstitit et mala plurima Judæis intulit. Centurio autem quidam, Gallus nomine, media in turba, cum decem militibus in cujusdam domum clam subiit: quumque eos qui in ea erant audivisset inter se, dum cœnarent, colloquentes de iis quæ populus contra Romanos aut pro se statuerant (erat enim et ipse Syrus, itemque Syri qui cum eo erant), nocte illos adortus omnes jugulat et ad Romanos salvus cum militibus evasit.

(V.) 6. Vespasianus autem exercitui adversorum casuum cogitatione dejecto, quodque non antea ejusmodi cladem fuerant experti, maxime vero quod eos puderet ducem in periculis deseruisse, solamen adhibebat, nihil quidem de se dicens, ut omnino non videretur conqueri, « oportere autem dicens quæ communia essent fortiter ferre, belli naturam secum animo reputantes, quodque nusquam sine sanguine reportetur victoria: fortuna quippe mutabilis circumstat. Certe quum tot millia Judæorum interfecerint, ipsos fortunæ vicissim parvi aliquid pependisse. Atque ut ineptorum esse rebus secundis valde insolescere, ita ignavorum calamitate accepta trepidare. Velox enim est in utramque partem mutatio, atque ille fortissimus, cujus sobrius est animus, etiam quum res male ceciderint, ita ut idem maneat, hilari etiam animo quod perditum erat reparans. Quæ vero nunc acciderunt, neque nostræ mollitiei neque Judæorum virtuti accepta debentur: sed illis tam pugnæ melioris quam nobis deterioris causa erat locorum difficultas. Qua in re est ut aliquis temeritatis vestræ alacritatem reprehendat. Nam quum hostes in loca excelsiora refugissent, manus continere debuistis, neque pericula sequi in summo vertice adeunda, sed capta urbe inferiori paulatim eos, qui in superiora se receperant, ad pugnam certam stabilemque provocare. Nunc autem accidit ut vehementer ad victoriam incitati nullam vestræ salutis rationem habueritis. Verum temerarius et furiosus in bello impetus haud Romanorum est, qui omnia ex peritia et disciplinæ legibus perficimus, sed barbarorum, et quo maxime valent Judæi. Oportet igitur nos ad propriam virtutem recurrere, et irasci potius quam ex errore adeo indigno animum despondere. Atqui optimum quisque sua ex manu quærat solamen. Ita enim vos ultum

ἀπολωλόσι τιμωρήσεσθε καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. Πειράσομαι δὲ ἐγὼ, καθάπερ νῦν, ἐπὶ πάσης μάχης προάγειν τε ὑμῶν εἰς τοὺς πολεμίους, καὶ τελευταῖος ἀποχωρεῖν. »

ζ'. Ὁ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανε. Τοῖς δὲ Γαμαλεῦσι πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη, παραλόγως τε συμβάντι καὶ μεγάλως. Λογιζόμενοι δὲ ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδα τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες (ἤδη γὰρ ἐπέλιπε τἀπιτήδεια), δεινῶς ἠθύμουν καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν· οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ περιρρηχθέντα τοῦ τείχους οἱ γενναιότατοι καὶ τὰ μένοντα περισχόντες ἐφύλασσον οἱ λοιποί. Τῶν δὲ Ῥωμαίων ἐπιχωννύντων τὰ χώματα καὶ πάλιν πειρωμένων εἰσβολῆς, οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως, κατά τε δυσβάτων φαράγγων, ἧπερ οὐκ ἔκειντο φυλακαὶ, καὶ διὰ τῶν ὑπονόμων. Ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐνδείᾳ διεφθείροντο· πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

(Ϛ'.) η'. Καὶ οἱ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν. Οὐεσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλίμα, πεδίον δέ ἐστιν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι, πᾶν τετειχισμένον. Ἤγειρε δὲ τοσοῦτον ὄντα τὸν περίβολον ὁ Ἰώσηπος ἐν τεσσαράκοντα ἡμέραις, τῇ τε ἄλλῃ χορηγούμενος ὕλῃ κάτωθεν καὶ ὕδατι· καὶ γὰρ τοῖς ἐποίκοις μόνον ἦν ὄμβριον. Πολλοῦ οὖν πλήθους ἐπὶ τούτου συνειλεγμένου, Οὐεσπασιανὸς Πλάκιδον σὺν ἱππεῦσιν ἑξακοσίοις πέμπει. Τούτῳ τὸ μὲν προσβαίνειν ἀμήχανον ἦν, ἐλπίδι δὲ δεξιῶν καὶ παρακλήσεως πρὸς εἰρήνην τοὺς πολλοὺς προσεκαλεῖτο· κατῆσαν δὲ ἀντεπιβουλεύοντες. Ὅ τε γὰρ Πλάκιδος ὡμίλει πραότερον, σπουδάζων αὐτοὺς ἐν τῷ πεδίῳ λαβεῖν, κἀκεῖνοι κατῆσαν ὡς πειθόμενοι δῆθεν, ἵνα ἀφυλάκτῳ προσπέσωσιν. Ἐνίκα μέντοι τὸ Πλακίδου πανοῦργον. Ἀρξαμένων γὰρ τῶν Ἰουδαίων μάχης φυγὴν ὑποκρίνεται, καὶ διώκοντας ἑλκύσας ἐπὶ πολὺ τοῦ πεδίου τοὺς ἱππεῖς ἐπιστρέφει. Τρεψάμενος δὲ πλείστους μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμόμενος εἴργει τῆς ἀνόδου. Καὶ οἱ μὲν τὸ Ἰταβύριον καταλιπόντες ἐπὶ Ἱεροσολύμων ἔφευγον, οἱ δὲ ἐπιχώριοι πίστεις λαβόντες (ἐπιλελοίπει δὲ αὐτοὺς τὸ ὕδωρ) τό τε ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέδοσαν.

(Ζ'.) θ'. Τῶν δὲ ἐπὶ τῆς Γαμάλας οἱ παραβολώτεροι μὲν φεύγοντες διελάνθανον, οἱ δὲ ἀσθενεῖς διεφθείροντο λιμῷ· τὸ μάχιμον δὲ ἀντεῖχε τῇ πολιορκίᾳ, μέχρι, δευτέρᾳ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τρεῖς τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑποδύντες τὸν προὔχοντα κατὰ τούτους πύργον ὑπορύσσουσιν ἡσυχῇ, τοῖς δὲ ὑπὲρ αὐτοῦ φύλαξιν οὔτε προσιόντων αἴσθησις (νὺξ γὰρ ἦν) οὔτε

ibitis amissos, et vindicatum in eos a quibus perempti sunt. Mihi autem curæ erit, quemadmodum et nunc, in omni pugna vobis contra hostes præire, novissimusque inde discedere. »

7. Et ille quidem istiusmodi verbis recreabat exercitum. Tunc autem Gamalenses paulisper quidem fiduciam sumpserunt ex rebus feliciter valdeque præter omnem opinionem gestis. Postea vero reputantes sibi ipsis ablatam esse fœderis spem, cogitantesque quod minime possent effugere (jam enim victus eos defecerat), magna erant in anxietate, animique illis ceciderunt : suam tamen, quoad ejus fieri posset, salutem curabant : quippe fortissimi illorum muri partes diffractas, atque integrarum ambitum reliqui custodiebant. At quum Romani aggeres construerent, iterumque irruptionem facere niterentur, multi ex civitate per valles impervias, ubi nullæ erant excubiæ, et per cloacas diffugiebant. Ceterum quotquot præ metu ne caperentur manebant, inopia interibant : nam iis solum, qui pugnando erant, undique congerebatur alimentum.

(VI.) 8. Atque illi quidem in hujusmodi calamitatibus perdurabant. Vespasianus autem præter obsidionem succisivo opere eos adoritur, qui montem Itabyrium occupaverant, inter Campum magnum et Scythopolin medium : cujus quidem altitudo stadiis triginta adsurgit, septemtrionali latere fere inaccessa ; in vertice autem planities viginti sex stadiorum patet, tota muro circumdata. Ceterum hunc circuitum tantum quadraginta diebus muniverat Josephus, cui et aliarum rerum copiam insuper et aquam suppeditabant loca inferiora : etenim incolis nulla erat præter pluvialem. Ingenti itaque in eum multitudine congregata, Vespasianus mittit Placidum cum equitibus sexcentis. Huic quidem nulla erat via qua montem ascenderet ; fœderis autem culpæque deprecandæ spe multitudinem ad pacem hortabatur : et descendebant insidiandi animo. Nam et Placidus mitius cum illis colloquebatur, id agens ut eos in planitie caperet ; atque illi tanquam dicto audientes descendebant, ut incautum adorirentur. Vicit tamen Placidi astutia. Cœpto enim a Judæis prælio, fugam simulat : quumque insequentes in multum campi pellexisset, equites in eos convertit. Quibus terga dantibus, plurimos quidem illorum interficit, reliquæ vero multitudini reditum in montem præcidit, adeo ut illi Itabyrio relicto Hierosolyma se fuga reciperent ; indigenæ vero, quod summa aquarum penuria laborarent, et montem et se ipsos fide accepta Placido tradiderunt.

(VII.) 9. Verum ex Gamalensibus qui visi sunt audaciores fuga dispersi latebant, et turba imbellis fame peribat ; pugnantium tamen manus obsidionem sustinebat, donec tres ex decimaquinta legione milites, circa matutinas vigilias, secundo et vicesimo die mensis Hyperberetæi, editissimam versus ipsos turrim subirent, eamque clam suffoderent, custodibus ei appositis, neque quum accederent (quippe nox erat) neque postquam adessent, quidquam sentientibus.

προσελθόντων ἐγένετο. Οἱ δὲ στρατιῶται φειδόμενοι τοῦ ψόφου πέντε τοὺς κραταιοτάτους ἐκκυλίσαντες τῶν λίθων, ὑποπηδῶσι· κατηρείπετο δὲ ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. Καὶ συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δὲ οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον, καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. Τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ ψόφου διαδρομή τε ἦν καὶ πτοία πολλή, καθάπερ εἰσπεπτωκότων πάντων τῶν πολεμίων. Ἔνθα καὶ Χάρης κατακείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολὺ τοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. Ῥωμαῖοί γε μὴν, μεμνημένοι τοῦ προτέρου πταίσματος, οὐκ εἰσέβαλον ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός.

ι'. Τίτος δὲ (ἤδη γὰρ παρῆν) ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτῶν ἐπλήγησαν ἀπόντος Ῥωμαῖοι τῶν ἱππέων ἐπιλέξας διακοσίους, πρὸς οἷς καὶ πεζοὺς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ. Καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης, οἱ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ τὰς γυναῖκας ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ βαῆς, οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον. Ὅσοι δὲ ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. Ἄπειρος δὲ ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. Πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Οὐεσπασιανὸς πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. Ἦν δὲ ἥ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ πανταχόθεν τοῦ πλήθους κατέγεμε, περιειλημμένη κρημνοῖς, κατέτεμνόν τε ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τούς τε ἄλλους βέλεσι καὶ πέτραις κατακυλινδοῦντες ἐκάκουν, αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλεσι. Γίνεται δὲ πρὸς ἀπώλειαν αὐτῶν ἀντικρὺ θύελλα δαιμόνιος, ἥ τὰ μὲν Ῥωμαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δὲ αὐτῶν ἀνέστρεφε καὶ πλάγια παρέσυρεν. Οὔτε δὲ τοῖς ἀποκρήμνοις ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἑδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας καθορᾶν. Ἐπαναβαίνουσι δὲ Ῥωμαῖοι, καὶ περισχόντες οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς δὲ χεῖρας προΐσχοντας. Ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. Ἀπογινώσκοντες δὲ τὴν σωτηρίαν πανταχόθεν οἱ πολλοὶ περισχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα· βαθυτάτη δὲ αὕτη κατὰ τὴν ἄκραν ὑπώρυκτο. Συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὐτοὺς ἀπονοίας τῶν ἁλόντων πρατέραν φανῆναι. Τετρακισχίλιοι μέν γε ὑπὸ τούτων ἐσφάγησαν, οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους ηὑρέθησαν· διασώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς. Τῆς Φιλίππου δὲ ἦσαν ἀδελφῆς θυγατέρες αὗται· αὐτὸς δ' ὁ Φίλιππος

lidem autem milites, cavendo ne strepitus fieret, quinque saxis validissimis evolutis se proripiunt, subitoque turris cum ingenti fragore decidit. Et custodes quidem ejus una *præcipitantur* : qui vero alibi custodias agebant, perturbati fugiebant; multosque erumpere audentes occidere Romani, in quibus et Josephum, super partem muri dejectam excurrentem, quidam jaculo perimit. Ab iis autem qui in urbe erant, ex isto sonitu mente permotis, undique discursum est et valde trepidatum, tanquam hostes universi irruptionem fecissent. Tunc et Chares lecto decumbens inter curationem efflat animam, magno timore nonnihil faciente ut morbus ad mortem usque ingravesceret. Ceterum Romani, prioris cladis memores, ante vicesimam et tertiam diem mensis prædicti urbem non sunt ingressi.

10. Titus autem (quippe jam aderat) indignatione plagæ quam Romani ab ipsis se absente acceperant, delectis equitibus ducentis ac præterea pedítibus, quiete in urbem intrat. Quem quum vigiles quidem prætergressum sensissent, ad arma cum clamore properabant. Cognito autem etiam ab iis qui intus erant introitu, alii quidem liberos rapientes et conjuges post se trahentes cum ululatu et exclamationibus in arcem refugiebant : alii vero Tito occurrentes sine ulla intermissione cadebant. Et quotquot prohibiti erant quominus in arcem se fuga reciperent, præ consilii inopia delabebantur in Romanorum præsidia. Atque creberrimi *erant ubique morientium gemitus, ac cruor per loca prona* effusus urbem omnem inferiorem inundabat. Ceterum contra eos, qui arcem fuga occupaverant, cum toto statim exercitu ibat Vespasianus. Erat autem vertex undique saxosus et accessu difficilis, in immensum editus, et ex omni parte multitudine plenus erat, præcipitiis circumdatus : unde adeuntes ad ipsos conficiebant Judæi, aliosque telis ac lapidibus devolutis male accipiebant, ad ipsos vero propter loci altitudinem nullæ pertingebant sagittæ. *Ipsorum autem ad interitum divinitus plane immissa oritur* procella, quæ Romanorum quidem tela in eos ferebat, ipsorum autem in obliquum trahens a Romanis avertebat. At neque in præruptis consistere valebant propter venti vehementiam, ut qui nihil stabile haberent, neque ad se accedentes prospicere. Romani autem ascendunt, quumque eis semet circumdedissent, alios quidem repugnantes, alios vero semet dedentes præveniebant. Illis vero in omnes iram intendebat recordatio illorum qui prima in impressione perierunt. Quo factum ut multi salutem desperantes filios et conjuges amplexi semetipsos in vallem præcipitarint, quæ juxta arcem in immensum suffossa erat. Evenit autem ut ipsorum in se qui capti fuerant immanitate lenior appareret Romanorum iracundia. Ab his enim quater mille perempti erant, *quinquies* vero mille et amplius reperti qui sese præcipites dederunt : nemo autem præter duas mulieres interitum effugit. Atque illæ Philippi sororis filiæ erant, ipse vero Philippus Jacimi cujusdam, viri nobilis,

Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στρατηρχήσαντος Ἀγρίππα τῷ βασιλεῖ. Διεσώθησαν δὲ τὰς παρὰ τὴν ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι. Οὐδὲ γὰρ νηπίων ἐφείδοντο, πολλὰ δὲ ἕκαστος τότε ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς ἄκρας. Γάμαλα μὲν οὖν οὕτως ἑάλω τριτῃ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορπιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι.

qui Agrippæ regis exercitui præfuerat. Evaserunt autem, quod iræ Romanorum in excidio sese subduxerant. Nec enim infantibus pepercerunt, multos vero singuli eo tempore raptos ex arce projiciebant. Atque ita quidem Gamala excisa erat, tertio et vicesimo die mensis Hyperberetæi, cœpta defectione a quarto et vicesimo die mensis Gorpiæi.

ΚΕΦ. Β'.

Μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος (καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν ἀεὶ προσανέχοντες), παρεισεφθαρμένου δὲ αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινες καὶ τοῦ πολιτικοῦ συνενόσουν. Ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπόστασιν καὶ συνεκρότει Λευΐου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγενέσθαι, παντί τε ὢν δῆλος ἀγαπᾶν τὸν πόλεμον εἰς δυναστείας ἐπίθεσιν. Ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον περὶ παραδόσεως τὸ δημοτικὸν ἐν πολέμου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν χιλίοις ἱππεῦσι, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν· αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνάπαυσιν αὐτοῖς καὶ δι' εὐθηνίαν τῶν πόλεων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας ἀγῶνας. Οὐ γὰρ ὀλίγον ἑαυτῷ πόνον ἑώρα περὶ τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πόλεως καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δὲ εἰς αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων. Τό γε μὴν φύσει ὀχυρὸν αὐτῆς, καὶ διὰ κατασκευὴν τειχῶν, ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμεταχειρίστους καὶ δίχα τειχῶν ὑπελάμβανε. Διὸ δὴ τοὺς στρατιώτας καθάπερ ἀθλητὰς προήσκει τῶν ἀγώνων.

CAP. II. (VIII.)

Jamque solum Gischala Galilææ oppidum restabat indomitum; cujus quidem multitudo pacis studio tenebatur (etenim plerique agricolæ erant et ad speratos fructus semper attenti), verum non exigua latronum manus in eos perniciose irrepserat, quorum contagio nonnulli etiam de civitate corrupti erant. Hos autem ad defectionem impellebat atque incitabat Joannes Levi cujusdam filius, homo fallaciis plenus, variusque moribus, ad magna quidem speranda proclivis, et ad sperata assequenda plurimum valens, quemque omnes cognorant bellum amare dominatus occupandi desiderio. Ab illo apud Gischala stabat seditiosorum turba, quorum causa fortasse et populus, qui in eo erant ut de deditione legatos mitterent, Romanorum adventum tanquam præliaturi exspectabant. At Vespasianus contra hos quidem Titum mittit cum equitibus mille, decimam vero legionem inde movet Scythopolin: cum reliquis autem duobus ipse Cæsaream regressus est, et continuis ex laboribus requiem illis concedens; et propter rerum in civitatibus abundantiam fore ratus, ut et corpora illis sobolescerent et animis daretur alacritas ad futura certamina. Nam laborem non exiguum sibi superesse videbat circa Hierosolyma, ut quæ et regalis quidem civitas esset, et genti universæ præemineret, et in quam confluerent quotquot ex bello effugerant. Porro quod urbs natura munita esset murisque circumdata, non mediocri affectus erat sollicitudine, præsertim quum virorum spiritum ac audaciam etiam sine muris expugnatu difficilem esse cogitaret. Quapropter milites tanquam athletas ante certamina curabat et exercebat.

(Θ'.) β'. Τίτῳ δὲ προσιππασαμένῳ τοῖς Γισχάλοις εὐπετὲς μὲν ἦν ἐξ ἐφόδου τὴν πόλιν ἑλεῖν· εἰδὼς δὲ, εἰ βίᾳ ληφθείη, διαφθαρησόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος (ἦν δὲ αὐτῷ κόρος ἤδη φόνων) καὶ δι' οἴκτου τὸ πλέον ἀκρίτως συναπολούμενον τοῖς αἰτίοις, ἐβούλετο μᾶλλον ὁμολογίαις παραστήσασθαι τὴν πόλιν. Καὶ δὴ τοῦ τείχους ἀνδρῶν καταγέμοντος, οἳ τὸ πλέον ἦσαν ἐκ τοῦ διεφθαρμένου τάγματος, θαυμάζειν, ἔφη πρὸς αὐτοὺς, τίνι πεποιθότες, πάσης ἑαλωκυίας πόλεως, μόνοι τὰ Ῥωμαίων ὅπλα μένουσιν, ἑορακότες μὲν ὀχυρωτέρας πολλῷ πόλεις ὑπὸ μίαν προσβολὴν κατεστραμμένας, ἐν ἀσφαλείᾳ δὲ τῶν ἰδίων κτημάτων ἀπολαύοντας ὅσοι ταῖς Ῥωμαίων δεξιαῖς ἐπίστευσαν, ἃς καὶ νῦν προτείνειν αὐτοῖς, μηδὲν μνησικακῶν τῆς αὐθαδείας. Εἶναι γὰρ συγγνωστὸν ἐλευθερίας ἐλπίδα, μηκέτι μέντοι τὴν ἐν τοῖς ἀδυνάτοις ἐπιμονήν. Εἰ

(IX.) 2. Tito autem, quum equitando accessisset Gischala, facile quidem erat urbem prima aggressione capere; fore autem sciens ut populus a militibus, si vi capta esset civitas, perimeretur (ipse autem jam satiatus erat cædibus), miseransque multitudinem sine discrimine cum nocentibus interituram, malebat urbem certis conditionibus sibi deditum iri. Itaque quum mœnia hominum plena essent, quorum plerique perditæ factionis erant, ipsis dicebat se mirari, quonam freti consilio, omni alia urbe jam capta, soli Romanorum armis resisterent, quum quidem urbes vidissent multo munitiores primo statim impetu eversas; securos autem fortunis suis potiri, qui Romanorum fidei se credidissent: quam quidem etiam nunc se illis porrigere, ut qui vindictæ non studeret propter ipsorum insolentiam. Illis quippe condonandam esse libertatis spem, haud tamen perseverantiam in iis quæ fieri non possint. Quodsi ver-

γὰρ οὐ πεισθήσονται λόγοις φιλανθρώποις καὶ δεξιαῖς πίστεως, πειράσειν αὐτοὺς ἀφειδῆ τὰ ὅπλα, καὶ ὅσον οὐδέπω γνωσθήσεσθαι παιδιὰν ἐσόμενον τοῖς Ῥωμαίων μηχανήμασι τὸ τεῖχος, ᾧ πεποιθότες ἐπιδείκνυνται μόνοι Γαλιλαίων ὅτι εἰσὶν αὐθάδεις αἰχμάλωτοι.

γ'. Πρὸς ταῦτα τῶν μὲν δημοτικῶν οὐ μόνον οὐκ ἀποκρίνεσθαί τινι μετῆν, ἀλλ' οὐδὲ ἐπὶ τὸ τεῖχος ἀναβῆναι. Προδιείληπτο γὰρ ἅπαν τοῖς λῃστρικοῖς, καὶ φύλακες τῶν πυλῶν ἦσαν, ὡς μή τινες ἢ προέλθοιεν ἐπὶ τὰς σπονδὰς, ἢ δέξαιντό τινας τῶν ἱππέων εἰς τὴν πόλιν. Ὁ δὲ Ἰωάννης αὐτός τε ἀγαπᾶν ἔφη τὰς προκλήσεις καὶ τοὺς ἀπειθοῦντας ἢ πείσειν ἢ συναναγκάσειν· δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην (ἑβδομὰς γὰρ ἦν) χαρίζεσθαι τῷ Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον. Οὐκ ἀγνοεῖν δὲ οὔτε Ῥωμαίους ὡς ἀργὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος. Ἐν δὲ τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον· φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως (τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον; ἑξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι), μέγα δὲ κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι τῶν πατρίων ἐθῶν· πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους. Τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος, ὅσον τῆς ἑαυτοῦ σωτηρίας· ἐδεδοίκει δὲ ἐγκαταλειφθῆναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου. Θεοῦ δὲ ἦν ἔργον ἄρα τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τῷ τῶν Ἱεροσολύμων ὀλέθρῳ, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδυσσοῖς. Μεσόγειος δέ ἐστι Τυρίων κώμη καρτερὰ, διὰ μίσους ἀεὶ καὶ πόλεμου Γαλιλαίοις, ἔχουσα πλῆθός τε οἰκητόρων καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδια.

δ'. Νυκτὸς δὲ ὁ Ἰωάννης, οὐδεμίαν περὶ τῇ πόλει Ῥωμαίων ἑορακὼς φυλακὴν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον τοὺς περὶ αὐτὸν ὁπλίτας, ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβὼν, ἐπὶ Ἱεροσολύμων ἔφευγε. Μέχρι μὲν οὖν εἴκοσι σταδίων οἵόντε ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον, ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις· περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἐωμένων ἦσαν αἱ ὀλοφύρσεις. Ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίνετο πορρωτέρω, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων. Παρεῖναί τε ἤδη τοὺς αἰχμαλωτισομένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον· ἀνοδίαις τε ἐνέπιπτον οἱ πολλοὶ, καὶ περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. Οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρσησαν, μετὰ κωκυτῶν ἱκετεύουσι benignis fideique datæ non paruerint, arma experturos esse nemini parcentia, jamque cognituros machinis Romanorum ludum factum iri mœnia, quibus confisi soli ex Galilæis sese ostendant arrogantes esse captivos.

Eleazarus Simonis filius, qui etiam inter illos plurimum valere videbatur et ad excogitanda quæ opus erant et ad eadem exsequenda, itemque Zacharias Phaleci filius, utrique a sacerdotibus oriundi. Hi quum, præter ea quæ universis, etiam sibi intentata mala audivissent, quodque Anani factio potentiæ sibi comparandæ causa Romanos accerseret (nam et hoc Joannes improbe finxerat), diu quidem quid agerent dubitabant, in tantas temporis angustias compulsi. Quippe populum quidem brevi in eo fore ut ipsos aggredererentur, auxiliorumque accitorum spem sibi præcisam esse insidiarum celeritate : omnia enim ipsos prius passuros esse quam auxiliarium quisquam ista resciscerat. Verumtamen ut Idumæi advocarentur optimum visum est. Quumque brevem scripsissent epistolam, quod circumvento populo Ananus vellet Romanis metropolin prodere, ipsi autem facta pro libertate defectione in templo obsiderentur, et non liceret nisi ad breve adhuc tempus sibimet salutem promittere; ac nisi mature auxilio venirent, ipsos quidem ab Anano atque inimicis, civitatem vero a Romanis in potestatem redactum iri; multa etiam nunciis mandabant, quæ loquerentur ad principes Idumæorum. Propositi autem erant qui nuncii mitterentur duo viri impigri, qui de rebus agendis dicendo valebant accommodate ad persuadendum, et, quod magis in rem illorum erat, pedum velocitate præstabant. Nam Idumæos sine mora parituros esse probe noverant, utpote gentem tumultuosam et ordinis impatientem, ad motus intentam semper et mutationibus gaudentem, ad modicam vero eorum qui supplicant adulationem arma moventem, et ad prælia quasi ad festum properantem. Opus autem erat celeritate ad nuncium perferendum : quam ad rem nihil alacritatis deerat missis (uterque autem Ananias vocabatur), adeoque brevi se sistebant Idumæorum principibus.

(XVI.) 2. Illi vero epistola verbisque eorum qui venerant attoniti, furiosorum more gentem percursabant, et militiam denunciabant. Congregata autem est multitudo citius quam præceptum erat, omnesque quasi pro libertate metropoleos arma corripiebant, ordinatoque exercitu ad duo millia, adveniunt Hierosolyma cum ducibus quattuor, Joanne et Jacobo Sosæ filiis, ac præterea Simone Cathlæ et Phinea Clusothi filiis.

3. Nunciorum autem profectio Ananum quidem itemque vigiles ejus latuerat, haud vero Idumæorum adventus. Hoc enim ante cognito, portas eis claudit et muris custodes adhibebat. Ceterum nequaquam ei visum est cum illis dimicare, sed verbis persuadere potius quam armis rem gerere. Jesus igitur, post Ananum pontificum natu maximus, quum in turri illis adversa constitisset, « nihil se adeo mirari inquit quam quod, urbe tot tantisque tumultibus agitata, ita fors tulerit, ut improbis ex inopinato subveniretur. Quippe vos perditissimis hominibus contra nos subsidium laturos adesse, idque tanta alacritate, quantam adhiberi haud par erat, ne tum quidem si contra barbaros

« θεῖν, οὐδὲ τῆς μητροπόλεως καλούσης ἐπὶ τοὺς βαρβά-
« ρους. Καὶ εἰ μὲν ἑώρων τὴν σύνταξιν ὑμῶν ἐξ ὁμοίων
« τοῖς καλέσασιν ἀνδρῶν, οὐκ ἂν ἄλογον τὴν ὁρμὴν ὑπε-
« λάμβανον· οὐδὲν γὰρ οὕτω συνίστησι τὰς εὐνοίας ὡς
« τρόπων συγγένεια· νῦν δὲ, εἴ μέν τις αὐτοὺς ἐξετάζοι
« καθ' ἕνα, μυρίων ἕκαστος εὑρεθήσεται θανάτων ἄξιος·
« τὰ γὰρ ἀθύρματα καὶ καθάρματα τῆς χώρας ὅλης κα-
« τασωτευσάμενα τὰς ἰδίας οὐσίας, καὶ προγυμνάσαντα
« τὴν ἀπόνοιαν ἐν ταῖς πέριξ κώμαις τε καὶ πόλεσι, τε-
« λευταῖα λεληθότως παρεισέρρευσαν εἰς τὴν ἱερὰν πόλιν·
« λῃσταὶ, δι' ὑπερβολὴν ἀσεβημάτων μιαίνοντες καὶ τὸ
« ἀβέβηλον ἔδαφος, οὓς ὁρᾶν ἔστι νῦν ἀδεεῖς ἐμμεθυσκο-
« μένους τοῖς ἁγίοις καὶ τὰ σκῦλα τῶν πεφονευμένων
« καταναλίσκοντας εἰς τὰς ἀπλήστους γαστέρας. Τὸ
« δὲ ὑμέτερον πλῆθος καὶ τὸν κόσμον τῶν ὅπλων ὁρᾶν
« ἔστιν οἷος ἔπρεπε καλούσης ὑμᾶς τῆς μητροπόλεως
« κοινῷ βουλευτηρίῳ συμμάχους κατ' ἀλλοφύλων. Τί
« ἂν οὖν εἴποι τοῦτό τις ἢ τύχης ἐπήρειαν, ὅταν λογάσι
« πονηροῖς αὐτανδρον ἔθνος ὁρᾷ συνασπίζον αὐτοῖς;
« Μέχρι πολλοῦ μὲν ἀπορῶ τί δή ποτε καὶ τὸ κινῆσαν
« ὑμᾶς οὕτω ταχέως ἐγένετο. Μὴ γὰρ ἂν δίχα μεγά-
« λης αἰτίας ἀναλαβεῖν τὰς πανοπλίας ὑπὲρ λῃστῶν
« καὶ κατὰ δήμου συγγενοῦς. Ἐπεὶ δὲ ἠκούσαμεν
« Ῥωμαίους καὶ προδοσίαν (ταῦτα γὰρ ὑμῶν ἐθορύβουν
« τινὲς ἀρτίως, καὶ τῆς μητροπόλεως ἐπ' ἐλευθερώσει
« παρεῖναι), πλέον τῶν ἄλλων τολμημάτων ἐθαυμάσα-
« μεν τοὺς ἀλιτηρίους τῆς περὶ τὸ ψεῦδος ἐπινοίας. Ἀν-
« δρας γὰρ φύσει φιλελευθέρους, καὶ διὰ τοῦτο μάλιστα
« τοῖς ἔξωθεν πολεμίοις μάχεσθαι παρεσκευασμένους οὐκ
« ἐνῆν ἄλλως ἐξαγριῶσαι καθ' ἡμῶν ἢ λογοποιήσαντας
« προδοσίαν τῆς ποθουμένης ἐλευθερίας. Ἀλλ' ὑμᾶς
« γε χρὴ σκέπτεσθαι τούς τε διαβάλλοντας καὶ καθ'
« ὧν, συνάγειν τε τὴν ἀλήθειαν οὐκ ἐκ τῶν ἐπιπλάστων
« λόγων, ἀλλ' ἐκ τῶν κοινῶν πραγμάτων. Τί γὰρ δὴ
« καὶ παθόντες ἂν ἡμεῖς Ῥωμαίοις προσπωλοῦμεν ἑαυ-
« τοὺς νῦν, παρὸν ἢ μηδὲ ἀποστῆναι τὸ πρῶτον, ἢ προσ-
« χωρῆσαι ταχέως ἀποστάντας, ὄντων ἔτι τὸν πέριξ
« ἀπορθήτων; Νῦν μὲν γὰρ οὐδὲ βουλομένοις διαλύσα-
« σθαι ῥᾴδιον, ὅτε Ῥωμαίους μὲν ὑπερόπτας πεποίηκεν
« ὑποχείριος ἡ Γαλιλαία, φέρει δ' αἰσχύνην ἡμῖν θανά-
« του χαλεπωτέραν, τὸ θεραπεύειν αὐτοὺς ὄντας ἤδη
« πλησίον· καὶ ἔγωγε κατ' ἐμαυτὸν μὲν ἂν εἰρήνην προ-
« τιμήσαιμι θανάτου· πολεμούμενος δ' ἅπαξ καὶ συμ-
« βαλὼν, θάνατον εὐκλεᾶ τοῦ ζῆν αἰχμάλωτος. Πότε-
« ρον δὲ φασὶν ἡμᾶς, τοὺς τοῦ δήμου προεστῶτας,
« πέμψαι κρύφα πρὸς Ῥωμαίους, ἢ καὶ τῶν δῆμον
« κοινῇ ψηφισάμενον; εἰ μὲν ἡμᾶς, εἰπάτωσαν τοὺς
« πεμφθέντας φίλους, τοὺς διακονήσαντας τὴν προδοσίαν
« οἰκέτας. Ἐφωράθη τις ἀπιών; ἀνακομιζόμενος
« ἑάλω; γραμμάτων γεγόνασιν ἐγκρατεῖς; Πῶς δὲ τοὺς
« μὲν τοσούτους πολίτας ἐλάθομεν, οἷς κατὰ πᾶσαν
« ὥραν συναναστρεφόμεθα; τοῖς δὲ ὀλίγοις καὶ φρου-
« ρουμένοις, καὶ μηδ' εἰς τὴν πόλιν ἐκ τοῦ ἱεροῦ προελ-
« θεῖν δυναμένοις ἐγνώσθη τὰ κατὰ τὴν χώραν λαθραίως

« vos accivisset metropolis. Et si quidem viderem exercitum
« vestrum similem esse horum hominum qui vos advocarunt,
« hunc impetum non vesanum existimarem; nihil enim
« æque benevolentiam conciliat ac morum cognatio : nunc
« vero illi quidem, si quis eorum singulos exploraverit,
« mille mortibus digni reperientur : quippe ludibria et pur-
« gamenta omnis regionis, luxu absumptis patrimoniis suis
« factoque audaciæ suæ temerariæ in vicis et civitatibus cir-
« cumcirca experimento, tandem in urbem sacram clam se
« infuderunt; latrones, qui scelerum immanitate solum non
« profanum polluerunt, quos nunc videre est impune inter sa-
« cra sese inebriantes, et in ventres insatiabiles peremptо-
« rum spolia insumentes. Vestram autem multitudinem et
« armorum apparatum cernere est qualem esse deceret, si
« publico vos consilio metropolis vocaret in auxilium con-
« tra alienigenas. Quid igitur hoc esse quis dixerit, nisi
« fortunæ injuriam quum videat gentem universam scelera-
« torum colluvioni opitulantem? Jamdudum quidem dubi-
« tavi quidnam fuerit quod vos tam cito commoverit. Haud
« enim temere pro latronibus et adversus cognatum popu-
« lum arma sumere voluistis. At quoniam de Romanis et
« proditione nonnihil audivimus (istis enim nonnulli ve-
« strûm nunc obstrepunt, et metropoleos liberandæ ergo
« se adesse clamant), sceleratos istos magis ob hoc menda-
« cii commentum mirati sumus, quam ob alia quæ ausi
« sunt. Nam viros natura libertatis amantes, adeoque cum
« externis hostibus pugnare paratissimos, non alia de causa
« contra nos efferare potuerant, quam libertatis tantopere
« expetitæ proditionem fingendo. Sed vos sane oportet
« considerare quinam sint qui calumnias adhibent et contra
« quos, fidemque veritatis ex rerum communium intuitu,
« non ex fictis sermonibus colligere. Etenim quam ob cau-
« sam nos Romanis nosmet nunc dedimus, quum ab initio
« licuerit aut ab illis non defecisse, aut post defectionem cito
« cum illis redire in gratiam, priusquam circa nos omnia
« vastarentur? Namque jam, ne volentibus quidem nobis
« res componere facile est, quum Romanos superbos fece-
« rit Galilæa sub jugum missa, et in ignominiam cedat morte
« graviorem, illos officiis demereri cum jam in propinquo
« sint. Et ego quidem, quod ad me attinet, pacem morti
« præferrem, semel autem bello appetitus, manibusque
« consertis, mortem gloriosam mallem quam captivi vitam
« agere. Verum utrum nos, populi principes, aiunt, clam
« misisse ad Romanos, aut etiam totum populum communi
« suffragio? Si quidem nos, nominatim proferant amicos
« quos miserimus, qui servi fuerint proditionis ministri.
« Num quis in itinere deprehensus est? rediens captus est?
« literas nacti sunt? Quo modo autem tantam quidem ci-
« vium multitudinem lateremus, quibuscum omni hora
« versamur? paucis vero, atque hic inclusis, qui de tem-
« plo ne in civitatem quidem prodire possent, quo pacto
« sunt cognita quæ occulta extra civitatem fierent? Verum

« ἐνεργούμενα; Νῦν δ' ἔγνωσαν ὅτι δεῖ δοῦναι δίκας
« τῶν τετολμημένων· ἕως δ' ἦσαν ἀδεεῖς αὐτοί, προ-
« δότης ἡμῶν οὐδεὶς ὑπωπτεύετο. Εἰ δὲ ἐπὶ τὸν δῆ-
« μον ἀναφέρουσι τὴν αἰτίαν, ἐν φανερῷ δήπουθεν ἐβου-
« λεύσαντο (οὐδεὶς γὰρ ἀπεστάτει τῆς ἐκκλησίας), ὥστε
« τάχιον ἂν τῆς μηνύσεως ἔσπευσεν ἡ φήμη πρὸς ὑμᾶς
« φανερωτέρα. Τί δέ; οὐχὶ καὶ πρέσβεις ἔδει πέμ-
« πειν ψηφισομένους τὰς διαλύσεις; καὶ τίς ὁ χειροτο-
« νηθείς, εἰπάτωσαν. Ἀλλὰ τοῦτο μὲν δυσθανατών-
« των καὶ πλησίον οὔσας τὰς τιμωρίας διακρουομένων
« σκῆψίς ἐστιν. Εἰ γὰρ δὴ καὶ προδοθῆναι τὴν πόλιν
« εἵμαρται, μόνους ἂν τολμῆσαι καὶ τοῦτο τοὺς διαβάλ-
« λοντας, ὧν τοῖς τολμήμασιν ἓν μόνον λείπει, προδο-
« σία. Χρὴ δὲ ὑμᾶς, ἐπειδήπερ ἅπαξ πάρεστε μετὰ
« τῶν ὅπλων, τὸ μὲν δικαιότατον, ἀμύνειν τῇ μητρο-
« πόλει, καὶ συνεξαίρειν τοὺς τὰ δικαστήρια καταλύ-
« σαντας τυράννους, οἳ πατήσαντες τοὺς νόμους ἐπὶ
« τοῖς αὐτῶν ξίφεσι πεποίηνται τὰς κρίσεις. Ἄνδρας
« γοῦν ἀκαταιτιάτους τῶν ἐπιφανῶν ἐκ μέσης τῆς ἀγο-
« ρᾶς ἁρπάσαντες δεσμοῖς τε προσηκίσαντο καὶ μηδὲ
« φωνὴν μηδὲ ἱκεσίαν ἀνασχόμενοι διέφθειραν. Ἔξεστι
« δ' ὑμῖν παρελθοῦσιν εἴσω μὴ πολέμου νόμῳ θεάσασθαι
« τὰ τεκμήρια τῶν λεγομένων, οἴκους ἠρημωμένους ταῖς
« ἐκείνων ἁρπαγαῖς, καὶ γύναια καὶ γενεὰς τῶν ἀπε-
« σφαγμένων μελανειμονούσας, κωκυτὸν δὲ καὶ θρῆνον
« ἀνὰ τὴν πόλιν ὅλην. Οὐδεὶς γὰρ ἔστιν ὃς οὐ γέγευται
« τῆς τῶν ἀνοσίων καταδρομῆς· οἵ γε ἐπὶ τοσοῦτον ἐξώ-
« κειλαν ἀπονοίας, ὥστε μὴ μόνον ἐκ τῆς χώρας καὶ
« τῶν ἔξωθεν πόλεων ἐπὶ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν
« ὅλου τοῦ ἔθνους μετενεγκεῖν τὴν ληστρικὴν τόλμαν,
« ἀλλὰ καὶ ἀπὸ τῆς πόλεως ἐπὶ τὸ ἱερόν. Ὁρμητήριον
« γοῦν αὐτοῖς τοῦτο καὶ καταφυγὴ, ταμιεῖόν τε τῶν
« ἐφ' ἡμᾶς παρασκευῶν γέγονεν. Ὁ δὲ ὑπὸ τῆς οἰκου-
« μένης προσκυνούμενος χῶρος καὶ τοῖς ἀπὸ περάτων
« γῆς ἀλλοφύλοις ἀκοῇ τετιμημένος, ὑπὸ τῶν παρα-
« γεννηθέντων ἐνθάδε θηρίων καταπατεῖται. Νεα-
« νιεύονται δ' ἐν ταῖς ἀπογνώσεσιν ἤδη, δήμους τε δή-
« μοις καὶ πόλεις πόλεσι συγκρούειν, καὶ κατὰ τῶν
« ἰδίων σπλάγχνων τὸ ἔθνος στρατολογεῖν. Ἀνθ' ὧν
« τὸ μὲν κάλλιστον καὶ πρέπον, ὡς ἔφην, ὑμῖν, συνεξ-
« αίρειν τοὺς ἀλιτηρίους, καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης
« ἀμυνομένους, ὅτι συμμάχους ἐτόλμησαν καλεῖν οὓς
« ἔδει τιμωροὺς δεδιέναι. Εἰ δὲ αἰδεῖσθε τὰς τῶν τοι-
« ούτων ἐπικλήσεις, ἀλλά τοι πάρεστι θεμένοις τὰ ὅπλα
« καὶ παρελθοῦσιν εἰς τὴν πόλιν σχήματι συγγενῶν,
« ἀναλαβεῖν τὸ μέσον συμμάχων τε καὶ πολεμίων ὄνομα,
« δικαστὰς γενομένους. Καίτοι λογίσασθε πόσων κερ-
« δήσουσιν ἐφ' ὁμολογουμένοις καὶ τηλικούτοις κρινόμε-
« νοι παρ' ὑμῖν οἱ τοῖς ἀκαταιτιάτοις μηδὲ λόγου με-
« ταδόντες. Λαμβανέτωσαν δ' οὖν ταύτην ἐκ τῆς
« ὑμετέρας ἀφίξεως τὴν χάριν. Εἰ δὲ οὔτε συναγανα-
« κτεῖν ἡμῖν οὔτε κρίνειν δοκεῖ, τρίτον ἐστὶ καταλι-
« πεῖν ἑκατέρους, καὶ μήτε ταῖς ἡμετέραις ἐπεμβαίνειν
« συμφοραῖς μήτε τοῖς ἐπιβούλοις τῆς μητροπόλεως

« nunc resciverunt, quia facinorum supplicia luenda ipsis
« sunt; at tantisper dum nihil esset quod vererentur, nemo
« nostrûm in proditionis suspicionem veniebat. Sin vero
« in populum culpam conjiciant, dicendum eos palam ea
« de re deliberasse (nemo enim aberat concilio), adeoque
« fama manifestior quolibet indicio celerius ad vos perve-
« nisset. Quid vero? nonne et legatos mittere oportebat
« ad pactiones sanciendas? et quis designatus fuerit, dicant.
« Sed hæ quidem male pereuntium et instantes pœnas evi-
« tare cupientium causationes sunt. Quin etiam si civita-
« tem proditum iri in fatis esset, id quoque ipsos solos qui
« nos criminantur ausuros esse, quorum facinoribus unum
« tantum deest malum, proditio. Vos autem oportet, quia
« semel cum armis adestis, subsidium (quod quidem ju-
« stissimum est) metropoli ferre, et una nobiscum tyrannos
« tollere, qui judicia sublatum iverunt, qui calcatis legi-
« bus res gladiis suis dijudicarunt. Viros quippe nobiles,
« quos nemo accusavit, ex medio raptos foro vinculis
« cruciarunt, deinde nihil vocem aut preces eorum mo-
« rantes neci tradiderunt. Licet autem vobis, non belli
« lege ingressis, signa et indicia eorum quæ modo dixi
« intueri, domos rapinis illorum desolatas, peremptorum
« conjuges et familias veste lugubri indutas, quin et per
« totam civitatem luctum et lamentationem. Nemo enim
« reperitur qui impiorum non expertus sit incursus. Quip-
« pe eo vesanæ insolentiæ devenerunt, ut audaciam latroci-
« nalem non solum ex provincia et aliis civitatibus in hanc,
« quæ expressa totius gentis facies est et caput, transfe-
« rant, verum etiam ex civitate in templum. Hoc nimirum
« illis receptaculum factum est et perfugium, et promptua-
« rium eorum quæ in vos comparata sunt. Atque locus
« qui adoratur per orbem universum, et ab alienigenis usque
« a terræ finibus fama et traditione honoratur, a feris apud
« nos natis conculcatur. In rerum etiam desperatione jam
« exsultant, populum populo, civitatem civitati committi,
« gentemque exercitum colligere sua viscera dilaniaturum,
« quum e contra pulcerrimum esset, vosque, ut dixi, de-
« ceret, nobiscum tollere sceleratos, etiam ob ipsam hanc
« fraudem illos ulciscentes, quod in auxilium vos vocare
« ausi fuerint, quos metuere vindices debuissent. Quod-
« si ejusmodi hominum advocationem reveremini, attamen
« licet vobis, armis depositis et cognatorum habitu civita-
« tem ingressis, medium inter hostes atque auxiliares no-
« men assumere, vosmet judices faciendo. Verum reputate
« quantum e re illorum erit, de manifestis et tam magnis
« criminibus apud vos judicio sisti, qui hominibus non ac-
« cusatis ne verbum quidem facere permiserunt. Ferant
« igitur hanc ex vestro adventu gratiam. Sin vero neque
« nobiscum indignari, neque judicare vultis, tertium restat,
« ut relictis utrisque, nec nostris calamitatibus insultetis
« nec cum insidiatoribus metropoleos maneatis. Nam si

« συμμένειν. Εἰ γὰρ καὶ τὰ μάλιστα Ῥωμαίοις « ὑποπτεύετε διειλέχθαι τινὰς, παρατηρεῖν ἔξεστι τὰς « ἐφόδους· κἄν τι τῶν διαβεβλημένων ἔργων διακαλύ- « πτηται, τότε φρουρεῖν τὴν μητρόπολιν ἐλθόντας, κο- « λάζειν τε τοὺς αἰτίους περῳραμένους· οὐ γὰρ ἂν « ὑμᾶς φθάσειαν οἱ πολέμιοι τῇ πόλει προσῳκημένους. « Εἰ δὲ οὐδὲν ὑμῖν τούτων εὔγνωμον ἢ μέτριον δοκεῖ, « μὴ θαυμάζετε τὰ κλεῖθρα τῶν πυλῶν, ἕως ἂν φέρητε « τὰ ὅπλα. »

δ'. Τοιαῦτα μὲν ὁ Ἰησοῦς ἔλεγε. Τῶν δὲ Ἰδουμαίων οὐδὲν τὸ πλῆθος προσεῖχεν, ἀλλὰ τεθύμωτο μὴ τυχὸν ἑτοίμης τῆς εἰσόδου· καὶ διηγανάκτουν οἱ στρατηγοὶ πρὸς ἀπόθεσιν τῶν ὅπλων, αἰχμαλωσίαν ἡγούμενοι τὸ κελευόντων τινῶν αὐτὰ ῥῖψαι. Σίμων δὲ υἱὸς Καθλᾶ τῶν ἡγεμόνων εἷς, μόλις τὸν τῶν οἰκείων καταστεῖλας θόρυβον, καὶ στὰς εἰς ἐπήκοον τοῖς ἀρχιερεῦσιν « οὐκέτι θαυμάζειν ἔφη φρουρουμένων ἐν τῷ ἱερῷ τῶν προμάχων τῆς ἐλευθερίας, εἴ γε καὶ τῷ ἔθνει κλείουσί τινες ἤδη τὴν κοινὴν πόλιν, καὶ Ῥωμαίους μὲν εἰσδέχεσθαι παρασκευάζονται, τάχα καὶ στεφανώσαντες τὰς πύλας, Ἰδουμαίοις δὲ ἀπὸ τῶν πύργων διαλέγονται, καὶ τὰ ὑπὲρ τῆς ἐλευθερίας ὅπλα κελεύουσι ῥῖψαι. Μὴ πιστεύοντες δὲ τοῖς συγγενέσιν τὴν τῆς μητροπόλεως φυλακὴν τοὺς αὐτοὺς δικαστὰς ποιοῦνται τῶν διαφόρων, καὶ κατηγοροῦντές τινων, ὡς ἀποκτείνειαν ἀκρίτους, αὐτοὶ καταδικάζοιεν ὅλου τοῦ ἔθνους ἀτιμίαν· τὴν γοῦν ἅπασι τοῖς ἀλλοφύλοις ἀνεπετασμένην εἰς θρησκείαν πόλιν τοῖς οἰκείοις νῦν ἀποτετειχίσθαι. Πάνυ γὰρ ἐπὶ σφαγὰς ἐσπεύδομεν καὶ τὸν κατὰ τῶν ὁμοφύλων πόλεμον, οἱ διὰ τοῦτο ταχύναντες, ἵνα ἀτυχήσαντας ὑμᾶς τηρήσωμεν ἐλευθέρους. Τοιαῦτα μέντοι καὶ πρὸς τῶν φρουρουμένων ἠδίκησθε, καὶ πιθανὰς οὕτως ὑποψίας, οἶμαι, καὶ κατ' ἐκείνων συνελέξατε. Ἔπειτα τῶν ἔνδον φρουρᾷ κρατοῦντες, ὅσοι κήδονται τῶν κοινῶν πραγμάτων, καὶ τοῖς συγγενεστάτοις ἔθνεσιν ἀθρόοις ἀποκλείσαντες μὲν τὴν πόλιν, ὑβριστικὰ δὲ οὕτω προστάγματα κελεύοντες, τυραννεῖσθαι λέγετε, καὶ τὸ τῆς δυναστείας ὄνομα τοῖς ὑφ' ὑμῶν τυραννουμένοις περιάπτετε. Τίς ἂν ἐνέγκαι τὴν εἰρωνείαν τῶν λόγων, ἀφορῶν εἰς τὴν ἐναντιότητα τῶν πραγμάτων, εἰ μὴ καὶ νῦν ὑμᾶς ἀποκλείουσιν Ἰδουμαῖοι τῆς μητροπόλεως, οὓς αὐτοὶ τῶν πατρίων ἱερῶν εἴργετε; Μέμψαιτ' ἄν τις εἰκότως τοὺς ἐν τῷ ἱερῷ πολιορκουμένους, ὅτι θαρσήσαντες τοὺς προδότας κολάζειν, οὓς ὑμεῖς ἄνδρας ἐπισήμους καὶ ἀκαταιτιάτους λέγετε διὰ τὴν κοινωνίαν, οὐκ ἀφ' ὑμῶν ἤρξαντο, καὶ τὰ καιριώτατα τῆς προδοσίας μέρη προαπέκοψαν. Ἀλλ' εἰ κἀκεῖνοι τῆς χρείας ἐγένοντο μαλακώτεροι, τηρήσωμεν Ἰδουμαῖοι τὸν οἶκον τοῦ Θεοῦ, καὶ τῆς κοινῆς πατρίδος προπολεμήσωμεν, ἅμα τούς τε ἔξωθεν ἐπιόντας καὶ τοὺς ἔνδον προδιδόντας ἀμυνόμενοι πολεμίους. Ἐνθάδε πρὸ τῶν τειχῶν μενοῦμεν ἐν τοῖς ὅπλοις, ἕως ἂν Ῥωμαῖοι κάμωσι προσέχοντες ὑμῖν, ἢ ὑμεῖς ἐλεύθερα φρονήσαντες μεταβάλησθε. »

« vel maxime quenquam nostrûm suspicamini cum Romanis « colloquutum, licet aditus observare, quumque factum ali- « quod, quale objicitur, apparuerit, tunc demum venire « ut metropolim tueamini, et in criminis convictos animad- « vertatis : non enim est ut hostes vos præveniant urbi « adeo propinquos. Quod si horum nihil gratum vobis acce- « ptumque aut moderatum videatur, ne miremini portas « clausas esse', quamdiu arma feratis. »

4. Hujusmodi quidem verba loquebatur Jesus. Idumæorum autem multitudo nequaquam animum advertebat, sed ira incensa erat, quod non paratum habuisset introitum : ducesque valde indignabantur arma deponere, captivitatem esse existimantes alicujus ad imperium ea projicere. Unus autem e ducibus, Simon Cathlæ filius, quum vix suorum tumultum sedasset, et in loco constitisset unde a pontificibus exaudiri posset, « non jam mirari se ait quod in templo obsiderentur libertatis propugnatores, quum nonnulli urbem jam claudant universæ genti communem, et Romanos quidem, fortasse etiam portis coronatis, recipere parati sint, cum Idumæis vero ex turribus colloquantur, eosque arma pro libertate capta projicere jubeant. Consanguineis autem custodiam metropoleos non credentes, ipsos Idumæos controversiarum arbitros fieri volunt, quosdamque accusando, quod cives judicio non condemnatos occiderint, ipsi gentem omnem ignominia condemnant, ut qui urbem, alienigenis universis religionis ergo patentem, cognatis præcluserint. Sane enim ad cædes veniebamus et ad gerendum cum gentilibus bellum, qui ob hoc adesse properavimus, ut vos in adversis servaremus liberos. Pari scilicet modo vos etiam hi quos obsidetis læsere, tamque veri similes, ut puto, suspiciones in illos quoque collegistis. Deinde ex iis qui intus sunt custodia tenentes quibuscunque curæ erat respublica, et urbe genti conjunctissimæ in universum occlusa, adeoque contumeliose imperata nos facere jubentes, dicitis vos tyrannide premi, nomenque dominatus iis, qui vos tyrannos patiuntur, imponitis. Quis hanc in verbis cavillationem ferat, quum omnia contra ac dicitis facta videat, nisi et nunc Idumæi vos metropoli excludant, quos ipsi a patriis sacris arcetis? Merito quis eos incusaverit qui in templo obsidentur, quod quum ausi essent plectere proditores, quos, utpote scelerum socios, viros nobiles et ne accusatos quidem perhibetis, non a vobis inceperint et proditores summos præciderint. Sed licet illi molliores fuerint quam oportebat, nos Idumæi domicilium Dei servemus, et pro communi patria propugnemus, hostesque, tam foris irruentes quam intus prodentes, ulciscamur. Hic ante muros armati manebimus, donec aut Romani fessi sint vos exspectando, aut vos præ libertatis studio mutemini. »

ε'. Τούτοις τὸ μὲν τῶν Ἰδουμαίων ἐπεβόα πλῆθος. Ὁ δὲ Ἰησοῦς ἀθυμῶν ἀνεχώρει, τοὺς μὲν Ἰδουμαίους μηδὲν φρονοῦντας ὁρῶν μέτριον, διχόθεν δὲ τὴν πόλιν πολεμουμένην. Ἦν δὲ οὐδὲ τοῖς Ἰδουμαίοις ἐν ἠρεμίᾳ τὰ φρονήματα· καὶ γὰρ τεθύμωντο πρὸς τὴν ὕβριν εἰρχθέντες τῆς πόλεως, καὶ τὰ τῶν ζηλωτῶν ἰσχυρὰ δοκοῦντες, ὡς οὐδὲν ἐπαμύνοντας ἑώρων, ἠπόρηντο, καὶ μετενόουν πολλοὶ τὴν ἄφιξιν. Ἡ δὲ αἰδὼς τοῦ τέλεον ἀπράκτους ὑποστρέφειν ἐνίκα τὴν μεταμέλειαν, ὥστε μένειν αὐτόθι πρὸ τοῦ τείχους κακῶς αὐλιζομένους. (ΙΖ'.) Διὰ γὰρ τῆς νυκτὸς ἀμήχανος ἐκρήγνυται χειμὼν, ἄνεμοί τε βίαιοι σὺν ὄμβροις λαβροτάτοις, καὶ συνεχεῖς ἀστραπαὶ, βρονταί τε φρικώδεις, καὶ μυκήματα σειομένης τῆς γῆς ἐξαίσια. Πρόδηλον δ' ἦν ἐπ' ἀνθρώπων ὀλέθρῳ τὸ κατάστημα τῶν ὅλων συγκεχυμένον· καὶ οὐχὶ μικροῦ τις ἂν εἰκάσαι συμπτώματος τὰ τέρατα.

ς'. Μία δὲ τοῖς Ἰδουμαίοις καὶ τοῖς ἐν τῇ πόλει παρέστη δόξα, τοῖς μὲν, ὀργίζεσθαι τὸν Θεὸν ἐπὶ τῇ στρατείᾳ καὶ οὐκ ἂν διαφυγεῖν ἐπενεγκόντας ὅπλα τῇ μητροπόλει, τοῖς δὲ περὶ τὸν Ἄνανον νενικηκέναι χωρὶς παρατάξεως, καὶ τὸν Θεὸν ὑπὲρ αὐτῶν στρατηγεῖν. Κακοὶ δε ἦσαν ἄρα τῶν μελλόντων στοχασταὶ, καὶ κατεμαντεύοντο τῶν ἐχθρῶν ἃ τοῖς ἰδίοις αὐτῶν ἐπῄει παθεῖν. Οἱ μὲν γὰρ Ἰδουμαῖοι συσπειραθέντες τοῖς σώμασιν ἀλλήλους ἀντέθαλπον, καὶ τοὺς θυρεοὺς ὑπὲρ κεφαλῆς συμφράξαντες ἧττον ἐκακοῦντο τοῖς ὑετοῖς· οἱ δὲ ζηλωταὶ μᾶλλον τοῦ καθ' αὑτοὺς κινδύνου ὑπὲρ ἐκείνων ἐθασανίζοντο, καὶ συνελθόντες ἐσκόπουν εἴ τινα μηχανὴν αὐτοῖς ἀμύνης ἐπινοήσειαν. Τοῖς μὲν οὖν θερμοτέροις ἐδόκει μετὰ τῶν ὅπλων βιάζεσθαι τοὺς παραφυλάσσοντας· ἔπειτα δὲ εἰσπεσόντας εἰς μέσον τῆς πόλεως ἀναφανδὸν ἀνοίγειν τοῖς συμμάχοις τὰς πύλας· τούς τε γὰρ φύλακας εἴξειν πρὸς τὸ ἀδόκητον αὐτῶν τεταραγμένους, ἄλλως τε καὶ τοὺς πλείονας αὐτῶν ὄντας ἀνόπλους καὶ πολέμων ἀπείρους, καὶ τῶν κατὰ τὴν πόλιν δυσσύναχτον ἔσεσθαι τὸ πλῆθος κατειλημμένον ὑπὸ τοῦ χειμῶνος εἰς τὰς οἰκίας. Εἰ δὲ καί τις γένοιτο κίνδυνος, πρέπειν αὐτοῖς πᾶν ὁτιοῦν παθεῖν, ἢ περιιδεῖν τοσοῦτον πλῆθος δι' αὐτοὺς αἰσχρῶς ἀπολλύμενον. Οἱ δὲ συνετώτεροι βιάζεσθαι μὲν ἀπεγίνωσκον, ὁρῶντες οὐ μόνον τὴν ἑαυτῶν φρουρὰν πληθύουσαν, ἀλλὰ καὶ τὸ τῆς πόλεως τεῖχος διὰ τοὺς Ἰδουμαίους ἐπιμελῶς φυλασσόμενον, ᾠοντό τε πανταχοῦ τὸν Ἄνανον παρεῖναι, καὶ κατὰ πᾶσαν ὥραν ἐπισκέπτεσθαι τὰς φυλακάς. Ὁ δὴ ταῖς μὲν ἄλλαις νυξὶν οὕτως εἶχεν, ἀνείθη δὲ κατ' ἐκείνην, οὔτι κατὰ τὴν Ἀνάνου ῥᾳθυμίαν, ἀλλ' ὡς αὐτὸς ἐκεῖνος ἀπόλοιτο, καὶ τὸ πλῆθος τῶν φυλάκων, στρατηγούσης τῆς εἱμαρμένης ἤδη. Καὶ δὴ τῆς νυκτὸς προκοπτούσης καὶ τοῦ χειμῶνος ἐπακμάζοντος κοιμίζει μὲν τοὺς ἐπὶ τῇ στοᾷ φρουροὺς, τοῖς ζηλωταῖς δὲ ἐπίνοιαν ἐμβάλλει τῶν ἱερῶν αἴροντας πριόνων ἐκτεμεῖν τοὺς μοχλοὺς τῶν πυλῶν. Συνήργησε δὲ αὐτοῖς πρὸς τὸ μὴ κατακουσθῆναι

5. His dictis Idumæi quidem acclamabant universi. Jesus autem anxius tristisque discessit, quum Idumæos nihil moderati sentire, et duplici bello civitatem urgeri videret. Verum nec Idumæis quiescebant animi : nam indigne ferebant contumeliam, quod essent civitate prohibiti, et, quum zelotarum vires non exiguas esse crediderint, postquam nihil eos sibi auxiliari posse viderunt, in dubio esse cœpere, multosque adventus sui pœnitebat. Pudor autem nulla re prorsus gesta redeundi pœnitudinem superabat, adeo ut illic manere decreverint, licet ante muros male se haberent in castris. (XVII.) Nocte enim gravissima erumpit tempestas, ventusque violentus cum imbre vehementi conjunctus et crebra fulgura, horrendaque tonitrua, et ingentes terræ concussæ mugitus. Manifestum vero erat hominum in exitium mundi statum fuisse conturbatum : eratque ut quis conjiceret ea non vulgares portendere calamitates.

6. Una autem tam Idumæis quam intra urbem positis erat opinio, illis quidem, irasci Deum expeditionis causa, nec se posse evadere qui adversus metropolim arma tulerint, Anano vero suisque, victoriam sibi obtigisse sine prœlio, Deumque pro se pugnare. At mali erant profecto futurorum conjectores, et quæ sui passuri essent fore vaticinabantur ut hostibus acciderent. Nam Idumæi quidem conglobatis corporibus se invicem refocillabant, conjunctisque super capita clypeis non multum nocebantur pluvia : zelotæ autem magis sollicitudine de illis quam suo periculo cruciabantur; atque congregati dispiciebant an quid machinationis excogitari posset quo illis succurrerent. Et fervidioribus quidem visum est armis correptis adortum ire custodes; dein, quum in medium civitatis irruissent, palam auxiliatoribus portas aperire : nam et custodes cessuros esse ex improviso eorum impetu perturbatos, præsertim quod majori ex parte inermes essent minimeque in bellis exercitati; et cives aliquammultos difficulter colligi posse utpote in domos propter tempestatem conclusos. Quin et si quid periculi sit, vel quodvis pati satius esse quam negligere tantam multitudinem ipsorum causa fœde pereuntem. At prudentiores vi quidem rem gerere abnuebant, quod non solum custodiam sibi majorem adhibitam viderent, sed etiam urbis mœnia propter Idumæos diligenter custodita; et ubique adesse Ananum, omnique hora vigilias invisere existimabant. Id quod ceteris quidem noctibus ita fieri solebat, illa vero omissum, non Anani desidia, sed ut ille ipse et custodum manus interirent fati ductu et imperio. Quippe quum multa nox esset et ingravesceret tempestas, dormitum quidem dimittuntur custodes in porticu : zelotis vero cogitatio injicitur ut captis sacrorum serris portarum vectes dissecarent. Illis autem plurimum con-

τὸν ψόφον δ' τε τῶν ἀνέμων ἦχος καὶ τὸ τῶν βροντῶν ἐπάλληλον.

ζ'. Διαλαθόντες δὲ ἐκ τοῦ ἱεροῦ παραγίνονται πρὸς τὸ τεῖχος, καὶ τοῖς αὐτοῖς πρίοσι χρώμενοι τὴν κατὰ τοὺς Ἰδουμαίους ἀνοίγουσι πύλην. Τοῖς δὲ τὸ μὲν πρῶτον ἐμπίπτει ταραχὴ, τοὺς περὶ τὸν Ἄνανον ἐπιχειρεῖν οἰηθεῖσι, καὶ πᾶς ἐπὶ τοῦ ξίφους ἔσχε τὴν δεξιὰν ὡς ἀμυνούμενος· ταχέως δὲ γνωρίσαντες τοὺς ἥκοντας εἰσῆεσαν. Εἰ μὲν οὖν ἐτράποντο ἐπὶ τὴν πόλιν, οὐδὲν ἐκώλυεν ἂν ἀπολωλέναι τὸν δῆμον αὐτανδρον, οὕτως εἶχον ὀργῆς· νῦν δὲ πρώτους τοὺς ζηλωτὰς ἔσπευδον τῆς φρουρᾶς ἐξελέσθαι, δεομένων πολλὰ καὶ τῶν εἰσδεξαμένων, μὴ περιιδεῖν δι' οὓς ἦλθον ἐν μέσοις τοῖς δεινοῖς, μηδὲ αὐτοῖς χαλεπώτερον ἐπισεῖσαι τὸν κίνδυνον· τῶν μὲν γὰρ φρουρῶν ἁλόντων ῥᾴδιον αὐτοῖς εἶναι χωρεῖν ἐπὶ τὴν πόλιν· εἰ δὲ ἅπαξ ταύτην προκινήσειαν, οὐκ ἂν ἔτι ἐκείνων κρατῆσαι· πρὸς γὰρ τὴν αἴσθησιν συντάξασθαι αὐτοὺς καὶ τὰς ἀνόδους ἀποφράξειν.

ΚΕΦ. Ε'.

Συνεδόκει ταῦτα τοῖς Ἰδουμαίοις, καὶ διὰ τῆς πόλεως ἀνέβαινον πρὸς τὸ ἱερὸν, μετέωροί τε οἱ ζηλωταὶ τὴν ἄφιξιν αὐτῶν ἐκαραδόκουν. Καὶ παριόντων εἴσω καὶ αὐτοὶ θαρροῦντες προῆεσαν ἐκ τοῦ ἐνδοτέρου ἱεροῦ· μιγέντες δὲ τοῖς Ἰδουμαίοις προσέβαλλον ταῖς φυλαξὶ καῖς. Καὶ τινὰς μὲν τῶν προκοιτούντων ἀπέσφαξαν κοιμωμένους, πρὸς δὲ τὴν τῶν ἐγρηγορότων βοὴν διανέστη πᾶν τὸ πλῆθος, καὶ μετ' ἐκπλήξεως ἁρπάζοντες τὰ ὅπλα πρὸς τὴν ἄμυναν ἐχώρουν. Ἕως μὲν οὖν μόνους τοὺς ζηλωτὰς ἐπιχειρεῖν ὑπελάμβανον, ἐθάρρουν ὡς τῷ πλήθει περιεσόμενοι· κατιδόντες δὲ ἔξωθεν ἐπεισχεομένους ἄλλους, ἦσθοντο τὴν εἰσβολὴν τῶν Ἰδουμαίων. Καὶ τὸ μὲν πλέον αὐτῶν ἅμα ταῖς ψυχαῖς κατέβαλλε τὰ ὅπλα, καὶ πρὸς οἰμωγαῖς ἦν· φραξάμενοι δὲ ὀλίγοι τῶν νέων γενναίως ἐδέχοντο τοὺς Ἰδουμαίους, καὶ μέχρι πολλοῦ τὴν ἀργοτέραν πληθὺν ἔσκεπον. Οἱ δὲ κραυγῇ διεσήμαινον τοῖς κατὰ τὴν πόλιν τὰς συμφοράς. Κἀκείνων ἀμῦναι μὲν οὐδεὶς ἐτόλμησεν ὡς ἔμαθον εἰσπεπτωκότας τοὺς Ἰδουμαίους, ἄγαν δὲ ἀντεβόων καὶ ἀντωδύροντο, καὶ πολὺς γυναικῶν κωκυτὸς ἠγείρετο, ἐκινδύνευόν τε ἕκαστοι τῶν φυλάκων. Οἱ δὲ ζηλωταὶ τοῖς Ἰδουμαίοις συνεπηλάλαζον, καὶ τὴν ἐκ πάντων βοὴν ὁ χειμὼν ἐποίει φοβερωτέραν. Ἐφείδοντό τε οὐδενὸς Ἰδουμαῖοι, φύσει τε ὠμότατοι φονεύειν ὄντες καὶ τῷ χειμῶνι κεκακωμένοι κατὰ τῶν ἀποκλεισάντων ἐχρῶντο τοῖς ὅπλοις, ἦσαν δὲ ὅμοιοι τοῖς ἱκετεύουσι καὶ τοῖς ἀμυνομένοις· καὶ πολλοὺς, τήν τε συγγένειαν ἀναμιμνήσκοντας καὶ δεομένους τοῦ κοινοῦ ἱεροῦ λαβεῖν αἰδῶ, διήλαυνον τοῖς ξίφεσιν. Ἦν δὲ φυγῆς μὲν οὐδεὶς τόπος οὐδὲ σωτηρίας ἐλπὶς· συνωθούμενοι δὲ περὶ ἀλλήλους κατεκόπτοντο, καὶ τὸ πλέον ἐκβιαζόμενοι (ὡς οὐκέτι ἦν ὑποχωρήσεως τόπος, ἐπῆεσαν δ' οἱ φονεύοντες) ὑπ' ἀμηχανίας κατέτιλλον, ut sonus non audiretur, ventorum fremitus et crebrorum tonitruum fragor.

7. Clam itaque fano egressi ad murum veniunt, iisdemque serris adhibitis portam Idumæos versus aperiunt. Illos autem primo quidem occupat pavor, Ananum cum suis moliri aliquid suspicatos; et unusquisque gladium dextra prehendit, eo animo ut vim arceret : his vero qui ad se venerant statim agnitis, introibant. Quodsi tum ad civitatem se vertissent, nihil obstabat quominus populus universus interiisset : tanta ira ferebantur; nunc vero ita accidit ut primo zelotas custodia eximere festinarent, etiam iis obnixe id postulantibus qui illos intromiserint, ne negligerent malis obsessos quorum gratia venerint, neque his gravius periculum impingerent : captis enim custodibus, nullo negotio posse et ipsos in civitatem impetum facere; sin vero semel ea concitaretur, haud fore ut cives superarentur, quippe qui, si illos senserint, se in aciem collecturi et ascensum illis sint obstructuri.

CAP. V. (XVII.)

Ista itidem Idumæis placebant, ascendebantque in templum per civitatem, et adventum eorum suspensis animis exspectabant zelotæ. Quumque ingressi essent, illi etiam e fano interiori confidenter prodierunt, mixtique Idumæis custodes adoriebantur. Et nonnullos quidem excubantium, quos somnus oppresserat, jugularunt, ad clamorem vero expergefactorum omnis excitata est multitudo, armaque non sine stupore corripientes ad sui defensionem properabant. Et quamdiu quidem solos zelotas ipsos aggredi existimarent, animos sumebant, ut qui eos numero superaturi essent : ubi vero foris alios effundi viderunt, Idumæos irrupisse senserunt. Et major quidem pars eorum arma deponebant simul atque animis dejecti eraut, et ad ejulatus se conferebant : pauci vero juvenum muniti fortiter excipiebant Idumæos, diuque inertiorem multitudinem protegebant. Alii vero clamore suo iis qui in urbe erant calamitates indicabant. Illorumque auxilio nemo venire ausus est, cognito Idumæos irruisse; sed vicissim magnos clamores tollebant et lamentationes, multusque mulierum ululatus edebatur; et unusquisque custodum in periculo erant. Zelotæ autem una cum Idumæis clamorem sustulerunt, magisque horribiles tempestas faciebat omnium vociferationes. Ac nemini parcebant Idumæi, utpote naturæ immanitate proni ad cædes, et ex tempestate male habiti arma in eos vertebant qui ipsos excluserant, itidemque infensi erant supplantibus et pugnantibus; et multos, tam cognationis eos admonentes quam orantes ut commune fanum revererentur, gladiis transfigebant. Nullus autem fugæ quidem locus erat, neque salutis spes : eundem vero in locum coacti concidebantur, majorique ex parte eo vi compulsi, quum non esset quo se reciperent, et in eos irruerent interfectores, etiam præ consilii inopia in civitatem se præcipitabant,

τεκρήμνιζον ἑαυτοὺς εἰς τὴν πόλιν, οἰκτρότερον ἔμοιγε δοκεῖ οὖ διέφευγον ὀλέθρου τὸν αὐθαίρετον ὑπομένοντες. Ἐπεκλύσθη δὲ τὸ ἔξωθεν ἱερὸν πᾶν αἵματι, καὶ νεκροὺς ὀκτακισχιλίους καὶ πεντακοσίους ἡ ἡμέρα κατελάμβανεν.

(ΙΗ'.) β'. Οὐκ ἐκορέσθησαν δὲ τούτοις οἱ θυμοὶ τῶν Ἰδουμαίων, ἀλλ' ἐπὶ τὴν πόλιν τραπόμενοι πᾶσαν μὲν οἰκίαν διήρπαζον, ἔκτεινον δὲ τὸν περιτυχόντα. Καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτοῖς ἐδόκει παρανάλωμα, τοὺς δ' ἀρχιερεῖς ἀνεζήτουν, καὶ κατ' ἐκείνων ἦν τοῖς πλείστοις ἡ φορά, ταχέως δὲ ἀλόντες διεφθείροντο, καὶ τοῖς νεκροῖς αὐτῶν ἐπιστάντες, τὸν μὲν Ἄνανον τῆς πρὸς τὸν δῆμον εὐνοίας, τὸν δὲ Ἰησοῦν τῶν ἀπὸ τοῦ τείχους λόγων ἐπέσκωπτον. Προῆλθον δὲ εἰς τοσοῦτον ἀσεβείας, ὥστε καὶ ἀτάφους βῖψαι, καίτοι τοσαύτην Ἰουδαίων περὶ τὰς ταφὰς πρόνοιαν πεποιημένων, ὥστε καὶ τοὺς ἐκ καταδίκης ἀνασταυρουμένους πρὸ δύντος ἡλίου καθελεῖν τε καὶ θάπτειν. Οὐκ ἂν ἁμάρτοιμι δὲ εἰπὼν ἀλώσεως ἄρξαι τῇ πόλει τὸν Ἀνάνου θάνατον, καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνατραπῆναι τὸ τεῖχος, καὶ διαφθαρῆναι τὰ πράγματα Ἰουδαίοις, ἐν ᾗ τὸν ἀρχιερέα καὶ ἡγεμόνα τῆς ἰδίας σωτηρίας αὐτῶν ἐπὶ μέσης τῆς πόλεως εἶδον ἀπεσφαγμένον. Ἦν γὰρ δὴ τά τε ἄλλα σεμνὸς ὁ ἀνὴρ καὶ δικαιότατος, καὶ παρὰ τὸν ὄγκον τῆς τε εὐγενείας καὶ τῆς ἀξίας καὶ ἧς εἶχε τιμῆς ἠγαπηκὼς τὸ ἰσότιμον καὶ πρὸς τοὺς ταπεινοτάτους· φιλελεύθερος δὲ ἐκτόπως, καὶ δημοκρατίας ἐραστής, πρό τε τῶν ἰδίων λυσιτελῶν τὰ κοινῇ συμφέροντα ἀεὶ τιθέμενος, καὶ περὶ παντὸς ποιούμενος τὴν εἰρήνην (ἅμαχα γὰρ ἤδει τὰ Ῥωμαίων), προσκοπούμενος ξὲ ὑπ' ἀνάγκης καὶ κατὰ τὸν πόλεμον, ὅπως, εἰ μὴ διαλύσαιντο Ἰουδαῖοι δεξιῶς, διαφθείροιντο. Καθόλου δὲ εἰπεῖν, ζῶντος Ἀνάνου, πάντως ἂν διελύθησαν. Δεινὸς γὰρ ἦν εἰπεῖν τε καὶ πεῖσαι τὸν δῆμον· ἤδη δ' εἰ ἐχειρώτο καὶ τοὺς ἐμποδίζοντας, ἢ πολεμοῦντας· πλείστην ἂν τριβὴν Ῥωμαίοις παρέσχον ὑπὸ τοιούτῳ στρατηγῷ. Παρέζευκτο δὲ αὐτῷ καὶ ὁ Ἰησοῦς, αὐτοῦ μὲν λειπόμενος κατὰ σύγκρισιν, προὔχων δὲ τῶν ἄλλων. Ἀλλ', οἶμαι, κατακρίνας ὁ Θεὸς ὡς μεμιασμένης τῆς πόλεως ἀπώλειαν, καὶ πυρὶ βουλόμενος ἐκκαθαρθῆναι τὰ ἅγια, τοὺς ἀντεχομένους αὐτῶν καὶ φιλοστοργοῦντας περιέκοπτεν. Οἱ δὲ πρὸ ὀλίγου τὴν ἱερὰν ἐσθῆτα περικείμενοι, καὶ τῆς κοσμικῆς θρησκείας κατάρχοντες, προσκυνούμενοί τε τοῖς ἐκ τῆς οἰκουμένης παραβάλλουσιν εἰς τὴν πόλιν, ἐρριμμένοι γυμνοὶ, βορὰ κυνῶν καὶ θηρίων, ἐβλέποντο. Αὐτὴν ἐπ' ἐκείνοις στενάξαι ἂν τοῖς ἀνδράσι δοκῶ τὴν ἀρετὴν, ὀλοφυρομένην ὅτι τοσοῦτον ἥττητο τῆς κακίας. Ἀλλὰ γὰρ τὸ μὲν Ἀνάνου καὶ Ἰησοῦ τέλος τοιοῦτον ἀπέβη.

(ΙΘ'.) γ'. Μετὰ δὲ ἐκείνους οἵ τε ζηλωταὶ καὶ τῶν Ἰδουμαίων τὸ πλῆθος τὸν λαὸν, ὥσπερ ἀνοσίων ζῴων ἀγέλην ἐπιόντες, ἔσφαζον. Καὶ τὸ μὲν εἰκαῖον ἐφ' οὗ καταληφθείη τόπου διεφθείρετο, τοὺς δὲ εὐγενεῖς καὶ νέους συλλαμβάνοντες εἰς εἱρκτὴν κατέκλειον δεδεμένοι

exitium voluntarium subeuntes eo quod effugiebant, ut mihi videtur, miserabilius. Templum autem omne exterius sanguine inundabatur, quumque dies illucesceret, inventa sunt cæsorum octo millia et quingenti viri.

(XVIII.) 2. Istis vero non satiati erant Idumæi ira accensi, sed in urbem conversi domos omnes diripiebant, et obvium quemque perimebant. Et ceteræ quidem multitudinis cædem supervacaneam ducebant, pontifices vero perquirebant, et in illos plerique impetu ferebantur, captosque statim occidebant; quumque super eorum cadavera constitissent, nunc Anano populi benevolentiam, nunc Jesu quæ de muro dixerat exprobrabant. Eo autem impietatis processerunt, ut etiam insepultos eos abjecerint, quanquam tanta Judæis erat cura sepulturæ, ut etiam post damnationem cruci affixos ante solis occasum tollerent et humarent. Non autem erraverim, si initium urbis excidii ab Anani morte factum esse dixero, et ab illo inde die muros everti remque publicam Judæorum pessumdari cœptam, quo pontificem qui præerat eorum saluti in media civitate trucidatum viderunt. Erat autem et alias vir venerabilis summeque justus, et præter nobilitatis et dignitatis et honorum quibus auctus erat amplitudinem, se æquabilem et infimis parem præstare amaverat; porro libertatis supra modum fautor, popularisque regiminis amator, et bonum publicum iis quæ sibimet prodessent semper præferens; et pacem maximi faciens, ut qui norit Romanos non posse expugnari, ac prospexerit necesse esse ut bello perirent, nisi res cum Romanis sollerter componerent, Judæi. Ne multa, si vixisset Ananus, haud dubie ad compositionem res venissent. Nam plurimum dicendo valebat, et ad populum persuadendum; jamque si eos etiam subegisset qui ipsi impedimento erant, aut belli desiderio tenebantur, multum negotii sub ejusmodi duce facessissent Romanis. Huic junctus erat Jesus, illo quidem, si conferantur, inferior, ceteris vero præstantior. At certe Deum puto, quum urbem pollutam exitio dare decerneret, flammisque loca sancta purgari vellet, consulto defensores eorum quique ea diligerent amputasse. Itaque qui paullo ante veste sacra amicti et publicæ religioni præerant, et ex terrarum orbe in urbem commeantibus venerabiles habebantur, nudi, foras ejecti in canum et ferarum escam, conspiciebantur. Virtus ipsa mihi visa est super viris istis gemuisse, cum lamentatione quod adeo victa esset a malitia. At enim Ananus quidem et Jesus vitæ exitum hujuscemodi habuerunt.

(XIX.) 3. Post illos vero multi tam zelotæ quam Idumæi populum veluti animalium profanorum gregem adorti jugulabant. Et vulgus quidem, ubicunque deprehensum, trucidabatur; nobiles vero et adolescentes quotquot caperent vinctos in carcerem concludebant, fore sperantes ut nonnullos nece

νους, κατ' ἐλπίδα τοῦ προστεθήσεσθαί τινας αὐτοῖς τὴν ἀναίρεσιν ὑπερτιθέμενοι. Προσέσχε δὲ οὐδείς, ἀλλὰ πάντες τοῦ τάξασθαι μετὰ τῶν πονηρῶν κατὰ τῆς πατρίδος προείλοντο τὸν θάνατον. Δεινὰς δὲ τῆς ἀρνήσεως αἰκίας ὑπέμενον, μαστιγούμενοί τε καὶ στρεβλούμενοι· μετὰ δὲ τὸ μηκέτ' ἀρκεῖν τὸ σῶμα ταῖς βασάνοις μόλις ἠξιοῦντο τοῦ ξίφους. Οἱ συλληφθέντες δὲ μεθ' ἡμέραν ἀνῃροῦντο νύκτωρ καὶ τοὺς νεκροὺς ἐκφοροῦντες ἐρρίπτουν, ὡς ἑτέροις εἴη δεσμώταις τόπος. Ἦν δὲ τοσαύτη τοῦ δήμου κατάπληξις, ὡς μηδένα τολμῆσαι μήτε κλαίειν φανερῶς τὸν προσήκοντα νεκρὸν μήτε θάπτειν, ἀλλὰ λαθραῖα μὲν ἦν αὐτῶν κατακεκλεισμένων τὰ δάκρυα καὶ μετὰ περισκέψεως, μή τις ἐπακούσῃ τῶν ἐχθρῶν, ἔστενον· ἴσα γὰρ τοῖς πενθουμένοις ὁ πενθήσας εὐθὺς ἔπασχε. Νύκτωρ δὲ κόνιν αἴροντες χεροῖν ὀλίγην ἐπερρίπτουν τοῖς σώμασι, καὶ μεθ' ἡμέραν εἴ τις παράβολος. Μύριοι δὲ καὶ δισχίλιοι τῶν εὐγενῶν νέων οὕτω διεφθάρησαν.

δ'. Οἱ δὲ ἤδη διαμεμισηκότες τὸ φονεύειν ἀνέδην εἰρωνεύοντο δικαστήρια καὶ κρίσεις. Καὶ δή τινα τῶν ἐπιφανεστάτων ἀποκτεῖναι προθέμενοι Ζαχαρίαν υἱὸν Βαρούχου (παρώξυνε δ' αὐτοὺς τὸ λίαν τἀνδρὸς μισοπόνηρον καὶ φιλελεύθερον· ἦν δὲ καὶ πλούσιος, ὥστε μὴ μόνον ἐλπίζειν τὴν ἁρπαγὴν τῆς οὐσίας, ἀλλὰ καὶ προαποσκευάσεσθαι δυνατὸν ἄνθρωπον εἰς τὴν αὐτῶν κατάλυσιν), συγκαλοῦσιν ἐξ ἐπιτάγματος ἑβδομήκοντα τῶν ἐν τέλει δημοτῶν, εἰς σχῆμα δικαστῶν ἔρημον ἐξουσίας· καὶ τοῦ Ζαχαρίου κατηγόρουν ὡς ἐνδιδοίη τὰ πράγματα Ῥωμαίοις, καὶ περὶ προδοσίας διαπέμψαιτο πρὸς Οὐεσπασιανόν. Ἦν δὲ οὔτε ἔλεγχός τις τῶν κατηγορουμένων οὔτε τεκμήριον, ἀλλ' αὐτοὶ πεπεῖσθαι καλῶς ἔφασαν, καὶ τοῦτ' εἶναι πίστιν τῆς ἀληθείας ἠξίουν. Ὁ γε μὴν Ζαχαρίας συνιδὼν μηδεμίαν αὐτῷ καταλειπομένην σωτηρίας ἐλπίδα (κεκλῆσθαι γὰρ κατ' ἐνέδραν εἰς εἱρκτὴν, οὐκ ἐπὶ δικαστήριον), ἐποιήσατο τὴν τοῦ ζῆν ἀπόγνωσιν οὐκ ἀπαρρησίαστον, ἀλλὰ καταστὰς τὸ μὲν πιθανὸν τῶν κατηγορουμένων διεχλεύασε, καὶ διὰ βραχέων ἀπελύσατο τὰς ἐπιφερομένας αἰτίας. Εἶτα δὲ τὸν λόγον εἰς τοὺς κατηγόρους ἀποστρέψας ἑξῆς πάσας αὐτῶν διεξῄει τὰς παρανομίας, καὶ πολλὰ περὶ τῆς συγχύσεως κατωλοφύρατο τῶν πραγμάτων. Οἱ ζηλωταὶ δὲ ἐθορύβουν καὶ μόλις τῶν ξιφῶν ἀπεκράτουν, τὸ σχῆμα καὶ τὴν εἰρωνείαν τοῦ δικαστηρίου μέχρι τέλους παῖξαι προαιρούμενοι, καὶ ἄλλως πειράσαι θέλοντες τοὺς δικαστὰς, εἰ παρὰ τὸν αὐτῶν κίνδυνον μνησθήσονται τοῦ δικαίου. Φέρουσι δ' οἱ ἑβδομήκοντα τῷ κρινομένῳ τὰς ψήφους ἀπολύσεως, καὶ σὺν αὐτῷ προείλοντο τεθνάναι μᾶλλον ἢ τῆς ἀναιρέσεως αὐτοῦ λαβεῖν τὴν ἐπιγραφήν. Ἤρθη δὲ βοὴ τῶν ζηλωτῶν πρὸς τὴν ἀπόλυσιν, καὶ πάντων μὲν ἦν ἀγανάκτησις ἐπὶ τοῖς δικασταῖς, ὡς μὴ συνιεῖσι τὴν εἰρωνείαν τῆς δοθείσης αὐτοῖς ἐξουσίας· δύο δὲ τῶν τολμηροτάτων προσπεσόντες ἐν μέσῳ τῷ ἱερῷ διαφθείρουσι τὸν Ζαχαρίαν, καὶ πεσόντι ἐπιχλευάζοντες ἔφασαν, « καὶ παρ' ἡμῶν τὴν ψῆφον

dilata sibi adjungerent. At nemo illis auscultabat, sed mori omnes malebant quam in improbis numerari contra patriam conspirantibus. Graves autem angores sustinebant quod ab illis stare recusarent, flagris et tormentis vexati : quumque corpus non amplius ferendo esset cruciatus, vix eos dignati sunt gladio. Quos vero die cepissent, nocte interficiebant, mortuosque efferentes foras projiciebant, ut locus esset aliis in vincula conjectis. Tantus autem populum pavor occupaverat atque formido, ut nec ausus esset quisquam affines mortuos palam deflere, neque sepelire ; sed occultæ quidem erant conclusorum lacrimæ, neque gemebant nisi cautione adhibita, ne quis inimicorum eos audiret : paria namque his quos lugebant illico patiebantur qui luctus edidissent. Nocte vero terram exiguam manibus sublatam corporibus injiciebant, et interdiu si quis fortius fuisset animatus. Atque duodecim millia nobilium juvenum ad hunc modum perierunt.

4. Illi autem jam cædes confertas perosi judicum consessus judiciaque per irrisionem agebant. Itaque quum illustrium quendam Zachariam Baruchi filium interficere sibi proposuissent (illos enim irritabat quod malitiam odio haberet et libertatem amaret ; itemque locuples erat, ut non solum fortunarum ejus direptionem sperarent, sed et virum e medio tollerent, qui ad illorum potestatem evertendam plurimum conferre potuit), convocant ex præcepto septuaginta e plebeiorum primoribus judicum specie absque auctoritate, et Zachariam accusant, ut qui vellet res eorum prodere Romanis, et ad Vespasianum proditionis causa miserit. Quorum autem accusabatur nec probatio erat ulla nèc indicium, sed de illis sibi plane persuasum esse dixerunt, atque hoc satis esse volebant ad fidem veritati impetrandam. Zacharias autem, quum intellexisset nullam sibi relictam esse salutis spem, ut qui per insidias in carcerem accitus esset, non ad judicium, in vitæ desperatione dicendi libertate non abstinuit, sed in medio constitutus, verisimilitudinem eorum de quibus accusabatur irrisit, paucisque objecta sibi crimina diluit. Deinde oratione in accusatores conversa, omnes eorum iniquitates ordine persequitur, multumque lamentatus est rerum perturbationem. Zelotæ autem obstrepebant, et vix a gladiis temperabant, speciem et simulationem judicii ad finem agere cupientes, et judices insuper experiri volentes, an quum in periculo versentur, justitiæ forent memores. Septuaginta vero vocatum in judicium sententiis suis absolvunt, et cum eo mori maluerunt quam ut sibi interitus ejus adscriberetur. Illo autem absoluto clamor sublatus est a zelotis, et universi judicibus irascebantur, ut qui simulationem datæ sibi potestatis non intelligerent : duo vero ex audacissimis Zachariam in medio templo adorti interficiunt, cæsoque illu-

« ἔχεις, καὶ βεβαιοτέραν ἀπόλυσιν· » ῥίπτουσί τε αὐτὸν εὐθέως ἀπὸ τοῦ ἱεροῦ κατὰ τῆς ὑποκειμένης φάραγγος. Τοὺς δὲ δικαστὰς πρὸς ὕβριν ἀπεστραμμένους τοῖς ξίφεσι τύπτοντες ἐξέωσαν τοῦ περιβόλου, δι' ἓν τοῦτο φεισάμενοι τῆς σφαγῆς αὐτῶν, ἵνα σκεδασθέντες ἀνὰ τὴν πόλιν ἄγγελοι πᾶσι τῆς δουλείας γένωνται.

(Κ'.) ε'. Τοῖς δὲ Ἰδουμαίοις ἤδη τῆς παρουσίας μετέμελε καὶ προσίστατο τὰ πραττόμενα. Συναγαγὼν δὲ αὐτούς τις ἀπὸ τῶν ζηλωτῶν κατ' ἰδίαν ἐλθὼν ἐνεδείκνυτο τὰ συμπαρανομηθέντα τοῖς καλέσασι, καὶ τὰ κατὰ τῆς μητροπόλεως διεξῄει· « παρατάσσεσθαι μὲν γὰρ ὡς ὑπὸ τῶν ἀρχιερέων προδιδομένης Ῥωμαίοις τῆς μητροπόλεως, ηὑρηκέναι δὲ προδοσίας μὲν τεκμήριον οὐδέν, τοὺς δὲ ἐκείνην ὑποκρινομένους φυλάττεσθαι καὶ πολέμου καὶ τυραννίδος ἔργα τολμῶντας. Προσήκειν μὲν οὖν αὐτοῖς διακωλύειν ἀπ' ἀρχῆς· ἐπειδὴ δ' ἅπαξ εἰς κοινωνίαν ἐμφυλίου φόνου προσέπεσον, ὅρον γοῦν ἐπιθεῖναι τοῖς ἁμαρτήμασι, καὶ μὴ παραμένειν χορηγοῦντας ἰσχὺν τοῖς καταλύσασι τὰ πάτρια. Καὶ γὰρ εἴ τινες χαλεπαίνουσι τῷ κλεισθῆναι τὰς πύλας καὶ τὴν εἴσοδον, ἀλλὰ τοὺς εἴρξαντας τετιμωρῆσθαι, καὶ τεθνάναι μὲν Ἄνανον, διεφθάρθαι δὲ ἐπὶ μιᾶς νυκτὸς ὀλίγου δεῖν πάντα τὸν δῆμον. Ἐφ' οἷς τῶν μὲν οἰκείων πολλοὺς αἰσθάνεσθαι μετανοοῦντας, τῶν ἐπικαλεσαμένων δὲ ὁρᾶν ἄμετρον τὴν ὠμότητα, μηδὲ δι' οὓς ἐσώθησαν αἰδουμένων. Ἐν ὄμμασι γοῦν τῶν συμμάχων τὰ αἴσχιστα τολμᾶν, καὶ τὰς ἐκείνων παρανομίας Ἰδουμαίοις προσάπτεσθαι, μέχρις ἂν μήτε κωλύῃ τις μήτε χωρίζηται τῶν ὁρμένων. Δεῖν οὖν (ἐπειδὴ διαβολὴ μὲν πέφηνε τὰ τῆς προδοσίας, ἔφοδος δὲ Ῥωμαίων οὐδεμία προσδοκᾶται, δυναστεία τε ἐπιτετείχισται τῇ πόλει δυσκατάλυτος) αὐτοὺς ἀναχωρεῖν ἐπ' οἴκου, καὶ τοῦ μὴ κοινωνεῖν τοῖς φαύλοις ἁπάντων ἀπολογήσασθαι περὶ ὧν φενακισθέντες μετάσχοιεν. »

ΚΕΦ. Ϛ'.

Τούτοις δὲ πεισθέντες οἱ Ἰδουμαῖοι, πρῶτον μὲν λύουσι τοὺς ἐν τοῖς δεσμωτηρίοις, περὶ δισχιλίους δημότας· οἳ παραχρῆμα φυγόντες ἐκ τῆς πόλεως ἀφικνοῦνται πρὸς Σίμωνα, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν· ἔπειτα ἐκ τῶν Ἱεροσολύμων ἀνεχώρησαν ἐπ' οἴκου. Καὶ συνέβη τὸν χωρισμὸν αὐτῶν γενέσθαι παρὰ δόξαν ἀμφοτέροις. Ὅ τε γὰρ δῆμος ἀγνοῶν τὴν μετάνοιαν ἐθάρρησε πρὸς ὀλίγον, ὡς ἐχθρῶν κεκουφισμένος, οἵ τε ζηλωταὶ μᾶλλον ἐπανίστησαν, οὐχ ὡς ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ' ἀπηλλαγμένοι τῶν δυσωπούντων καὶ διατρεπόντων παρανομεῖν. Οὐκέτι γοῦν μέλλησις ἦ σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ' ὀξυτάταις μὲν ἐχρῶντο ταῖς ἐπινοίαις εἰς ἕκαστα, τὰ δοχθέντα δὲ τάχιον καὶ τῆς ἐπινοίας ἐνήργουν. Μάλιστα δ' ἐπ' ἀνδρείαν τε καὶ εὐγένειαν ἐφόνων, τὴν μὲν φθόνῳ λυμαινόμενοι, τὸ δὲ γενναῖον δέει· μόνην γὰρ αὐτῶν ἀσφάλειαν ὑπελάμβανον, τὸ μηδένα τῶν δυνατῶν καταλι-

dentes dicebant, « et a nobis suffragium habes, firmioremque « absolutionem » : eumque statim de templo in subjectam vallem projiciunt. Judices autem in contumeliam gladiorum dorsis ferientes templi ambitu pepulerunt, quum ob hoc unum ab illorum cæde abstinuissent, ut per civitatem disjecti apud omnes fierent servitutis nuncii.

(XX.) 5. Verum Idumæos jam se venisse pœnitebat, eisque displicebant quæ facta erant. Quum autem congregati essent a quodam zelota, qui ad eos clam venerat, hic omnia indicabat quæ nefarie fecerint una cum iis qui ipsos acciverint, quæque contra metropolim gesta fuerint oratione persequebatur : « arma quippe eos cepisse, quasi metropolis a pontificibus proderetur Romanis, reperisse autem nullum proditionis indicium : illos vero qui eam finxerint ab ipsis defendi, et belli facinora patrare ausos et tyrannidis. Et ipsorum quidem fuisse ab initio eos prohibere : quoniam vero acciderit ut cædis civilis aliquando cum illis participes essent, jam peccandi finem facere eos oportere, neque longius manere ad vires illis suppeditandas qui res patrias perditum iverint. Nam si qui portas sibi occlusas introitumque in urbem obstructum graviter ferant, pœnas ab illis qui ipsos excluserint esse repetitas, atque obiisse quidem Ananum, una vero nocte populum fere omnem esse consumptum. Quarum rerum multos e suis pœnitere ipsos sentire, pariterque videre immanem illorum crudelitatem qui ipsos acciverint, ne servatores quidem suos reverentium. Adeoque dum in auxiliatorum conspectu fœdissima facere non dubitent, illorum quoque injurias Idumæis imputari, quam diu nemo illis obsistat aut a perpetratis se abstineat. Debere igitur (quoniam certum sit improbe conficta esse omnia de proditione, neque Romanorum exspectari adventum, urbemque munitam esse potentia expugnatu difficili) ipsos domum discedere, et deserendo malorum societatem sese excusatum ire de omnibus quorum participes se fecerint ab illis decepti. »

CAP. VI. (XX.)

Istis inducti Idumæi primum quidem eos qui erant in custodiis solvunt, ad duo circiter millia popularium, qui statim relicta civitate ad Simonem se conferunt, de quo paullo infra dicemus : deinde domum ex Hierosolymis abierunt. Atque eorum discessus utrisque improvisus accidit et inopinatus. Nam et populus, nescii quod illos factorum pœnituerit, ad breve tempus fiduciam sumpserunt, quasi inimicis levati : et zelotæ eo magis ex adverso insurrexerunt, quasi ab auxiliaribus non deserti essent, sed ab iis liberati, qui eorum retunderent reprimerentque insolentiam. Itaque non mora aliqua interposita aut deliberatione injurias faciebant, sed summam celeritatem adhibentes in singulis excogitandis, quicquid illis visum est ipsa cogitatione citius peragebant. Maxime autem virorum fortium atque nobilium cædem sitiebant; hos quidem exitio dantes ex invidia, illos vero præ metu : haud aliam enim sibi securitatem fore existimabant quam ut nemo ex optimatibus su-

πεῖν. Ἀνῃρέθη γοῦν σὺν πολλοῖς ἑτέροις καὶ Γωρίων, ἀξιώματι μὲν καὶ γένει προὔχων, δημοκρατικὸς δὲ καὶ φρονήματος ἐλευθερίου μεστὸς, εἴ καί τις ἕτερος Ἰουδαίων. Ἀπώλεσε δ' αὐτὸν ἡ παρρησία μάλιστα πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν. Οὐδὲ ὁ Περαίτης Νίγερ αὐτῶν τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐν τοῖς πρὸς Ῥωμαίους πολέμοις γενόμενος· ὃς καὶ βοῶν πολλάκις τάς τε ὠτειλὰς ἐπιδεικνὺς διὰ μέσης ἐσύρετο τῆς πόλεως. Ἐπεὶ δὲ ἔξω τῶν πυλῶν ἦκτο, τὴν σωτηρίαν ἀπογνοὺς περὶ ταφῆς ἱκέτευεν· οἱ δὲ προαπειλήσαντες ἧς ἐπεθύμει μάλιστα γῆς μὴ μεταδώσειν αὐτῷ τὸν φόνον ἐνήργουν. Ἀναιρούμενος δὲ ὁ Νίγερ τιμωροὺς Ῥωμαίους αὐτοῖς ἐπηράσατο, λιμόν τε καὶ λοιμὸν ἐπὶ τῷ πολέμῳ καὶ πρὸς ἅπασι τὰς ἀλλήλων χεῖρας. Ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ Θεὸς, καὶ τὸ δικαιότατον, ὅτι γεύσασθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον οὐκ εἰς μακρὰν στασιάσαντες. Νίγερ μὲν οὖν ἀνῃρημένος τοὺς περὶ τῆς καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε. Τοῦ λαοῦ δὲ μέρος οὐδὲν ἦν, ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο πρόφασις. Τὸ μὲν γὰρ αὐτῶν διενεχθέν τινι πάλαι διέφθαρτο, τὸ δὲ μὴ προσκροῦσαν κατ' εἰρήνην ἐπικαίρους ἐλάμβανε τὰς αἰτίας· καὶ ὁ μὲν μηδὲ ὅλως αὐτοῖς προσιὼν ὡς ὑπερήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας ὡς καταφρονῶν, ὁ θεραπεύων δὲ ὡς ἐπίβουλος ὑπωπτεύετο. Μία τ' ἦν τῶν τε μεγίστων καὶ τῶν μετριωτάτων ἐγκλημάτων τιμωρία, θάνατος· καὶ διέφυγεν οὐδεὶς, εἰ μὴ σφόδρα τις ἦν ταπεινὸς, ἢ δι' ἀγένειαν, ἢ διὰ τύχην.

(ΚΑ'.) β'. Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες, ἕρμαιον ἡγούμενοι τὴν στάσιν τῶν πολεμίων, ὥρμηντο πρὸς τὴν πόλιν, καὶ τὸν Οὐεσπασιανὸν ἤπειγον ὡς ἂν ὄντα κύριον τῶν ὅλων, φάμενοι πρόνοιαν Θεοῦ σύμμαχον σφίσι τῷ τετράφθαι τοὺς ἐχθροὺς κατ' ἀλλήλων· εἶναι μέντοι τὴν ῥοπὴν ὀξεῖαν, καὶ ταχέως Ἰουδαίους δμονοήσειν, ἢ κοπιάσαντας ἐν τοῖς ἐμφυλίοις κακοῖς, ἢ μετανοήσαντας. Οὐεσπασιανὸς δὲ πλεῖστον αὐτοὺς ἔφη τοῦ δέοντος ἁμαρτάνειν, ὥσπερ ἐν θεάτρῳ χειρῶν τε καὶ ὅπλων ἐπίδειξιν ποιήσασθαι γλιχομένους οὐκ ἀκίνδυνον, ἀλλὰ μὴ τὸ συμφέρον καὶ τὸ ἀσφαλὲς σκοποῦντας. « Εἰ μὲν γὰρ εὐθέως ὁρμήσαιεν ἐπὶ τὴν πόλιν, αἴτιοι δμονοίας ἔσεσθαι τοῖς πολεμίοις, καὶ τὴν ἰσχὺν αὐτῶν ἀκμάζουσαν ἐπ' αὐτοὺς ἐπιστρέφειν· εἰ δὲ περιμένοιεν, ὀλιγωτέροις χρήσεσθαι, δαπανηθεῖσιν ἐν τῇ στάσει. Στρατηγεῖν μὲν γὰρ ἄμεινον αὐτοῦ τὸν Θεὸν, ἀκονιτὶ Ἰουδαίους Ῥωμαίοις παραδιδόντα, καὶ τὴν νίκην ἀκινδύνως τῇ στρατιᾷ χαριζόμενον. Ὥστε χρῆναι διαφθειρομένων χερσὶν οἰκείαις τῶν ἐχθρῶν, καὶ τῷ μεγίστῳ κακῷ στάσει χρωμένων, θεατὰς μᾶλλον αὐτοὺς ἀποκαθῆσθαι τῶν κινδύνων ἢ θανατῶσιν ἀνθρώποις καὶ λελυσσηκόσι κατ' ἀλλήλων χεῖρα μίσγειν. Εἰ δέ τις οἴεται τὴν δόξαν τῆς νίκης ἐωλοτέραν ἔσεσθαι δίχα μάχης, γνώτω τοῦ διὰ τῶν ὅπλων σφαλεροῦ τὸ μεθ' ἡσυχίας κατόρθωμα λυσιτελέστερον. Καὶ γὰρ οὐχ ἧττον εὐκλεεῖς οἴεσθαι χρὴ τῶν κατὰ χεῖρα λαμ-

peresset. Itaque occisus est cum multis aliis Gorion, dignitate quidem et genere præstans, popularis vero regiminis fautor, animoque de libertate sollicito præditus, si quis alius e Judæis. Eum autem inter cetera quibus eminebat maxime perdidit loquendi libertas. Neque Niger Peraita manus eorum effugit, vir qui in bellis contra Romanos strenuissime se gessit. Ille, licet clamorem sæpe tolleret, et vulnerum cicatrices ostenderet, per mediam civitatem trahebatur. Postquam vero se extra portas duci videret, desperata salute, orabat atque obsecrabat ut sepulturæ mandaretur : illi autem, quum prius minas jactassent, se eum humari (id quod maxime desiderabat) non passuros esse, cædem efficiebant. Verum quum in eo esset Niger ut occideretur, Romanos eis ultores imprecatus est, et ut præter bellum accederet fames et pestilentia, et ad hæc omnia ut mutuis ipsorum manibus caderent. Quæ sane universa contra improbos rata habuit Deus, et, quod justissimum, effecit ut non multo post orta dissensione sui ipsorum amentiam invicem experturi essent. Et Niger quidem occisus metu eos levavit ne tolleretur ipsorum potestas. Plebis autem pars nulla erat, cujus ad interitum non aliqua excogitaretur occasio. Nam alii quidem, quod jam dudum ipsorum aliquibus restitissent, interempti erant : aliis vero, qui nihil pacis tempore offenderant, prout commodum visum est, affingebantur crimina : et qui eos quidem omnino non adiret, pro superbo ; qui vero paullo liberius ad eos accederet, pro contemptore ; quique obsequiis eos demereri studebat, pro insidiatore habebatur. Atque una et gravissimorum criminum et levissimorum pœna, mors erat : neque evasit quisquam nisi admodum esset humilis, aut ignobilitate, aut forte fortuna.

(XXI.) 2. Romanorum autem alii quidem duces universi, hostium dissensionem sibi lucro inopino esse existimantes, incitati erant ad urbem oppugnandam ; et Vespasianum, qui summæ rerum præerat, urgebant, dicentes Dei providentiam ipsis favere, hostium manibus in sese conversis ; verumtamen in præcipiti stare mutationem, et Judæos inter se cito consensuros, aut malis civilibus defatigatos aut ad pœnitudinem redactos. At Vespasianus eis respondebat, ipsos de iis quæ fieri oportat vehementer errare, cupientes tanquam in theatro quantum armis ac manibus possent ostentare, idque cum periculo ; non autem quid in rem suam esset et ex tuto secum reputantes. « Nam si e vestigio quidem impetum in urbem facerent, ipsos in causa fore ut hostes in gratiam redirent, ac in ipsos vires eorum etiam nunc vigentes conversuros : sin vero diem de die exspectarent, cum paucioribus congressuros esse, multis seditione consumptis. Deum quippe ipso præstantiorem esse ducem, Judæos sine labore Romanis tradentem, nulloque cum periculo victoriam exercitui dantem. Proinde, quum suis manibus se perimant inimici, et malorum maximo seditione laborent, debere potius ipsos periculorum spectatores considere, quam cum hominibus mori cupientibus et in se invicem sævientibus manus conserere. Si quis autem existimet victoriæ gloriam sine prælio habitam iri viliorem, sciat magis e re sua esse quiete quod susceperint perficere quam incertam armorum aleam experiri. Neque enim minus iis, qui manibus pulchre decertarunt, laude digni censendi sunt qui continentia

πρῶν τοὺς ἐγκρατείᾳ καὶ συνέσει τὰ ἴσα διαπράξαντας. Ἅμα μέντοι μειουμένων τῶν πολεμίων καὶ τὴν αὐτοῦ στρατιὰν, ἀναληφθεῖσαν ἐκ τῶν συνεχῶν πόνων, ἐρρωμενέστερον ἄξειν· ἄλλως τε καὶ τῶν στοχαζομένων τῆς περὶ τὴν νίκην λαμπρότητος οὐ τοῦτον εἶναι τὸν καιρόν. Οὐ γὰρ περὶ κατασκευὴν ὅπλων ἢ τειχῶν, οὐδὲ περὶ συλλογὴν ἐπικούρων, Ἰουδαίους ἀσχολεῖσθαι, καὶ τὴν ὑπέρθεσιν ἔσεσθαι κατὰ τῶν διδόντων, ἀλλ' ἐμφυλίῳ πολέμῳ καὶ δι' ἀχονσίᾳ τραχηλιζομένους καθ' ἡμέραν οἰκτρότερα πάσχειν, ὧν ἂν ἐπελθόντες αὐτοὶ διαθεῖεν αὐτοὺς ἀλόντας. Εἴτε οὖν τὸ ἀσφαλὲς τις σκοποίη, χρῆναι τοὺς ὑφ' ἑαυτῶν ἀναλισκομένους ἐᾶν, εἴτε τὸ εὐκλεέστερον τοῦ κατορθώματος, οὐ δεῖν τοῖς οἰκοι νοσοῦσιν ἐπιχειρεῖν. Ῥηθήσεσθαι γὰρ εὐλόγως, οὐκ αὐτῶν τὴν νίκην, ἀλλὰ τῆς στάσεως. »

(ΚΒ'.) γ'. Ταῦτα Οὐεσπασιανῷ λέγοντι συνῄνουν οἱ ἡγεμόνες, καὶ παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης ἀνεφαίνετο. Πολλοὶ δὲ καθ' ἡμέραν ηὐτομόλουν, τοὺς ζηλωτὰς διαδιδράσκοντες. Χαλεπὴ δὲ ἦν ἡ φυγὴ, φρουραῖς διειλημμένων τὰς διεξόδους πάσας, καὶ τὸν ἐν αὐταῖς ὁπωσοῦν ἁλισκόμενον ὡς πρὸς Ῥωμαίους ἀπιόντα διαχρωμένων. Ὅ γε μὴν χρήματα δοὺς ἐξηφίετο, καὶ μόνος ἦν ὁ μὴ διδοὺς προδότης· ὥστε κατελείπετο, τῶν εὐπόρων τὴν φυγὴν ὠνουμένων, μόνους ἐναποσφάττεσθαι τοὺς πένητας. Νεκροὶ δὲ κατὰ τὰς λεωφόρους πάσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὡρμημένων αὐτομολεῖν πάλιν τὴν ἔνδον ἀπώλειαν ἡροῦντο· τὸν γὰρ ἐπὶ τῆς πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει δοκεῖν μετριώτερον. Οἱ δὲ εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν, ὡς μήτε τοῖς ἔνδον ἀναιρουμένοις μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς, ἀλλὰ, καθάπερ συνθήκας πεποιημένοι τοῖς τῆς πατρίδος συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως νόμους, ἅμα τε τοῖς εἰς ἀνθρώπους ἀδικήμασι συμμιᾶναι καὶ τὸ θεῖον, ὑφ' ἡλίῳ τοὺς νεκροὺς μυδῶντας ἀπέλειπον. Τοῖς δὲ θάπτουσι τινὰ τῶν προσηκόντων, ὃ καὶ τοῖς αὐτομολοῦσιν, ἐπιτίμιον θάνατος ἦν· καὶ δεῖσθαι παραχρῆμα ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζόμενον. Καθόλου τε εἰπεῖν, οὐδὲν οὕτως ἀπωλώλει χρηστὸν πάθος ἐν ταῖς τότε συμφοραῖς ὡς ἔλεος. Ἃ γὰρ ἐχρῆν οἰκτείρειν, ταῦτα παρώξυνε τοὺς ἀλιτηρίους, καὶ ἀπὸ μὲν τῶν ζώντων ἐπὶ τοὺς ἀνῃρημένους, ἀπὸ δὲ τῶν νεκρῶν ἐπὶ τοὺς ζῶντας τὰς ὀργὰς μετέφερον· καὶ δι' ὑπερβολὴν δέους ὁ περιὼν τοὺς προληφθέντας ὡς ἀναπαυσαμένους ἐμακάριζεν, οἵ τε ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι κατὰ σύγκρισιν καὶ τοὺς ἀτάφους ἀπέφαινον εὐδαίμονας. Κατεπατεῖτο μὲν οὖν πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων, ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ τοὺς τῶν προφητῶν θεσμοὺς ὥσπερ ἀγυρτικὰς λογοποιίας ἐχλεύαζον. Πολλὰ δὲ οὗτοι περὶ ἀρετῆς καὶ κακίας προεθέσπισαν, ἃ παραβάντες οἱ ζηλωταὶ, καὶ τὴν κατὰ τῆς πατρίδος προφητείαν τέλους ἠξίωσαν. Ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν ἐνθέων, τότε τὴν πόλιν ἁλώσεσθαι καὶ καταφλέξεσθαι τὸ ἁγιώτατον νόμῳ πολέμου, στάσις ἐὰν κατασκήψῃ καὶ χεῖρες οἰκεῖαι

atque prudentia paria gesserint. Simul autem ac hostibus aliquid de viribus minuatur, etiam milites suos, ex continuis laboribus recreatos, ductum iri valentiores; prætereaque, si qui sibi proponerent victoriæ claritudinem, non hoc idoneum esse tempus. Nec enim armis fabricandis murisve, neque auxiliis colligendis operam dare Judæos, foreque ut mora contra illos faciat qui eam interponant; imo vero bello civili et dissidiis vexatos quotidie miserabiliora pati quam quibus ab ipsis eos adortis capti afficerentur. Proinde, sive quis ad securitatem attenderit, oportere eos, qui semet consumptum eant, missos facere; sive ad rerum præclare gestarum gloriam, nequaquam manus intestino morbo laborantibus afferendas esse. Fore quippe ut dicatur, idque non sine causa, victoriam non illis acceptam deberi, sed seditioni. »

(XXII.) 3. Vespasiano verba ista facienti assenserunt duces moxque apparuit quam recte senserit imperator. Multi in dies singulos transfugiebant, zelotarum ex custodia semet subducentes. Difficile autem erat fugam capere, quod exitus omnes custodibus obsiderentur, et quicumque in illis quoquo modo deprehensus fuisset, quasi ad Romanos abiret, interficeretur. Ceterum qui pretio se potuit redimere, dimittebatur, isque solus pro proditore habebatur qui nihil daret: quo factum est ut, ditioribus fugam redimentibus, soli pauperiores jugularentur. Mortui autem per omnes vicos magna multitudine in cumulos aggesti erant: plurimique etiam qui se in fugam conjecerant, animo mutato in civitate diem supremum obire cupiebant: nam sepulturæ spes faciebat ut satius videretur in patria mori. Eo autem crudelitatis deventum est ut neque iis qui in urbe occisi erant, neque iis qui per vias, humari concederetur, sed quasi cum patriis legibus etiam naturæ jura dissolvere pepigissent, suaque in homines injustitia Dei quoque numen polluere, mortuos sub dio putrescentes relinquebant. Sepelientibus autem propinquorum quenquam idem quod transfugis supplicium erat, mors: statimque sepultura egebat qui alterum sepultura affecerat. In summa, nulla bona animi affectio adeo exstincta erat in istis calamitatibus ac misericordia. Quæ enim miseranda erant, illa ipsa nefarios irritabant, et a vivis quidem in occisos, a mortuis vero in vivos iracundiam transferebant: et ingens adeo metus omnes occupaverat ut eos qui prius occubuerant pro beatis, quod requieverant, laudarent superstites; quique in carceribus vexati erant et cruciati, etiam insepultos, si cum illis conferrentur, felices prædicabant. Et ab illis quidem omne jus humanum conculcabatur, divina autem deridebantur, et prophetarum oracula ut præstigiatorum commenta subsannabant. Multa autem illi de virtute et vitio vaticinati sunt, quæ isti zelotæ quum secure violarent, effecerunt ut prophetia quæ adversus patriam fuerat concepta exitum sortiretur. Vetus enim virorum numine afflatorum sermo quidam erat, tum urbem captum iri et locum sanctissimum conflagraturum jure belli, ubi seditio invaserit, et indigenarum manus polluerint sacratum Deo

προμιάνωσι τὸ τοῦ Θεοῦ τέμενος. Οἷς οὐκ ἀπιστήσαντες οἱ ζηλωταὶ διακόνους ἑαυτοὺς ἐπέδοσαν.

ΚΕΦ. Ζ'.

Ἤδη δὲ Ἰωάννης τυραννιῶντι τὸ πρὸς ὁμοίους ἰσότιμον ἠδοξεῖτο, καὶ κατ' ὀλίγους προσποιούμενος τῶν πονηροτέρων ἀφηνίαζε τοῦ συντάγματος. Ἀεὶ δὲ τοῖς μὲν τῶν ἄλλων δόγμασιν ἀπειθῶν, τὰ δὲ αὐτοῦ προστάσσων δεσποτικώτερον, δῆλος ἦν μοναρχίας ἀντιποιούμενος. Εἶκον δὲ αὐτῷ τινες μὲν δέει, τινὲς δὲ κατ' εὔνοιαν (δεινὸς γὰρ ἦν ἀπάτῃ καὶ δόλῳ πρόσαγαγέσθαι), πολλοὶ δὲ πρὸς ἀσφαλείας ἡγούμενοι τῆς αὐτῶν τὰς αἰτίας ἤδη τῶν τολμωμένων ἐφ' ἕνα καὶ μὴ πολλοὺς ἀναφέρεσθαι. Τό γε μὴν δραστήριον αὐτοῦ, κατά τε χεῖρα καὶ κατὰ γνώμην, δορυφόρους εἶχεν οὐκ ὀλίγους. Πολλὴ δὲ μοῖρα τῶν ἀντικαθισταμένων ἀπελείπετο, παρ' οἷς ἴσχυε μὲν καὶ φθόνος, δεινὸν ἡγουμένων ὑποτετάχθαι τῷ πρὶν ἰσοτίμῳ· τὸ πλέον δὲ εὐλάβεια τῆς μοναρχίας ἀπέτρεπεν. Οὔτε γὰρ καταλύσειν ῥᾳδίως ἤλπιζον αὐτὸν ἅπαξ κρατήσαντα, καὶ καθ' ἑαυτῶν πρόφασιν ἕξειν τὸ τὴν ἀρχὴν ἀντιπρᾶξαι· προῃρεῖτο δὲ ἡ πολεμῶν ἕκαστος ὅτιοῦν παθεῖν ἢ δουλεύσας ἑκουσίως ἐν ἀνδραπόδου μοίρᾳ παραπολέσθαι. Διαιρεῖται μὲν οὖν ἡ στάσις ἐκ τούτων, καὶ τοῖς ἐναντιωθεῖσιν Ἰωάννης ἀντεβασίλευσεν. Ἀλλὰ τὰ μὲν πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ οὐδὲν ἡ μικρὸν εἴ ποτε διηκροβολίζοντο τοῖς ὅπλοις· ἤριζον δὲ κατὰ τοῦ δήμου καὶ πότεροι πλείονα λείαν ἀνάξουσιν ἀντεφιλονείκουν. Ἐπεὶ δὲ ἡ πόλις τρισὶ τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, πολέμῳ καὶ τυραννίδι καὶ στάσει, κατὰ σύγκρισιν μετριώτερον ἦν τοῖς δημοτικοῖς ὁ πόλεμος. Ἀμέλει διαδιδράσκοντες ἐκ τῶν οἰκείων ἔφευγον πρὸς τοὺς ἀλλοτρίους, καὶ παρὰ Ῥωμαίοις ἧς ἀπῆλπισαν ἐν τοῖς ἰδίοις σωτηρίας ἠξιοῦντο.

(ΚΔ'.) β'. Τέταρτον δὲ ἄλλο κακὸν ἐκινεῖτο πρὸς τὴν τοῦ ἔθνους κατάλυσιν. Φρούριον ἦν οὐ πόρρω Ἱεροσολύμων καρτερώτατον, ὑπὸ τῶν ἀρχαίων βασιλέων εἴς τε ὑπέκθεσιν κτήσεως ἐν πολέμου ῥοπαῖς καὶ σωμάτων ἀσφάλειαν κατεσκευασμένον, ὃ ἐκαλεῖτο Μασάδα. Τοῦτο κατειληφότες οἱ προσαγορευόμενοι σικάριοι τέως μὲν τὰς πλησίον χώρας κατέτρεχον, οὐδὲν πλέον τῶν ἐπιτηδείων ποριζόμενοι· δέει γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς· ὡς δὲ τὴν Ῥωμαίων στρατιὰν ἠρεμοῦσαν, στάσει δὲ καὶ τυραννίδι ἰδίᾳ τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους ἐπύθοντο διῃρημένους, ἀδροτέρων ἥπτοντο τολμημάτων. Καὶ κατὰ τὴν ἑορτὴν τῶν ἀζύμων, ἣν ἄγουσιν Ἰουδαῖοι σωτήρια ἐξόδου τῆς ὑπ' Αἰγυπτίοις δουλείας, ἀνεθέντες εἰς τὴν πάτριον γῆν, κατῆλθον νύκτωρ, τοὺς ἐμποδὼν ὄντας διαλαθόντες, καὶ πολίχνην τινὰ κατατρέχουσι καλουμένην Ἐγγαδδί. Ἐν ᾗ τὸ μὲν ἀμύνεσθαι δυνάμενον, πρὶν ὅπλων ἅψασθαι καὶ συνελθεῖν, φθάσαντες ἐσκέδασαν, καὶ τῆς πόλεως ἐξέβαλον, τὸ δὲ φυγεῖν ἧττον ὄν, γύναιά τε καὶ παῖδας, ὑπὲρ ἑπτακοσίους ἀναιροῦσιν· ἔπειτα τούς τε οἴκους ἐξε-

locum. Quibus licet fidem non detraherent zelotæ, ipsi tamen se earum rerum ministros præbuerunt.

CAP. VII. (XXIII.)

Joannes autem, quum jam tyrannidem affectaret, eundem cum æqualibus suis honorem accipere dedignabatur; paulatimque e nequioribus quosdam sibi adjungens eorum factioni se subducebat. Quum autem semper aliorum quidem consultis non obtemperaret, quæ vero ipsi visa essent imperiosius juberet, palam erat ipum velle dominatum sibi soli asserere. Eique se sociabant nonnulli quidem metu, alii vero ex benevolentia (miram quippe scientiam habebat alios ad se alliciendi fraude et dolo), plurimique quod ad securitatem suam facere existimabant, ut facinorum quæ patrarentur causæ uni potius quam multis adscriberentur. Ad hæc, quia manu strenuus erat et consilio, non paucos habebat satellites. Magna autem pars contrariæ factionis eum deserebat, nonnulli quidem præ invidia, grave ducentes ei subjici quem paullo ante parem habuerant, plurimi vero sibi caventes ab unius dominatu. Eum enim, si semel rerum potiretur, haud facile deturbari posse existimabant, illudque ipsis objecturum esse, quod primum ei restiterint. Proinde quisque bello potius quidvis pati malebat quam voluntariam serviendo servitutem pro mancipiis male perire. Et ex istis quidem divisa est factio, et Joannes in contraria dissentientibus parte pro rege se gessit. Sed inter ipsos quidem munita erant omnia custodibus; nihilque aut parum agebatur, si quando in velitatione armis se lacesserent: contra plebeculam vero acriter pugnabant, et utrinque contentio erat quinam prædam majorem abducerent. Quum autem tribus maximis malis vexaretur civitas, bello et tyrannide et seditione, præ ceteris populo levius videbatur bellum. Itaque relictis familiaribus suis ad alienigenas profugiebant, et apud Romanos salutem, quam inter suos desperaverant, assequebantur.

2. (XXVI.) Quartum vero præterea malum coortum est gentis in exitium. Castellum erat haud procul ab Hierosolymis validissimum, a priscis regibus et ad opes reponendas in belli periculis et ad corporum tutamen ædificatum, quod vocabatur Masada. Illud quum Sicarii qui appellabantur occupassent, tunc quidem in vicinam regionem excursiones faciebant, nihil aliud præter necessaria sibimet quærentes, quippe metu a rapinis amplioribus continebantur: at quum primum Romanorum exercitum otium agere audirent, et Judæos Hierosolymitanos ex seditione et injusta dominatione divisos, majora facinora aggrediebantur. Atque die festo Azymorum (qui agitur a Judæis ob salutem acceptam quum ex Ægyptiorum servitute liberati in terram patriam remitterentur) noctu descenderunt, clam eos qui ipsis obstarent, et in oppidulum quoddam nomine Engaddi impetum faciunt. In qua eos qui resistendo erant, priusquam arma caperent et convenirent, subito disperserunt et civitate ejecerunt: eos vero qui fugere non poterant, mulieres ac liberos, supra septingentos interficiunt: deinde quum ædes compilassent,

σκευασμένοι καὶ τῶν καρπῶν τοὺς ἀκμαίους ἁρπάσαντες ἀνήνεγκαν εἰς τὴν Μασάδαν. Καὶ οἱ μὲν ἐληίζοντο πάσας τὰς περὶ τὸ φρούριον κώμας, καὶ τὴν χώραν ἐπόρθουν ἅπασαν, προσδιαφθειρομένων αὐτοῖς καθ' ἡμέραν ἐκασταχόθεν οὐκ ὀλίγων. Ἐκινεῖτο δὲ καὶ τὰ ἄλλα τῆς Ἰουδαίας κλίματα τότε τέως ἠρεμοῦν λῃστρικόν. Καθάπερ δὲ ἐν σώματι τοῦ κυριωτάτου φλεγμαίνοντος πάντα τὰ μέλη συνενόσει· διὰ γοῦν τὴν ἐν μητροπόλει στάσιν καὶ ταραχὴν ἄδειαν ἔσχον οἱ κατὰ τὴν χώραν πονηροὶ τῶν ἁρπαγῶν, καὶ τὰς οἰκείας ἕκαστοι κώμας ἁρπάσαντες, ἔπειτα εἰς τὴν ἐρημίαν ἀφίσταντο· συναθροιζόμενοί τε καὶ συνομνύμενοι κατὰ λόχους, στρατιᾶς μὲν ὀλιγώτεροι, πλείους δὲ λῃστηρίου, προσέπιπτον ἱεροῖς καὶ πόλεσι. Καὶ κακοῦσθαι μὲν συνέβαινεν, ἐφ' οἷς ἂν ὁρμήσειαν ὡς ἐν πολέμῳ καταλειφθέντας· φθάνεσθαι δὲ τὰς ἀμύνας ὡς λῃστῶν ἅμα ταῖς ἁρπαγαῖς ἀποδιδρασκόντων. Οὐδὲν δὲ μέρος ἦν τῆς Ἰουδαίας, ὃ μὴ τῇ προανεχούσῃ πόλει συναπώλλυτο.

(ΚΕ'.) γ'. Ταῦτα Οὐεσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγγέλλετο. Καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στασιαστῶν ἁπάσας, καὶ διαφθειρόντων τοὺς ὁπωσοῦν προσιόντας, ὅμως ἦσαν οἳ διελάνθανον καὶ καταφεύγοντες εἰς τοὺς Ῥωμαίους τὸν στρατηγὸν ἐνῆγον ἀμῦναι τῇ πόλει, καὶ τὰ τοῦ δήμου περισῶσαι λείψανα· διὰ γὰρ τὴν πρὸς Ῥωμαίους εὔνοιαν ἀνῃρῆσθαί τε τοὺς πολλοὺς καὶ κινδυνεύειν τοὺς περιόντας. Ὁ δὲ οἰκτείρων ἤδη τὰς συμφορὰς αὐτῶν τὸ μὲν δοκεῖν ἐκπολιορκήσων ἀνίσταται τὰ Ἱεροσόλυμα, τὸ δ' ἀληθὲς ἀπαλλάξων πολιορκίας. Ἔδει δὲ προκαταστρέψασθαι τὰ λειπόμενα, καὶ μηδὲν ἔξωθεν ἐμπόδιον τῇ πολιορκίᾳ καταλιπεῖν. Ἐλθὼν γοῦν ἐπὶ τὰ Γάδαρα μητρόπολιν τῆς Περαίας καρτερὰν, τετράδι Δύστρου μηνὸς εἴσεισιν εἰς τὴν πόλιν. Καὶ γὰρ ἔτυχον οἱ δυνατοὶ λάθρα τῶν στασιωτῶν πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ παραδόσεως, πόθῳ τε εἰρήνης καὶ διὰ τὰς οὐσίας· πολλοὶ δὲ τὰ Γάδαρα κατῴκουν πλούσιοι. Τούτων τὴν πρεσβείαν ἠγνοήκεσαν οἱ διάφοροι, πλησίον δὲ ἤδη ὄντος Οὐεσπασιανοῦ διεπύθοντο. Καὶ κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέγνωσαν δύνασθαι, τῶν τε ἔνδον ἐχθρῶν πλήθει λειπόμενοι καὶ Ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς πόλεως· φεύγειν δὲ κρίναντες ἠδόξουν ἀναιμωτὶ καὶ μηδεμίαν παρὰ τῶν αἰτίων εἰσπραξάμενοι τιμωρίαν. Συλλαβόντες δὴ τὸν Δόλεσον (οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώματι καὶ γένει τῆς πόλεως πρῶτος, ἀλλ' ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος), κτείνουσί τε αὐτὸν καὶ δι' ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισάμενον διέδραν ἐκ τῆς πόλεως. Ἐπιούσης δὲ ἤδη τῆς Ῥωμαϊκῆς δυνάμεως ὅ τε δῆμος τῶν Γαδάρων, μετ' εὐφημίας τὸν Οὐεσπασιανὸν εἰσδεξάμενοι, δεξιάς παρ' αὐτοῦ πίστεως ἔλαβον, καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν πρὸς τὰς τῶν φυγάδων καταδρομάς· τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι Ῥωμαίους καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρήνην ἀγαπᾶν τὸ μηδὲ βουληθέντας πολεμεῖν.

fructusque jam maturos diripuissent, prædam in Masadam retulerunt. Et illi quidem omnes circa castellum vicos et regionem omnem depopulabantur, non parvo undique perditorum numero ad eos in dies singulos confluente. Simul etiam per reliquos Judææ tractus concitati sunt latrones, qui eousque quieverant. Ac quemadmodum in corpore, si quod præcipuum est inflammatur, una ægrotabant membra cuncta: itaque propter urbis seditionem et tumultum qui foris erant nequissimi prædandi arripuerunt licentiam; atque singuli, ubi vicos quos inhabitabant diripuerunt, mox in solitudinem se recipiebant: quumque in agmina congregarentur et conjurarent, exercitu quidem pauciores, plures vero quam manus latrocinalis, in loca sacra et oppida irruebant. Atque eveniebat ut male quidem mulctarentur ab iis in quos impetum fecerant, id quod bello victis solet accidere; interdum autem pœnas prævenirent, latronum more cum spoliis aufugientes. Nulla autem pars Judææ erat quæ simul cum urbe eminentissima non interibat.

(XXV.) 3. Ista Vespasiano a transfugis narrabantur. Nam licet exitus omnes custodirent, et quotquot ad illos quoquo modo accederent e vestigio interficerent seditiosi, erant tamen qui clam elapsi et ad Romanos se recipientes imperatorem incitabant ut opem civitati ferret, et conservatum iret populi reliquias: nam multos, quod bene Romanis vellent, periisse, et superstites in periculo esse. Ille autem, jam tum miserans eorum calamitates, castra movit tanquam Hierosolyma obsessurus, re autem vera ut obsidione liberaret. Oportebat autem ut, priusquam id ageret, quod reliquum erat eversum iret, nihilque a tergo relinqueret quod obsidionem impediret. Quum igitur venisset Gadara, metropolim Perææ validam, quarta die mensis Dystri civitatem ingreditur. Jam enim optimates, clam seditiosos, legatos ad eum de deditione miserant, tam pacis desiderio, quam suis facultatibus metuentes: multi quippe locupletes Gadara habitabant. Quum autem hanc legationem plane ignorassent diversa sentientes, tum demum de ea appropinquante Vespasiano nonnihil resciverunt. Et ipsi quidem civitatem se retinere posse desperabant, utpote et inimicis qui intus erant numero inferiores, et Romanos non longe ab urbe conspicientes: quum autem fugere decrevissent, sine sanguine id facere, nullaque a noxiis pœna repetita, parum honestum ducebant. Itaque Doleso comprehenso (namque is non dignitate solum ac nobilitate civitatis princeps erat, sed etiam legationis auctor videbatur), et ipsum morte afficiunt et mortuo ex iræ vehementia male indigneque accepto, ex urbe diffugerunt. Eo autem accedente Romano exercitu, Gadarensium populus, quum Vespasianum faustis acclamationibus in urbem recepissent, et fidem ab eo acceperunt, et equitum peditumque præsidium contra fugitivorum excursus: nam ipsi muros demoliti erant, priusquam id peterent Romani, ut sibi fides haberetur quod pacem diligerent, ut qui ne vellent quidem bellum movere.

δ'. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν Γαδάρων Πλάκιδον σὺν ἱππεῦσι πενταχοσίοις καὶ πεζοῖς τρισχιλίοις πέμπει· μετὰ δὲ τῆς ἄλλης στρατιᾶς αὐτὸς ὑπέστρεψεν εἰς Καισάρειαν. Οἱ δὲ φυγάδες ὡς αἰφνίδιον τοὺς διώκοντας ἱππεῖς ἐθεάσαντο, πρὶν εἰς χεῖρας ἐλθεῖν, εἴς τινα κώμην συνειλοῦνται, Βηθενναβρὶν προσαγορευομένην. Ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες, καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ βίᾳ καθοπλίσαντες, εἰκαίως προπηδῶσιν ἐπὶ τοὺς περὶ τὸν Πλάκιδον. Οἱ δὲ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν ὀλίγον εἶξαν, ἅμα καὶ προκαλέσασθαι τεχνιτεύοντες αὐτοὺς ἀπὸ τοῦ τείχους πορρωτέρω. Λαβόντες δὲ εἰς ἐπιτήδειον περιήλαυνόν τε καὶ κατηκόντιζον, καὶ τοὺς μὲν φυγάδας αὐτῶν οἱ ἱππεῖς ὑπετέμνοντο, τὰς συμπλοκὰς δὲ τὸ πεζὸν εὐτόνως διέφθειρον. Οὐ μέντοι πλεῖόν τι τόλμης ἐπιδεικνύμενοι οἱ Ἰουδαῖοι διεφθείροντο. Πεπυκνωμένοις γὰρ προσπίπτοντες τοῖς Ῥωμαίοις, καὶ ταῖς πανοπλίαις ὥσπερ τετειχισμένοις, αὐτοὶ μὲν οὐχ ηὕρισκον βέλους παράδυσιν, οὐδὲ ηὐτόνουν ῥῆξαι τὴν φάλαγγα, περιεπείροντο δὲ τοῖς ἐκείνων βέλεσι, καὶ τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις ὥρμων ἐπὶ τὸν σίδηρον. Διεφθείροντο δὲ οἱ μὲν κατὰ στόμα παιόμενοι τοῖς ξίφεσιν, οἱ δὲ ὑπὸ τῶν ἱππέων σκεδαννύμενοι.

ε'. Σπουδὴ γὰρ ἦν τῷ Πλακίδῳ τὰς ἐπὶ τὴν κώμην ὁρμὰς αὐτῶν διακλείειν, καὶ συνεχῶς παρελαύνων κατ' ἐκεῖνο τὸ μέρος, ἔπειτα ἐπιστρέφων ἅμα καὶ τοῖς βέλεσι χρώμενος, εὐστόχως ἀνῄρει τοὺς πλησιάζοντας, καὶ δέει τοὺς πόρρωθεν ἀνέστρεφε, μέχρι βίᾳ διεκπαίοντες οἱ γενναιότατοι πρὸς τὸ τεῖχος διέφυγον. Ἀπορία δὲ εἶχε τοὺς φύλακας. Οὔτε γὰρ ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν Γαδάρων ὑπέμενον διὰ τοὺς σφετέρους, καὶ δεξάμενοι συναπολεῖσθαι προσεδόκων. Ὃ δὴ καὶ συνέβη· συνωσθέντων γὰρ αὐτῶν εἰς τὸ τεῖχος, παρ' ὀλίγον μὲν οἱ τῶν Ῥωμαίων ἱππεῖς συνεισέπεσον· οὐ μὴν ἀλλὰ καὶ φθασάντων ἀποκλεῖσαι τὰς πύλας προσβαλὼν ὁ Πλάκιδος καὶ μέχρι δείλης γενναίως ἀγωνισάμενος τοῦ τείχους καὶ τῶν ἐν τῇ κώμῃ ἐκράτει. Τὰ μὲν οὖν ἀργὰ πλήθη διεφθείρετο· φυγὴ δὲ ἦν τῶν δυνατωτέρων, τὰς δὲ οἰκίας οἱ στρατιῶται διήρπασαν, καὶ τὴν κώμην ἐνέπρησαν. Οἱ δὲ διαδράντες ἐξ αὐτῆς τοὺς κατὰ τὴν χώραν συνανέστησαν, καὶ τὰς μὲν αὐτῶν συμφορὰς ἐξαίροντες ἐπὶ μεῖζον, τὴν δὲ Ῥωμαίων στρατιὰν πᾶσαν ἐπιέναι λέγοντες, πάντας πανταχόθεν ἐξέσεισαν τῷ δέει. Γενόμενοί τε παμπληθεῖς ἔφευγον ἐπὶ Ἱεριχοῦντος. Αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε τῆς σωτηρίας, καρτερὰ τείχει τε καὶ πλήθει οἰκητόρων τυγχάνουσα. Πλάκιδος δὲ τοῖς ἱππεῦσι καὶ ταῖς προαγούσαις εὐπραγίαις τεθαρρηκὼς εἵπετο, καὶ μέχρι μὲν Ἰορδάνου τοὺς ἀεὶ καταλαμβανομένους ἀνῄρει· συνελάσας δὲ πρὸς τὸν ποταμὸν πᾶν τὸ πλῆθος, εἰργομένους ὑπὸ τοῦ ῥεύματος (τραφὲν γὰρ ὑπ' ὄμβρων ἄβατον ἦν) ἀντικρὺ παρετάσσετο. Παρώξυνε δὲ ἡ ἀνάγκη πρὸς μάχην τοὺς φυγῆς τόπον οὐκ ἔχοντας· καὶ ταῖς ὄχθαις ἐπὶ μήκιστον παρεκτείνοντες σφᾶς αὐτοὺς ἐδέχοντο τὰ βέλη καὶ τὰς τῶν

4. Vespasianus ad Gadarensium perfugas persequendos mittit Placidum cum equitibus quingentis et tribus peditum millibus : ipse autem cum reliquo exercitu Cæsaream reversus est. At fugitivi, postquam equites repente a tergo insequentes viderant, priusquam ad manus venirent, in vicum quendam, cui nomen Bethennabris, colliguntur. Ubi reperta non parva juvenum multitudine, hisque partim ex voluntate sua, partim vi armatis, temere contra Placidum ejusque milites prosiliunt. Illi autem ad primum quidem impetum paululum recesserunt, ea arte eoque consilio ut simul eos longius a muro provocarent. Quumque in locum opportunum adducti essent, eos circumequitabant et jaculis configebant : et ex illis quidem quotquot fugerent succidebant equites, manus vero conserentium magnam stragem edebant pedites. Sane nihil aliud agentes nisi ut suam ostenderent audaciam, peribant Judæi. Nam dum confertos adoriuntur Romanos armisque non secus ac muro septos, ipsi quidem omnia telis impervia inveniebant, nec aciem ulla vi frangere poterant, illorum autem undique transfigebantur telis, et similiter ac feræ immanissimæ in ferrum ruebant. Atque sternebantur alii gladiis ora percussi, alii ab equitibus dissipati.

5. Curæ autem erat Placido eis fugam in vicum intercludere, et assidue ea parte equitatu prætervectus, deinde cursu reflexo tela vibrans, proximos certo ictu perimebat, et remotiores sui metu avertebat, donec tandem fortiores vi erumpentes ad murum evaderent. In incerto autem erant custodes quid agerent. Neque enim ferebant ut Gadarensium perfugæ suorum causa excluderentur; et si eos recepissent, una cum his se perituros exspectabant. Id quod contigit : illis enim ad murum compulsis, parum aberat quin Romanorum equites cum illis irrupissent. Verumenimvero, quum portas jam præclusissent, Placidus, facta impressione pugnaque acri commissa, muro pariter ac vico potiebatur. Et vulgus quidem iners cæsum est : potentiores vero in fugam se conjiciebant, militesque domos diripiebant et vicum igni vastabant. Qui vero inde evaserant, et ruris incolas in fugam concitarunt, et, dum suas calamitates in majus extollerent, dicerentque totum Romanorum adventare exercitum, omnes undique metu concusserunt. Quumque in ingentem aucti essent numerum, Hierichuntem versus fugiebant. Sola enim hæc etiam tunc eorum spem salutis fovebat, quod esset bene communita populoque abundaret. At Placidus, equitibus fretus rebusque ante prospere gestis, eos insequebatur, et usque ad Jordanem quidem omnes, ut quosque assequeretur, perimebat : quum autem ad amnem universam compulisset multitudinem, vi fluminis trajectu prohibitam (auctum enim imbribus vadari non poterat), ex adverso aciem instruebat. Necessitas autem Gadarenses ad pugnam adegit, quod fugæ locum non haberent : prætentique quam longissime ad ripas, tela excipiebant incursusque equitum, qui ipsorum multos ferientes

ἱππέων ἐμβολὰς, οἱ πολλοὺς αὐτῶν παίοντες εἰς τὸ ῥεῦμα κατέβαλον. Καὶ τὸ μὲν ἐν χερσὶν αὐτῶν διαφθαρὲν μύριοι πεντακισχίλιοι, τὸ δὲ βιασθὲν ἐμπηδῆσαι ἀκουσίως εἰς τὸν Ἰορδάνην πλῆθος ἄπειρον ἦν. Ἐάλωσαν δὲ περὶ δισχιλίους καὶ διακοσίους, λεία τε παμπληθὴς ὄνων τε καὶ προβάτων καὶ καμήλων καὶ βοῶν.

ς'. Ἰουδαίοις μὲν οὖν οὐδὲν ἐλάττων ἥδε ἡ πληγὴ προσπεσοῦσα καὶ μείζων ἔδοξεν ἑαυτῆς, διὰ τὸ μὴ μόνον τὴν χώραν ἅπασαν δι' ἧς ἐφευγον πληρωθῆναι φόνου, μηδὲ νεκροῖς διαβατὸν γενέσθαι τὸν Ἰορδάνην, ἐμπλησθῆναι δὲ τῶν σωμάτων καὶ τὴν Ἀσφαλτῖτιν λίμνην, εἰς ἣν παμπληθεῖς ὑπὸ τοῦ ποταμοῦ κατεσύρησαν. Πλάκιδος δὲ δεξιᾷ τύχῃ χρώμενος ὥρμησεν ἐπὶ τὰς πέριξ πολίχνας τε καὶ κώμας, καταλαμβανόμενός τε Ἄβιλα καὶ Ἰουλιάδα καὶ Βησιμὼθ, τάς τε μέχρι τῆς Ἀσφαλτίτιδος πάσας, ἐγκαθίστηαιν ἑκάστῃ τοὺς ἐπιτηδείους τῶν αὐτομόλων. Ἔπειτα σκάφεσιν ἐπιβήσας τοὺς στρατιώτας ἀναιρεῖ τοὺς εἰς τὴν λίμνην καταφυγόντας. Καὶ τὰ μὲν κατὰ τὴν Περαίαν προσεχώρησεν ἢ ἑάλω πάντα, μέχρι Μαχαιροῦντος.

ΚΕΦ. Η'.

Ἐν δὲ τούτῳ τὸ περὶ τὴν Γαλατίαν ἀγγέλλεται κίνημα, καὶ Οὐίνδιξ ἅμα τοῖς δυνατοῖς τῶν ἐπιχωρίων ἀφεστὼς Νέρωνος, περὶ ὧν ἐν ἀκριβεστέροις ἀναγέγραπται. Οὐεσπασιανὸν δὲ ἐπήγειρεν εἰς τὴν ὁρμὴν τοῦ πολέμου τὰ ἠγγελμένα, προορώμενον ἤδη τοὺς μέλλοντας ἐμφυλίους πολέμους, καὶ τὸν ὅλης κίνδυνον τῆς ἡγεμονίας, ἐν ᾧ προειρηνεύσας τὰ κατὰ τὴν ἀνατολὴν, ἐπικουφίσειν ᾤετο τοὺς κατὰ τὴν Ἰταλίαν φόβους. Ἕως μὲν οὖν ἐπεῖχεν ὁ χειμὼν, τὰς ὑπηγμένας διησφαλίζετο κώμας τε καὶ πολίχνας φρουραῖς, δεκαδάρχας μὲν κώμαις ἐγκαθιστὰς, ἑκατοντάρχας δὲ πόλεσι· πολλὰ δὲ ἀνῴκιζε καὶ τῶν πεπορθημένων. Ὑπὸ δὲ τὴν ἀρχὴν τοῦ ἔαρος ἀναλαβὼν τὸ πλέον τῆς δυνάμεως, ἦγαγεν ἀπὸ τῆς Καισαρείας ἐπὶ Ἀντιπατρίδος. Ἔνθα δυσὶν ἡμέραις καταστησάμενος τὴν πόλιν, τῇ τρίτῃ προῆει πορθῶν καὶ καίων τὰς πέριξ πάσας. Καταστρεψάμενος δὲ τὰ περὶ τὴν Θαμνᾶ τοπαρχίαν, ἐπὶ Λύδδων καὶ Ἰαμνείας ἐχώρει. Καὶ προκεχειρωμέναις ἑκατέραις ἐγκαταστήσας οἰκήτορας τῶν προσκεχωρηκότων ἱκανοὺς, εἰς Ἀμμαοῦντα ἀφικνεῖται. Καταλαβόμενος δὲ τὰς ἐπὶ τὴν μητρόπολιν αὐτῶν εἰσβολὰς στρατόπεδόν τε τειχίζει καὶ τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν πρόσεισι μετὰ τῆς ἄλλης δυνάμεως ἐπὶ τὴν Βεθλεπτηφῶν τοπαρχίαν. Πυρὶ δὲ αὐτήν τε καὶ τὴν γειτνιῶσαν ἀνελὼν, καὶ τὰ πέριξ τῆς Ἰδουμαίας φρούρια τοῖς ἐπικαίροις τόποις ἐπετείχισε· καταλαβόμενος δὲ δύο κώμας τὰς μεσαιτάτας τῆς Ἰδουμαίας, Βήταριν καὶ Καφάρτοβαν, κτείνει μὲν ὑπὲρ μυρίους, αἰχμαλωτίζεται δὲ ὑπὲρ χιλίους, καὶ τὸ λοιπὸν πλῆθος ἐξελάσας ἐγκαθίστησι τῆς ἰδίας δυνάμεως οὐκ ὀλίγην, οἳ κατατρέχοντες ἐπόρθουν ἅπασαν τὴν ὀρεινήν. Αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεφεν εἰς Ἀμμαοῦντα, ὅθεν διὰ τῆς

in flumen dejiciebant. Et manibus quidem ipsorum cæsa erant quindecim millia; multitudo vero illorum, qui velint nolint in Jordanem desilire coacti sunt, infinita erat. Præterea capta sunt duo millia et ducenti, cum præda ingenti asinorum et ovium, itemque camelorum et boum.

6. Et Judæis quidem hæc clades inflicta superioribus licet par fuerit, ipsammet tamen superare existimabatur, non solum quod regio omnis qua fugerant cædis plena esset, et Jordanes præ mortuis transiri non posset, sed et lacus Asphaltitis corporibus oppleretur magno numero in eum a fluvio delatis. Placidus autem, secunda fortuna usus, in oppida proxima et vicos contendit, captisque Abila et Juliade et Besimoth, omnibusque ad lacum Asphaltitin usque, idoneos ex transfugis in singulis collocat. Deinde, milite scaphis imposito, eos qui in lacum perfugerant perimit. Et quæ in Peræa quidem erant, omnia usque ad Machæruntem aut accessere Romanis aut capta sunt.

CAP. VIII. (XXVI.)

Dum hæc autem aguntur, motus in Gallia nunciantur, quodque Vindex una cum potentibus e popularibus suis a Nerone defecisset: de quibus alibi accuratius perscriptum est. Vespasianum vero ad bellum celerius conficiendum incitarunt quæ nunciata erant, jam tunc futura bella civilia totiusque imperii pericula prospicientem, quum, si partes Orientis ante pacasset, fore existimaret ut Italiam metu levaret. Et quamdiu quidem hiems prævalebat, operam dabat ut vicos et oppida quæ subegerat præsidiis muniret, decurionibus quidem per vicos collocatis, per urbes vero centurionibus; quin et multa eorum quæ fuerant vastata instaurabat. Veris autem sub initium cum majori exercitus parte Cæsarea profectus est Antipatridem: ubi biduo in componenda civitate consumpto tertia die inde movit, populans et exurens vicos omnes finitimos. Quumque in potestatem suam quæ in toparchia erant Thamnitica redegisset, in Lydda et Jamniam procedebat. Et quum utraque subacta esset, constitutis illic ex deditiis habitatoribus qui sufficerent, ad Ammauntem inde ventum; occupatoque ad metropolim eorum aditu, et castra muro circumdat, et cum cetera manu, quinta ibidem legione relicta, in Bethleptephorum toparchiam se confert. Quum autem eam et vicinam regionem igni corrupisset, simulque castella quidem circa Idumæam locis opportunis muniisset, duos vero vicos in media Idumæa cepisset, Betarim et Caphartobam, supra decem millia hominum perimit, et plus quam mille captivos abducit; exactaque inde cetera multitudine, non parvam militum suorum manum ibi constituit, qui incursionibus loca montana omnia vastabant. Ipse autem cum reliquo exercitu Ammauntem rediit, unde per Samaritidem et juxta

Σαμαρείτιδος καὶ παρὰ τὴν Νεάπολιν καλουμένην, Μαβορθὰ δὲ ὑπὸ τῶν ἐπιχωρίων, καταβὰς εἰς Κορέαν δευτέρᾳ Δαισίου μηνὸς στρατοπεδεύεται, τῇ δὲ ἑξῆς εἰς Ἱεριχοῦντα ἀφικνεῖται, καθ' ἣν αὐτῷ συμμίσγει Τραϊανὸς εἷς τῶν ἡγεμόνων, τὴν ἐκ τῆς Περαίας ἄγων δύναμιν, ἤδη τῶν ὑπὲρ τὸν Ἰορδάνην κεχειρωμένων.

(KZ'.) β'. Τὸ μὲν οὖν πολὺ πλῆθος ἐκ τῆς Ἱεριχοῦντος φθάσαν τὴν ἔφοδον αὐτῶν εἰς τὴν ἀντικρυς Ἱεροσολύμων ὀρεινὴν διαπεφεύγει, καταλειφθὲν δὲ οὐκ ὀλίγον διαφθείρεται. Τὴν δὲ πόλιν ἔρημον κατειλήφεσαν, ἥτις ἵδρυται μὲν ἐν πεδίῳ, ψιλὸν δὲ ὑπέρκειται αὐτῆς καὶ ἄκαρπον ὄρος μήκιστον· κατὰ μὲν τὸ βόρειον κλίμα μέχρι τῆς Σκυθοπολιτῶν γῆς ἐκτείνεται, κατὰ δὲ τὸ μεσημβρινὸν μέχρι τῆς Σοδομιτῶν χώρας καὶ τῶν περάτων τῆς Ἀσφαλτίτιδος· ἔστι δὲ ἀνώμαλόν τε πᾶν καὶ ἀοίκητον διὰ τὴν ἀγονίαν. Ἀντίκειται δὲ τούτῳ τὸ περὶ Ἰορδάνην ὄρος, ἀρχόμενον ἀπὸ Ἰουλιάδος καὶ τῶν βορείων κλιμάτων, παρατεῖνον δὲ εἰς μεσημβρίαν ἕως Σομόρρων, ἥπερ ὁρίζει τὴν Πέτραν τῆς Ἀραβίας. Ἐν τούτῳ δὲ ἐστὶ καὶ τὸ Σιδηροῦν καλούμενον ὄρος, μηκυνόμενον μέχρι τῆς Μωαβίτιδος. Ἡ μέση δὲ τῶν δύο ὀρέων χώρα τὸ Μέγα πεδίον καλεῖται, ἀπὸ κώμης Γιννάβριν διῆκον μέχρι τῆς Ἀσφαλτίτιδος λίμνης. Ἔστι δ' αὐτοῦ μῆκος μὲν σταδίων τριάκοντα καὶ διακοσίων, εὖρος δὲ εἴκοσι καὶ ἑκατόν· καὶ μέσον ὑπὸ τοῦ Ἰορδάνου τέμνεται, λίμνας τε ἔχει τήν τε Ἀσφαλτῖτιν καὶ τὴν Τιβεριέων, φύσιν ἐναντίας. Ἡ μὲν γὰρ ἁλμυρώδης καὶ ἄγονος, ἡ Τιβεριέων δὲ γλυκεῖα καὶ γόνιμος. Ἐκπυροῦται δὲ ὥρᾳ θέρους τὸ πεδίον, καὶ δι' ὑπερβολὴν αὐχμοῦ περιέχει νοσώδη τὸν ἀέρα· πᾶν γὰρ ἄνυδρον, πλὴν τοῦ Ἰορδάνου, παρὸ καὶ τοὺς μὲν ἐπὶ ταῖς ὄχθαις φοινικῶνας εὐθαλεστέρους καὶ πολυφορωτέρους εἶναι συμβέβηκεν, ἧττον δὲ τοὺς πόρρω κεχωρισμένους.

γ'. Παρὰ μέντοι τὴν Ἱεριχοῦντα ἐστὶ πηγὴ διαψιλής τε καὶ πρὸς ἀρδείας λιπαρωτάτη, παρὰ τὴν παλαιὰν ἀναβλύζουσα πόλιν, ἣν Ἰησοῦς ὁ Ναυῆ παῖς, στρατηγὸς Ἑβραίων, πρώτην εἶλε γῆς Χαναναίων δορίκτητον. Ταύτην τὴν πηγὴν λόγος ἔχει κατ' ἀρχὰς οὐ μόνον γῆς καὶ δένδρων καρποὺς ἀπαμβλύνειν, ἀλλὰ καὶ γυναικῶν γονὰς, καθόλου τε πᾶσιν εἶναι νοσώδη τε καὶ φθαρτικήν· ἐξημερωθῆναι δὲ καὶ γενέσθαι τοὐναντίον ὑγιεινοτάτην τε καὶ γονιμωτάτην ὑπὸ Ἐλισσαίου τοῦ προφήτου. Γνώριμος δ' ἦν οὗτος Ἠλία καὶ διάδοχος, ὃς ἐπιξενωθεὶς τοῖς κατὰ τὴν Ἱεριχοῦντα, περισσὸν δή τι φιλοφρονησαμένων αὐτὸν τῶν ἀνθρώπων, αὐτούς τε ἀμείβεται καὶ τὴν χώραν αἰωνίῳ χάριτι ἐδωρήσατο. Προελθὼν γὰρ ἐπὶ τὴν πηγὴν καὶ καταβαλὼν εἰς τὸ ῥεῦμα πλῆρες ἁλῶν ἀγγεῖον κεράμου, ἔπειτα εἰς οὐρανὸν δεξιὰν ἀνατείνας δικαίαν, καὶ πηγῇ σπονδὰς μειλιχτηρίους χεόμενος, τὴν μὲν ἠτεῖτο μαλάξαι τὸ ῥεῦμα, καὶ γλυκυτέρας φλέβας ἀνοῖξαι, τὸν δὲ ἐγκεράσασθαι τῷ ῥεύματι γονιμωτέρους ἀέρας, δοῦναί τε ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις καὶ τέκνων διαδο-

Neapolim quæ vocatur, Mabortha vero ab indigenis, descendit in Coream, ibique castra metatur die secundo Dæsii mensis; et postridie Hierichuntem pervenit, ubi Trajanus e ducibus unus ei occurrit, copias e Peræa agens, qui trans Jordanem habitabant nuper subactis.

(XXVII.) 2. Et magna quidem multitudo, priusquam venerint Romani, ex Hierichunte in regionem montanam Hierosolymis adversam diffugerant; non pauci autem, qui remanserunt, perimuntur. Quo factum ut urbem desertam offenderint, quæ in planitie sita est, cuique imminet mons nudus ac sterilis longissimus: qui versus boream Scythopolitarum usque ad terram protenditur, ad austrum vero usque ad Sodomorum regionem et fines lacus Asphaltidis; est autem totus asper et inæqualis, et ob sterilitatem incultus manet. Isti ex adverso opponitur mons qui ad Jordanem situs incipit versus boream ab Juliade, et porrigitur versus austrum usque ad Somorron, quæ Petram Arabiæ determinat. In eo est mons qui Ferreus dicitur, in longum protensus usque ad Moabitidem. Quæ vero inter duos illos montes interjacet regio Campus magnus dicitur, a vico Ginnabri ad lacum usque Asphaltitin pertingens. Est autem longitudo ejus triginta et ducentorum stadiorum, latitudo vero centum et viginti: et medius quidem secatur a Jordane, et lacus habet Asphaltitin et Tiberiadis, natura contrarios. Nam ille quidem salsus est et sterilis, Tiberiensis vero dulcis et fœcundus. Æstivo autem tempore multum torretur campus, et ob nimiam ardoris vehementiam aere circumfunditur insalubri et morbifero: totus enim aridus est præter oras Jordanis; quamobrem et palmas ejus ripis adsitas florentiores esse contigit et fertiliores, minus vero quæ longe remotæ sunt.

3. At prope Hierichuntem fons est copiosus rigandisque arvis uberrimus, juxta urbem veterem scaturiens, quam Jesus Nave filius, Hebræorum exercitus dux, primam cepit jure belli in Chananæorum terra. Hunc fontem olim ferunt non solum terræ et arborum fructus, sed et mulierum fœtus perdere solitum, in universumque omnibus morbos et perniciem adferre; postea vero mansuevisse, contraque saluberrimum et fœcundissimum factum esse ab Elissæo vate. Hic autem Eliæ discipulus erat et successor, qui, Hierichuntinorum hospitio usus et non vulgari comitate ab hominibus exceptus, et ipsis et regioni gratiam referebat æternam. Ad fontem quippe progressus, quum lagenam fictilem salis plenam in profluentem aquam misisset, deinde dextram justam ad cœlum levasset, et in fontem blande funderet libamina, ipsum quidem precabatur, ut fluentum emolliret et dulciores aquarum venas aperiret; Deum vero, ut fœcundioribus auris flumina temperaret, tamque ubertatem fructuum quam liberorum successionem daret indi-

χὴν, μηδὲ ἐπιλιπεῖν αὐτοῖς τὸ τούτων γεννηματικὸν ὕδωρ, ἕως μένουσι δίκαιοι. Ταύταις ταῖς εὐχαῖς, πολλὰ προχειρουργήσας ἐξ ἐπιστήμης, ἔτρεψε τὴν πηγὴν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ λιμοῦ παραίτιον ὕδωρ ἐκ τότε εὐτεκνίας καὶ κόρου χορηγὸν κατέστη. Τοσαύτην γοῦν ἐν ταῖς ἀρδείαις ἔχει δύναμιν, ὡς εἰ καὶ μόνον ἐφάψαιτο τῆς χώρας, νοστιμώτερον εἶναι τῶν μέχρι κόρου χρωνιζόντων· παρὸ καὶ τῶν μὲν δαψιλέστερον χρωμένων ἡ ὄνησίς ἐστιν ὀλίγη, τούτου δὲ τοῦ ὀλίγου δαψιλής. Ἄρδει γοῦν πλέον τῶν ἄλλων ἁπάντων, καὶ πεδίον μὲν ἑπτὰ σταδίων μῆκος, εὖρος δὲ εἴκοσιν, ἐπιτρέφει τε ἐν αὐτῷ παραδείσους καλλίστους τε καὶ πυκνοτάτους· τῶν δὲ φοινίκων ἐπαρδομένων γένη πολλὰ, ταῖς γεύσεσι καὶ ταῖς παρηγορίαις διάφορα. Τούτων οἱ πιότεροι πατούμενοι, καὶ μέλι δαψιλὲς ἀνιᾶσιν, οὐ πολλῷ τοῦ λοιποῦ χεῖρον· καὶ μελιττοτρόφος δὲ ἡ χώρα. Φέρει δὲ καὶ ὀποβάλσαμον, ὃ δὴ τιμιώτατον τῶν τῇδε καρπῶν, κύπρον τε καὶ μυροβάλανον, ὡς οὐκ ἂν ἁμαρτεῖν τινα εἰπόντα θεῖον εἶναι τὸ χωρίον, ἐν ᾧ δαψιλῆ τὰ σπανιώτατα καὶ κάλλιστα γεννᾶται. Τῶν μὲν γὰρ ἄλλων αὐτῷ καρπῶν ἕνεκεν οὐκ ἂν ῥᾳδίως τι παραβληθείη κλῖμα τῆς οἰκουμένης· οὕτω τὸ καταβληθὲν πολύχουν ἀναδίδωσιν. Αἴτιον δέ μοι δοκεῖ τὸ θερμὸν τῶν ἀέρων καὶ τὸ τῶν ὑδάτων εὔγονον, τῶν μὲν προκαλουμένων τὰ φυόμενα καὶ διαχεόντων, τῆς δὲ ἰκμάδος ῥιζούσης ἕκαστον ἰσχυρῶς καὶ χορηγούσης τὴν ἐν θέρει δύναμιν. Περικαὲς δέ ἐστιν οὕτω τὸ χωρίον ὡς μηδένα ῥᾳδίως προϊέναι. Τὸ δὲ ὕδωρ πρὸ ἀνατολῆς ἡλίου ἀντλούμενον, ἔπειτα ἐξαιθριασθὲν, γίνεται ψυχρότατον, καὶ τὴν ἐναντίαν πρὸς τὸ περιέχον φύσιν λαμβάνει· χειμῶνος δὲ ἀνάπαλιν χλιαίνεται, καὶ τοῖς ἐμβαίνουσι γίνεται προσηνέστατον. Ἔστι δὲ καὶ τὸ περιέχον οὕτως εὔκρατον ὡς λινοῦν ἀμφιέννυσθαι τοὺς ἐπιχωρίους, νιφομένης τῆς ἄλλης Ἰουδαίας. Ἀπέχει δὲ Ἱεροσολύμων μὲν σταδίους ἑκατὸν πεντήκοντα, τοῦ δὲ Ἰορδάνου ἑξήκοντα. Καὶ τὸ μὲν μέχρι Ἱεροσολύμων αὐτῆς ἔρημον καὶ πετρῶδες, τὸ δὲ μέχρι τοῦ Ἰορδάνου καὶ τῆς Ἀσφαλτίτιδος χθαμαλώτερον μὲν, ἔρημον δὲ ὁμοίως καὶ ἄκαρπον. Ἀλλὰ τὰ μὲν περὶ Ἰεριχοῦντα εὐδαιμονεστάτην οὖσαν ἀποχρώντως δεδήλωται.

δ'. Ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὴν φύσιν τῆς Ἀσφαλτίτιδος λίμνης, ἥτις ἐστὶ πικρὰ μὲν, ὡς ἔφην, καὶ ἄγονος, ὑπὸ δὲ κουφότητος καὶ τὰ βαρύτατα τῶν εἰς αὐτὴν ῥιφέντων ἀναφέρει, καταδῦναι δὲ εἰς τὸν βυθὸν οὐδὲ ἐπιτηδεύσαντα ῥᾴδιον. Ἀφικόμενος γοῦν καθ' ἱστορίαν ἐπ' αὐτὴν Οὐεσπασιανὸς ἐκέλευσέ τινας τῶν νεῖν οὐκ ἐπισταμένων, δεθέντας ὀπίσω τὰς χεῖρας, ῥιφῆναι κατὰ τοῦ βυθοῦ· καὶ συνέβη πάντας ἐπινήξασθαι, καθάπερ ὑπὸ πνεύματος ἄνω βιαζομένους. Ἔστι δὲ ἐπὶ τούτῳ καὶ ἡ τῆς χρόας μεταβολὴ θαυμάσιος· τρὶς γὰρ ἑκάστης ἡμέρας τὴν ἐπιφάνειαν ἀλλάσσεται, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀνταυγεῖ ποικίλως· τῆς μέντοι ἀσφάλτου κατὰ πολλὰ μέρη βώλους μέλανας

genis, nec eos aqua prolifica deficeret quamdiu justi manerent. Ad has preces, ex disciplina manibus quoque multa operatus, fontem immutavit; et aqua, quæ antea illis causa erat orbitatis ac famis, ex illo tempore felicem et numerosam suppeditabat prolem. Denique tanta vi pollet in rigationibus, ut si vel modo attigerit terram, salubrior sit aquis quæ ad satietatem usque in agro morantur. Quamobrem qui largius ea utuntur, exiguum inde emolumentum habent; qui vero parcius, maximum. Amplius enim quam fontes ceteri omnes spatium irrigat, et per campum quidem labitur septuaginta stadiis longum, viginti vero latum, atque in eo alit hortos amœnissimos et frequentissimos, palmarum item varia sapore et appellatione genera. Ex istis pinguiores pressæ etiam mel emittunt copiosum, quod suavitate alteri vix cedit: quanquam et mellis altrix est illa regio. Quin et fert opobalsamum (qui pretiosissimus est omnium qui illic sunt fructuum, cyprum item, et myrobalanum, ita ut qui divinum dixerit illum terræ tractum, non valde aberraverit, utpote quæ alibi sunt pretiosissima et rarissima, copiose istic nascantur. Sed neque aliorum fructuum respecta tellus ulla per orbem universum ei fuerit facile comparanda; adeo quod satum est multiplicatum reddit. Causa autem mihi videtur esse aeris calor, et aquarum fœcunditas, quum ille quæ nata fuerint proliciat atque diffundat, liquor autem faciat ut singula firmiter radices agant, viresque æstivo tempore suppeditet. Adeo autem perusta est illa regio, ut nemo facile sub divum egrediatur. Aqua autem ante solis ortum hausta et aeri exposita frigescit, naturamque aeri ambienti contrariam sumit: hieme vero tepescit, et mitissima fit illis qui in eam merguntur. Quin et tanta est aeris circumfusi temperies, ut, quum in aliis Judææ partibus ningit, hic linea veste utantur indigenæ. Distat autem Hierosolymis centum et quinquaginta stadiis, ab Jordane vero sexaginta: totumque inde usque ad Hierosolyma spatium desertum est et saxosum, ad Jordanem vero et lacum Asphaltitin humilius quidem est solum, æque tamen desertum atque infrugiferum. Sed de Hierichunte, quam felicissima sit, satis dictum est.

4. Operæ autem pretium est etiam lacus Asphaltitis naturam enarrare, qui amarus est, ut dixi, ac infœcundus, præ levitate autem etiam quæ gravissima sunt in eum injecta fluitant, demergique in profundum ne industria quidem facile quis possit. Nam et Vespasianus, quum visendi ejus gratia illuc veniret, jussit quosdam nandi inscios, vinctis post terga manibus, in altum projici: et omnibus evenit ut quasi spiritus vi sursum repulsi supernatarent. Ad hæc mirabilis est coloris ipsius mutatio; quippe ter singulis diebus superficiem vertit, et ad solis radios varie resplendet: multis tamen locis evomit nigras bituminis glebas, quæ de

ἀναδίδωσιν, αἱ δὲ ἐπινήχονται τό τε σχῆμα καὶ τὸ μέγεθος ταύροις ἀκεφάλοις παραπλήσιαι. Προσελαύνοντες δὲ οἱ τῆς λίμνης ἐγράται, καὶ δρασσόμενοι τοῦ συνεστῶτος ἕλκουσιν εἰς τὰ σκάφη· πληρώσασι δὲ ἀποκόπτειν οὐ ῥᾴδιον, ἀλλὰ δι' εὐτονίαν προσήρτηται τῷ μηρύματι τὸ σκάφος, ἕως ἂν ἐμμηνίῳ γυναικῶν αἵματι καὶ οὔρῳ διαλύσωσιν αὐτήν, οἷς μόνοις εἶκει. Καὶ χρήσιμος δὲ οὐ μόνον εἰς ἁρμονίας νεῶν, ἀλλὰ καὶ πρὸς ἄκεσιν σωμάτων· εἰς πολλὰ γοῦν τῶν φαρμάκων παραμίσγεται. Ταύτης τῆς λίμνης μῆκος μὲν ὀγδοήκοντα καὶ πεντακόσιοι στάδιοι, καθὸ δὴ μέχρι Ζοάρων τῆς Ἀραβίας ἐκτείνεται, εὖρος δὲ πεντήκοντα καὶ ἑκατόν. Γειτνιᾷ δὲ ἡ Σοδομῖτις αὐτῇ, πάλαι μὲν εὐδαίμων γῆ καρπῶν τε ἕνεκα καὶ τῆς κατὰ πόλεις περιουσίας, νῦν δὲ κεκαυμένη πᾶσα. Φασὶ δὲ ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς κατεφλέγη. Ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρὸς, καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιὰς, ἔτι δὲ κἀν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν ἀναλύονται καὶ τέφραν. Τὰ μὲν δὴ περὶ τὴν Σοδομῖτιν μυθευόμενα τοιαύτην ἔχει πίστιν ἀπὸ τῆς ὄψεως.

ΚΕΦ. Θ'.

Ὁ δὲ Οὐεσπασιανὸς, πανταχόσε περιτειχίζων τοὺς ἐν τοῖς Ἱεροσολύμοις, ἔν τε τῇ Ἱεριχοῖ καὶ ἐν Ἀδίδοις ἐγείρει στρατόπεδα, καὶ φρουρὰς ἀμφοτέραις ἐγκαθίστησιν ἔκ τε τοῦ Ῥωμαϊκοῦ καὶ συμμαχικοῦ τάγματος. Πέμπει δὲ καὶ εἰς Γέρασα Λούκιον Ἄννιον, παραδοὺς μοῖραν ἱππέων καὶ συχνοὺς πεζῶν. Ὁ μὲν οὖν ἐξ ἐφόδου ἑλὼν τὴν πόλιν ἀποτείνει μὲν χιλίους τῶν νέων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν, γενεὰς δὲ ᾐχμαλωτίσατο, καὶ τὰς κτήσεις διαρπάσαι τοῖς στρατιώταις ἐπέτρεψεν· ἔπειτα τὰς οἰκίας ἐμπρήσας ἐπὶ τὰς πέριξ κώμας ἐχώρει. Φυγαὶ δὲ ἦσαν τῶν δυνατῶν καὶ φθοραὶ τῶν ἀσθενεστέρων· τὸ καταλειφθὲν δὲ πᾶν ἐνεπίμπρατο, καὶ διειλημμένου τοῦ πολέμου τήν τε ὀρεινὴν ὅλην καὶ τὴν πεδιάδα πᾶσαν, οἱ ἐν τοῖς Ἱεροσολύμοις τὰς ἐξόδους ἀφῄρηντο. Τοὺς μὲν γὰρ αὐτομολεῖν προαιρουμένους οἱ ζηλωταὶ παρεφυλάσσοντο, τοὺς δὲ οὔπω τὰ Ῥωμαίων φρονοῦντας εἶργεν ἡ στρατιὰ, πανταχόθεν τὴν πόλιν περιέχουσα.

(ΚΘ'.) β'. Οὐεσπασιανῷ δὲ εἰς Καισάρειαν ἐπιστρέψαντι καὶ παρασκευαζομένῳ μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτῶν τῶν Ἱεροσολύμων ἐξελαύνειν ἀγγέλλεται Νέρων ἀνῃρημένος, τριακαίδεκα βασιλεύσας ἔτη καὶ ἡμέρας ὀκτώ. Περὶ οὗ λέγειν ὃν τρόπον εἰς τὴν ἀρχὴν ἐξύβρισε, πιστεύσας τὰ πράγματα τοῖς πονηροτάτοις, Νυμφιδίῳ καὶ Τιγελλίνῳ, τοῖς γε ἀναξίοις τῶν ἐξελευθέρων, καὶ ὡς ὑπὸ τούτων ἐπιβουλευθεὶς κατελείφθη μὲν ὑπὸ τῶν φυλάκων ἁπάντων, διαδρὰς δὲ σὺν τέσσαρσι τῶν πιστῶν ἀπελευθέρων, ἐν τοῖς προαστείοις ἑαυτὸν ἀνεῖλε· καὶ ὡς οἱ καταλύσαντες αὐτὸν μετ' οὐ πολὺν χρόνον δίκας ἔδοσαν, τόν τε κατὰ τὴν Γαλατίαν

super fluitant, et figura et magnitudine tauris capite truncatis non absimiles. Ad eas vero quum lacus exercitores accedunt, aggestas concretasque ad se in scaphas attrahunt : non autem facile ab iis qui eas impleverint abscindi possunt, sed grumis adhæret alveus propter tenacitatem, donec ea menstruo mulierum sanguine et lotio dissolvatur, quibus solis cedit. Est autem hoc bitumen non modo ad compagines navium accommodatum, sed et ad corporum curationem : unde et multis medicamentis admiscetur. Lacus hujus longitudo quingentorum et octoginta stadiorum est, qua sane usque ad Zoara Arabiæ extenditur; latitudo centum et quinquaginta stadiis patet. Huic autem terra Sodomitica vicina est, olim quidem regio beata, quod frugibus abundaret et multis urbibus dictincta esset; nunc vero tota exusta est. Fertur autem eam ob incolarum impietatem fulminibus conflagrasse. Itaque et adhuc ignis a Deo immissi reliquias, et oppidorum quinque istic videre licet umbram et imaginem : insuper et in fructibus cineres renascentes, qui specie quidem et colore edulibus similes sunt, manibus autem decerptæ in favillam et cinerem resolvuntur. Atque his quidem, de terra Sodomitica narratis, ejusmodi fides habetur ex testibus oculatis.

CAP. IX. (XXVIII.)

At Vespasianus, quum circumquaque cingeret Hierosolymitanos, et apud Hierichuntem et Adida exstruit castella, et præsidia utrisque ex Romanis pariter ac sociis imponit. Mittit autem Gerasa L. Annium, equitatus parte multisque peditibus ei traditis. Et ille quidem quum primo impetu urbem cepisset, mille juvenum, qui fugam facere non occupaverant, interficit; familias vero captivas abduxit, et militibus facultates diripere permisit : incensis deinde domibus, vicos proximos petebat. Potentes autem fugiebant et imbecilliores peribant, quæque relicta erant universa flammis absumpta; cumque bellum totam regionem montanam omnemque campestrem pervasisset, iis qui Hierosolymis degebant interclusi erant exitus. Nam qui transfugere quidem cupiebant, eos zelotæ observabant; qui vero nondum favebant Romanis, eos coercebat exercitus, urbi ex omni parte circumdatus.

(XXIX.) 2. Vespasiano autem Cæsaream reverso parantique copias suas omnes adversus Hierolyma educere, nunciatur Nero peremptus, quum per annos tredecim et dies octo imperasset. De quo memorare quemadmodum imperium dehonestaverit, rerum administrationem Nymphidio et Tigillino, viris nequissimis et libertorum indignissimis, committendo, quodque ab illis petitus insidiis, ab omnibus quidem satellibus relictus fuerit, cum quattuor vero libertis fidelibus in suburbanum fugerit, ibique semet occiderit; quodque non multo post tempore pœnas dederint qui eum sustulerunt; bellumque per Galliam quo pacto desie-

τίαν πόλεμον ὡς ἐτελεύτησε, καὶ πῶς Γάλβας ἀποδειχθεὶς αὐτοκράτωρ εἰς Ῥώμην ἐπανῆλθεν ἐκ τῆς Ἱσπανίας, καὶ ὡς ὑπὸ τῶν στρατιωτῶν αἰτιαθεὶς ἐπὶ ταπεινοφροσύνῃ ἐδολοφονήθη κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὰν, ἀπεδείχθη τε αὐτοκράτωρ Ὄθων, τήν τε τούτου στρατείαν ἐπὶ τοὺς Οὐϊτελλίου στρατηγοὺς καὶ κατάλυσιν, ἔπειτα τοὺς κατὰ Οὐϊτέλλιον παράχους, καὶ τὴν περὶ τὸ Καπετώλιον συμβολὴν, ὅπως τε Ἀντώνιος Πρῖμος καὶ Μουκιανὸς, διαφθείραντες Οὐϊτέλλιον καὶ τὰ Γερμανικὰ τάγματα, κατέστειλαν τὸν ἐμφύλιον πόλεμον· πάντα ταῦτα διεξιέναι μὲν ἐπ' ἀκριβὲς παρητησάμην, ἐπειδὴ δι' ὄχλου πᾶσίν ἐστι, καὶ πολλοῖς Ἑλλήνων τε καὶ Ῥωμαίων ἀναγέγραπται. Συναφείας δὲ ἕνεκα τῶν πραγμάτων καὶ τοῦ μὴ διηρτῆσθαι τὴν ἱστορίαν κεφαλαιωδῶς ἕκαστον ἐπεσημηνάμην. Οὐεσπασιανὸς τοίνυν τὸ μὲν πρῶτον ἀνεβάλλετο τὴν τῶν Ἱεροσολύμων στρατείαν, καραδοκῶν πρός τίνα ῥέψει τὸ κρατεῖν μετὰ Νέρωνα. Αὖθις δὲ Γάλβαν ἀκούσας αὐτοκράτορα, πρὶν ἐπιστεῖλαί τι περὶ τοῦ πολέμου κἀκεῖνον, οὐκ ἐπεχείρει· πέμπει δὲ πρὸς αὐτὸν τὸν υἱὸν Τίτον, ἀσπασόμενόν τε καὶ ληψόμενον τὰς περὶ Ἰουδαίων ἐντολάς. Τῆς αὐτῆς δὲ αἰτίας ἅμα Τίτῳ καὶ Ἀγρίππας ὁ βασιλεὺς πρὸς Γάλβαν ἔπλει, καὶ διὰ τῆς Ἀχαΐας (χειμῶνος γὰρ ἦν ὥρα) μακραῖς ναυσὶ περιπλεόντων, φθάνει Γάλβας ἀναιρεθείς, μετὰ μῆνας ἑπτὰ καὶ ἴσας ἡμέρας· ἐξ οὗ τὴν ἡγεμονίαν παρέλαβεν Ὄθων, ἀντιποιούμενος τῶν πραγμάτων. Ὁ μὲν οὖν Ἀγρίππας εἰς τὴν Ῥώμην ἀφικέσθαι διέγνω, μηδὲν ὀρρωδήσας πρὸς τὴν μεταβολήν· Τίτος δὲ κατὰ δαιμόνιον ὁρμὴν ἀπὸ τῆς Ἑλλάδος εἰς τὴν Συρίαν ἔπλει, καὶ κατὰ τάχος εἰς Καισάρειαν ἀφικνεῖται πρὸς τὸν πατέρα. Καὶ οἱ μὲν μετέωροι περὶ τῶν ὅλων ὄντες, ὡς ἂν σαλευομένης τῆς Ῥωμαίων ἡγεμονίας, ὑπερεώρων τὴν ἐπὶ Ἰουδαίους στρατείαν, καὶ διὰ τὸν περὶ τῆς πατρίδος φόβον τὴν ἐπὶ τοὺς ἀλλοφύλους ὁρμὴν ἄωρον ἐνόμιζον.

(Λ'.) γ'. Ἐπανίστατο δὲ ἄλλος τοῖς Ἱεροσολύμοις πόλεμος. Υἱὸς ἦν Γιώρα, Σίμων τις Γερασηνὸς τὸ γένος, νεανίας, πανουργίᾳ μὲν ἡττώμενος Ἰωάννου τοῦ προκατέχοντος ἤδη τὴν πόλιν, ἀλκῇ δὲ σώματος καὶ τόλμῃ διαφέρων, δι' ἣν καὶ ὑπὸ Ἀνάνου τοῦ ἀρχιερέως φυγαδευθεὶς ἐξ ἧς ἦρχε τοπαρχίας Ἀκραβατηνῆς πρὸς τοὺς κατειληφότας τὴν Μασάδαν λῃστὰς παραγίνεται. Τὸ μὲν οὖν πρῶτον ἦν αὐτοῖς δι' ὑποψίας, εἰς τὸ κατωτέρω γοῦν φρούριον ἐπέτρεψαν αὐτῷ παρελθεῖν ἅμα ταῖς γυναιξὶν, ἃς ἄγων ἦκεν, αὐτοὶ τὸ ὑψηλότερον οἰκοῦντες. Αὖθις δὲ διὰ συγγένειαν ἠθῶν, καὶ ὅτι πιστὸς ἐδόκει, συμπροενόμευε γοῦν αὐτοῖς ἐξιὼν, καὶ συνεπόρθει τὰ περὶ τὴν Μασάδαν· οὐ μὴν ἐπὶ τὰ μείζω παρακαλῶν ἔπειθεν. Οἱ μὲν γὰρ ἐν ἔθει ὄντες τῷ φρουρίῳ, καθάπερ φωλεοῦ χωρίζεσθαι μακρὰν ἐδεδοίκεσαν, ὁ δὲ τυραννιῶν καὶ μεγάλων ἐφιέμενος, ἐπειδὴ καὶ τὴν Ἀνάνου τελευτὴν ἤκουσεν, εἰς τὴν ὀρεινὴν ἀφίσταται, καὶ προκηρύξας δούλοις μὲν ἐλευθερίαν,

rit, et quo modo Galba creatus Imperator Romam redierit ex Hispania, utque a militibus incusatus, tanquam humilioris esset animi, in medio foro Romano ex insidiis fuerit occisus, et Otho declaratus Imperator, qui et expeditionem fecit contra Vitellii duces, et sublatus est; dein ut turbæ excitatæ fuerint contra Vitellium, et pugna in Capitolio commissa; et quemadmodum Antonius Primus et Mucianus, quum Vitellium interfecissent et Germanicas legiones, bellum civile compresserint; ista omnia accurate quidem narrare recusavi, quod omnibus molesta sint, et a multis Græcorum pariter ac Romanorum perscripta fuerint. Ordinis autem rerum continuandi gratia, ac ne intercisa foret historia, summatim singula indicavi. Vespasianus igitur primo quidem expeditionem in Hierosolyma differebat, exspectans cuinam post Neronem obtingeret imperare. Deinde ubi Galbam imperatorem factum esse audivit, nihil contra Judæos aggrediebatur, priusquam et ille aliquid de bello in mandatis daret: mittit autem ad eum Titum filium suum, et salutatum, et ut mandata de Judæis acciperet. Eandem ob causam una cum Tito rex etiam Agrippa ad Galbam navigabat; dumque Achaiam (hiems quippe erat) longis navibus prætervehuntur, interfici Galbam contigit, post septem menses totidemque dies quam imperasset: unde proxime imperium suscepit Otho, rerum administrationem sibimet vindicans. Et Agrippa quidem, rerum mutatione nihil deterritus, Romam pergere statuit: Titus vero divino impulsu a Græcia in Syriam navibus trajiciebat, et celeritate adhibita Cæsaream pervenit ad patrem. Et illi quidem, rerum exspectatione suspensi, quasi fluctuante Romano imperio, insuper habebant militiam obire contra Judæos, metuque de patria solliciti impetum facere in alienigenas haud opportunum ducebant.

(XXX.) 3. Aliud autem Hierosolymis erumpebat bellum. Erat quidam Simon Gioræ filius genere Gerasenus, juvenis astutia quidem inferior Joanne qui in urbe dominatum habebat, corporis autem viribus et audacia præstantior, ob quam ex Acrabatena toparchia quam tenebat pulsus ab Anano pontifice, ad latrones se recipit qui Masadam occupaverant. Et primo quidem suspectus erat illis, adeo ut ei in inferius duntaxat castellum cum mulieribus quas secum adduxerat, transire permiserint, dum ipsi superiora incolerent. Rursus autem propter morum conjunctionem, quodque fidus esse videretur, etiam cum illis populatum exibat, simulque vastabat quæcunque circa Masadam erant; non tamen eis, dum ad majora incitaret, persuadebat. Nam isti quidem castello assueti, longius ab eo, tanquam latibulo, discedere metuebant: ille vero, dominatum affectans magnorumque appetens, postquam et Ananum obiisse audiverat, inde movet in loca montana, ac voce præconum

γέρας δὲ ἐλευθέροις, τοὺς πανταχόθεν πονηροὺς συνήθροιζεν.

δ'. Ὡς δὲ ἦν αὐτῷ καρτερὸν ἤδη τὸ σύνταγμα, τὰς ἀνὰ τὴν ὀρεινὴν κώμας κατέτρεχεν· ἀεὶ δὲ προσγινομένων αὐτῷ πλειόνων, ἐθάρρει καταβαίνειν εἰς τὰ χθαμαλώτερα. Κἀπειδὴ πόλεσιν ἤδη φοβερὸς ἦν, πολλοὶ πρὸς τὴν ἰσχὺν καὶ τὴν εὔροιαν τῶν κατορθωμάτων ἐρρθείροντο δυνατοί· καὶ οὐκέτι ἦν δούλων μόνον οὐδὲ λῃστῶν στρατὸς, ἀλλὰ καὶ δημοτικῶν οὐκ ὀλίγων, ὡς πρὸς βασιλέα πειθαρχούντων. Κατέτρεχε δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν καὶ τὰ μέχρι τῆς μεγάλης Ἰδουμαίας. Κατὰ γὰρ κώμην τινὰ καλουμένην Ναΐν τεῖχος κατασκευάσας ὥσπερ φρουρίῳ πρὸς ἀσφάλειαν ἐχρῆτο· κατὰ δὲ τὴν Φαρὰν προσαγορευομένην φάραγγα, πολλὰ μὲν ἀνευρύνας σπήλαια, πολλὰ δὲ εὑρὼν ἕτοιμα, ταμιείοις ἐχρῆτο θησαυρῶν καὶ τῆς λείας ἐκδοχείοις· ἀνετίθει δὲ καὶ τοὺς ἁρπαζομένους εἰς αὐτὰ καρποὺς, οἵ τε πολλοὶ τῶν λόχων δίαιταν εἶχον ἐν ἐκείνοις· δῆλος δὲ ἦν τό τε σύνταγμα προγυμνάζων καὶ τὰς παρασκευὰς κατὰ τῶν Ἱεροσολύμων.

ε'. Ὅθεν οἱ ζηλωταὶ, δείσαντες αὐτοῦ τὴν ἐπιβουλὴν, καὶ προλαβεῖν βουλόμενοι τὸν κατ' αὐτῶν τρεφόμενον, ἐξίασι μετὰ τῶν ὅπλων οἱ πλείους. Ὑπαντιάζει δὲ Σίμων, καὶ παραταξάμενος, συχνοὺς μὲν αὐτῶν ἀναιρεῖ, συνελαύνει δὲ τοὺς λοιποὺς εἰς τὴν πόλιν. Οὔπω δὲ θαρρῶν τῇ δυνάμει τοῦ μὲν τοῖς τείχεσι προσβαλεῖν ἀπετράπη, χειρώσασθαι δὲ πρότερον τὴν Ἰδουμαίαν ἐπεβάλετο. Καὶ δὴ δισμυρίους ἔχων ὁπλίτας ἤλαυνεν ἐπὶ τοὺς ὅρους αὐτῆς. Οἱ δὲ ἄρχοντες τῶν Ἰδουμαίων κατὰ τάχος ἀθροίσαντες ἐκ τῆς χώρας τὸ μαχιμώτατον, περὶ πεντακισχιλίους καὶ δισμυρίους, τοὺς δὲ πολλοὺς ἐάσαντες φρουρεῖν τὰ σφέτερα διὰ τὰς τῶν ἐν Μασάδᾳ σικαρίων καταδρομὰς, ἐδέχοντο τὸν Σίμωνα πρὸς τοῖς ὅροις. Ἔνθα συμβαλὼν αὐτοῖς καὶ δι' ὅλης πολεμήσας ἡμέρας οὔτε νενικηκὼς οὔτε νενικημένος διεκρίθη. Καὶ ὁ μὲν εἰς τὴν Ναΐν, οἱ δὲ Ἰδουμαῖοι διελύθησαν ἐπ' οἶκου. Καὶ μετ' οὐ πολὺ Σίμων μείζονι δυνάμει πάλιν εἰς τὴν χώραν αὐτῶν ὥρμητο· στρατοπεδευσάμενος δὲ κατά τινα κώμην, ἣ Θεκωὲ καλεῖται, πρὸς τοὺς ἐν Ἡρωδείῳ φρουροὺς, ὅπερ ἦν πλησίον, Ἐλεάζαρόν τινα τῶν ἑταίρων ἔπεμψε, πείσοντα παραδοῦναι τὸ ἔρυμα. Τοῦτον οἱ φύλακες ἑτοίμως ἐδέξαντο, τὴν αἰτίαν ἀγνοοῦντες δι' ἣν ἥκοι· φθεγξάμενον δὲ περὶ παραδόσεως ἐδίωκον σπασάμενοι τὰ ξίφη, μέχρι φυγῆς τόπον οὐκ ἔχων ἔρριψεν ἀπὸ τοῦ τείχους ἑαυτὸν εἰς τὴν ὑποκειμένην φάραγγα. Καὶ ὁ μὲν αὐτίκα τελευτᾷ, τοῖς δὲ Ἰδουμαίοις, ἤδη κατορρωδοῦσι τὴν ἰσχὺν τοῦ Σίμωνος, ἔδοξε πρὸ τοῦ συμβαλεῖν κατασκέψασθαι τὴν στρατιὰν τῶν πολεμίων.

ς'. Εἰς τοῦτο δὲ ὑπηρέτην ἑαυτὸν ἑτοίμως ἐπεδίδου Ἰάκωβος, εἷς τῶν ἡγεμόνων, προδοσίαν ἐνθυμούμενος. Ὁρμήσας γοῦν ἀπὸ τῆς Ἀλούρου (κατὰ γὰρ ταύτην συνήθροιστο τὴν κώμην τότε τῶν Ἰδουμαίων τὸ στράτευμα), παραγίνεται πρὸς Σίμωνα, καὶ πρώτην αὐτῷ παρ-

servis libertate promissa, itemque liberis præmio, improbos, quos undique poterat, congregabat.

4. Quum autem jam validas conflasset copias, regionis montanæ vicos incursibus vastabat; quotidieque pluribus sese ei adjungentibus, audebat etiam in planitiem descendere. Ac postquam jam factus est civitatibus terribilis, multi ex optimatibus, ejus potentia sollicitati et prosperis rerum successibus, ad eum malo suo se conferebant : adeoque non amplius servorum tantum aut latronum exercitus erat, sed multorum de populo, ei tanquam regi obedientium. Excursiones autem faciebat in Acrabatenam toparchiam et in majorem usque Idumæam. Nam ad vicum quendam, cui nomen Nain, quum murum exstruxisset, pro castello in sui securitatem habebat : in valle autem nuncupata Pharan, quum multas quidem laxiores fecisset speluncas, multas vero paratas invenisset, in illis thesauros suos recondebat prædasque recipiebat; etiam direptos fructus illic reponebat, multique e cohortibus suis vitam in illis agebant : minimeque dubitabatur quin copias suas præexerceret et apparatus faceret ut Hierosolyma aggrederetur.

5. Unde insidias ejus veriti zelotæ, et prævenire eum qui contra se viribus crescebat cupientes, plerique armati egrediuntur. His autem Simon occurrit, commissoque prælio multos quidem illorum occidit, reliquos vero in urbem compellit. At nondum viribus fidens, a murorum oppugnatione deterrebatur : atque antequam id faceret, Idumæam subjugare cogitabat. Itaque cum viginti armatorum millibus ad fines ejus properabat. Idumæorum autem principes, pugnacissimis ad viginti quinque millia magna celeritate e regione congregatis, reliquis vero ut sua tuerentur relictis propter sicariorum in Masada excursiones, Simonem ad fines suos excipiebant. Ubi eo illis congresso, quum per totum diem pugnatum esset, dubium erat utrum victor an victus discesserit. Et ille quidem in Nain vicum, Idumæi vero domum regressi sunt. Non multo autem post Simon cum majoribus copiis in eorum regionem iterum irrupit : castrisque in quodam vico, cui nomen Thecoe, positis, ad custodes Herodei, quod non longe aberat, Eleazarum suorum quendam sociorum misit, ut munimentum traderent persuasurum. Hunc sine mora recepere custodes, causæ nescii cur venisset : quum autem de traditione loquutus esset, strictis gladiis eum persequebantur : donec fugæ locum non reperiens, de muro in vallem subjectam sese projecit. Et ille quidem statim moritur; Idumæis autem Simonis vires formidantibus placuit, priusquam acie congrederentur, explorare hostium copias.

6. Ad hoc autem se ministrum alacriter offerebat Jacobus, unus e principibus, de proditione cogitans. Itaque ab Aluro profectus (in hoc quippe vico coiverat Idumæorum exercitus), ad Simonem venit; primumque se patriam suam ei prodituram esse paciscitur, fide jurejurando accepta,

ραδώσειν συντίθεται τὴν αὐτοῦ πατρίδα, λαβὼν ὅρκους ὡς ἀεὶ τίμιος ὢν διατελέσει, συνεργήσειν δὲ ὑπέσχετο καὶ περὶ τῆς ὅλης Ἰδουμαίας. Ἐφ' οἷς ἑστιαθεὶς φιλοφρόνως ὑπὸ τοῦ Σίμωνος καὶ λαμπραῖς ἐπαρθεὶς ὑποσχέσεσιν, ἐπειδήπερ εἰς τοὺς σφετέρους ὑπέστρεψεν, τὸ μὲν πρῶτον πολλαπλασίονα τὴν στρατιὰν τοῦ Σίμωνος ἐψεύδετο· ἔπειτα δεξιούμενος τούς τε ἡγεμόνας καὶ κατ' ὀλίγους πᾶν τὸ πλῆθος ἐνῆγεν ὥστε δέξασθαι τὸν Σίμωνα, καὶ παραδοῦναι δίχα μάχης αὐτῷ τὴν τῶν ὅλων ἀρχήν. Ἅμα δὲ ταῦτα διαπραττόμενος καὶ Σίμωνα δι' ἀγγέλων ἐκάλει, σκεδάσειν ὑπισχνούμενος τοὺς Ἰδουμαίους. Ὁ δὴ παρέσχεν. Ὡς γὰρ ἦν ἤδη πλησίον ἡ στρατιὰ, πρῶτος ἀναπηδήσας ἐπὶ τὴν ἵππον, μετὰ τῶν συνδιεφθαρμένων ἔφευγε. Πτοία δὲ ἐμπίπτει παντὶ τῷ πλήθει, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν λυθέντες ἐκ τῆς τάξεως ἀνεχώρουν ἕκαστοι πρὸς τὰ ἴδια.

(ΛΑ'.) ζ'. Σίμων δὲ παρὰ δόξαν εἰς τὴν Ἰδουμαίαν εἰσήλασεν ἀναιμωτὶ, καὶ προσβαλὼν ἀδοκήτως πρώτην αἱρεῖ τὴν πόλιν Χεβρὼν, ἐν ᾗ πλείστης ἐκράτησε λείας, πάμπολυν δὲ διήρπασε καρπόν· ὡς δέ φασιν οἱ ἐπιχώριοι τὴν Χεβρὼν, οὐ μόνον τῶν τῇδε πόλεων, ἀλλὰ καὶ τῆς ἐν Αἰγύπτῳ Μέμφεως ἀρχαιοτέραν· δισχίλια γοῦν αὐτῇ καὶ τριακόσια ἔτη συνηρίθμητο. Μυθεύουσι δὲ αὐτὴν καὶ οἰκητήριον Ἀβράμου τοῦ Ἰουδαίων προγόνου γεγονέναι μετὰ τὴν ἐκ τῆς Μεσοποταμίας ἀπανάστασιν, τούς τε παῖδας αὐτοῦ λέγουσι καταβῆναι εἰς Αἴγυπτον ἔνθεν· ὧν καὶ τὰ μνημεῖα μέχρι τοῦ νῦν ἐν τῇδε τῇ πολίχνῃ δείκνυται, πάνυ καλῆς μαρμάρου καὶ φιλοτίμως εἰργασμένα. Δείκνυται δὲ ἀπὸ σταδίων ἓξ τοῦ ἄστεως Τερέβινθος μεγίστη, καὶ φασὶ τὸ δένδρον ἀπὸ τῆς κτίσεως μέχρι νῦν διαμένειν. (ΑΒ'.) Ἔνθεν ὁ Σίμων διὰ πάσης ἐχώρει τῆς Ἰδουμαίας, οὐ μόνον κώμας καὶ πόλεις πορθῶν, λυμαινόμενος δὲ καὶ τὴν χώραν. Δίχα γὰρ τῶν ὁπλιτῶν τέσσαρες αὐτῷ συνείποντο μυριάδες, ὡς μηδὲ τῶν ἐπιτηδείων ἐξαρκούντων πρὸς τὸ πλῆθος. Προσῆν δὲ ταῖς χρείαις ὠμότης τε αὐτοῦ καὶ πρὸς τὸ γένος ὀργή· δι' ἃ μᾶλλον ἐξερημοῦσθαι συνέβαινε τὴν Ἰδουμαίαν. Καθάπερ δὲ ὑπὸ τῶν ἀκρίδων κατόπιν ὕλην ἐστὶν ἰδεῖν ἐψιλωμένην πᾶσαν, οὕτω τὸ κατὰ νώτου τῆς Σίμωνος στρατιᾶς ἐρημία κατελείπετο· καὶ τὰ μὲν ἐμπιπράντες, τὰ δὲ κατασκάπτοντες, πᾶν δὲ τὸ πεφυκὸς ἀνὰ τὴν χώραν ἢ συμπατοῦντες ἠφάνιζον ἢ νεμόμενοι, καὶ τὴν ἐνεργὸν ὑπὸ τῆς πορείας σκληροτέραν ἐποίουν τῆς ἀκάρπου. Καθόλου τε εἰπεῖν, οὐδὲ σημεῖόν τι κατελείπετο τοῖς πορθουμένοις τοῦ γεγονέναι.

η'. Ταῦτα πάλιν τοὺς ζηλωτὰς ἐπήγειρε, καὶ φανερῶς μὲν ἀντιπαρατάξασθαι κατέδεισαν, προλοχίσαντες δὲ ἐν ταῖς παρόδοις ἁρπάζουσι τοῦ Σίμωνος τὴν γυναῖκα, καὶ τῆς περὶ αὐτὴν θεραπείας συχνούς· ἔπειτα ὡς αὐτὸν ἡχμαλωτισμένοι τὸν Σίμωνα, γεγηθότες εἰς τὴν πόλιν ὑπέστρεψαν, καὶ ὅσον οὐδέπω προσεδόκων καταθέμενον τὰ ὅπλα περὶ τῆς γυναικὸς ἱκετεύσειν.

quod semper in honore haberetur, operamque suam de tota Idumæa additurum pollicebatur. Quas ob res humaniter a Simone convivio exceptus, splendidisque elatus promissis, ubi ad suos rediit, primo Simonis exercitum multo majorem esse mentiebatur: deinde et principes benigne alloquens et universam fere multitudinem seorsum, ut Simonem reciperent suadebat, eique sine pugna rerum summam permitterent. Simul autem hoc agens, etiam Simonem ipsum per nuncios accersebat, Idumæos se dissipaturum promittens. Quod et præstitit. Nam quum jam appropinquaret exercitus, equum primus inscendit, et cum iis quos corruperat fugam capessebat. Multitudinem autem omnem occupat pavor, et priusquam manus consererent, domum quisque suam ordinibus solutis discesserunt.

(XXXI.) 7. Simon vero præter opinionem sine sanguine intravit Idumæam, factaque ex improviso impressione, primo capit urbem Chebronem, in qua maxima præda potitus est, multosque fructus diripuit: Chebron autem indigenæ ferunt non ejus terræ modo civitatibus, sed et Memphi in Ægypto antiquiorem; quippe anni ejus ad duo millia et trecentos computantur. Narrant etiam in ea habitasse Abramum Judæorum progenitorem, postquam e Mesopotamia migraverit, ejusque liberos hinc in Ægyptum descendisse; quorum monumenta etiam nunc cernuntur in hoc ipso oppido, pulcherrimo exstructa marmore et opere elegantissimo. Cernitur etiam sexto ab urbe stadio Terebinthus maxima, dicuntque arborem a creatione mundi usque hæc tempora permanere. (XXXII.) Inde Simon totam pervadebat Idumæam, non solum urbes et vicos depopulans, sed et omnem regionem vastans. Nam præter gravis armaturæ milites, quadraginta eum millia sequebantur, ut multitudini haud suppeterent necessaria. Ad hanc autem rerum inopiam accedebat ejus crudelitas et in nationem excandescentia: unde contigit Idumæam eo magis ad vastitatem redigi. Et quemadmodum post locustas cernere est silvas frondibus nudatas, sic etiam qua Simonis transisset exercitus, a tergo solitudinem relinquebat: et alia quidem comburendo, alia vero diruendo, et quicquid in regione e terra provenerit calcibus conterendo delebant aut depascendo; perque terram cultam incedendo faciebant eam sterili duriorem: verboque ut expediam, ne signum quidem ullum supererat in vastatis, quod aliquando culta fuerint.

8. Ista iterum zelotis stimulos admovebant, et palam quidem adversa acie congredi formidarunt; insidiis vero in viarum angustiis præstructis, Simonis uxorem rapiunt, multosque qui ei obsequium præstabant: deinde quasi ipsum Simonem captum tenerent, in civitatem lætabundi redierunt, et continuo exspectabant armis eum depositis pro uxore ipsis supplicaturum. Illius autem animum non subit-

Τὸν δὲ οὐκ ἔλεος εἴσεισιν, ἀλλ' ὀργὴ περὶ τῆς ἡρπασμένης· καὶ πρὸς τὸ τεῖχος τῶν Ἱεροσολύμων ἐλθὼν, καθάπερ τὰ τρωθέντα τῶν θηρίων ἐπειδὴ τοὺς τρώσαντας οὐ κατέλαβεν, ἐφ' οὓς ἠδρε τὸν θυμὸν ἠφίει. Ὅσοι γοῦν λαχανείας ἕνεκεν ἢ φρυγανισμοῦ προεληλύθεισαν ἔξω πυλῶν, ἀνόπλους καὶ γέροντας, συλλαμβάνων ἠκίζετο, καὶ διέφθειρε δι' ὑπερβολὴν ἀγαναχτήσεως, μονονουχὶ καὶ νεκρῶν γευόμενος τῶν σωμάτων. Πολλοὺς δὲ καὶ χειροκοπήσας, εἰσέπεμπε καταπλήξασθαι τοὺς ἐχθροὺς ἅμα, καὶ διαστῆσαι τὸν δῆμον ἐπιχειρῶν πρὸς τοὺς αἰτίους. Ἐντέταλτο δὲ αὐτοῖς λέγειν ὅτι Σίμων Θεὸν ὄμνυσι τὸν πάντων ἔφορον, εἰ μὴ θᾶττον ἀποδώσουσιν αὐτῷ τὴν γυναῖκα, ῥήξας τὸ τεῖχος, τοιαῦτα διαθήσειν πάντας τοὺς κατὰ τὴν πόλιν, μηδεμιᾶς φεισάμενος ἡλικίας, μηδὲ ἀπὸ τῶν ἀναιτίων διακρίνας τοὺς αἰτίους. Τούτοις οὐ μόνον ὁ δῆμος, ἀλλὰ καὶ οἱ ζηλωταὶ καταπλαγέντες ἀποπέμπουσιν αὐτῷ τὴν γυναῖκα, καὶ τότε μὲν ἐκμειλιχθεὶς ὀλίγον, ἀνεπαύσατο τοῦ συνεχοῦς φόνου.

(ΑΓ'.) θ'. Οὐ μόνον δὲ κατὰ τὴν Ἰουδαίαν στάσις ἦν καὶ πόλεμος ἐμφύλιος, ἀλλὰ καὶ ἐπὶ τῆς Ἰταλίας. Ἀνῄρητο μὲν γὰρ κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὰν Γάλβας, ἀποδεδειγμένος δὲ αὐτοκράτωρ Ὄθων, ἐπολέμει Οὐϊτελλίῳ βασιλειῶντι (τοῦτον γὰρ ᾑρητο τὰ κατὰ Γερμανίαν τάγματα)· καὶ γενομένης συμβολῆς κατὰ Βηδριακὸν τῆς Γαλατίας πρός τε Οὐάλεντα καὶ Καικίνναν τοὺς Οὐϊτελλίου στρατηγοὺς, τῇ πρώτῃ μὲν ἡμέρᾳ περιῆν Ὄθων, τῇ δευτέρᾳ δὲ τὸ Οὐϊτελλίου στρατιωτικόν· καὶ πολλοῦ φόνου γενομένου διεχρήσατο μὲν Ὄθων ἑαυτὸν, ἐν Βρεξέλλῳ τὴν ἧτταν πυθόμενος, ἡμέρας δύο καὶ τρεῖς μῆνας κρατήσας τῶν πραγμάτων. Προσεχώρησε δὲ τοῖς Οὐϊτελλίου στρατηγοῖς καὶ τοῦ Ὄθωνος ἡ στρατιὰ, καὶ κατέβαινεν αὐτὸς εἰς τὴν Ῥώμην μετὰ τῆς δυνάμεως. Ἐν δὲ τούτῳ καὶ Οὐεσπασιανὸς, ἀναστὰς ἐκ τῆς Καισαρείας πέμπτῃ Δαισίου μηνὸς, ὥρμησεν ἐπὶ τὰ μηδέπω κατεστραμμένα τῶν τῆς Ἰουδαίας χωρίων. Ἀναβὰς δὲ εἰς τὴν ὀρεινὴν αἱρεῖ δύο τοπαρχίας, τήν τε Γοφνιτικὴν καὶ τὴν Ἀκραβατηνὴν καλουμένην, μεθ' ἃς Βηθηλᾶ τε καὶ Ἐφραὶμ πολίχνια, οἷς φρουροὺς ἐγκαταστήσας μέχρις Ἱεροσολύμων ἐππάζετο. Φθορὰ δὲ ἦν πολλῶν καταλαμβανομένων, καὶ συχνοὺς ᾐχμαλωτίζετο. Κερεάλιος δὲ αὐτῷ τῶν ἡγεμόνων, μοῖραν ἱππέων καὶ πεζῶν ἀναλαβὼν, τὴν ἄνω καλουμένην Ἰδουμαίαν ἐπόρθει, καὶ Καφεθρὰ μὲν ψευδοπολίχνιον ἐξ ἐφόδου λαβὼν ἐμπίπρησιν, ἑτέραν δὲ καλουμένην Καφαραβῖν προσβαλὼν ἐπολιόρκει· πάνυ δὲ ἦν ἰσχυρὸν τὸ τεῖχος· καὶ τρίψεσθαι προσδοκῶντι πλείω χρόνον αἰφνιδίως ἀνοίγουσιν οἱ ἔνδον τὰς πύλας, καὶ μεθ' ἱκετηριῶν προσελθόντες αὐτοὺς παρέδοσαν. Κερεάλιος δὲ τούτους παραστησάμενος ἐπὶ Χεβρὼν ἑτέρας πόλεως ἀρχαιοτάτης ἐχώρει· κεῖται δὲ, ὡς ἔφην, αὕτη κατὰ τὴν ὀρεινὴν, οὐ πόρρω Ἱεροσολύμων· βιασάμενος δὲ τὰς εἰσόδους τὸ μὲν ἐγκαταληφθὲν πλῆθος ἡδέως ἀναιρεῖ, τὸ δὲ ἄστυ καταπίμπρησι.

misericordia, sed ira ob raptam : quumque ad muros Hierosolymitanos venisset, ferarum sauciarum ad instar ob percussores elapsos furentium, in obvios quosque animi atrocitatem effundebat. Quotquot igitur ad olera aut sarmenta colligenda pedes portis efferrent, inermes senesque, correptos cruciabat, et ex vehementi indignatione occidebat, ut tantum non mortuorum cadaveribus degustandis parceret. Præterea multos abscissis manibus in urbem mittebat, eo animo ut simul terrorem inimicis inculeret, et ut populum in seditionem contra eos qui in culpa erant concitaret. Illis quippe in mandatis dederat ut dicerent Simonem jurare per Deum, qui omnibus præest, fore, nisi cito ipsi conjugem redderent, ut perruptis muris simili pœna afficeret quotquot intra urbem essent, nemini cujuscunque ætatis parcens, nec quidquam discriminis inter insontes sontesque faciens. Ad ista non modo populus, sed etiam zelotæ metu perculsi uxorem ei remittunt. Quo facto ad lenitatem quidem aliquantulum mitigatus, a continua cæde requievit.

(XXXIII.) 9. Verum non solum per Judæam erat seditio et bellum civile, sed etiam in Italia. Nam in medio quidem Romanorum foro interemptus erat Galba, Otho autem Imperator declaratus adversus Vitellium imperium affectantem bellum gerebat (hunc enim elegerant legiones Germanicæ); quumque ad manus ventum esset cum Valente et Cæcinna Vitellii ducibus apud Bedriacum Galliæ, primo die Otho superior erat, altero Vitelliani : multaque cæde facta, semet apud Brixellum interfecit Otho, simulac rescivit suorum cladem, diebus duobus tribusque mensibus rerum potitus. Hinc Othonis etiam milites Vitellii ducibus sese adjunxerunt; et ipse cum exercitu Romam descendebat. Interea autem et Vespasianus quinto die Dæsii mensis Cæsarea movit, contenditque in Judææ loca nondum eversa. Quumque montana ascendisset, duas toparchias capit, unam Gophniticam, et alteram Acrabatenam vocatam, et post has Bethela et Ephraim oppida; ibique præsidiis collocatis usque Hierosolyma equitabat. Magna autem deprehensorum edita erat strages, multosque captivos agebat. At Cerealis unus ex illius ducibus cum equitum parte et peditum Idumæam quæ dicitur superior vastabat; et Caphethram quidem, quæ urbem simulabat, primo impetu captam incendit; alteram vero, nomine Capharabin, adortus obsidebat (mœnibus autem perquam validis cincta erat), ibique diutius se moraturum exspectanti subito qui intus erant portas aperiunt, quumque supplices accessissent, semet tradiderunt. At Cerealis, quum eos in potestatem suam redegisset, Chebronem ibat urbem alteram antiquissimam : sita autem erat, uti dixi, in montanis, haud procul ab Hierosolymis. Quum autem vi in eam irrupisset, multitudinem illic deprehensam cum puberibus occidit, civitatem vero exurit. Omnibusquo

Καὶ πάντων ἤδη κεχειρωμένων πλὴν Ἡρωδείου καὶ Μασάδας καὶ Μαχαιροῦντος (ταῦτα δὲ ὑπὸ τῶν λῃστῶν κατείληπτο), σκοπὸς ἦδη τὰ Ἱεροσόλυμα προὔκειτο Ῥωμαίοις.

(ΛΔ'.) ι'. Ὁ δὲ Σίμων ὡς ἐρρύσατο παρὰ τῶν ζηλωτῶν τὴν γυναῖκα, πάλιν ἐπὶ τὰ λείψανα τῆς Ἰδουμαίας ὑπέστρεψε· καὶ περιελαύνων πανταχόθεν τὸ ἔθνος εἰς Ἱεροσόλυμα πολλοὺς φεύγειν συνηνάγκασεν. Εἶπετο δὲ καὶ αὐτὸς ἐπὶ τὴν πόλιν, καὶ κυκλωσάμενος αὖθις τὸ τεῖχος, ὅντινα λάθοι τῶν προϊόντων κατὰ τὴν χώραν ἐργατῶν, διέφθειρεν. Ἦν δὲ τῷ δήμῳ Σίμων μὲν ἔξωθεν Ῥωμαίων φοβερώτερος, οἱ ζηλωταὶ δὲ ἔνδον ἑκατέρων χαλεπώτεροι. Κἀν τούτοις ἐπίνοια κακῶν καὶ τόλμα τὸ σύνταγμα τῶν Γαλιλαίων διέφθειρε. Τόν τε γὰρ Ἰωάννην παρῆγον εἰς ἰσχὺν οὗτοι, κἀκεῖνος αὐτοὺς ἐξ ἧς περιεποιήσατο δυναστείας ἠμείβετο, πάντα ἐπιτρέπων δρᾶν ὧν ἕκαστος ἐπεθύμει. Πόθοι δὲ ἦσαν ἁρπαγῆς ἀπλήρωτοι καὶ τῶν πλουσίων οἴκων ἔρευνα, φόνος τε ἀνδρῶν καὶ γυναικῶν ὕβρεις ἐπαίζοντο, μεθ' αἵματος δὲ τὰ συληθέντα κατέπινον, καὶ μετὰ ἀδείας ἐνεθηλυπάθουν τῷ κόρῳ, κόμας συνθετιζόμενοι, καὶ γυναικείας ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι δὲ μύροις, καὶ πρὸς εὐπρέπειαν ὑπογράφοντες ὀφθαλμούς. Οὐ μόνον δὲ κόσμον, ἀλλὰ καὶ πάθη γυναικῶν ἐμιμοῦντο, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀθεμίτους ἡδονὰς ἐπενόησαν· ἐνηλινδοῦντο δὲ ὥσπερ πορνείῳ τῇ πόλει καὶ πᾶσαν ἀκαθάρτοις ἐμίαναν ἔργοις. Γυναικιζόμενοι δὲ τὰς ὄψεις ἐφόνων ταῖς δεξιαῖς, θρυπτόμενοι δὲ τοῖς βαδίσμασιν ἐπιόντες ἐξαπίνης ἐγίνοντο πολεμισταί, τά τε ξίφη προφέροντες ἀπὸ τῶν βεβαμμένων χλανίδων τὸν προστυχόντα διήλαυνον. Τοὺς ἀποδιδράσκοντας δὲ Ἰωάννην Σίμων φονικώτερος ἐξεδέχετο, καὶ διαφυγών τις τὸν ἐντὸς τείχους τύραννον ὑπὸ τοῦ πρὸ πυλῶν διεφθείρετο. Πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐτομολεῖν πρὸς Ῥωμαίους βουλομένοις ἀπεκέκοπτο.

ια'. Διεστασιάζετο δὲ πρὸς τὸν Ἰωάννην ἡ δύναμις, καὶ πᾶν ὅσον ἦν Ἰδουμαῖον ἐν αὐτῇ χωρισθὲν ἐπεχείρει τῷ τυράννῳ, φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ καὶ μίσει τῆς ὠμότητος. Συμβαλόντες δὲ ἀναιροῦσί τε πολλοὺς τῶν ζηλωτῶν καὶ συνελαύνουσι τοὺς λοιποὺς εἰς τὴν βασιλικὴν αὐλὴν κατασκευασθεῖσαν ὑπὸ Γραπτῆς (συγγενὴς δὲ ἦν αὕτη τοῦ τῶν Ἀδιαβηνῶν βασιλέως Ἰζάτου)· συνεισπίπτουσι δὲ οἱ Ἰδουμαῖοι, κἀκεῖθεν εἰς τὸ ἱερὸν περιώσαντες τοὺς ζηλωτάς, ἐφ' ἁρπαγὴν ἐτράποντο τῶν Ἰωάννου χρημάτων· κατὰ γὰρ τὴν προειρημένην αὐλὴν αὐτός τε ἦν κἀκεῖ τὰ λάφυρα τῆς τυραννίδος κατέθετο. Ἐν δὲ τούτῳ τὸ κατὰ τὴν πόλιν ἐσκεδασμένον πλῆθος τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν πρὸς τοὺς διαπεφευγότας ἠθροίσθη, καὶ κατάγειν αὐτοὺς παρεσκευάζετο Ἰωάννης ἐπί τε τὸν δῆμον καὶ τοὺς Ἰδουμαίους. Τοῖς δὲ οὐχ οὕτω τὴν ἐφοδον αὐτῶν καταδεῖσαι παρέστη μαχιμωτέροις οὖσιν, ὡς τὴν ἀπόνοιαν, μὴ νύκτωρ ἐκ τοῦ ἱεροῦ παρεισδύντες αὐτούς τε διαφθείρωσι καὶ τὸ ἄστυ καταπρήσωσι. Συνελθόντες οὖν μετὰ τῶν ἀρχιερέων

jam occupatis, præter Herodium et Masadam et Machæruntem, quæ a latronibus tenebantur, tum propositum erat Romanis Hierosolyma aggredi.

(XXXIV.) 10. Simon autem, ubi uxorem a zelotis recuperavit, iterum ad reliquias Idumææ reversus est, et undique gentem depopulans, plerosque compulit Hierosolyma se recipere. Quos et ipse persequutus est usque ad urbem; ac deinde, quum muro se circumdedisset, quoscunque operariorum ex agris advenientes caperet, interficiebat. Eratque populo foris quidem Simon Romanis terribilior, intus vero zelotæ utrisque graviores. Interque hæc malorum excogitatio audaciæ conjuncta Galilæorum exercitum corrupit. Namque Joannem ad potentiam isti provehebant, atque ille eis, pro imperio quod adeptus est, vicissim omnia quæ desiderarent facere permittebat. Insatiabilis autem erat rapinarum cupiditas, domorumque locupletum perscrutatio, atque virorum cædes et feminarum injuriæ pro ludo habebantur, spoliaque cum sanguine devorabant, et impune muliebria patiebantur ad satietatem, compositos gerentes capillos, et amictum femineum induti, unguentis etiam delibuti, quoque magis placerent oculos fuco et cerussa illinentes. Non solum autem ornatum, verum etiam quæ mulieribus accidunt imitabantur, nimiaque lascivia voluptates illicitas excogitarunt; in urbe autem tanquam in lupanari volutabantur, totamque facinoribus impuris polluebant. Sed feminarum ad instar vultus componentes, dextris cædem patrabant, fractoque gressu incedentes subita incursione bellatores evadebant, gladiisque e conchyliatis chlamydibus eductis obvium quemque transfigebant. Eos autem qui Joannem fugerant excipiebat sævior in cædibus Simon, quique tyrannum intra muros evaserat, ab eo qui ante portas erat occidebatur. Omnis vero fugæ via ad Romanos transire cupientibus erat præcluba.

11. Seditionem autem contra Joannem movebat exercitus, et omnes in eo Idumæi dissentientes a ceteris aliquid moliebantur contra tyrannum, quod ejus aut potentiæ inviderant aut crudelitatem oderant. Pugna autem congressi multos zelotarum perimunt, ceterosque in aulam regiam a Grapte ædificatam (erat autem illa Izatæ regis Adiabenorum consanguinea) compellunt; una vero irrumpunt Idumæi, atque inde in templum pulsis zelotis se convertunt ad pecunias Joannis diripiendas: nam in regia prædicta et ipse degebat, et tyrannidis spolia deposuerat. Interea autem quamplurimi zelotæ, qui per civitatem dispersi erant, sese ad eos qui in templum fugerant aggregarunt; eosque Joannes adversus populum et Idumæos educere parabat. Istis autem, ut qui pugna plus possent, non tam impetus eorum metuendus erat, quam ne rerum desperatione de templo urbem noctu ingrederentur, ipsosque pariter occiderent atque urbem concremarent. Itaque quum coiissent una cum pontificibus, con-

ἐβουλεύοντο τίνα χρὴ τρόπον φυλάξασθαι τὴν ἐπίθεσιν. Θεὸς δὲ ἄρα τὰς γνώμας αὐτῶν εἰς κακὸν ἔτρεψε, καὶ χαλεπώτερον ἀπωλείας ἐπενόησαν τὸ πρὸς σωτηρίαν φάρμακον. Ἵνα γοῦν καταλύσωσιν Ἰωάννην, ἔκριναν δέχεσθαι Σίμωνα καὶ μεθ' ἱκετηριῶν δεύτερον εἰσαγαγεῖν ἑαυτοῖς τύραννον. Ἐπεραίνετο δὲ ἡ βουλή. Καὶ τὸν ἀρχιερέα Ματθίαν πέμψαντες ἐδέοντο Σίμωνος εἰσελθεῖν, ὃν πολλὰ ἔδεισαν. Συμπαρεκάλουν δὲ οἱ ἐκ τῶν Ἱεροσολύμων τοὺς ζηλωτὰς φεύγοντες, πόθῳ τῶν οἴκων καὶ τῶν κτημάτων. Ὁ δὲ, αὐτοῖς ὑπερηφάνως κατανεύσας τὸ δεσπόζειν, εἰσέρχεται μὲν ὡς ἀπαλλάξων τῶν ζηλωτῶν τὴν πόλιν, σωτὴρ ὑπὸ τοῦ δήμου καὶ κηδεμὼν εὐφημούμενος· παρελθὼν δὲ μετὰ τῆς δυνάμεως ἐσκόπει τὰ περὶ τῆς ἑαυτοῦ δυναστείας, καὶ τοὺς καλέσαντας οὐχ ἧττον ἐχθροὺς ἐνόμιζεν ἢ καθ' ὧν ἐκέκλητο.

ιϐ'. Σίμων μὲν οὕτως ἐνιαυτῷ τρίτῳ τοῦ πολέμου Ξανθικῷ μηνὶ Ἱεροσολύμων ἐγκρατὴς ἐγένετο· Ἰωάννης δὲ καὶ τὸ τῶν ζηλωτῶν πλῆθος εἰργόμενον τῶν ἐξόδων τοῦ ἱεροῦ καὶ τὰ τῆς πόλεως ἀπολωλεκότες (παραχρῆμα γὰρ τὰ ἐκείνων οἱ περὶ τὸν Σίμωνα διήρπασαν), ἐν ἀπόρῳ τὴν σωτηρίαν εἶχον. Προσέβαλλε δὲ τῷ ἱερῷ Σίμων, τοῦ δήμου βοηθοῦντος. Κἀκεῖνοι, καταστάντες ἐπὶ τῶν στοῶν καὶ τῶν ἐπάλξεων, ἠμύνοντο τὰς προσβολάς· συχνοὶ δὲ ἔπιπτον τῶν περὶ Σίμωνα καὶ πολλοὶ τραυματίαι κατεφέροντο· ῥᾳδίως γὰρ ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ζηλωταὶ καὶ οὐκ ἀστόχους ἐποιοῦντο. Πλεονεκτοῦντες δὲ τῷ τόπῳ, καὶ πύργους ἔτι προσκατεσκεύασαν τέσσαρας μεγίστους, ὡς ἀφ' ὑψηλοτέρων ποιοῖντο τὰς ἀφέσεις, τὸν μὲν κατὰ τὴν ἀνατολικὴν καὶ βόρειον γωνίαν, τὸν δὲ τοῦ ξυστοῦ καθύπερθεν, τὸν δὲ τρίτον κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς κάτω πόλεως, ὁ δὲ λοιπὸς ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν παστοφορίων· ἔνθα τῶν ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην ἑβδομάδα εἰσιοῦσαν προεσήμαινε σάλπιγγι δείλης, καὶ τελεσθεῖσαν αὖθις περὶ ἑσπέραν, ὅτε μὲν ἀνεργεῖν τῷ λαῷ καταγγέλλων, ὅτε δὲ ἔργων ἔχεσθαι. Διέστησαν δὲ ἐπὶ τῶν πύργων ὀξυβελεῖς τε καὶ λιθοβόλους μηχανὰς, τούς τε τοξότας καὶ σφενδονήτας. Ἔνθα δὴ τὰς μὲν προσβολὰς ὀκνηροτέρας ἐποιεῖτο ὁ Σίμων, μαλακιζομένων αὐτῷ τῶν πλειόνων, ἀντεῖχε δὲ ὅμως περιουσίᾳ δυνάμεως· τὰ δὲ ἀπὸ τῶν ὀργάνων βέλη πορρωτέρω φερόμενα τοὺς πολλοὺς τῶν μαχομένων ἀνῄρει.

ΚΕΦ. Ι'.

Κατὰ δὲ τὸν αὐτὸν καιρὸν περιέσχε καὶ τὴν Ῥώμην πάθη χαλεπά. Παρῆν μὲν γὰρ ἀπὸ Γερμανίας Οὐϊτέλλιος ἅμα τῷ στρατιωτικῷ πολὺ πλῆθος ἐπισυρόμενος ἕτερον, μὴ χωρούμενος δὲ τοῖς ἀποδεδειγμένοις εἰς τοὺς στρατιώτας περιβόλοις ὅλην ἐποιήσατο τὴν Ῥώμην στρατόπεδον καὶ πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. Οἱ δὲ ἀήθεσιν ὀφθαλμοῖς τὸν Ῥωμαίων πλοῦτον θεασάμενοι, καὶ περιλαμφθέντες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ, τὰς ἐπιθυμίας μόλις κατεῖχον, ὥστε μὴ ἐφ' ἁρπαγὰς

sultabant quo pacto sibimet de impetu caverent. At Deus profecto faciebat ut illis suæ sententiæ male cederent, et remedium ad salutem excogitarent interitu acerbius. Quippe ut Joannem deturbarent, Simonem recipere statuerunt, et cum precibus alterum in urbem introducere tyrannum. Atque ita decreto obtemperatur : missoque Matthia pontifice, Simonem ut intraret obsecrabant, quem multum metuerant. Simul eum rogabant etiam Hierosolymitæ qui fugerant zelotas, domus quisque suæ et possessionum desiderio. Ille autem eis cum arrogantia pollicitus se in illis dominari velle, quasi civitatem quidem zelotis liberaturus ingreditur; cui a populo tanquam servatori curatorique læte acclamatum est : ubi vero cum suis copiis introierat, de iis dispiciebat quæ ad potentiam suam facerent; et qui eum acciverant non minus pro inimicis habebat, quam eos contra quos fuerat accitus.

12. Ita quidem Simon belli anno tertio mense Xanthico Hierosolymorum factus erat dominus. Joannes autem cum multitudine zelotarum templo exire prohibitus, amissis etiam quæ in civitate habebant, (nam statim res eorum Simon cum suis diripuerat), salutem desperare cœperunt. Ac Simon, populo adjuvante, impressionem faciebat in templum. Illi autem, quum in porticibus perque propugnacula constitissent, impetum propulsabant : multique ex Simonis parte cadebant, multique saucii deferebantur : nam facile e locis superioribus ictuque certissimo tela conjiciebant zelotæ. At quamvis loco plus possent, turres tamen quattuor maximas insuper ædificarunt, ut magis ex alto missilia torquerent, unam quidem ad orientalem angulum et borealem, alteram vero super Xystum, tertiamque ad alium angulum e regione civitatis inferioris, reliqua autem supra verticem Pastophoriorum erat exstructa : ubi unus de sacerdotibus pro more astans clangore tubæ vespertino diem quemlibet septimum inenntem præsignificabat, rursusque ad vesperam eundem desiisse, et quando feriari oporteret indicans, et quando operi incumbere. Per turres autem dispositæ erant scorpiones et ballistæ, itemque sagittarii et funditores. Itaque tunc Simon segnius quidem ferebatur ad impressiones faciendas, quod suorum plerique de impetu suo remitterent, ex copiarum tamen abundantia resistebat : tela autem machinis emissa e longinquo pugnantium multos perimebant.

CAPUT X. (XXXV.)

At per idem tempus Romam etiam gravia circumsistebant mala. Aderat enim ex Germania Vitellius cum exercitu, aliam præterea ingentem multitudinem post se trahens : et quum excipi non potuerit spatiis militi destinatis, Romam universam pro castris habebat, omnemque domum armatis opplevit. Illi autem quum Romanorum divitias oculis rebus ejusmodi insuetis conspexissent, et undique circumfusi essent argenti aurique splendore, vix cupiditatem continebant, ne ad rapinas se converterent, suisque desideriis

τρέπεσθαί τε καὶ τοὺς ἐμποδὼν γινομένους ἀναιρεῖν. Καὶ τὰ μὲν κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν.

(ΛϚ'.) β'. Οὐεσπασιανὸς δέ, ὡς τὰ πλησίον Ἱεροσολύμων καταστρεψάμενος ὑπέστρεψεν εἰς Καισάρειαν, ἀκούει τὰς κατὰ τὴν Ῥώμην ταραχὰς καὶ Οὐϊτέλλιον αὐτοκράτορα. Τοῦτο οὖν αὐτὸν, καίπερ ἄρχεσθαι καθάπερ ἄρχειν καλῶς ἐπιστάμενον, εἰς ἀγανάκτησιν προήγαγε, καὶ τὸν μὲν ὡς ἐρήμου καταμανέντα τῆς ἡγεμονίας ἠδόξει δεσπότην, περιαλγήσας δὲ τῷ πάθει καρτερεῖν τὴν βάσανον οὐχ οἷόστε ἦν, καὶ τῆς πατρίδος πορθουμένης ἑτέροις προσασχολεῖν πολέμοις. Ἀλλ' ὅσον ὁ θυμὸς ἤπειγεν ἐπὶ τὴν ἄμυναν, τοσοῦτον εἶργεν ἡ ἔννοια τοῦ διαστήματος· πολλὰ γὰρ φθάσαι πανουργήσασαν τὴν τύχην, πρὶν αὐτὸν εἰς τὴν Ἰταλίαν περαιωθῆναι, καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα, σφαδάζουσαν ἤδη κατεῖχε τὴν ὀργήν.

γ'. Συνιόντες δὲ οἵ τε ἡγεμόνες καὶ οἱ στρατιῶται καθ' ἑταιρίαν, φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο, καὶ διαγαναχτοῦντες ἐβόων, ὡς « οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται τρυφῶντες καὶ μηδὲ ἀκούειν πολέμου φήμην ὑπομένοντες διαχειροτονοῦσιν οἷς βούλονται τὴν ἡγεμονίαν, καὶ πρὸς ἐλπίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτορας, αὐτοὶ δὲ διὰ τοσούτων κεχωρηκότες πόνων, καὶ γηρῶντες ὑπὸ τοῖς κράνεσιν, ἑτέροις χαρίζονται τὴν ἐξουσίαν, καὶ ταῦτα τὸν ἀξιώτερον ἄρχειν παρ' αὐτοῖς ἔχοντες· ᾧ τίνα δικαιοτέραν ποτὲ τῆς εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβὴν, εἰ τὴν νῦν καταπρόοιντο; τοσούτῳ δὲ εἶναι Οὐεσπασιανὸν ἡγεμονεύειν Οὐϊτελλίου δικαιότερον, ὅσῳ καὶ αὐτοὺς τῶν ἐκεῖνον ἀποδειξάντων. Οὐ γὰρ δὴ μικροτέρους τῶν ἀπὸ Γερμανίας διενηνοχέναι πολέμους, οὐδὲ τῶν ἐκεῖθεν καταγόντων τὸν τύραννον ἥττῆσθαι τοῖς ὅπλοις. Ἀγῶνος δ' ἐνδεήσειν οὐδέν· οὐ γὰρ τὴν σύγκλητον ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι τῆς Οὐϊτελλίου λαγνείας ἀντὶ τῆς Οὐεσπασιανοῦ σωφροσύνης· οὐδὲ ἀντὶ μὲν ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον, ἄπαιδα δὲ ἀντὶ πατρὸς αἱρήσεσθαι προστάτην. Μέγιστον γὰρ δὴ πρὸς ἀσφάλειαν εἰρήνης εἶναι τὰς γνησίους τῶν βασιλέων ὑπεροχάς. Εἴτε οὖν ἐμπειρίᾳ γήρως προσήκει τὸ ἄρχειν, Οὐεσπασιανὸν αὐτοὺς ἔχειν, εἴτε νεότητος ἀλκῇ, Τίτον· καρπώσεσθαι γὰρ τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ ὠφέλιμον. Χορηγήσειν δὲ οὐ μόνον αὐτοὺς τότε τὴν ἰσχὺν τοῖς ἀποδειχθεῖσιν, ἅτε τρία τάγματα καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντας, ἀλλὰ καὶ συνεργήσειν τά τε πρὸς ἕω πάντα καὶ τῆς Εὐρώπης ὅσα τῶν ἀπὸ Οὐϊτελλίου φόβων κεχώρισται, καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ συμμάχους, ἀδελφὸν Οὐεσπασιανοῦ καὶ παῖδα ἕτερον, ὧν τῷ μὲν προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς πόλεως φυλακὴν πεπιστεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβολὴν ἡγεμονίας. Καθόλου τε ἂν βραδύνωσιν αὐτοὶ, τάχα τὴν σύγκλητον ἀποδείξειν τὸν ὑπὸ τῶν συντετηρηκότων στρατιωτῶν ἀτιμούμενον. »

δ'. Τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν· ἔπειτα συναθροισθέντες καὶ παρακροτήσαντες ἀλλήλους

obstantes occiderent. Et in Italia quidem ita se res habebant.

(XXXVI.) 2. Vespasianus autem, quum, omnibus in vicinia Hierosolymorum eversis, Cæsaream revertisset, audiit tumultus Romæ ortos, et Vitellium factum Imperatorem. Hoc etiam ipsi, licet imperium pati æque ac bene imperare posset, indignationem commovit; eumque, qui in imperium tanquam desertum furore incitatus erat, dominum dedignabatur: dolore autem percitus cruciatum ferre non poterat, neque aliis vacare bellis, quum patria vastaretur. Verumtamen quantum ira impellebatur ad ulciscendum, tantum cogitatio de locorum intervallo eum reprimebat. Nam quod multa fortuna versatilis posset nova facere, priusquam ad Italiam, præsertim hiemis tempore, trajecturus esset, hoc ipsum jam crescentem iracundiam cohibebat.

3. Duces autem militesque per sodalitia coeuntes aperte jam de mutatione consultabant, et cum indignatione vociferabantur, « milites Romæ constitutos, et in deliciis agentes, quique ne famam quidem belli audire sustineant, imperium pro lubitu designare, et spe quæstus Imperatores creare; ipsos vero post tot labores exactos, et sub galeis senescentes, aliis condonare potestatem, idque quum apud se digniorem habeant qui imperet. Quam justiorem unquam ejus in ipsos benevolentiæ gratiam relaturos, si hanc quæ nunc penes ipsos sit omiserint? Tanto autem Vespasianum quam Vitellium imperare justius esse, quanto illis, qui hunc declararunt, ipsi præstent. Non enim se minora pertulisse bella, quam qui in Germania militarint; neque illis, qui tyrannum inde deducant, in armis deteriores esse. Nihil autem opus fore dimicatione: non enim senatum populumve Romanum libidines Vitellii præ modestia Vespasiani laturos esse; neque pro bono Imperatore tyrannum crudelissimum, aut liberis carentem pro patre præsidem electuros. Etenim maxime ad pacis securitatem facere veram in regnantibus præstantiam. Ergo sive senectutis experientiæ debeatur imperium, habere se Vespasianum; sive adolescentiæ viribus, Titum: ex amborum enim ætate quod sit commodum decerpturos. Ipsos vero non solum vires iis tunc suppeditaturos esse, quos declaraverint, ut qui tres legiones regumque habeant auxilia; sed et ad ipsorum societatem perducturos esse omnia quæ ad orientem et quicquid Europæ extra metum Vitellii constitutum sit, atque insuper qui in Italia sese ipsis adjuncturi sint, Vespasiani fratrem alterumque filium, quorum alterum quidem multos juvenes dignitate præstantes sociatum ire, alteri vero etiam urbis commissam esse custodiam; id quod magni momenti sit ad imperium capessendum. In summa si ipsi moras necterent, senatum fortasse eum creaturum Imperatorem, quem imperii conservatores milites dehonestarunt. »

4. Hujusmodi verba in circulis inter se faciebant milites: deinde congregati seque invicem adhortati Vespasianum

ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα, καὶ σώζειν τὴν κινδυνεύουσαν ἡγεμονίαν παρεκάλουν. Τῷ δὲ φροντὶς μὲν ἦν πάλαι περὶ τῶν ὅλων, οὔτι γε μὴν αὐτὸς ἄρχειν προήρητο, τοῖς μὲν ἔργοις ἑαυτὸν ἄξιον ἡγούμενος, προκρίνων δὲ τῶν ἐν λαμπρότητι κινδύνων τὴν ἐν ἰδιώταις ἀσφάλειαν. Ἀρνουμένῳ δὲ μᾶλλον οἱ ἡγεμόνες ἐπέκειντο, καὶ περιχυθέντες οἱ στρατιῶται ξιφήρεις ἀναιρεῖν αὐτὸν ἠπείλουν, εἰ μὴ βούλοιτο ζῆν ἀξίως. Πολλὰ δὲ πρὸς αὐτοὺς διατεινάμενος ἐξ ὧν διωθεῖτο τὴν ἀρχὴν, τελευταῖον, ὡς οὐκ ἔπειθεν, εἴκει τοῖς ὀνομάσασι.

(ΑΖ'.) ε'. Προτρεπομένων δὲ αὐτὸν ἤδη Μουκιανοῦ τε καὶ τῶν ἄλλων ἡγεμόνων εἰς αὐτοκράτορα, καὶ τῆς ἄλλης στρατιᾶς ἄγειν βοώσης αὐτὴν ἐπὶ πᾶν τὸ ἀντίπαλον, αὐτὸς πρῶτον τῶν ἀπ' Ἀλεξανδρείας εἴχετο πραγμάτων, εἰδὼς πλεῖστον τῆς ἡγεμονίας μέρος τὴν Αἴγυπτον οὖσαν διὰ τὴν τοῦ σίτου χορηγίαν (ἧς κρατήσας, εἰ παρέλκοι καὶ βίᾳ, καθαιρήσειν ἤλπιζεν Οὐϊτέλλιον· οὐ γὰρ ἀνέξεσθαι πεινῆσαν ἐπὶ Ῥώμης τὸ πλῆθος), τὰ δύο τε ἐπὶ τῆς Ἀλεξανδρείας τάγματα προσποιήσασθαι βουλόμενος. Ἐνεθυμεῖτο δὲ καὶ πρόβλημα τὴν χώραν ἔχειν τῶν ἀπὸ τῆς τύχης ἀδήλων· ἔστι γὰρ κατά τε γῆν δυσέμβολος καὶ τὰ πρὸς θάλασσαν ἀλίμενος, κατὰ μὲν ἑσπέραν προβεβλημένη τὰ ἄνυδρα τῆς Λιβύης, κατὰ δὲ μεσημβρίαν τὴν διορίζουσαν ἀπὸ Αἰθιόπων τὴν Συήνην καὶ τοὺς ἀπλώτους τοῦ ποταμοῦ καταράκτας, ἀπὸ δὲ τῆς ἀνατολῆς ἔτι τὴν Ἐρυθρὰν θάλασσαν ἀναχεομένην μέχρι Κοπτοῦ, βόρειον δὲ τεῖχος αὐτῇ ἥ τε μέχρι Συρίας γῆ καὶ τὸ καλούμενον Αἰγύπτιον πέλαγος, πᾶν ἄπορον ὅρμων. Τετείχισται μὲν οὕτως ἡ Αἴγυπτος πάντοθεν· τὸ μεταξὺ δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τε ἀπὸ τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλούσιον σταδίων τρισχιλίων ἑξακοσίων. Ὁ δὲ Νεῖλος ἀναπλεῖται μέχρι τῆς Ἐλεφάντων καλουμένης πόλεως, ὑπὲρ ἣν εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν καταράκτας. Δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξανδρείας· στενός τε γὰρ εἴσπλους καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ καμπτόμενος δρόμον. Καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος πέφρακται χειροκμήτοις σκέλεσιν, ἐν δεξιᾷ δὲ ἡ προσαγορευομένη Φάρος νησὶς πρόκειται, πύργον ἀνέχουσα μέγιστον, ἐκπυρσεύοντα τοῖς καταπλέουσιν ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου. Περὶ ταύτην τὴν νῆσίδα καταβέβληται χειροποίητα τείχη μέγιστα· προσαρασσόμενον δὲ τούτοις τὸ πέλαγος καὶ τοῖς ἄντικρυς ἔρκεσιν ἀμφαγνυμένον ἐκτραχύνει τὸν πόρον καὶ σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται· ὁ μέντοι γε λιμὴν ἔνδον ἀσφαλέστατος, καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται καὶ τὰ περισσεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν μερίζεται τὴν οἰκουμένην.

ς'. Ἐφίετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων Οὐεσπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας.

declarant Imperatorem, eumque obsecrabant ut imperium in periculo constitutum servaret. Illi autem olim quidem curæ erat rerum summa, ceterum de imperio minime cogitaverat; factis quidem semet eo dignum existimans, privatæ vero vitæ securitatem præferens clarioris fortunæ periculis. Refraganti autem magis instabant tribuni, et milites strictis ensibus circumfusi eum interficere minabantur, ni vellet cum dignitate vivere. Multum autem illis reluctans, ut imperii molem suis e cervicibus depelleret, tandem, quum illis persuadere non posset, cedit iis qui Imperatoris nomine eum salutaverant.

(XXXVII.) 5. Jam vero Muciano ceterisque tribunis ut semet pro Imperatore gereret eum hortantibus, et reliquo exercitu eum inclamante ut ipsos in hostes quoscunque infestos duceret, primo rebus Alexandrinis occupandis procurandisque intentus erat, ut qui nosset maximam partem imperii esse Ægyptum, quod frumentum suppeditet (qua re potitus Vitellium imperio, si illud ad se vi traheret, deturbaturum esse sperabat; non enim famem toleraturum esse populum Romanum), quodque duas apud Alexandriam legiones sibi adjungere cupiebat. Præterea cogitabat propugnaculo sibi fore illam regionem adversus incerta fortunæ. Nam et terra difficilis accessu, marique importuosa est: ab occidente quidem loca arida Libyæ prætenta habet; a meridie vero Syenen, quæ eam ab Æthiopia dirimit, et invias navibus fluvii cataractas; itemque ab oriente mare Rubrum ad Copton usque diffusum; a septemtrione vero munimentum habet terram ad Syriam usque protensam, et pelagus quod dicitur Ægyptium, portubus ubique destitutum. Ita quidem Ægyptus ex omni parte munita est: inter Pelusium vero et Syenen per duo millia stadiorum porrigitur, atque a Plinthine in Pelusium navigatio est stadiorum trium millium et sexcentorum. Nilus autem ad urbem usque Elephantinen vocatam navigatur: ultra quam cataractæ, de quibus diximus, progredi non sinunt. Portus autem Alexandriæ, etiam in pace, navibus aditu difficilis est: etenim angustus ejus est introitus, saxisque sub mari latentibus a cursu directo deflexus. Et læva quidem ejus pars brachiis septa est arte fabricatis: a dextra vero insula Pharus appellata objicitur, turrim maximam sustinens, quæ ad trecenta usque stadia lumen appellentibus emittit, ut nocte procul stationem habeant ob navigandi difficultatem. Circa hanc autem insulam manuum opera moles exstructæ sunt maximæ, quibus allisum pelagus et adversis septis circumfractum asperiorem facit transitum, ingressumque per angustias reddit periculosum: intus tamen portus ipse tutissimus est, et trigenta stadiorum amplitudinis, in quem et ea deveniuntur quæ terra ista ad felicitatem desiderat, et quicquid e bonis illius propriis redundat, per totum terrarum orbem distribuitur.

6. Itaque minime mirandum est Vespasianum rerum istarum potiri quæsiisse ad totius imperii firmamentum.

Ἐπιστέλλει δ' οὖν εὐθὺς τῷ διέποντι τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς πρόθυμον καὶ ὡς αὐτὸς, ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς ἡγεμονίας, συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνει. Παραναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος προθύμως τά τε τάγματα καὶ τὸ πλῆθος εἰς αὐτὸν ὥρκωσεν. Ἑκάτεροι δὲ ἀσμένως ὑπήκουσαν, τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἐκ τῆς ἐγγὺς στρατηγίας εἰδότες. Καὶ ὁ μὲν πεπιστευμένος ἤδη τὰ περὶ τὴν ἀρχὴν προπαρεσκεύαζεν αὐτῷ καὶ τὰ πρὸς τὴν ἄφιξιν. Τάχιον δὲ ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν ἐπὶ τῆς ἀνατολῆς αὐτοκράτορα, καὶ πᾶσα μὲν πόλις ἑώρταζεν, εὐαγγέλια δὲ καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. Τὰ δὲ κατὰ Μυσίαν καὶ Παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς τὴν Οὐϊτελλίου τόλμαν, μείζονι χαρᾷ Οὐεσπασιανῷ τὴν ἡγεμονίαν ὤμνυον. Ὁ δὲ ἀναζεύξας ἀπὸ Καισαρείας εἰς Βηρυτὸν παραγίνεται, ἔνθα πολλαὶ μὲν ἀπὸ τῆς Συρίας αὐτῷ, πολλαὶ δὲ καὶ ἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων, στεφάνους παρ' ἑκάστης πόλεως καὶ συγχαρτικὰ προσφέρουσαι ψηφίσματα. Παρῆν δὲ καὶ Μουκιανὸς ὁ τῆς ἐπαρχίας ἡγεμὼν, τὸ πρόθυμον τῶν δήμων καὶ τοὺς κατὰ πόλιν ὅρκους ἀπαγγέλλων.

(ΛΗ'.) ζ'. Προχωρούσης δὲ πανταχοῦ κατὰ νοῦν τῆς τύχης καὶ τῶν πραγμάτων συννενευκότων ἐκ πλείστου μέρους, ἤδη παρίστατο τῷ Οὐεσπασιανῷ νοεῖν ὡς οὐ δίχα δαιμονίου προνοίας ἅψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαίας τις εἱμαρμένη περιάγοι τὸ κρατεῖν τῶν ὅλων ἐπ' αὐτόν. Ἀναμιμνήσκεται γὰρ τά τε ἄλλα σημεῖα (πολλὰ δὲ αὐτῷ ἐγεγόνει πανταχοῦ προφαίνοντα τὴν ἡγεμονίαν) καὶ τὰς τοῦ Ἰωσήπου φωνὰς, ὃς αὐτὸν ἔτι ζῶντος Νέρωνος αὐτοκράτορα προσειπεῖν ἐθάρρησεν. Ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δεσμώτην ἔτι ὄντα παρ' αὐτῷ, καὶ προσκαλεσάμενος Μουκιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι καὶ φίλοις πρῶτον μὲν αὐτοῦ τὸ δραστήριον ἐξεδιηγεῖτο καὶ ὅσα τοῖς Ἰωταπάτοις δι' αὐτὸν ἔκαμεν, ἔπειτα τὰς μαντείας, ἃς αὐτὸς μὲν ὑπώπτευσε τότε πλάσμα τοῦ δέους, ἀποδειχθῆναι δὲ ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. « Αἰσχρὸν οὖν, ἔφη, τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν καὶ διάκονον τῆς τοῦ Θεοῦ φωνῆς, ἔτι αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύχην ὑπομένειν. » Καὶ καλέσας τὸν Ἰώσηπον λυθῆναι κελεύει. Τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς εἰς τὸν ἀλλόφυλον ἀμοιβῆς λαμπρὰ καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη, συνὼν δὲ τῷ πατρὶ Τίτος, « δίκαιον, ὦ πάτερ, ἔφη, « τοῦ Ἰωσήπου καὶ τὸ ὄνειδος ἀφαιρεθῆναι σὺν τῷ « σιδήρῳ· γενήσεται γὰρ ὅμοιος τῷ μὴ δεθέντι τὴν ἀρ« χὴν, ἂν αὐτοῦ μὴ λύσωμεν, ἀλλὰ κόψωμεν τὰ δεσμά· » τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται. Συνεδόκει δὲ ταῦτα, καὶ παρελθών τις πελέκει διέκοψε τὴν ἅλυσιν. Ὁ δὲ Ἰώσηπος εἰληφὼς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

Proinde statim ad Tiberium Alexandrum, qui Ægyptum et Alexandriam administrabat, literas mittit, quibus indicabat et militum promptam in se voluntatem, et quod ipse, ex necessitate onus imperii subiens, ipsum administrum et adjutorem sibi assumeret. Alexander autem, quum recitasset literas, prompto statim animo et legiones et populum ad fidem ei præstandam jurejurando adegit. Id quod ab utrisque lubenti animo factum est, ut qui viri virtutem norint ex rebus illius ductu in vicinia gestis. Atque ille quidem, quum jam ipsi credita essent quæ ad imperium spectabant, etiam quæ adventui necessaria erant præparabat. Citius autem quam existimari potuit fama nunciabat in Oriente Vespasianum esse Imperatorem: et omnis quidem civitas dies festos agebat, nec non nuncii præmia dabat, et sacra pro ejus salute faciebat. Legiones autem apud Mysiam et Pannoniam, paullo ante ob Vitellii audaciam in tumultus concitatæ, majore cum gaudio imperium Vespasiano jurejurando confirmabant. Ille vero profectus Cæsarea Berytum veniebat, ubi multæ quidem e Syria, insuper et multæ ab aliis provinciis legationes ei obviam factæ sunt, coronas et gratulatoria decreta a singulis civitatibus afferentes. Quin et Mucianus aderat provinciæ præses, pronam in eum populorum voluntatem et juramenta per urbes ei jurata annuncians.

(XXXVIII.) 7. Quum autem ubique votis illius obsecundaret fortuna, resque omni fere ex parte ad illum propenderent, tum cogitare cœpit Vespasianus quod non sine numinis providentia manum admoverit imperio, sed justa quædam fati ratio ad ipsum deduxerit rerum omnium principatum. Ipsi enim in memoriam veniunt et alia signa (nam multa ipsi contigerant imperium præmonstrantia) quæque ei dixerat Josephus, qui vivente adhuc Nerone ausus erat eum appellare Imperatorem. Attonitus autem hærebat, quod hominem adhuc in vinculis apud se teneret; advocatoque Muciano cum ceteris tribunis et amicis, primum quidem ejus strenuitatem enarrabat, quantumque in Jotapatis expugnandis propter ipsum laborasset; deinde vaticinationes, quas ipse quidem tunc suspicatus esset timoris causa confictas, tempus autem rerumque eventum divinas esse demonstrasse. Tumque inhonestum esse aiebat ut qui sibi augurasset imperium, vocisque Dei minister exstitisset, adhuc captivi loco haberetur, vinctique fortunam subiret. Quumque Josephum vocasset, solvi jubet. Atque hoc facto tribuni, ex ea gratia, quam alienigenæ retulisset, præclara etiam de se speranda esse arbitrabantur. Titus vero, qui patri aderat, « justum est, inquit, o pater, una cum ferro « etiam probro Josephum solvi. Perinde enim erit ac si nun« quam vinctus fuisset, si vincula non solverimus sed disse« cuerimus: » quod utique in eos usurpatur qui per injuriam vincti sunt. Eadem Vespasiano placebant: et quidam in medium prodiens securi catenam dissecuit. Josephus autem, pro his quæ prædixerat, existimationis illæsæ præmio donatus, de futuris jam dignus cui crederetur habebatur.

ΚΕΦ. ΙΑ'.

Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας, καὶ καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. Καὶ βουλευόμενος ποῖ χρὴ τρέπεσθαι, προὐργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ δὲ ὑπὸ Οὐϊτελλίου ταραττόμενα. Πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν, παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δυνάμιν. Ὁ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν, πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

(ΜΑ'.) β'. Ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος, ἀναλαβὼν τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν (ἔτυχε δὲ ἡγεμονεύων αὐτόθι), Οὐϊτελλίῳ παρατάξόμενος ἠπείγετο. Οὐϊτέλλιος δὲ αὐτῷ συναντήσοντα μετὰ πολλῆς δυνάμεως Καικίνναν Ἀλιηνὸν ἐκπέμπει, μέγα θαρρῶν τῷ ἀνδρὶ διὰ τὴν ἐπ' Ὄθωνι νίκην. Ὁ δὲ ἀπὸ τῆς Ῥώμης ἐλαύνων διὰ τάχους περὶ Κρεμῶνα τῆς Γαλατίας τὸν Ἀντώνιον καταλαμβάνει· μεθόριος δέ ἐστιν ἡ πόλις αὕτη τῆς Ἰταλίας. Κατιδὼν δὲ ἐνταῦθα τὸ πλῆθος τῶν πολεμίων καὶ τὴν εὐταξίαν, συμβάλλειν μὲν οὐκ ἐθάρρει, σφαλερὰν δὲ τὴν ἀναχώρησιν λογιζόμενος προδοσίαν ἐβουλεύετο. Συναγαγὼν δὲ τοὺς ὑφ' αὐτὸν ἑκατοντάρχους καὶ χιλιάρχους, ἐνῆγε μεταβῆναι πρὸς τὸν Ἀντώνιον, ταπεινῶν μὲν τὰ Οὐϊτελλίου πράγματα, τὴν Οὐεσπασιανοῦ δὲ ἰσχὺν ἐπαίρων, καὶ παρ' ᾧ μὲν εἶναι λέγων μόνον τῆς ἀρχῆς ὄνομα, παρ' ᾧ δὲ τὴν δυνάμιν, καὶ αὐτοὺς δὲ ἄμεινον προλαβόντας τὴν ἀνάγκην ποιῆσαι χάριν, καὶ μέλλοντας ἥττασθαι τοῖς ὅπλοις ταῖς γνώμαις τὸν κίνδυνον φθάσαι· Οὐεσπασιανὸν μὲν γὰρ ἱκανὸν εἶναι χωρὶς αὐτῶν προσκτήσασθαι καὶ τὰ λείποντα, Οὐϊτέλλιον δὲ οὐδὲ σὺν αὐτοῖς τηρῆσαι τὰ ὄντα.

γ'. Πολλὰ τοιαῦτα λέγων ἔπεισε καὶ πρὸς τὸν Ἀντώνιον αὐτομολεῖ μετὰ τῆς δυνάμεως. Τῆς δὲ αὐτῆς νυκτὸς ἐμπίπτει μετάνοια τοῖς στρατιώταις καὶ δέος τοῦ προπέμψαντος εἰ κρείττων γένοιτο· σπασάμενοι δὲ τὰ ξίφη, τὸν Καικίνναν ὥρμησαν ἀνελεῖν. Κἂν ἐπράχθη τὸ ἔργον αὐτοῖς, εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν αὐτούς. Οἱ δὲ τοῦ κτείνειν μὲν ἀπέσχοντο, δήσαντες δὲ τὸν προδότην, οἵοιτε ἦσαν πέμπειν Οὐϊτελλίῳ. Ταῦτα ἀκούσας ὁ Πρῖμος αὐτίκα τοὺς σφετέρους ἀνίστησι καὶ μετὰ τῶν ὅπλων ἦγεν ἐπὶ τοὺς ἀποστάντας. Οἱ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν ἀντέσχον, αὖθις δὲ τραπέντες ἔφευγον εἰς τὴν Κρεμῶνα. Καὶ τοὺς ἱππεῖς ἀναλαβὼν Πρῖμος ὑποτέμνεται τὰς εἰσόδους αὐτῶν, καὶ τὸ μὲν πολὺ πλῆθος κυκλωσάμενος πρὸ τῆς πόλεως διαφθείρει, τῷ δὲ λοιπῷ συνεισπεσὼν διαρπάσαι τὸ ἄστυ τοῖς στρατιώταις ἐφῆκεν. Ἔνθα δὴ πολλοὶ μὲν τῶν ξένων ἔμποροι, πολλοὶ δὲ τῶν ἐπιχωρίων ἀπώλοντο, πᾶσα δὲ ἡ Οὐϊτελλίου στρατιὰ, μυριάδες τρεῖς ἀνδρῶν καὶ διακόσιοι. Τῶν δὲ ἀπὸ τῆς Μυσίας Ἀντώνιος τετρακισχιλίους

CAP. XI. (XL.)

Vespasianus autem, quum responsum legationibus reddidisset, et juste pro cujusque meritis præfecturas singulis assignasset, Antiochiam pervenit. Atque secum cogitans quo primum se verteret, magis e re sua esse judicabat, quæ Romæ agerentur curare, quam Alexandriam contendere, quod illam quidem sibi firmam videret, res autem Romanas a Vitellio perturbatas. Mittit igitur in Italiam Mucianum cum multis equitum peditumque copiis. Ille vero, hieme adulta navigare veritus, pedestri itinere per Cappadociam et Phrygiam ducit exercitum.

(XLI.) 2. Inter hæc autem et Antonius Primus cum legione tertia ex iis quæ in Mysia erant (illam enim regebat provinciam) cum Vitellio acie congredi properabat. At ipsi occursurum cum magna manu Cæcinnam Alienum mittit Vitellius, multum viro huic fidens, quod Othonis copias fuderat. Ille vero Roma quam celerrime proficiscens circa Cremonam Galliæ offendit Antonium : illa enim urbs est in finibus Italiæ. Quum autem illic conspexisset hostium multitudinem bonumque ordinem, prælio quidem cum illis congredi non audebat; discessum autem periculosum reputans, de proditione deliberabat. Convocatis igitur centurionibus et tribunis sibi subditis, ut transirent ad Antonium suadebat, Vitellii quidem res deprimens, Vespasiani autem vires extollens; dicensque illum nomen imperii tantum, hunc vero potestatem habere, ipsisque satius esse gratia anticipare necessitatem, quumque futurum esset ut armis superarentur, voluntate periculum prævenire : nam Vespasianum quidem bene posse etiam sine ipsis reliqua sibi adjicere, Vitellium vero ne cum ipsis quidem parta tueri et conservare.

3. Hujusmodi multa loquutus persuasit, et cum milite transfugit ad Antonium. Eadem vero nocte milites facti pœnitebat, et inde metuebant ne ille superior esset qui ipsos miserat; eductisque gladiis interemptum iverunt Cæcinnam. Idque fecissent, nisi tribuni ad pedes provoluti illis supplicassent. Quamobrem cæde quidem se abstinuerunt : in eo autem erant ut proditorem vinctum ad Vitellium mitterent. Ista quum audivisset Primus, suos confestim excitat, armatosque ducebat in eos qui defecerant. Illi autem instructi ad prælium paulisper quidem resistebant : mox autem loco pulsi Cremonam perfugiebant. At Primus cum equitibus suis omnes eis aditus præcidit, et magnam quidem eorum multitudinem undique circumclusam ante urbem perimit; adortus autem reliquos, militibus permisit urbem diripere. In qua hospitum quidem multi mercatores, multi etiam indigenarum perierunt, totusque Vitellii exercitus, virorum triginta millia et ducenti. Quin et Antonius eorum quos ex Mysia adduxerat quattuor millia et

ἀποβάλλει καὶ πενταχοσίους. Λύσας δὲ τὸν Καικίνναν πέμπει πρὸς Οὐεσπασιανὸν ἀγγελοῦντα τὰ πεπραγμένα. Καὶ ὃς ἐλθὼν ἀπεδέχθη τε ὑπ' αὐτοῦ καὶ τὰ τῆς προδοσίας ὀνείδη ταῖς παρ' ἐλπίδα τιμαῖς ἐπεκάλυψεν.

(MB'.) δ'. Ἀνεθάρσει δὲ ἤδη καὶ κατὰ τὴν Ῥώμην Σαβῖνος, ὡς πλησίον Ἀντώνιος ὢν ἀπηγγέλλετο· καὶ συναθροίσας τὰ τῶν νυκτοφυλάκων στρατιωτῶν τάγματα νύκτωρ καταλαμβάνει τὸ Καπετώλιον. Μεθ' ἡμέραν δὲ αὐτῷ πολλοὶ τῶν ἐπισήμων προσεγένοντο, καὶ Δομετιανὸς ὁ τοῦ ἀδελφοῦ παῖς, μεγίστη μοῖρα τῶν εἰς τὸ κρατεῖν ἐλπίδων. Οὐϊτελλίῳ δὲ Πρίμου μὲν ἐλάττων φροντὶς ἦν, τεθύμωτο δὲ ἐπὶ τοὺς συναποστάντας τῷ Σαβίνῳ, καὶ διὰ τὴν ἔμφυτον ὠμότητα διψῶν αἵματος εὐγενοῦς τοῦ στρατιωτικοῦ τὴν συγκατελθοῦσαν αὐτῷ δύναμιν ἐπαφίησι τῷ Καπετωλίῳ. Πολλὰ μὲν οὖν ἔκ τε ταύτης καὶ τῶν ἀπὸ τοῦ ἱεροῦ μαχομένων ἐτολμήθη· τέλος δὲ τῷ πλήθει περιόντες οἱ ἀπὸ τῆς Γερμανίας ἐκράτησαν τοῦ λόφου. Καὶ Δομετιανὸς δὲ σὺν πολλοῖς τῶν ἐν τέλει Ῥωμαίων δαιμονιώτερον διασώζεται· τὸ δὲ λοιπὸν πλῆθος ἅπαν κατεκόπη, καὶ Σαβῖνος ἀναχθεὶς ἐπὶ Οὐϊτέλλιον ἀναιρεῖται, διαρπάσαντές τε οἱ στρατιῶται τὰ ἀναθήματα τὸν ναὸν ἐμπιπρᾶσι. Καὶ μετὰ μίαν ἡμέραν εἰσελαύνει μὲν Ἀντώνιος μετὰ τῆς δυνάμεως, ὑπήντων δὲ οἱ Οὐϊτελλίου, καὶ τριχῇ κατὰ τὴν πόλιν συμβαλόντες ἀπώλοντο πάντες. Προέρχεται δὲ μεθύων ἐκ τοῦ βασιλείου Οὐϊτέλλιος καὶ δαψιλέστερον ὥσπερ ἐν ἐσχάτοις τῆς ἀσώτου τραπέζης κεκορεσμένος· συρεὶς δὲ διὰ τοῦ πλήθους καὶ παντοδαπαῖς αἰκίαις ἐξυβρισθεὶς ἐπὶ μέσης τῆς Ῥώμης ἀποσφάττεται, μῆνας ὀκτὼ κρατήσας καὶ ἡμέρας πέντε. Ὃν εἰ συνέβη πλείω χρόνον βιῶσαι, ἐπιλιπεῖν αὐτοῦ τῇ λαγνείᾳ τὴν ἡγεμονίαν οἶμαι. Τῶν δὲ ἄλλων νεκρῶν ὑπὲρ πέντε μυριάδας ἠριθμήθησαν. Ταῦτα μὲν οὖν τρίτῃ μηνὸς Ἀπελλαίου πέπρακτο. Τῇ δὲ ὑστεραίᾳ Μουκιανὸς εἴσεισι μετὰ τῆς στρατιᾶς, καὶ τοὺς σὺν Ἀντωνίῳ παύσας τοῦ κτείνειν (ἔτι γὰρ ἐξερευνώμενοι τὰς οἰκίας πολλοὺς μὲν τῶν Οὐϊτελλίου στρατιωτῶν, πολλοὺς δὲ τῶν δημοτικῶν ὡς ἐκείνου ἀνῄρουν, φθάνοντες τῷ θυμῷ τὴν ἀκριβῆ διάγνωσιν), καὶ προαγαγὼν τὸν Δομετιανὸν συνίστησι τῷ πλήθει μέχρι τῆς τοῦ πατρὸς ἀφίξεως ἡγεμόνα. Ὁ δὲ δῆμος ἀπηλλαγμένος ἤδη τῶν φόβων αὐτοκράτορα Οὐεσπασιανὸν εὐφήμει καὶ ἅμα τήν τε τούτου βεβαίωσιν ἑώρταζε καὶ τὴν Οὐϊτελλίου κατάλυσιν.

ε'. Εἰς δὲ τὴν Ἀλεξάνδρειαν ἀφιγμένῳ τῷ Οὐεσπασιανῷ τὰ ἀπὸ τῆς Ῥώμης εὐαγγέλια ἦκε, καὶ πρέσβεις ἐκ πάσης τῆς ἰδίας οἰκουμένης συνηδόμενοι· μεγίστη τε οὖσα μετὰ τὴν Ῥώμην ἡ πόλις στενοτέρα τοῦ πλήθους ἠλέγχετο. Κεκυρωμένης δὲ ἤδη τῆς ἀρχῆς ἁπάσης καὶ σεσωσμένων παρ' ἐλπίδα Ῥωμαίοις τῶν πραγμάτων, Οὐεσπασιανὸς ἐπὶ τὰ λείψανα τῆς Ἰουδαίας τὸν λογισμὸν ἐπέστρεφεν. Αὐτὸς μέντοι εἰς τὴν Ῥώμην ὥρμητο λήξαντος τοῦ χειμῶνος ἀνάγεσθαι, καὶ τάχος

quingentos amittit. Cæcinnam autem vinculis solutum ad Vespasianum mittit, rerum gestarum nuncium. Qui quum venisset, et ab illo benigne exceptus est, et proditionis ignominiam ab eo insperatis honoribus obtectam habuit.

(XLII.) 4. Jam vero animos resumebat etiam Romæ Sabinus, postquam ei nunciatum erat appropinquare Antonium; collectisque vigilum cohortibus nocte occupat Capitolium. Prima autem luce multi nobilium ad eum confluebant, interque eos Domitianus fratris filius, in quo spes maxima illis sita erat victoriæ obtinendæ. At Vitellius quidem de Primo minus sollicitus erat, incensus autem in eos qui cum Sabino defecerant, et, pro ingenita crudelitate nobilium sanguinem sitiens, militum manum quæ cum ipso descenderat immittit in Capitolium. Et acriter quidem inter eam illosque qui templum tenebant audacterque pugnatum est: tandem vero Germani, ut qui multitudine superiores, colle potiti sunt. Domitianus autem cum multis Romanorum nobilium fato diviniori interitum effugiebat, reliqua vero multitudo omnis cæsa erat; et Sabinus ad Vitellium ductus interficitur: militesque quum donaria omnia diripuissent, templum succendunt. Tumque postero die Antonius quidem cum exercitu in urbem irruit, eum vero Vitellii milites excipiunt, et tribus in locis commisso intra urbem prælio omnes interiere. Ceterum ebrius de palatio prodit Vitellius, et largiter ut in extremis prodigæ mensæ expletus: per populum vero tractus, omnique contumeliarum genere divexatus in media Roma trucidatur, quum octo menses et dies quinque imperasset: quem si diutius vivere contigisset, ejus luxuriæ ne imperium quidem sufficere potuisse arbitror. Ceterorum vero cæsorum numerata erant supra quinquaginta millia. Et hæc quidem gesta sunt die tertio mensis Apellæi. Sequenti autem die Mucianus cum exercitu ingreditur, et Antonii militibus a cæde repressis (adhuc enim, dum perscrutantur domos, de populo plurimos, quasi ab illo stetissent, occidebant, ira impediente quominus eos accurate dignoscerent), productoque Domitiano, eum populo commendat, usque dum pater veniret, imperium administraturum. Atqui populus, jam timore solutus, faustis vocibus Vespasiano acclamat Imperatori; atque ob illum in imperio confirmatum et Vitellium deturbatum festos dies agebat.

5. Quum autem Vespasianus Alexandriam venisset, læta ei Roma nunciabantur; legatique aderant ex toto terrarum orbe jam suo, ei congratulantes: atque urbs, post Romam maxima, multitudini nimis angusta esse comperta est. Firmato autem jam universo imperio, rebusque populo Romano præter spem conservatis, Vespasianus in Judææ reliquias animum intendit. Ipse tamen extrema hieme Romam proficisci parabat; et quamprimum res Alexandriæ

τὰ κατὰ τὴν Ἀλεξάνδρειαν διῴκει· τὸν δὲ υἱὸν Τίτον μετὰ τῆς ἐκκρίτου δυνάμεως ἀπέστειλεν ἐξαιρήσοντα τὰ Ἱεροσόλυμα. Ὁ δὲ προελθὼν πεζῇ μέχρι Νικοπόλεως (εἴκοσι δὲ αὕτη διέχει τῆς Ἀλεξανδρείας σταδίους), κἀκεῖθεν ἐπιβήσας τὴν στρατιὰν μακρῶν πλοίων ἀναπλεῖ διὰ τοῦ Νείλου κατὰ τὸν Μενδήσιον νομὸν μέχρι πόλεως Θμούεως. Ἐκεῖθεν δὲ ἀποβὰς ὁδεύει, καὶ κατὰ πολίχνην τινὰ Τάνιν αὐλίζεται. Δεύτερος αὐτῷ σταθμὸς Ἡρακλέους πόλις, καὶ τρίτος Πηλούσιον γίνεται. Δυσὶ δὲ ἡμέραις ἐνταῦθα τὴν στρατιὰν ἀναλαβὼν, τῇ τρίτῃ διέξεισι τὰς ἐμβολὰς τοῦ Πηλουσίου, καὶ προελθὼν σταθμὸν ἕνα διὰ τῆς ἐρήμου, πρὸς τῷ τοῦ Κασίου Διὸς ἱερῷ στρατοπεδεύεται, τῇ δὲ ὑστεραίᾳ κατὰ τὴν Ὀστρακίνην. Οὗτος ὁ σταθμὸς ἦν ἄνυδρος· ἐπεισάκτοις δὲ ὕδασιν οἱ ἐπιχώριοι χρῶνται. Μετὰ ταῦτα πρὸς Ῥινοκορούροις ἀναπαύεται, κἀκεῖθεν εἰς Ῥάφειαν προελθὼν σταθμὸν τέταρτον (ἔστι δὲ ἡ πόλις αὕτη Συρίας ἀρχή), τὸ πέμπτον ἐν Γάζῃ τίθεται στρατόπεδον, μεθ' ἣν εἰς Ἀσκάλωνα, κἀκεῖθεν εἰς Ἰάμνειαν, ἔπειτα εἰς Ἰόπην, καὶ ἐξ Ἰόπης εἰς Καισάρειαν ἀφικνεῖται, διεγνωκὼς αὐτόθι τὰς ἄλλας δυνάμεις ἀθροίζειν.

componebat : filium vero Titum, ut Hierosolyma expugnatum iret, cum delectis copiis dimisit. Atque ille pedibus usque ad Nicopolim profectus (est autem illa viginti stadiis ab Alexandria dissita), indeque milite longis navibus imposito, Nilo flumine juxta Mendesium tractum usque Thmuim oppidum pervehitur. Inde vero, quum in terram egressus esset, pedibus iter facit, et apud oppidum quoddam Tanin pernoctat. Secunda ei mansio fuit Heracleopolis, et Pelusium tertia. Hic autem milite per biduum recreato, tertio die ostium Pelusii pertransit; quumque per solitudinem unius diei iter fecisset, ad Jovis Casii templum castra ponit, posteroque die juxta Ostracinen. Hæc mansio inaquosa erat : aquis autem aliunde advectis utuntur indigenæ. Deinde apud Rhinocorura requiescit; atque illinc Raphiam progressus, mansionem quartam (est autem urbs illa prima Syriæ), castra quinta Gazæ ponit; et postea in Ascalonem, atque hinc Jamniam, deinde Jopen, et ex Jope Cæsaream pervenit, atque illic ceteras copias in unum colligere decrevit.

ΛΟΓΟΣ Ε'.

α'. Ὅπως τριχῇ ἐμερίσθη ἡ κατὰ Ἱεροσολύμων στάσις.
β'. Σχετλιασμὸς τοῦ συγγραφέως ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς.
γ'. Ὅτι τῶν στασιαστῶν ἑαυτοὺς πολεμούντων πολλαὶ κατεπρήσθησαν οἰκίαι μεσταὶ σίτου.
δ'. Ὅτι διὰ τῆς καθ' ἡμέραν γενομένης ἐν Ἱεροσολύμοις μάχης οὐδὲ θρηνεῖν ἐτόλμων οἱ τῶν ἀποσφαττομένων συγγενεῖς τε καὶ φίλοι.
ε'. Ὅπως Ἰωάννης, ἀπὸ τῶν ἱεροῦ ξύλων πύργους κατὰ τῶν ἀντιστασιαστῶν κατασκευάζων, ἐκωλύθη Ῥωμαίων ἐπελθόντων.
ς'. Ὅπως Τίτος παρεσκευάσατο, καὶ μεθ' οἵας τάξεως ἐπήει τοῖς Ἱεροσολύμοις.
ζ'. Προσβολὴ Τίτου μεθ' ἑξακοσίων κατὰ τῶν Ἱεροσολύμων· καὶ ὅπως ἠρίστευσεν, ἐπεξελθόντων κατ' αὐτοῦ τῶν Ἰουδαίων.
η'. Ὅπως ἐλθὼν εἰς τὸν λεγόμενον Σκοπὸν, ἐκεῖσε τὰ τοῦ οἰκείου στρατοῦ ἐγκατέστησε τάγματα.
θ'. Ὅπως Ἰουδαῖοι θεασάμενοι τὴν κατ' αὐτῶν τῶν Ῥωμαίων ἔφοδον, στασιάζοντες ἐν ἑαυτοῖς, μικρὸν εἰρήνευσαν, καὶ αἰφνιδίως ἐξελθόντες τὸ δέκατον ἔτρεψαν τάγμα.
ι'. Ὅπως Τίτος, μέσος ἀπολειφθεὶς τῶν πολεμίων, ἠρίστευσεν· καὶ ὡς οἱ φίλοι τοῦτον παρήνεσαν μὴ προκινδυνεύειν.
ια'. Ὡς Ἰωάννης ἐκράτησε τῶν ζηλωτῶν, καὶ ἡ τριμερὴς στάσις πάλιν διμερὴς γέγονεν.
ιβ'. Περὶ τῶν ὑπὸ Τίτου ἑξομαλισθέντων διὰ τὴν πολιορκίαν τόπων· ὅπως τε τῶν Ῥωμαίων ἐξ ἐνέδρας τῶν Ἰουδαίων πταισάντων, δυσωπηθεὶς ὁ Καῖσαρ συνεχώρησε τούτοις· καὶ ὅπως ἐξισωθέντος τοῦ μέχρι τῶν τειχῶν τόπου, ἐγγιστα τῆς πόλεως στρατοπεδεύεται.
ιγ'. Διαγραφὴ τοῦ τείχους τῶν Ἱεροσολύμων.
ιδ'. Ἔκφρασις τοῦ ἱεροῦ.
ιε'. Περὶ τῶν ἱερέων, καὶ τῶν ἐνδυμάτων αὐτῶν τε καὶ τοῦ ἀρχιερέως.
ις'. Περὶ Σίμωνος καὶ Ἰωάννου τῶν τυράννων, καὶ τῶν ὑπ' αὐτοὺς ἡγεμόνων.

LIBER V.

1. Quomodo seditio Hierosolymitana trifariam divisa erat.
2. Historici lamentatio super urbis calamitatibus.
3. Dum inter se digladiantur seditiosi, multæ incenduntur ædes frumenti plenæ.
4. Dum quotidie pugnatum est Hierosolymis, ne lamentari quidem audebant cæsorum cognati amicique.
5. Quomodo Joannes, ex lignis in templi usum paratis turres exstruens contra adversæ partis factiosos, impeditus erat Romanorum adventu.
6. De Titi apparatu, et quo ordine milites disposuit Hierosolyma invasurus.
7. Titus cum sexcentis impressionem facit in Hierosolyma : et quomodo, Judæis in eum irruentibus, fortiter se gessit.
8. Quomodo, quum ad locum venisset qui Scopus dicitur, ibi exercitus sui agmina collocavit.
9. Quomodo Judæi, quum vidissent Romanos contra se venire, licet inter se dissentirent, in breve tempus pacem colunt, et subita facta eruptione decimam legionem in fugam vertunt.
10. Quomodo Titus, in medio hostium relictus, strenue se gessit : utque amici eum monuerunt ne se in discrimen conjiceret.
11. Quomodo Joannes superavit zelotas; et seditio, quæ tripartita fuerat, ad duas iterum factiones redacta est.
12. De locis in obsidionis commodum a Tito complanatis : et quomodo Romanis, incaute in Judæorum insidias lapsis, Cæsar exoratus veniam concesit : utque locis omnibus usque ad muros coæquatis, propius urbi castra admovet.
13. Delineatio murorum urbis.
14. Descriptio templi.
15. De sacerdotibus, et vestimentis eorum pontificisque.
16. De Simone et Joanne tyrannis, deque ducibus ab iis constitutis.

ιζ'. Ὡς περιιόντος Τίτου καὶ σκεπτομένου τὸ τεῖχος, τοξεύεται Νικάνωρ ὁ φίλος αὐτοῦ, συνὼν Ἰωσήπῳ· ἔνθα δὴ καὶ σπουδαιότερον ἐγείρειν τὰ χώματα προσέταξε, καὶ τὰ πολιορκητικὰ παραστῆσαι μηχανήματα.

ιη'. Ἔτι περὶ Ἰωάννου καὶ Σίμωνος τῶν τυράννων, καὶ ὅπως ἀλλήλοις ἐχρῶντο· καὶ περὶ τῶν ἀπὸ τῶν πετροβόλων ἐκπτουμένων λίθων.

ιθ'. Ὅπως ὑπὸ τῶν ὀργάνων τριχόθεν τυπτομένου τοῦ τείχους, οἱ τύραννοι πρὸς ἀλλήλους ὁμονοήσαντες ἀντεπολέμουν Ῥωμαίοις, καὶ τὰς μηχανὰς αὐτῶν ἐνέπρησαν· καὶ ὡς Ἰωάννης, ὁ τῶν Ἰδουμαίων ἡγεμὼν, τοξευθεὶς ἀναιρεῖται.

κ'. Ὅπως αὐτομάτως κατέπεσον οἱ παρὰ Ῥωμαίων κατασκευασθέντες τρεῖς πύργοι, καὶ μετὰ πολὺν φόνον ἐκράτησαν Ῥωμαῖοι τοῦ πρώτου τείχους, μηχανήματι τῷ λεγομένῳ Νίκωνι.

κα'. Ὅπως Τίτος μὲν πρὸς τειχομαχίαν τοῦ δευτέρου τείχους τὰς προσβολὰς ἐποιεῖτο, Ἰουδαῖοι δὲ τὰς ἐμβολὰς διαλαβόντες ἐφράξαντο.

κβ'. Περὶ Λογγίνου Ῥωμαίου στρατιώτου.

κγ'. Περὶ Κάστορος Ἰουδαίου γόητος, ὅπως Τίτον καὶ Ῥωμαίους ἠπάτησεν.

κδ'. Ὅπως τὸ δεύτερον τεῖχος λαβόντες αὖθις ἐξώσθησαν· καὶ αὖθις αὐτὸ παραλαβόντες πρὸς τὴν τῶν λοιπῶν παράληψιν εὐτρεπίσθησαν.

κε'. Ὅπως ἀνέντος Τίτου τὴν πολιορκίαν, εἴ πως ἐνδοῖεν Ἰουδαῖοι, οὐδ' ὅλως ἐμαλακίσθησαν· διὸ πάλιν ὥρμησεν εἰς τὸ πολιορκεῖν.

κς'. Παραίνεσις Ἰωσήπου πρὸς τοὺς ὁμοφύλους, ἐξ ἧς πολλοὶ τοῦ δήμου αὐτομολεῖν ὥρμησαν.

κζ'. Ὅπως λιμῷ τε καὶ τοῖς ἐξ αὐτοῦ χαλεποῖς ὁ δῆμος ἀνήκεστα ἔπασχεν.

κη'. Ὅπως Τίτος τοὺς ἐπὶ λαχανείαν ἐξιόντας ἀναλαμβάνων ἀνεσταύρου· καὶ οἱ τύραννοι πρὸς τῷ μὴ ἐνδοῦναι τοὺς οἰκείους τῶν αὐτομόλων, ἐπὶ τοῦ τείχους ἄγοντες ἐπεδείκνυον, ὡς τῶν αὐτομόλων τοιαῦτα παρὰ Ῥωμαίων παρασχόντων· ἐξ οὗ καὶ πολλοὶ ἀπέσχοντο τοῦ αὐτομολεῖν ἕως τὸ ἀληθὲς ἔμαθον.

κθ'. Περὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ οἷα αὐτός τε καὶ οἱ μεθ' αὐτοῦ ἔπαθον.

λ'. Ὅπως Ἰουδαῖοι ὑπορύξαντες κατεκρήμνισαν τὰ χώματα, καὶ πάλιν Ῥωμαίων προσαγόντων τὰς μηχανὰς ἐπεξελθόντες ἐνέπρησαν αὐτάς· ἔνθα καὶ κατὰ χεῖρα συμπλακέντων ἀλλήλων, πολὺς ἑκατέρωθεν φόνος ἐγένετο.

λα'. Ὅπως τῶν χωμάτων κατακαυθέντων, Τίτος, βουλευσάμενος τοῖς ἡγεμόσι, τὴν πόλιν περιετείχισε, καὶ χώματα αὖθις ἀνήγειρεν.

λβ'. Ἔκφρασις τῶν κατὰ τὴν πόλιν λιμωττόντων, καὶ ὅσα ὑπό τε τοῦ λιμοῦ καὶ τῶν στασιαστῶν ὁ δῆμος ὑπέμενεν.

λγ'. Περὶ Ματθίου τοῦ εἰσαγαγόντος εἰς Ἱεροσόλυμα τὸν τύραννον Σίμωνα· καὶ ὡς αὐτός τε καὶ ἄλλοι πολλοὶ τῶν εὐγενῶν ὑπ' αὐτοῦ ἀνῃρέθησαν, ὅτε καὶ ὁ τοῦ Ἰωσήπου πατὴρ ἐν τῇ φυλακῇ συγκλεισθεὶς ἐφυλάττετο.

λδ'. Ὅπως Ἰούδας τις τῶν τοῦ Σίμωνος ὑπάρχων, προδιδοὺς τὸν πεπιστευμένον πύργον τῷ Τίτῳ, πρὶν πρᾶξαι τὰ τοῦ σκοποῦ ἁλῶναι ἔφθασεν.

λε'. Ὅπως Ἰώσηπος πάλιν παραινῶν τοῖς πολίταις πλήττεται λίθῳ, καὶ ὡς ἐπὶ τούτῳ ταραχθέντες οἱ τοῦ δήμου πάλιν ἀνεθάρσησαν ἰδόντες ὑγιᾶ.

λς'. Οἷα ὑπέστησαν οἱ αὐτόμολοι ἐκ τοῦ λιμοῦ, εὐθέως τροφῆς κορεννύμενοι· οἱ δὲ καὶ ἀνασχιζόμενοι, ὡς χρυσὸν ἔνδον φέροντες.

λζ'. Ὅπως Ἰωάννης ὁ τύραννος τοῖς ἱεροῖς σκεύεσιν εἰς ἰδίαν τε καὶ τῶν μετ' αὐτοῦ εὐπάθειαν κατεχρήσατο.

λη'. Ὁπόσοι διὰ μιᾶς τῆς πόλεως πύλης νεκροὶ ἐξεκομίσθησαν ἐντὸς μηνῶν δύο.

17. Tito circumeunte et perlustrante mœnia, vulneratur Nicanor amicus ejus, qui cum Josepho erat : unde aggeres majori studio excitari jussit, et machinas obsidionales admoveri.

18. Iterum de Joanne et Simone tyrannis, utque mutuum sibimet ferebant auxilium : et de saxis e ballistis projectis.

19. Quomodo muro tribus e locis a machinis verberato, tyranni, inita concordia, contra Romanos dimicabant, et machinas eorum incenderunt : utque Joannes, Idumæorum dux, sagitta percussus interficitur.

20. Quomodo tres turres a Romanis ædificatæ sponte corruerunt, et multa cum cæde primum murum superarunt Romani, ope machinæ quam Nicona vocabant Judæi.

21. Quomodo Titus quidem ad murum secundum oppugnandum impressiones faciebat ; Judæi vero, quum impetum excepissent, omnia muniebant.

22. De Longino milite Romano.

23. De Castore impostore Judaico, quomodo Tito et Romanis imposuit.

24. Quomodo muro secundo potiti, inde iterum pulsi erant : illoque mox recuperato, ad reliqua superanda sese comparabant.

25. Quomodo Tito obsidionem remittente, si forsan deditionem facerent Judæi, illi ne minimum quidem emoliti erant : quo factum ut iterum obsidionem urgeret.

26. Josephi ad populares suos cohortatio, qua multi e plebe ad transfugiendum incitati erant.

27. Quomodo famem et mala inde gravissima sine levamine passus est populus.

28. Quomodo Titus crucibus eos suffigebat, qui capti erant dum ad olera colligenda exirent ; atque tyranni, ne quis se dederet, transfugarum familiares ad muros ducentes, ostendebant eis crucifixos, quasi transfugæ hoc ipsum paterentur : unde multi a fuga abstinebant, donec certiores facti essent de rei veritate.

29. De Antiocho Epiphane, ac quænam ipse cum suis passus est.

30. Quomodo Judæi ope cuniculorum præcipitarunt aggeres ; quumque Romani iterum machinas adduxissent, egressi illas incenderunt : ubi quum ad manus etiam ventum esset, multa utrinque facta erat cædes.

31. Quomodo aggeribus accensis, Titus, quum duces in consilium adhibuisset, urbi murum circumdedit, rursusque aggeres excitavit.

32. Fame laborantium miseria describitur, narraturque quanta mala ex fame et seditiosis sustinuit plebs.

33. De Matthia, qui in Hierosolyma introduxit Simonem tyrannum : et quomodo ipse aliique multi nobilium ab eo interempti erant, quando et Josephi patrem in custodiam conclusum tenebant.

34. Quomodo Judas quidam unus e præfectis Simonis, quum in eo esset ut turrim sibi creditam Tito proderet, captus est priusquam perficeret id quod proposuerat.

35. Quomodo Josephus, dum iterum cives adhortaretur, lapide percutitur : utque ex eo populares perturbati animos mox resumpserunt, ubi salvum viderunt.

36. Quænam perpessi sunt transfugæ ex fame statim cibo repleti : nonnullique discissi erant, ac si aurum intus haberent.

37. Quomodo Joannes tyrannus vasa sacra convertebat in sui suorumque luxum.

38. Quot mortui ex una urbis porta intra duos menses efferebantur.

ΚΕΦ. Α'

Ὁ μὲν οὖν Τίτος ὃν προειρήκαμεν τρόπον διοδεύσας τὴν ὑπὲρ Αἰγύπτου μέχρι Συρίας ἐρημίαν εἰς Καισάρειαν παρῆν, ταύτῃ διεγνωκὼς προσυντάξασθαι τὰς δυνάμεις. Ἔτι δὲ αὐτοῦ κατὰ τὴν Ἀλεξάνδρειαν συγκαθισταμένου τῷ πατρὶ τὴν ἡγεμονίαν νέον αὐτοῖς ἐγχειρισμένην ὑπὸ τοῦ Θεοῦ, συνέβη καὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις στάσιν ἀνακμάσασαν τριμερῆ γενέσθαι, καὶ καθ' αὑτοῦ θάτερον ἐπιστρέψαι μέρος, ὅπερ ἄν τις ὡς ἐν κακοῖς ἀγαθὸν εἴποι καὶ δίκης ἔργον. Ἡ μὲν γὰρ κατὰ τοῦ δήμου τῶν ζηλωτῶν ἐπίθεσις, ἥπερ κατῆρξεν ἀλώσεως τῇ πόλει, προδεδήλωται μετὰ ἀκριβείας, ὅθεν τε ἔφυ καὶ πρὸς ὅσον κακὸν ἀνηυξήθη. Ταύτην δὲ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν στάσει στάσιν ἐγγενέσθαι, καὶ καθάπερ θηρίον λυσσῆσαν ἐνδεία τῶν ἔξωθεν ἐπὶ τὰς ἰδίας ἤδη σάρκας ὁρμᾶν.

β'. Ἐλεάζαρος γὰρ ὁ τοῦ Σίμωνος, ὃς δὴ καὶ τὰ πρῶτα τοῦ δήμου τοὺς ζηλωτὰς ἀπέστησεν εἰς τὸ τέμενος, ὡς ἀγανακτῶν ὅθεν ἐπὶ τοῖς ὁσημέραι τῷ Ἰωάννῃ τολμωμένοις (οὐ γὰρ ἀνεπαύετο φονῶν οὗτος), τὸ δὲ ἀληθὲς αὐτοῦ μεταγενεστέρῳ τυράννῳ μὴ φέρων ὑποτετάχθαι, πόθῳ τῶν ὅλων καὶ δυναστείας ἰδίας ἐπιθυμίᾳ, διίσταται, παραλαβὼν Ἰούδην τε τὸν Χελκία καὶ Σίμωνα τὸν Ἐζρῶνος τῶν δυνατῶν, πρὸς οἷς Ἐζεκίας ἦν Χωβαρὶ παῖς οὐκ ἄσημος. Καθ' ἕκαστον δὲ οὐκ ὀλίγοι τῶν ζηλωτῶν ἠκολούθησαν, καὶ καταλαβόμενοι τὸν ἐνδότερον τοῦ νεὼ περίβολον, ὑπὲρ τὰς ἱερὰς πύλας ἐπὶ τῶν ἁγίων μετώπων τίθενται τὰ ὅπλα. Πλήρεις μὲν οὖν ἐπιτηδείων ὄντες ἐθάρρουν (καὶ γὰρ ἀφθονία τῶν ἱερῶν ἐγίνετο πραγμάτων τοῖς γε μηδὲν ἀσεβὲς ἡγουμένοις), ὀλιγότητι δὲ τῇ κατὰ σφᾶς ὀρρωδοῦντες ἐγκαθισάμενοι τὰ ὅπλα κατὰ χώραν ἔμενον. Ὁ δὲ Ἰωάννης ὅσον ἀνδρῶν ὑπερεῖχε πλήθει, τοσοῦτον ἐλείπετο τῷ τόπῳ· καὶ κατὰ κορυφὴν ἔχων τοὺς πολεμίους οὔτ' ἀδεεῖς ἐποιεῖτο τὰς προσβολὰς οὔτε δι' ὀργὴν ἠρέμει. Κακούμενος δὲ πλέον ἥπερ διατιθεὶς τοὺς περὶ τὸν Ἐλεάζαρον ὅμως οὐκ ἀνίει· συνεχεῖς δὲ ἐκδρομαὶ κατ' ἀλλήλων καὶ βελῶν ἀφέσεις ἐγίνοντο καὶ φόνοι ἐμιαίνετο πανταχοῦ τὸ ἱερόν.

γ'. Ὁ δὲ τοῦ Γιώρα Σίμων, ὃν ἐν ταῖς ἀμηχανίαις ἐπίκλητον ἑαυτῷ τύραννον ὁ δῆμος ἐλπίδι βοηθείας προσηγάγετο, τήν τε ἄνω πόλιν ἔχων καὶ τῆς κάτω πολὺ μέρος, ἐρρωμενέστερον ἤδη τοῖς περὶ τὸν Ἰωάννην προσέβαλλεν ὡς ἂν καὶ καθύπερθεν πολεμουμένοις. Ἦν δὲ ὑπὸ χεῖρα πρόσιων αὐτοῖς, ὥσπερ ἐκεῖνοι τοῖς ἄνωθεν. Καὶ τῷ Ἰωάννῃ διχόθεν πολεμουμένῳ συνέβαινε βλάπτεσθαί τε καὶ βλάπτειν εὐκόλως, καὶ καθ' ὅσον ἡττᾶτο τῶν ἀμφὶ τὸν Ἐλεάζαρον ὢν ταπεινότερος, τοσοῦτον ἐπλεονέκτει ἐν ὑψηλῷ τοῦ Σίμωνος· παρὸ καὶ χειρὶ μὲν τὰς κάτωθεν προσβολὰς εὐμαρῶς εἶργε, τοὺς δὲ ἄνωθεν ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἀνέστελλε τοῖς ὀργάνοις· ὀξυβελεῖς τε γὰρ αὐτῷ καὶ καταπέλται παρῆσαν οὐκ ὀλίγοι καὶ λιθοβόλοι, δι' ὧν οὐ μόνον

CAP. I.

Et Titus quidem, ita ut jam diximus emensa solitudine ultra Ægyptum ad Syriam usque, Cæsaream perveniebat, decreto sibi illic prius ordinare exercitum. Illo autem adhuc apud Alexandriam una cum patre constituente imperium, quod nuper eis demandaverat Deus, contigit etiam seditionem, quæ apud Hierosolyma erat, resuscitatam trifariam dividi, et aliam partem in aliam verti, quod ut in malis optimum quis dixerit et justam vindictam. Nam de zelotarum quidem in populum dominatu, qui urbi erat excidii causa, jam ante diligenter declaravimus, unde cœperit, et quantum in malum creverit. De hac autem non erraverit quisquam si dixerit, seditionem in seditione esse factam, ac feræ instar rabidæ, quum cibus ei aliunde desit, in sua jam sævire viscera.

2. Eleazarus enim Simonis filius, qui scilicet ab initio zelotas a populo separaverat, fecerat que in templum secedere, sese super iis indignari simulans, quæ in dies singulos Joannes auderet (ille enim nequaquam a cædibus quiescebat), re autem vera sese posteriori tyranno subjectum esse minime ferens, summæ rerum desiderio et potestatis propriæ cupiditate, ab illis desciscit, assumptis sibi ex potentibus Juda Chelciæ filio et Simone Ezronis : præter quos erat Ezechias Chobari filius, vir non ignobilis. Horum autem singulos zelotarum non pauci sequebantur, occupatoque interiore templi septo, super portas sacras in fronte sancti sanctorum arma collocant. Et necessariis quidem abundantes confidebant (sacrarum enim rerum etiam copia suppetebat, præsertim iis qui nihil impium ducebat), paucitati vero suorum metuentes, quum arma illic collocassent, loco se continebant. Joannes autem quanto superior erat virorum multitudine, tanto superabatur loco; hostesque habens supra verticem non sine damno faciebat incursus, neque præ iracundia quiescebat. Plus autem mali accipiens quam Eleazaro suisque inferebat, nihil tamen quidquam remittebat; sed crebri fiebant excursus mutui et missilium jactus, templumque passim cædibus polluebatur.

3. Simon autem Gioræ filius, quem, rebus desperatis invitatum, populus sibi tyrannum auxilii spe adsciverat, tam urbem superiorem in potestate sua habens quam magnam inferioris partem, animosius jam Joannem ejusque socios adoriebatur, quod desuper etiam impeterentur. Infra autem eos erat quum impressionem faceret, sicut illi ad eos qui loca editiora occupaverant. Atque Joanni utrinque oppugnato accidebat ut facile læderetur pariter ac læderet; et in quantum cladem acciperet ab Eleazaro utpote inferior, in tantum Simoni prævalebat ipso superior : propter quod impetus quidem ab inferiori loco factos facile manu arcebat, desuper vero ex fano jaculantes machinarum subsidiis reprimebat; quippe ipsi scorpiones aderant et catapultæ non paucæ et ballistæ, quibus non solum propulsabat dimi-

ἠμύνετο τοὺς πολεμοῦντας, ἀλλὰ καὶ πολλοὺς τῶν ἱερουργούντων ἀνῄρει. Καίπερ γὰρ πρὸς πᾶσαν ἀσέβειαν ἐκλελυσσηκότες, ὅμως τοὺς θύειν ἐθέλοντας εἰσηφίεσαν, μεθ' ὑποψιῶν μὲν καὶ φυλακῆς τοὺς ἐπιχωρίους διερευνώμενοι, τοὺς δὲ ξένους ἀδεέστερον, οἳ καὶ περὶ τὰς εἰσόδους δυσωπήσαντες αὐτῶν τὴν ὠμότητα παρανάλωμα τῆς στάσεως ἐγίνοντο. Τὰ γὰρ ἀπὸ τῶν ὀργάνων βέλη μέχρι τοῦ βωμοῦ καὶ τοῦ νεὼ διὰ τὴν βίαν ὑπερφερόμενα τοῖς τε ἱερεῦσι καὶ τοῖς ἱερουργοῦσιν ἐνέπιπτε, καὶ πολλοὶ σπεύσαντες ἀπὸ γῆς περάτων περὶ τὸν διώνυμον καὶ πᾶσιν ἀνθρώποις χῶρον ἅγιον πρὸ τῶν θυμάτων ἔπεσον αὐτοί, καὶ τὸν Ἕλλησι πᾶσι καὶ βαρβάροις σεβάσμιον βωμὸν κατέσπεισαν ἰδίῳ φόνῳ. Νεκροῖς δὲ ἐπιχωρίοις ἀλλόφυλοι καὶ ἱερεῦσι βέβηλοι συνεφύροντο, καὶ παντοδαπῶν αἷμα πτωμάτων ἐν τοῖς θείοις περιβόλοις ἑλιμνάζετο. (Β'.) Τί τηλικοῦτον, ὦ τλημονεστάτη πόλις, πέπονθας ὑπὸ Ῥωμαίων, οἵ σου τὰ ἐμφύλια μύσῃ περικαθαροῦντες εἰσῆλθον. Θεοῦ μὲν γὰρ οὔτε ἦς ἔτι χῶρος οὔτε μένειν ἠδύνασο, τάφος οἰκείων γενομένη σωμάτων, καὶ πολέμου τὸν ναὸν ἐμφυλίου ποιήσασα πολυάνδριον. Δύναιο δ' ἂν γενέσθαι πάλιν ἀμείνων, εἴ γε ποτὲ τὸν πορθήσαντα Θεὸν ἐξιλάσῃ. Ἀλλὰ καθεκτέον γὰρ καὶ τὰ πάθη τῷ νόμῳ τῆς συγγραφῆς, ὡς οὐκ ὀλοφυρμῶν οἰκείων ὁ καιρὸς, ἀλλ' ἀφηγήσεως πραγμάτων. Δίειμι δὲ τὰ ἑξῆς ἔργα τῆς στάσεως.

(Γ'.) δ'. Τριχῇ τῶν ἐπιβούλων τῆς πόλεως διηρημένων οἱ μὲν περὶ τὸν Ἐλεάζαρον τὰς ἱερὰς ἀπαρχὰς διαφυλάσσοντες κατὰ τοῦ Ἰωάννου τὴν μέθην ἔφερον, οἱ δὲ, σὺν τούτῳ διαρπάζοντες τοὺς δημότας, ἠγείροντο κατὰ τοῦ Σίμωνος· ἦν δὲ κἀκείνῳ τροφὴ κατὰ τῶν ἀντιστασιαστῶν ἡ πόλις. Ὁπότε μὲν οὖν ἀμφοτέρωθεν ἐπιχειροῖτο, τοὺς συνόντας ὁ Ἰωάννης ἀντέστρεφε, καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας ἀπὸ τῶν στοῶν βάλλων, τοὺς δὲ ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἠμύνετο τοῖς ὀργάνοις. Εἰ δὲ ἐλευθερωθείη ποτὲ τῶν καθύπερθεν ἐπικειμένων (διανέπαυε δὲ αὐτοὺς πολλάκις μέθη τε καὶ κάματος), ἀδεέστερον τοῖς περὶ τὸν Σίμωνα μετὰ πλειόνων ἐπεξέθεεν. Ἀεὶ δὲ ἐφ' ὅσον τρίψαιτο τῆς πόλεως, ὑπεπίμπρη τὰς οἰκίας σίτου μεστὰς καὶ παντοδαπῶν ἐπιτηδείων· τὸ δὲ αὐτὸ πάλιν ὑποχωροῦντος ἐπιὼν ὁ Σίμων ἔπραττεν, ὥσπερ ἐπίτηδες Ῥωμαίοις διαφθείρουσα ἃ παρεσκευάσατο πρὸς πολιορκίαν ἡ πόλις, καὶ τὰ νεῦρα τῆς αὐτῶν ὑποκόπτοντες δυνάμεως. Συνέβη γοῦν τὰ μὲν περὶ τὸ ἱερὸν πάντα συμφλεγῆναι καὶ μεταίχμιον ἐρημίας γενέσθαι καὶ παρατάξεως τὴν πόλιν, καταλειφθῆναι δὲ πλὴν ὀλίγου πάντα τὸν σῖτον, ὃς ἂν αὐτοῖς οὐκ ἐπ' ὀλίγα διήρκεσεν ἔτη πολιορκουμένοις. Λιμῷ γοῦν ἑάλωσαν, ὅπερ ἥκιστα δυνατὸν ἦν, εἰ μὴ τοῦτον ἑαυτοῖς προπαρεσκεύασαν.

(Δ'.) ε'. Πανταχόθεν δὲ τῆς πόλεως πολεμουμένης ὑπὸ τῶν ἐπιβούλων καὶ συγκλύδων μέσος ὁ δῆμος ὥσπερ μέγα σῶμα διεσπαράσσετο. Γηραιοὶ δὲ καὶ γυναῖκες ὑπ' ἀμηχανίας τῶν εἴσω κακῶν ηὔχοντο Ῥωμαίοις, καὶ τὸν ἔξωθεν πόλεμον ἐπ' ἐλευθερίᾳ τῶν οἰκείων κακῶν

cantes, sed multos etiam sacra facientes perimebat. Quamquam enim ad omne impietatis genus rabidi ferebantur, tamen eos qui victimas offerre cuperent intro admiserunt, indigenas quidem cum suspicione et observatione prius eos perscrutando, extraneos vero minori cum sollicitudine, qui licet ad ingressum illorum crudelitatem exorassent, consumpti tamen erant obiter a seditiosis. Nam tela e machinis, magna vi ad aram usque et templum adacta, in sacerdotes et sacris operantes incidebant: et multi qui magno studio a terræ finibus eo venissent, ob locum fama celebratum et omnibus hominibus sacrum habitum, ipsi ante hostias ceciderunt, et altare Græcis universis et barbaris venerandum suo sanguine asperserunt. Atque indigenis occisis alienigenæ ac sacerdotibus profani miscebantur, et promiscuus cadaverum sanguis templi in atriis stagna faciebat. (II.) Quid tanti passa es, o miserrima civitas, a Romanis, qui tua intestina scelera flammis purgaturi ingressi sunt! Neque enim Dei jam locus eras, neque poteras manere, tuorum cadaverum facta sepulcrum, et quæ templum civili bello tumulum constituisti. Possis tamen in melius forte mutari, si unquam Deum placaveris qui te vastavit. Sed enim scribendi lege cohibendus est dolor, quum hoc non sit lugendi tempus, sed res gestas narrandi. Itaque ad reliqua seditionis persequenda redeo.

(III.) 4. Urbis insidiatoribus trifariam divisis, Eleazarus quidem cum suis, qui sacras primitias custodiebant, in Joannem ebrii ferebantur: qui vero huic parerent, plebem diripientes, excitabantur adversus Simonem: huic autem etiam contra seditiosos commeatum suppeditabat civitas. Et quum quidem utrinque appeteretur Joannes, suos in contrarias partes vertebat: et de civitate quidem ascendentes telis e porticibus vibratis, e templo vero jaculantes machinis propellebat. Quoties autem ab illis qui desuper urgebant liberaretur (frequenter enim pugnam intermittebant ex ebrietate et lassitudine), eo audacius in Simonem ejusque socios cum pluribus ruebat. Semper autem, quam procul eos civitate pelleret, eo usque domos frumenti et omnium necessariorum plenas succendebat: rursusque idem, quum regrederetur Joannes, Simon insequutus agebat, quasi de industria pro Romanis omnia corrumperent, quæ ad obsidionem tolerandam civitas præparaverat, suarumque virium nervos abscinderent. Adeoque contigit omnia quidem circa templum comburi, spatiumque urbis intermedium desolatum fieri acieique instruendæ idoneum: omne vero frumentum, præter parvulum, concremari, quod non paucis annis illis sufficere potuisset obsessis. Quo factum ut fame perderentur: id quod fieri non poterat, nisi eam jam ante sibimet quæsivissent.

(IV.) 2. Undique autem insidiatoribus et convenis civitatem infestantibus, populus inter eos veluti magnum corpus dilacerabatur. Senes vero et mulieres præ consilii inopia in malis intestinis pro Romanis vota faciebant; externumque bellum quo domesticis malis liberarentur, solicite exspectabant.

ἐκαραδόκουν. Κατάπληξις δὲ δεινὴ καὶ δέος ἦν τοῖς γνησίοις, καὶ οὔτε βουλῆς καιρὸς εἰς μεταβολὴν οὔτε συμβάσεως ἐλπὶς οὔτε φυγῆς τοῖς ἐθέλουσιν. Ἐφρουρεῖτο γὰρ πάντα, καὶ τὰ λοιπὰ στασιάζοντες οἱ ἀρχιλῃσταὶ τοὺς εἰρηνικὰ Ῥωμαίοις φρονοῦντας, ἢ πρὸς αὐτομολίαν ὑπόπτους, ὡς κοινοὺς πολεμίους ἀνῄρουν, καὶ μόνον ὠμονόουν τὸ φονεύειν τοὺς σωτηρίας ἀξίους. Καὶ τῶν μὲν μαχομένων ἀδιάλειπτος ἦν κραυγὴ μεθ' ἡμέραν τε καὶ νύκτωρ, δεινότεροι δὲ οἱ τῶν πενθούντων ὀδυρμοὶ ἀεί. Καὶ θρήνων μὲν αἰτίας ἐπαλλήλους αἱ συμφοραὶ προσέφερον, τὰς δὲ οἰμωγὰς ἐνέκλειεν ἡ κατάπληξις αὐτῶν. Φιμούμενοι δὲ τά γε πάθη τῷ φόβῳ μεμυκόσι τοῖς στεναγμοῖς ἐβασανίζοντο, καὶ οὔτε πρὸς τοὺς ζῶντας ἦν αἰδὼς ἔτι τοῖς προσήκουσι οὔτε πρόνοια τῶν ἀπολωλότων ταφῆς. Αἴτιον δὲ ἀμφοτέρων ἡ καθ' ἑαυτὸν ἀπόγνωσις ἑκάστου. Παρείθησαν γὰρ εἰς πάντα τὰς προθυμίας οἱ μὴ στασιάζοντες, ὡς ἀπολούμενοι πάντως ὅσον οὐδέπω. Πατοῦντες δὴ τοὺς νεκροὺς ἐπ' ἀλλήλοις σεσωρευμένους οἱ στασιασταὶ συνεπλέκοντο, καὶ τὴν ἀπόνοιαν ἀπὸ τῶν ἐν ποσὶ πτωμάτων σπῶντες ἦσαν ἀγριώτεροι· προσεξευρίσκοντες δὲ ἀεί τι καθ' αὑτῶν ὀλέθριον καὶ πᾶν τὸ δοχθὲν ἀφειδῶς δρῶντες οὐδεμίαν οὔτε αἰκίας ὀδὸν οὔτε ὠμότητος παρέλιπον. (Ε'.) Ἀμέλει Ἰωάννης τὴν ἱερὰν ὕλην εἰς πολεμιστηρίων κατασκευὴν ὀργάνων ἀπεχρήσατο. Δόξαν γάρ ποτε τῷ λαῷ καὶ τοῖς ἀρχιερεῦσιν ὑποστηρίξαντας τὸν ναὸν εἴκοσι πήχεις προσυψῶσαι, κατάγει μὲν ἀπὸ τοῦ Λιβάνου μεγίστοις ἀναλώμασι καὶ πόνοις τὴν χρήσιμον ὕλην ὁ βασιλεὺς Ἀγρίππας, ξύλα θέας ἄξια τήν τε εὐθύτητα καὶ τὸ μέγεθος. Μεσολαβήσαντος δὲ τοῦ πολέμου τὸ ἔργον, ὁ Ἰωάννης τεμὼν αὐτὰ πύργους κατεσκεύαζεν, ἐξαρκοῦν τὸ μῆκος εὐρὼν πρὸς τοὺς ἀπὸ τοῦ καθύπερθεν ἱεροῦ μαχομένους· ἱστησί τε προσαγαγὼν κατόπιν τοῦ περιβόλου, τῆς πρὸς δύσιν ἐξέδρας ἀντικρυς, ἥπερ καὶ μόνη δυνατὸν ἦν, τῶν ἄλλων μερῶν βαθμοῖς πόρρωθεν διειλημμένων.

(Ϛ'.) ς'. Καὶ ὁ μὲν τοῖς κατασκευασθεῖσιν ἐξ ἀσεβείας ὀργάνοις κρατήσειν ἤλπισε τῶν ἐχθρῶν, ὁ δὲ Θεὸς ἄχρηστον αὐτῷ τὸν πόνον ἀπέδειξε, πρὶν ἐπιστῆσαί τινα τῶν πύργων, Ῥωμαίους ἐπαγαγών. Ὁ γὰρ δὴ Τίτος, ἐπειδὴ τὰ μὲν συνήγαγε τῆς δυνάμεως πρὸς αὐτὸν, τοῖς δὲ ἐπὶ Ἱεροσολύμων συναντᾶν ἐπέστειλεν, ἐξήλαυνε τῆς Καισαρείας. Ἦν δὲ τρία μὲν τὰ πρότερον αὐτοῦ τῷ πατρὶ συνδῃώσαντα τὴν Ἰουδαίαν τάγματα, καὶ τὸ πάλαι σὺν Κεστίῳ πταῖσαν δωδέκατον, ὅπερ καὶ ἄλλως ἐπίσημον δι' ἀνδρείαν ὑπάρχον, τότε κατὰ μνήμην ὧν ἔπαθεν εἰς ἄμυναν ἦει προθυμότερον. Τούτων μὲν οὖν τὸ πέμπτον δι' Ἀμμαοῦντος ἐκέλευσεν αὐτῷ συναντᾶν, καὶ διὰ Ἱεριχοῦντος τὸ δέκατον ἀναβαίνειν· αὐτὸς δὲ ἀνέζευξε μετὰ τῶν λοιπῶν, πρὸς οἷς αἵ τε τῶν βασιλέων συμμαχίαι πᾶσαι πλείους, καὶ συχνοὶ τῶν ἀπὸ τῆς Συρίας ἐπίκουροι συνῆλθον. Ἀνεπληρώθη δὲ καὶ τῶν τεσσάρων ταγμάτων ὅσον Οὐεσπασιανὸς ἐπιλέξας Μουκιανῷ συνέπεμψεν εἰς Ἰταλίαν ἐκ τῶν ἐπελθόντων με-

Gravis autem consternatio et metus occupabat indigenas; et neque consilii capiendi tempus erat, ut voluntatem mutarent, neque pacis ineundæ aut fugæ capessendæ spes earum cupidis. Etenim custodiebantur omnia, et latronum principes, cetera dissidentes, quasi communes hostes eos interficiebant, quicunque Romanis favebant, aut in suspicione erant transfugiendi ad eos, solumque in occidendis salute dignis consentiebant. Et pugnantium quidem nocte dieque clamor perpetuus erat: graviores vero lugentium ploratus. Et assiduas quidem lamentationis causas præbebant calamitates, præ mentis autem consternatione repressi erant ejulatus. Præ metu autem cohibito dolore, gemitibus compressis cruciabantur: et neque jam vivis ab affinitate junctis ulla adhibita reverentia, neque mortuis cura sepulturæ. Quorum amborum causa erat, quod de se quisque desperarit. De sua enim in omni re cupiditate remiserant qui cum seditiosis non erant, quasi continuo modis omnibus morituri. At vero seditiosi congesta in cumulum cadavera conculcantes dimicabant, et a mortuis sub pedibus ad desperationem redacti immanius sæviebant: semperque aliquid in se perniciosum excogitantes, et quodcunque ipsis visum esset sine miseratione facientes, nihil quidquam injuriæ aut crudelitati reliquum fecerunt. (V.) Imo quidem Joannes, contra quam debuit, sacram materiam ad instrumenta bellica conficienda adhibuit. Nam quum olim populo itemque pontificibus placuisset templum suffulcire, idque viginti cubitis altius ædificare, rex Agrippa idoneam materiam ex monte Libano maximis sumptibus et labore deducendam curat, ligna et proceritate et magnitudine spectatu digna. *Interventu autem belli opere interrupto*, Joannes, quum securim illis admovisset, turres ædificabat, comperto justæ esse longitudinis adversus eos qui desuper e templo pugnarent; adductasque constituit post septum et ad occidentem e regione exedrarum; quo etiam solo loco id licebat, quod ceteræ partes gradibus e longinquo fuerint occupatæ.

(VI.) 6. Et ille quidem machinis ex impietate fabricatis hostes se debellaturum speravit: at Deus ipsi vanum laborem illum reddidit, priusquam in turribus quisquam pedem poneret, Romanos adducens. Etenim Titus postquam partem copiarum ad se collegerat, aliis vero scripserat ut ipsum ad *Hierosolyma* convenirent, Cæsarea proficiscebatur. Erant autem tres legiones quæ prius sub patre illius Judæam vastaverant, et duodecima, quæ olim sub Cestio cladem acceperat; quæ et alias insigni erat fortitudine, et tunc memoria eorum quæ pertulerat alacrius ad vindictam properabat. Et Romanorum quidem legionem quintam sibi per Ammauntem jussit occurrere, decimam per Hierichuntem ascendere: ipse vero cum reliquis movit, quos regum quoque auxiliarii auctiores omnes, multique e Syria in subsidium venientes comitabantur. Quin et totidem viris suppletæ erant quattuor legiones, quot Vespasianus delectos cum Muciano miserat in Ita-

τὰ Τίτου· δισχίλιοι μὲν γὰρ αὐτῷ τῶν ἀπ' Ἀλεξανδρείας στρατευμάτων ἐπίλεκτοι, τρισχίλιοι δὲ συνείποντο τῶν ἀπ' Εὐφράτου φυλάκων, φίλων δὲ δοκιμώτατος εὔνοιάν τε καὶ σύνεσιν Τιβέριος Ἀλέξανδρος, πρότερον μὲν αὐτὸς τὴν Αἴγυπτον διέπων, τότε δὲ τῶν στρατευμάτων ἄρχων κριθεὶς ἄξιος, ἐξ ὧν ἐδεξιώσατο πρῶτος ἐγειρομένην ἄρτι τὴν ἡγεμονίαν, καὶ μετὰ πίστεως λαμπρᾶς ἐξ ἀδήλου τῇ τύχῃ προσέθετο· σύμβουλός γε μὴν ταῖς τοῦ πολέμου χρείαις, ἡλικίᾳ τε προὔχων καὶ κατ' ἐμπειρίαν, εἵπετο.

ΚΕΦ. Β'.

Προσιόντι δὲ εἰς τὴν πολεμίαν Τίτῳ προῆγον μὲν οἱ βασιλικοὶ καὶ πᾶν τὸ συμμαχικόν, ἐφ' οἷς ὁδοποιοὶ καὶ μετρηταὶ στρατοπέδων, ἔπειτα τὰ τῶν ἡγεμόνων σκευοφόρα, καὶ μετὰ τοὺς τούτων ὁπλίτας αὐτός, τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχοφόρους ἔχων· κατόπιν δὲ αὐτῷ τὸ τοῦ τάγματος ἱππικόν· οὗτοι δὲ πρὸ τῶν μηχανημάτων, καὶ ἐπ' ἐκείνοις μετ' ἐπιλέκτων χιλίαρχοι καὶ σπειρῶν ἔπαρχοι· μετὰ δὲ τούτους περὶ τὸν ἀετὸν αἱ σημαῖαι, καὶ ἔμπροσθεν οἱ σαλπιγκταὶ τῶν σημαιῶν· ἐπὶ δὲ τούτοις ἡ φάλαγξ, τὸ στῖφος εἰς ἓξ πλατύνασα· τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ὀπίσω, καὶ πρὸ τούτων τὰ σκευοφόρα· τελευταῖοι δὲ πάντων οἱ μίσθιοι, καὶ τούτων φύλακες οἱ οὐραγοί. Προάγων δὲ τὴν δύναμιν ἐν κόσμῳ, καθὰ Ῥωμαίοις σύνηθες, ἐμβάλλει διὰ τῆς Σαμαρείτιδος εἰς Γοφνὰ, κατειλημμένην τε πρότερον ὑπὸ τοῦ πατρὸς καὶ τότε φρουρουμένην. Ἔνθα μίαν ἑσπέραν αὐλισάμενος, ὑπὸ τὴν ἕω πρόεισι· καὶ διανύσας ἡμέρας σταθμὸν στρατοπεδεύεται κατὰ τὸν ὑπὸ Ἰουδαίων πατρίως Ἀκανθῶν αὐλῶνα καλούμενον, πρός τινι κώμῃ Γαβαθσαούλῃ λεγομένῃ (σημαίνει δὲ τοῦτο λόφον Σαούλου), διέχων ἀπὸ τῶν Ἱεροσολύμων ὅσον ἀπὸ τριάκοντα σταδίων. Ἀναλαβών τε ἐντεῦθεν ὅσον εἰς ἑξακοσίους τῶν ἐπιλέκτων ἱππέων ᾔει τήν τε πόλιν περισκεψόμενος ὅπως ὀχυρότητος ἔχοι καὶ τὰ φρονήματα τῶν Ἰουδαίων, εἰ πρὸς τὴν ὄψιν αὐτοῦ, πρὶν εἰς χεῖρας ἐλθεῖν, ὑποδείσαντες ἐνδοῖεν· πέπυστο γὰρ, ὅπερ ἦν ἀληθὲς, τοῖς στασιώδεσι καὶ λῃστρικοῖς τὸν δῆμον ὑποπεπτωκότα ποθεῖν μὲν εἰρήνην, ἀσθενέστερον δὲ ὄντα τῆς ἐπαναστάσεως ἠρεμεῖν.

(Ζ'.) β'. Ἕως μὲν οὖν ὀρθιον ἱππάζετο τὴν λεωφόρον κατατείνουσαν πρὸς τὸ τεῖχος, οὐδεὶς προὐφαίνετο τῶν πυλῶν· ἐπεὶ δὲ ἐκ τῆς ὁδοῦ πρὸς τὸν Ψήφινον πύργον ἀποκλίνας πλάγιον ἦγε τὸ τῶν ἱππέων στῖφος, προπηδήσαντες ἐξαίφνης ἄπειροι κατὰ τοὺς Γυναικείους καλουμένους πύργους διὰ τῆς ἀντικρὺ τῶν Ἑλένης μνημείων πύλης, διεκπαίουσι τῆς ἵππου, καὶ τοὺς μὲν ἔτι κατὰ τὴν ὁδὸν θέοντας ἀντιμέτωποι στάντες ἐκώλυσαν συνάψαι τοῖς ἐκκλίνασι, τὸν δὲ Τίτον ἀποτέμνονται σὺν ὀλίγοις. Τῷ δὲ πρόσω μὲν ἦν χωρεῖν ἀδύνατον (ἐτετάφρευτο γὰρ ἀπὸ τοῦ τείχους περὶ τὰς κηπείας ἅπαντα, τοίχοις τε ἐπικαρσίοις καὶ πολλοῖς ἕρκεσι διειλημμένα), τὴν δὲ πρὸς τοὺς σφετέρους ἀναδρομὴν

liam ex his qui cum Tito accesserant : duo namque millia aderant ex Alexandrino exercitu lecta, tria millia vero ex Euphratis custodibus eum sequebantur; et amicorum spectatissimus benevolentia pariter ac prudentia Tiberius Alexander, qui antea quidem Ægyptum administraverat, tunc autem dignus qui exercitum regeret propterea judicabatur, quod primus novum benigne exceperat Imperatorem, et cum clara fide fortunæ ejus, quum adhuc incerta esset, se adjunxerat : idemque etiam consultor in usus bellicos, ætate ac experientia superior ei aderat.

CAP. II. (VI.)

Titum autem terram in hostilem ingredientem antecedebant quidem regii aliique omnes auxiliares; post quos viarum stratores castrorumque metatores; deinde tribunorum impedimenta, et post milites armatos qui illis præsidio erant, ipse Titus, et alios delectos habens et hastatos : eumque excipiebant equites legioni adscripti : hi vero machinas præibant, et post illos tribuni cum lectis militibus et præfecti cum cohortibus : deinde signa aquilæ circumdata, et ante signa tubicines; post hos vero phalanx, senum virorum ordinibus dilatata : servi autem cujusque legionis pone sequebantur, ante se militum impedimenta agentes : omnium vero novissimi mercenarii, horumque custodes agminis coactores. Incedens autem composite cum exercitu, ita ut mos est Romanis, per Samaritidem in Gophnam venit, prius a patre captam et tunc præsidiis occupatam. Ibi noctem unam moratus mane inde proficiscitur, quumque statum diei iter confecisset, castra ponit in loco quem Judæi patrio sermone Spinarum vallem appellant, apud vicum quendam Gabath-Saul dictum (id autem Sauli collem significat), distantem ab Hierosolymis circiter stadia triginta. Atque hinc, lectis equitibus ad sexcentos secum assumptis, exploratum ibat et urbis firmitatem, et Judæorum animos, an ad ipsius conspectum præ metu cederent priusquam ad manus ventum esset. Audierat enim, id quod verum erat, populum seditiosis et latronibus obnoxium pacem quidem desiderare; quod vero infirmior esset quam ut eos adortum iret, ideo quiescere.

(VII.) 2. Sane quamdiu per viam declivem, quæ ad murum duceret, equitabat, nemo ante portas apparuit : ubi vero de via ad turrim Psephinam declinaret et equitum agmen transversum duceret, innumeri subito prosiliunt juxta turres quæ Muliebres vocantur, porta egressi quæ e regione est monumenti Helenæ, et equitatum intercidunt : atque a fronte illis semet objicientes, alios quidem, dum adhuc via currebant, prohibuerunt ne cum his qui diverterant sese jungerent : Titum vero cum paucis ab suis separarunt. Ille quidem ulterius pergere non poterat (nam fossa hortorum culturæ adhibita circumdata erant omnia a muro, murisque obliquis et multis maceriis occupata); ut vero rursus suos repeteret, præ hostium interjectorum multitu-

πλήθει τῶν ἐν μέσῳ πολεμίων ἀμήχανον ἑώρα· ὧν οἱ πολλοὶ μηδὲ γινώσκοντες τὸν τοῦ βασιλέως κίνδυνον, ἀλλ' οἰόμενοι συναναστραφῆναι κἀκεῖνον ἀνέφευγον. Ὁ δὲ κατιδὼν ὡς ἐν μόνῃ τῇ καθ' αὑτὸν ἀλκῇ κεῖται τὸ σώζεσθαι, τόν τε ἵππον ἐπιστρέφει καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἔπεσθαι μέσοις ἐμπηδᾷ τοῖς πολεμίοις, διεκπαῖσαι πρὸς τοὺς σφετέρους βιαζόμενος. Ἔνθα δὴ μάλιστα πάρεστι νοεῖν ὅτι καὶ πολέμων ῥοπαὶ καὶ βασιλέων κίνδυνοι μέλονται τῷ Θεῷ. Τοσούτων γὰρ ἐπὶ τὸν Τίτον ἀφιεμένων βελῶν μήτε κράνος ἔχοντα μήτε θώρακα (προῆλθε γάρ, ὡς ἔφην, οὐ πολεμιστὴς ἀλλὰ κατάσκοπος), οὐδὲν ἥψατο τοῦ σώματος, κενὰ δέ, ὥσπερ ἐπίτηδες ἀστοχούντων, παρερρριζεῖτο πάντα. Τῷ δὲ ξίφει τοὺς κατὰ πλευρὸν ἀεὶ διαστέλλων, καὶ πολλοὺς τῶν ἀντιπροσώπων ἀνατρέπων, ἤλαυνεν ὑπὲρ τοὺς ἐρειπομένους τὸν ἵππον. Τῶν δὲ κραυγή τε ἦν πρὸς τὸ παράστημα τοῦ Καίσαρος καὶ παρακέλευσις ὁρμᾶν ἐπ' αὐτὸν, φυγὴ δὲ καὶ διαχωρισμὸς ἅθρους, καθ' οὓς ἐπελαύνων γένοιτο. Συνήπτοντο δὲ οἱ τοῦ κινδύνου μετέχοντες κατὰ νῶτα καὶ κατὰ πλευρὰ νυσσόμενοι· μία γὰρ ἐλπὶς ἦν σωτηρίας ἑκάστῳ, τὸ συνεξανοίγειν τῷ Τίτῳ μὴ φθάσαντι κυκλωθῆναι. Δύο γοῦν τῶν ἀπωτέρω τὸν μὲν σὺν τῷ ἵππῳ περισχόντες κατηκόντισαν, θάτερον δὲ καταπηδήσαντα διαφθείραντες τὸν ἵππον ἀπήγαγον. Μετὰ δὲ τῶν λοιπῶν Τίτος ἐπὶ τὸ στρατόπεδον διασώζεται. Τοῖς μὲν οὖν Ἰουδαίοις πλεονεκτήσασι κατὰ τὴν πρώτην ἐπίθεσιν ἐπήγειρε τὰς διανοίας ἄσκεπτος ἐλπὶς, καὶ πολὺ θάρσος αὐτοῖς εἰς τὸ μέλλον ἡ πρόσκαιρος ῥοπὴ προὐξένει.

(Η'.) γ'. Καῖσαρ δὲ ὡς αὐτῷ συνέμιξε διὰ νυκτὸς τὸ ἀπὸ τῆς Ἀμμαοῦντος τάγμα, μεθ' ἡμέραν ἐκεῖθεν ἄρας ἐπὶ τὸν Σκοπὸν καλούμενον πρόσεισιν· ἔνθεν ἥ τε πόλις ἤδη κατεφαίνετο καὶ τὸ τοῦ ναοῦ μέγεθος ἔκλαμπρον, καθὰ τῷ βορείῳ κλίματι τῆς πόλεως χθαμαλὸς συνάπτων ὁ χῶρος ἐτύμως Σκοπὸς ὠνόμασται. Τῆς δὲ πόλεως σταδίους ἑπτὰ διέχων ἐκέλευσε περιβάλλεσθαι στρατόπεδον τοῖς δύο τάγμασιν ὁμοῦ, τὸ δὲ πέμπτον ὀπίσω τούτων τρισὶ σταδίοις· κόπῳ γὰρ τῆς διὰ νυκτὸς πορείας τετριμμένους ἐδόκει σκέπης ἀξίους εἶναι, ὡς ἂν ἀδεέστερον τειχίσαιντο. Καταρχομένων δὲ ἄρτι τῆς δομήσεως, καὶ τὸ δέκατον τάγμα διὰ Ἰεριχοῦντος ἤδη παρῆν, ἔνθα καθῆστό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολὴν ὑπὸ Οὐεσπασιανοῦ προκατειλημμένην. Προσετέτακτο δὲ αὐτοῖς ἓξ ἀπέχοντας τῶν Ἱεροσολύμων σταδίους στρατοπεδεύσασθαι κατὰ τὸ Ἐλαιῶν καλούμενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται, μέσῃ φάραγγι βαθείᾳ διειργόμενον, ἣ Κεδρὼν ὠνόμασται.

(Θ'.) δ'. Τῶν δὲ ἀνὰ τὸ ἄστυ συρρηγνυμένων ἀδιαλείπτως τότε πρῶτον ἀνέπαυσε τὴν ἐπ' ἀλλήλοις ἔριν ὁ ἔξωθεν πόλεμος, ἐξαίφνης πολὺς ἐπελθὼν, καὶ μετ' ἐκπλήξεως οἱ στασιασταὶ τοὺς Ῥωμαίους ἀφορῶντες στρατοπεδευομένους τριχῇ, κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν ἢ τί παθόντες ἀνέ-

dine haud fieri posse videbat; quorum plerique Cæsaris periculum nesciebant, sed existimantes eum secum reverti ipsi etiam fugiebant. Atqui ille, quum perspiceret in sua tantum fortitudine sitam esse salutis spem, converso equo, iisque qui circa eum erant alta voce jussis ut ipsum sequerentur, in medios hostes irruit, ad suos vi perrumpere festinans. Hinc sane maxime licet intelligere, Deo curæ esse et belli momenta et regum pericula. Tot enim adversus Titum jactis missilibus, quum neque galea neque thorace septus esset (non bellator enim, sed explorator, ut dixi, processerat), corpus ejus intactum erat et illæsum, atque inaniter, tanquam de industria aberraretur, omnia cum stridore eum prætervolabant. Gladio vero semper a lateribus instantes dirimens, multosque ante ora subvertens, super prostratos equum agebat. Clamorem autem attollebant ad audaciam Cæsaris, seque invicem hortabantur ut in eum impetum facerent: Sed fugiebant simulque omnes discedebant, quocunque cursum dirigeret. Huic autem periculi participes, a tergo et a lateribus icti, se adjunxerant; una enim erat unicuique salutis spes, simul Tito viam aperire ne prius circumveniretur. Duos autem de extremis, alterum quidem cum equo circumdatum jaculis confixerunt, alterum vero, postquam desiluerat, occiderunt et equum abducebant. Titus vero cum ceteris salvus in castra revertitur. Et Judæis quidem, quod aggressione prima superiores fuerant, inconsulta spes animos extulit, magnamque in posterum fiduciam eis conciliabat brevis fortunæ inclinatio.

(VIII.) 3. Cæsar autem, postquam ei nocte conjuncta erat legio ex Ammaunte, postridie inde digressus ad locum qui Scopus dicitur se confert; unde jam tum et civitas conspiciebatur et clara templi magnitudo, qua planities, septemtrionalem urbis partem attingens, apposite Scopus (*Specula*) dicta fuit. Quum autem septem stadiis ab urbe distaret, ibi duas legiones simul, quintam vero legionem retrorsum tribus stadiis castra munire jussit: nam milites nocturni itineris labore attritos tegumento dignos existimabat, ut minori cum metu murum struerent. Mox autem cœpta ædificatione, decima quoque legio jam aderat, quæ per Hierichuntem venerat, ubi pars quædam militum collocata fuerat aditum custodiens jam ante a Vespasiano occupatum. His autem præceptum erat, quum sex stadiis ab Hierosolymis abessent, castra metari juxta montem Olivarum nuncupatum, qui civitati ab oriente objacet, interjecta profunda valle quæ Cedron est appellata.

(IX.) 4. Continuo autem intra civitatem confligentium mutuam dissensionem tum primum sedavit bellum externum, magna vi subitoque illatum; et cum stupore seditiosi Romanos inspectantes tribus locis castra ponentes, malam concordiam inire cœperunt, sermonesque invicem miscentes quæsiverunt, quidnam exspectarent, quidve passi spiritum sibi

χοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν ἐπιφρασσόμενα τείχη· καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολίζοντος ἑαυτόν, οἱ δὲ ὥσπερ θεαταὶ καλῶν καὶ συμφόρων ἔργων καθέζοιντο τειχῆρεις, τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες. « Καθ' αὐτῶν ἄρα γενναῖοι μόνον ἡμεῖς, ἐξε« βόησαν » Ῥωμαῖοι δὲ ἐκ τῆς ἡμετέρας στάσεως κερ« δήσουσιν ἀναιμωτὶ τὴν πόλιν. » Τούτοις ἀθροίζοντες ἀλλήλους παρεκρότουν καὶ τὰς πανοπλίας ἁρπάσαντες αἰφνιδίως ἐπεκθέουσι τῷ δεκάτῳ τάγματι, καὶ διὰ τῆς φάραγγος ἅξαντες μετὰ κραυγῆς ἑξαισίου τειχιζομένοις προσπίπτουσι τοῖς Ῥωμαίοις. Οἱ δὲ πρὸς τὸ ἔργον διηρημένοι, καὶ διὰ τοῦτο τὰ πολλὰ τεθεικότες τῶν ὅπλων (οὔτε γὰρ θαρσεῖν τοὺς Ἰουδαίους πρὸς ἐκδρομὴν ὑπελάμβανον καὶ προθυμουμένων περισπασθήσεσθαι τὰς ὁρμὰς τῇ στάσει), συνεταράχθησαν ἀδοκήτως, καὶ τῶν ἔργων ἀφέμενοι τινὲς μὲν ἀνεχώρουν εὐθέως, πολλοὶ δὲ ἐπὶ τὰ ὅπλα θέοντες, πρὶν ἐπιστραφῆναι πρὸς τοὺς ἐχθροὺς, ἐφονεύοντο παιόμενοι. Προσεγίνοντο δὲ τοῖς Ἰουδαίοις ἀεὶ πλείους, ἐπὶ τῷ κρατεῖν τοὺς πρώτους τεθαρρηκότες, καὶ τῶν ὄντων πολλαπλασίους ἐδόκουν σφίσι τε καὶ τοῖς πολεμίοις, δεξιᾷ τῇ τύχῃ χρώμενοι. Μάλιστα δὲ τοὺς ἐν ἕθει συντάξεως ὄντας καὶ μετὰ κόσμου καὶ παραγγελμάτων πολεμεῖν εἰδότας ἀταξία φθάσασα θορυβεῖ. Διὸ καὶ τότε προληφθέντες οἱ Ῥωμαῖοι ταῖς ἐμβολαῖς εἶκον· καὶ ὁπότε μὲν ἐπιστραφεῖεν οἱ καταλαμβανόμενοι, τοῦ τε δρόμου τοὺς Ἰουδαίους ἐπεῖχον καὶ διὰ τὴν ὁρμὴν ἧττον φυλαττομένους ἐτίτρωσκον. Ἀεὶ δὲ πληθυούσης τῆς ἐκδρομῆς, μᾶλλον ταραττόμενοι τελευταῖον ἀπὸ τοῦ στρατοπέδου τρέπονται, καὶ ἐδόκει τότε ἂν κινδυνεῦσαι τὸ τάγμα πᾶν, εἰ μὴ Τίτος ἀγγελθέντος αὐτῷ διὰ τάχους ἐπεβοήθησε, καὶ πολλὰ ὀνειδίσας εἰς ἀνανδρίαν ἐπιστρέφει μὲν τοὺς φεύγοντας, αὐτὸς δὲ πλαγίοις τοῖς Ἰουδαίοις προσπεσὼν μεθ' ὧν ἦκεν ἐπιλέκτων συχνοὺς μὲν ἀναιρεῖ, τιτρώσκει δὲ πλείους, τρέπεται δὲ πάντας καὶ συνωθεῖ κατὰ τῆς φάραγγος. Οἱ δὲ ἐν τῷ κατάντει πολλὰ κακωθέντες, ὡς διεξέπεσον, ἄντικρυς ἐπιστρέφονται, καὶ μέσην ἔχοντες τὴν χαράδραν τοῖς Ῥωμαίοις διεμάχοντο. Μέχρι μὲν δὴ μέσης ἡμέρας οὕτως ἐπολέμουν· ὀλίγον δὲ ἀπὸ μεσημβρίας ἐκκλίνοντος ἤδη, Τίτος τοὺς μεθ' ἑαυτοῦ προσβοηθήσαντας καὶ τοὺς ἀπὸ τῶν σπειρῶν τοῖς ἐκτρέχουσιν ἀντιπαρατάξας τὸ λοιπὸν τάγμα πρὸς τὸν τειχισμὸν ἀνέπεμπεν εἰς τὴν ἀκρώρειαν.

(Γ'.) ε'. Ἰουδαίοις δὲ τοῦτο ἐδόκει φυγὴ, καὶ τοῦ σκοπεῖν κατασείσαντος θοίμάτιον, ὃς αὐτοῖς ἐπὶ τοῦ τείχους καθῆστο, προπηδῶσι πλῆθος ἀκραιφνέστατον μετὰ τοσαύτης ὁρμῆς, ὡς τὸν δρόμον αὐτῶν τοῖς ἀγριωτάτοις εἰκάζειν θηρίοις. Ἀμέλει τῶν παραταχθέντων οὐδεὶς ἔμεινε τὴν ἐμβολὴν, ἀλλ' ὥσπερ ἐξ ὀργάνου παιόμενοι διέρρηξαν τὴν τάξιν, καὶ πρὸς τὸ ὄρος τραπέντες ἀνέφευγον. Λείπεται δὲ ἐν μέσῳ τῷ προσάντει Τίτος μετ' ὀλίγων, καὶ πολλὰ παραινούντων τῶν φίλων, ὅσοι δι' αἰδῶ τὴν πρὸς τὸν ἡγεμόνα τοῦ κινδύνου καταφρονήσαντες ἔστησαν, εἶξαι θανατῶσιν Ἰουδαίοις ἀξιοῦντες, ἕως ἐκεῖνος ἀσφαλῶς ἀπέλθοι. Ἐπεὶ δὲ ἐκεῖνος ἀπεστράφη, καὶ τὸ τάγμα ἐπὶ τὸν τειχισμὸν ἀνέστρεφεν, ἐπιστραφέντες καὶ οἱ Ἰουδαῖοι τοῖς ὀπισθοφύλαξι προσπίπτουσιν, ἐκ τοῦ ἐπικειμένου κρημνώδους τόπου τὴν ἐπιφορὰν ποιούμενοι. Καὶ τοὺς μὲν ἐν τῷ πρόσω τεταγμένους ἐκπλήττουσι καὶ τρέπονται, τοὺς δὲ ἐν τῷ ἀναβαίνειν ἐπιφερόμενοι καὶ ἀπὸ τοῦ ὑψηλοτέρου τόπου τὴν ἐπιφορὰν ποιούμενοι ἐκ τοῦ ἐπικειμένου κρημνώδους τόπου τὴν ἐπιφορὰν ποιούμενοι καὶ τοὺς μὲν ἐν τῷ πρόσω τεταγμένους ἐκπλήττουσι καὶ τρέπονται, τοὺς δὲ ἐν τῷ ἀναβαίνειν ἐπιφερόμενοι καὶ ἀπὸ τοῦ ὑψηλοτέρου τόπου τὴν ἐπιφορὰν ποιούμενοι

tribus muris occludi sustinerent; et dum hostes munimenta instar urbium sibimet exstruant, ipsi tanquam spectatores bonorum operum utiliumque consideant mœnibus clausi, et manibus armisque remissis. « In nosmetipsos profecto, « exclamabant, duntaxat fortes sumus; Romani autem ex « nostra seditione id lucrabuntur, ut urbem sine sanguine « capiant. » Istis, quum frequentes convenirent, se invicem hortabantur, et armis correptis subito in legionem decimam excurrunt, factaque per vallem eruptione, ingenti cum vociferatione Romanos castra munientes adoriuntur. Illi autem ad munitiones institutas perficiendas distributi, quumque propter hoc magna ex parte arma deposuissent (non enim audere Judæos excursum facere arbitrabantur, et, si maxime id vellent, animos eorum distractum iri seditione), inopinato conturbati erant, opereque relicto nonnulli quidem statim recesserunt, multi autem ad arma properantes, priusquam se in hostes converterent, confossi neci deduntur. Ad Judæos autem plures semper accedebat, animis inde sumptis quod victores essent qui præcesserant: et multo plures quam revera erant et sibimet et hostibus videbantur, utpote quod eis prospere cesserit fortuna. Maxime autem eos qui ordinari consueverunt, gnarique sunt prælia ita conserendi ut ordines servent et imperata faciant, confusio, qua deprehensi sunt, in trepidationem conjicit. Quare et tunc Romani, repentino hostium adventu oppressi, factis impressionibus cedebant: et quum quidem se converterent illi quos hostes deprehendebant, et a cursu reprimebant Judæos, minusque cautos, præ impetu quo ferebantur, vulnerabant. Quum autem numero semper augerentur qui excursionem faciebant, magis magisque turbati Romani postremo castris pulsi sunt. Et tunc tota in periculo esse videbatur legio, nisi Titus, hoc ipso ei nunciato, mature illis subvenisset: quumque multis ignaviam illis exprobrasset, suos quidem a fuga revocat; ille vero, impetu in contravenientes Judæos facto, cum lectis qui secum venerant multos quidem occidit, plures vero sauciat, omnesque in fugam vertit et in vallem præcipites compellit. Illi autem, in declivitate multo damno accepto, postquam in adversam partem evaserant, se iterum convertunt, interjectoque torrente cum Romanis dimicabant. Equidem ad medium usque diem ita pugnarunt: paullo autem post meridiem Titus, quum hos quis in subsidium cum ipso venerant, aliosque de cohortibus adversum excursus facientes collocasset, reliquam legionem in superiora montis remittebat ad muniendum vallum.

(X.) 5. Judæis autem hoc ipsum fuga esse videbatur, quumque idem indicasset speculator, quem illi in muro posuerant, vestem concutiendo, magna et recens multitudo tanto impetu prosiliit, ut bestias immanissimas cursu adæquarent. Jam nemo ex adversa acie impressionem illorum sustinuit: sed quasi vi machinæ ferirentur ordines perturbant, et in fugam versi ad montem se recipiebant. In acclivitatis autem medio Titus cum paucis relictus est: multumque monentibus amicis, qui ex imperatoris reverentia contempto periculo steterunt, ut Judæis mori cupientibus cederet, nec

δαίοις, καὶ μὴ προκινδυνεύειν τούτων οὓς ἐχρῆν πρὸ αὐτοῦ μένειν, λαμβάνειν δὲ ἔννοιαν τῆς καθ' αὑτὸν τύχης, καὶ μὴ στρατιώτου τάξιν ἀποπληροῦν τὸν τοῦ πολέμου καὶ τῆς οἰκουμένης δεσπότην, μηδὲ ὀξεῖαν οὕτως ὑφίστασθαι ῥοπὴν, ἐν ᾧ σαλεύει τὰ πάντα, τούτων οὐδὲ ἀκούειν ἔδοξε, τοῖς δὲ κατ' αὐτὸν ἀνατρέχουσιν ἀνθίσταται, καὶ κατὰ στόμα παίων βιαζομένους ἀνῄρει, κατά τε τοῦ πρανοῦς ἀθρόοις ἐμπίπτων ἀνεώθει τὸ πλῆθος. Οἱ δὲ, πρός τε τὸ παράστημα καὶ τὴν ὁρμὴν καταπλαγέντες, οὐδὲ οὕτω μὲν ἀνέφευγον εἰς τὴν πόλιν, καθ' ἑκάτερον δὲ ἐγκλίνοντες ἀπ' αὐτοῦ τοῖς ἀνωτέρω φεύγουσι προσέκειντο. Καὶ τούτοις δὲ κατὰ πλευρὰ προσβάλλων τὰς ὁρμὰς ὑπετέμνετο· κἀν τούτῳ καὶ τοῖς ἄνω τειχίζουσι τὸ στρατόπεδον, ὡς ἐθεάσαντο τοὺς κάτω φεύγοντας, πάλιν ἐμπίπτει ταραχὴ καὶ δέος, καὶ διασκίδναται πᾶν τὸ τάγμα· δοκούντων ἀνυπόστατον μὲν εἶναι τὴν τῶν Ἰουδαίων ἐκδρομὴν, τετράφθαι δὲ αὐτὸν Τίτον· οὐ γὰρ ἄν ποτε τοὺς ἄλλους φυγεῖν ἐκείνου μένοντος· καὶ καθάπερ πανικῷ δείματι κυκλωθέντες ἄλλος ἀλλαχῇ διεφέροντο, μέχρι τινὲς κατιδόντες ἐν μέσῳ τοῦ πολέμου τὸν ἡγεμόνα στρεφόμενον, καὶ μέγα δείσαντες ἀμφ' αὐτῷ, διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι. Τοὺς δὲ αἰδὼς ἐπέστρεφε, καὶ πλεῖόν τι φυγῆς κακίζοντες ἀλλήλους ἐπὶ τῷ καταλιπεῖν Καίσαρα, πάσῃ βίᾳ κατὰ τῶν Ἰουδαίων ἐχρῶντο, καὶ κλίναντας ἅπαξ ἀπὸ τοῦ κατάντους συνώθουν αὐτοὺς εἰς τὸ κοῖλον. Οἱ δὲ ὑπὸ πόδα χωροῦντες ἐμάχοντο, καὶ πλεονεκτοῦντες οἱ Ῥωμαῖοι τῷ καθύπερθεν εἶναι συνελαύνουσι πάντας εἰς τὴν φάραγγα. Προσέκειτο δὲ τοῖς καθ' αὑτὸν ὁ Τίτος, καὶ τὸ μὲν τάγμα πάλιν ἐπὶ τὴν τειχοποιίαν ἔπεμψεν, αὐτὸς δὲ σὺν οἷς πρότερον ἀντιστὰς εἶργε τοὺς πολεμίους. Ὥστε, εἰ χρὴ μήτε θεραπείᾳ τι προστιθέντα μήτε ὑφελόντα φθόνῳ τὸ ἀληθὲς εἰπεῖν, αὐτὸς Καῖσαρ δὶς μὲν ἐρρύσατο κινδυνεῦον ὅλον τὸ τάγμα, καὶ τοῦ περιβάλλεσθαι δὲ τὸ στρατόπεδον αὐτοῖς ἄδειαν παρέσχε.

ΚΕΦ. Γ'.

Λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θύραθεν πολέμου, πάλιν ἔνδον ἡ στάσις ἐπηγείρετο, καὶ τῆς τῶν ἀζύμων ἑνστάσης ἡμέρας τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς, ἐν ᾗ δοκοῦσιν Ἰουδαῖοι τὸν πρῶτον ἀπαλλαγῆναι καιρὸν Αἰγυπτίων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον παρανοίγοντες τὰς πύλας ἐδέχοντο ἐκ τοῦ δήμου τοὺς προσκυνεῖν ἐθέλοντας εἴσω, Ἰωάννης δὲ προκάλυμμα τῆς ἐπιβουλῆς ποιησάμενος τὴν ἑορτὴν, τῶν σὺν αὐτῷ κρυπτοῖς ὅπλοις ἐνσκευάσας τοὺς ἀσημοτέρους, ὧν οἱ πλείους ἦσαν ἄναγνοι, διὰ σπουδῆς παρεισπέμπει προκαταληψομένους τὸ ἱερόν. Οἱ δὲ, ὡς ἔνδον ἐγένοντο, τὰς ἐσθῆτας ἀπορρίψαντες, ἐφάνησαν ἐξαπίνης ὁπλῖται. Ταραχὴ δὲ μεγίστη περὶ τὸν ναὸν αὐτίκα καὶ θόρυβος ἦν, τοῦ μὲν ἔξω τῆς στάσεως λαοῦ κατὰ πάντων ἄκριτον οἰομένων εἶναι τὴν ἐπίθεσιν, τῶν δὲ ζηλωτῶν ἐπὶ σφίσι μόνοις. Ἀλλ' οἱ μὲν ἀφέμενοι τὸ

ipsorum causa periclitaretur, quos propter ipsum oporteret impetum sustinere, sed potius suæ conditionis rationem haberet, et non, dum militis officio fungeretur et belli et terrarum orbis dominus, in præsenti adeo discrimine ipse staret, in quo verteretur omnium fortuna: ista ne audire quidem visus est, contra ipsum vero exsurgentibus resistit, eosque in ora feriens, quum vi obniterentur, occidebat, et confertis incumbens per declive multitudinem deturbabat. Illi autem, licet animi tanta præsentia et impetu perterriti, ne tum quidem in civitatem refugiebant, sed in utrumque latus ab eo declinantes, sursum fugientes insequebantur. Verum istos quoque a latere aggressus impetum reprimebat. Dumque hæc aguntur, etiam illos qui paullo supra castra muniunt, ubi fugere inferiores videre, rursus occupat metus ac trepidatio, omnesque legionis istius milites dissipantur (ut qui Judæorum excursum non ferendum esse existimarent, ipsumque in fugam versum esse Titum; nunquam enim illo manente alios fugituros esse): et tanquam Panico terrore circumdati, alius alio ferebantur, donec quidam, quum vidissent imperatorem in media pugna versari, et de eo in magno metu esse cœpissent, universæ legioni ejus periculum edito clamore significant. Illos autem pudor revocabat, et fuga majus aliquid sibi invicem exprobrantes quod Cæsarem deseruissent, totis viribus in Judæos ruebant: ipsosque, ubi semel se inclinarunt, per declivia in cavitatem cu gerunt. Illi vero pedem referentes pugnabant; Romanique, utpote loco superiores plus valentes, in vallem omnes compellunt. At Titus illis instabat qui adversus ipsum contendebant, et legionem quidem ad vallum muniendum remisit; ipse vero cum iis quibus fretus antea restiterat, hostes arcebat. Adeo ut, si verum dicere oporteat, nihil ex adulatione adjiciendo aut ex invidia detrahendo, fatendum est Cæsarem ipsum bis totam legionem e periculo eripuisse, atque effecisse ut incolumes ad castra munienda sese possent recipere.

CAP. III. (XI.)

Quum autem paulisper quievisset bellum externum, rursus seditio exoriebatur domestica; et instante festo Azymorum, die decima quarta mensis Xanthici, qua primum creduntur Judæi ab Ægyptiis liberati, Eleazarus quidem suique, portas aperientes, e populo excipiebant quotquot intus adorare volebant: Joannes autem, festo ad occultandas insidias usus, quosdam e suis ignotiores armis abditis instructos, quorum plerique haud purificati erant, eo animo studioque inter alios submittit, ut fanum occuparent. Illi autem, quum intus essent, vestimentis abjectis subito armati apparuerunt. Maxima vero statim turba circa templum ac tumultus erat, populo quidem a seditione alieno in omnes sine discrimine, zelotis vero in semet solos impetum factum iri suspicantibus. Verum hi quidem relicta jam

φρουρεῖν ἔτι τὰς πύλας, καὶ τῶν ἐπάλξεων καταπηδήσαντες πρὶν εἰς χεῖρας ἐλθεῖν, εἰς τοὺς ὑπονόμους τοῦ ἱεροῦ κατέφυγον· οἱ δὲ ἀπὸ τοῦ δήμου πρὸς τῷ βωμῷ καταπτήσσοντες, καὶ περὶ τὸν ναὸν συνειλούμενοι κατεπατοῦντο, ξύλοις τε ἀνέδην παιόμενοι καὶ σιδήρῳ. Πολλοὺς δὲ τῶν ἡσυχίων κατ' ἔχθραν καὶ μῖσος ἴδιον ὡς ἀντιστασιαστὰς ἀνήρουν οἱ διάφοροι· καὶ πᾶς ὁ προσκρούσας τινὶ τῶν ἐπιβούλων πάλαι, τηνικαῦτα ἐπιγνωσθείς, ὡς ζηλωτὴς πρὸς αἰκίαν ἀνήγετο. Πολλὰ δὲ δεινὰ τοὺς ἀναιτίους διαθέντες ἐκεχειρίαν τοῖς αἰτίοις ἔδοσαν, καὶ προελθόντας ἐκ τῶν ὑπονόμων διίεσαν· αὐτοὶ δὲ καὶ τὸ ἐνδοτέρω ἱερὸν κατασχόντες καὶ τὰς ἐν αὐτῷ παρασκευὰς πάσας, κατεθάρρουν ἤδη τοῦ Σίμωνος. Ἡ μὲν οὖν στάσις οὕτω τριμερὴς οὖσα πρότερον εἰς δύο μοίρας περιίσταται.

(ΙΒ'.) β'. Ὁ δὲ Τίτος, ἔγγιον ἀπὸ τοῦ Σκοποῦ τῇ πόλει στρατοπεδεύσασθαι προαιρούμενος, πρὸς μὲν τοὺς ἐκτρέχοντας ἔστησεν, ἐπιλέξας ἱππέων τε καὶ πεζῶν ὅσους ἀρκέσειν ὑπελάμβανε, τῇ δὲ ὅλῃ δυνάμει προσέταξεν ἐξομαλίζειν τὸ μέχρι τοῦ τείχους διάστημα. Καταβληθέντος δὲ παντὸς ἕρκους καὶ περιφράγματος, ὅσα κήπων προανεστήσαντο καὶ δένδρων οἱ οἰκήτορες, ὕλης τε ἡμέρου τῆς μεταξὺ πάσης ἐκκοπείσης, ἀνεπλήσθη μὲν τὰ κοῖλα καὶ χαραδρώδη τοῦ τόπου· τὰς δὲ πετρώδεις ἐξοχὰς σιδήρῳ κατεργαζόμενοι χθαμαλὸν ἐποίουν πάντα τὸν χῶρον ἀπὸ τοῦ Σκοποῦ μέχρι τῶν Ἡρώδου μνημείων, ἃ προσεῖχε τῇ τῶν Ὄφεων ἐπικαλουμένῃ κολυμβήθρᾳ.

γ'. Καὶ κατὰ ταύτας τὰς ἡμέρας οἱ Ἰουδαῖοι κατὰ τῶν Ῥωμαίων ἐνέδραν συσκευάζονται τοιάνδε. Τῶν στασιαστῶν οἱ μὲν τολμηρότεροι προελθόντες ἔξω τῶν Γυναικείων καλουμένων πύργων, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν εἰρηνικὰ φρονούντων, καὶ δεδοικότες τὴν τῶν Ῥωμαίων ἔφοδον ἀνειλοῦντο, καὶ παρ' ἀλλήλους ὑπέπτησσον· οἱ δὲ διαστάντες ἐπὶ τοῦ τείχους, δῆμος εἶναι δοκῶν, εἰρήνην ἐβόων, καὶ δεξιὰν ᾐτοῦντο, καὶ τοὺς Ῥωμαίους ἐκάλουν, ἀνοίξειν ὑπισχνούμενοι τὰς πύλας· ἅμα δὲ ταῦτα κεκραγότες, καὶ τοὺς σφετέρους ἔβαλλον λίθοις, ὡς ἀπελαύνοντες τῶν πυλῶν. Κἀκεῖνοι βιάζεσθαι τὰς εἰσόδους ὑπεκρίνοντο, καὶ τοὺς ἔνδον ἱκετεύειν, συνεχῶς τε πρὸς τοὺς Ῥωμαίους ὁρμήσαντες, ἐπιστρεφόμενοι ταραττομένοις προσεώκεσαν. Παρὰ μὲν οὖν τοῖς στρατιώταις τὸ πανοῦργον αὐτῶν οὐκ ἐλείπετο πίστεως· ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν ἔχοντες ἑτοίμους πρὸς τιμωρίαν, τοὺς δὲ ἀνοίξειν τὴν πόλιν ἐλπίζοντες, ἐχώρουν ἐπὶ τὴν πρᾶξιν. Τίτῳ δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλήσεως παράλογον· καὶ γὰρ πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐτοὺς ἐπὶ συμβάσεις διὰ τοῦ Ἰωσήπου μέτριον οὐδὲν ἤνυσε, καὶ τότε τοὺς στρατιώτας κατὰ χώραν μένειν ἐκέλευσεν. Θθάνουσι δέ τινες τῶν ἐπὶ τοῖς ἔργοις προτεταγμένων ἁρπάσαντες τὰ ὅπλα πρὸς τὰς πύλας ἐκδραμεῖν. Τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες τὸ πρῶτον ὑπεχώρουν· ἐπεὶ δὲ μεταξὺ τῶν τῆς πύλης ἐγίνοντο πύργων, ἐκθέοντες

portarum custodia, postquam ex propugnaculis desiluerant, priusquam ad manus ventum esset, in templi cloacas confugere : populus vero ad aram trepidantes constipatique circa templum conculcabantur, lignis passim ferroque cæsi. Multos autem qui vitam quietam agebant, ex simultate et odio privato, quasi diversæ factionis fuissent, interficiebant inimici : et quicunque antea insidiatorum aliquem offenderat, tunc agnitus quasi zelotes ad cædem ducebatur. Verum hi qui variis modis in sontes sævitiam exercebant, nocentibus inducias concesserunt, progressosque ex cloacis dimiserunt : ipsi autem, quum templum interius omnemque in eo apparatum occupassent, jam in Simonem confidentiam concipiebant. Atque ita quidem seditio, quæ antea triplex erat, in duas partes redigitur.

(XII.) 2. Titus autem, quum ei in animo esset castra de Scopo propius ad civitatem transferre, lectos equites peditesque, quotquot satis esse arbitrabatur, ad cohibendos excursus posuit; omnibus vero copiis imperavit totum ad muros usque intervallum complanare. Cunctis igitur maceriis ac *sepibus, quibus hortos ac lucos incolæ præmunierant*, dirutis, omnique arbore mansueta quæ in medio erat excisa, oppleta quidem sunt quæ cava erant et hiantia; saxorum vero exstantia ferro auferendo solum exæquarunt omne a Scopo usque ad Herodis monumenta, prope piscinam quæ Serpentium nuncupata erat.

3. Illis etiam diebus Judæi hujusmodi insidias Romanis struunt. Audaciores qui erant e seditiosis, urbe egressi ad turres quæ Muliebres appellantur, quasi scilicet a pacis studiosis ejecti, veritique Romanorum incursum ante mœnia versabantur, et subinde alii alios expavescebant. Alii vero in mœnibus dispositi, quasi ex plebe homines, pacem clamabant, et dextram petebant, et Romanos vocabant, portas se patefacturos esse pollicentes. Simul autem ista vociferantes, in suos, quasi portis eos abigerent, lapides jaciebant. Atque illi se vi perrumpere aditus velle simulabant, iisque qui intus erant supplicare : quumque ad Romanos sæpenumero ire contendissent, reversi metu exterritis similes videbantur. Et apud milites quidem hæc eorum calliditas fide non carebat : sed tanquam hos quidem in manibus haberent paratos ad supplicium, illos vero civitatem sibi aperturos sperarent, ad rem exsequendam iverunt. Titus autem inexspectatam vocationem suspectam habebat : namque quum eos pridie per Josephum ad pactiones provocasset, nihil moderati responsi accipiebat, et tunc milites suo loco manere jussit. Jam vero quidam, qui operariorum in fronte collocati erant, raptis armis ad portas procurrerunt. Isti autem qui pro ejectis habebantur, primo se subducebant : ut vero intra portæ turres perventum erat, Judæi excursu facto illos

ἐκυκλοῦντο σφᾶς, καὶ προσέκειντο κατόπιν· οἱ δὲ ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων ἄθρουν κατέχεαν, ὥστε συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλείστους. Ἦν γὰρ οὐ ῥᾴδιον τοῦ τείχους διαφυγεῖν τῶν κατόπιν βιαζομένων, καὶ ἄλλως αἰδὼς τῆς διαμαρτίας τῶν ἡγεμόνων καὶ δέος παρεκελεύετο τῷ πταίσματι προσλιπαρεῖν. Διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι, καὶ πολλὰς ὑπὸ τῶν Ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει δὲ οὐκ ἐλάττους ἀντιδιδόντες, τέλος ἀνωθοῦσι τοὺς κυκλωσαμένους. Ὑποχωροῦσι δὲ αὐτοῖς οἱ Ἰουδαῖοι μέχρι τῶν Ἑλένης μνημείων εἵποντο βάλλοντες.

δ'. Ἔπειτα οἱ μὲν ἀπειροκάλως ἐξυβρίζοντες εἰς τὴν τύχην ἔσκωπτόν τε τοὺς Ῥωμαίους δελεασθέντας ἀπάτῃ καὶ τοὺς θυρεοὺς ἀνασείοντες ἐσκίρτων, καὶ μετὰ χαρᾶς ἀνεβόων. Τοὺς δὲ στρατιώτας ἀπειλή τε τῶν ταξιαρχῶν καὶ χαλεπαίνων Καῖσαρ τούτοις ἐξεδέχετο, φάσκων ὡς « Ἰουδαῖοι μὲν, οἷς ἀπόνοια μόνη στρατηγεῖ, « πάντα μετὰ προνοίας πράττουσι καὶ σκέψεως, ἐπιβου- « λάς τε συντάσσοντες καὶ λόχους, ἕπεται δὲ αὐτῶν ταῖς « ἐνέδραις καὶ τύχη, διὰ τὸ πειθήνιον καὶ τὴν πρὸς ἀλλή- « λους εὔνοιάν τε καὶ πίστιν· Ῥωμαῖοι δὲ, οἷς δι' εὐ- « ταξίαν καὶ τὸ πρὸς τοὺς ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει « καὶ τύχη, νῦν ὑπὸ τῶν ἐναντίων πταίουσι, καὶ διὰ « χειρῶν ἀκρασίαν ἁλίσκονται, τὸ πάντων αἴσχιστον, « ἀστρατήγητοι μαχόμενοι παρόντος Καίσαρος. Ἡ « μεγάλα μὲν στενάξειν ἔφη τοὺς τῆς στρατιᾶς νόμους, « μεγάλα δὲ αὐτοῦ τὸν πατέρα τήνδε τὴν πληγὴν πυ- « θόμενον, εἴ γε ὁ μὲν ἐν πολέμοις γηράσας οὐδέποτε « ἔπταισεν οὕτως, οἱ νόμοι δὲ ἀεὶ καὶ τοὺς βραχύ τι « τῆς τάξεως παρακινήσαντας θανάτῳ κολάζουσι. Νῦν « δὲ ὅλην στρατιὰν ἑοράκασι λιποτακτεῖν. Γνώσεσθαί « γε μὴν αὐτίκα τοὺς ἀπαυθαδισαμένους, ὅτι καὶ τὸ « νικᾶν παρὰ Ῥωμαίοις δίχα παραγγέλματος ἀδοξεῖται. » Τοιαῦτα διατεινάμενος πρὸς τοὺς ἡγεμόνας ὅῆλος ἦν κατὰ πάντων χρῆσθαι τῷ νόμῳ. Καὶ οἱ μὲν παρείθησαν τὰς ψυχὰς, ὡς ὅσον οὐδέπω τεθνηξόμενοι δικαίως· περιχυθέντα δὲ τὰ τάγματα τῷ Τίτῳ περὶ τῶν συστρατιωτῶν ἱκέτευε, καὶ τὴν ὀλίγων προπέτειαν χαρίσασθαι τῇ πάντων εὐπειθείᾳ κατηντιβόλουν· ἀναλήψεσθαι γὰρ αὐτοὺς τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον ἀρεταῖς.

ε'. Πείθεται Καῖσαρ ἅμα ταῖς τε ἱκεσίαις καὶ τῷ συμφέροντι· τὴν μὲν γὰρ καθ' ἑνὸς τιμωρίαν ὤετο χρῆναι μέχρις ἔργου προκόπτειν, τὴν δὲ ἐπὶ πλήθους, μέχρι λόγου. Τοῖς μὲν οὖν στρατιώταις διηλλάττετο, πολλὰ νουθετήσας αὖθις εἶναι φρονιμωτέρους· αὐτὸς δὲ ὅπως ἀμύνηται τὴν Ἰουδαίων ἐπιβουλὴν ἐσκόπει. Τέσσαρσι δὲ ἡμέραις ἐξισωθέντος τοῦ μέχρι τῶν τειχῶν διαστήματος, βουλόμενος μετὰ ἀσφαλείας τάς τε ἀποσκευὰς καὶ τὸ λοιπὸν πλῆθος παραγαγεῖν, τὸ καρτερώτατον τῆς δυνάμεως ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ τὸ βόρειον κλίμα καὶ πρὸς ἑσπέραν ἐφ' ἑπτὰ βαθύνας τὴν φάλαγγα, τῶν τε πεζῶν προτεταγμένων, καὶ κατόπιν

circumvenerunt, et a tergo urgebant : qui vero in mœnibus erant, confertam lapidum et omne genus telorum vim in eos effuderunt, adeo ut multos quidem necarint, plurimos vero vulnerarint. Non enim facile erat a muro se fuga liberare, quum illos vi urgerent qui a tergo erant; prætereaque pudor quod imperata neglexerint et metus in delicto perseverare suadebat. Quamobrem in longa dimicatione multa a Judæis vulnera accipientes, atqui non pauciora vicissim dantes, eos a quibus circumdati erant tandem repellunt. Illos autem se subducentes Helenæ usque ad monumenta jaculis persequebantur Judæi.

4. Post hæc illi quidem, præter decorum fortuna insolescentes, contumelias jaciebant in Romanos fraude inescatos, et scutis concrepantes exsultabant, lætisque vocibus exclamabant. Milites autem centurionum interminatio excipiebat, et Cæsar iratus, hujusmodi verbis : « Judæi qui- « dem, quos sola ducit desperatio, nil nisi bene provisum et « diligenter exploratum agunt, fraudes simul et insidias « componentes ; eorumque dolis etiam fortuna favet, quod « sint morigeri et sibi invicem benevoli fidique : Romani vero, « quibus ob disciplinam et ducibus parendi consuetudinem « etiam fortuna semper se addicit, nunc contraria sequendo « labuntur, et manuum intemperantia vincuntur ; et, quod « omnium rerum turpissimum, nemine eos ducente dimi- « cantes, quum præsens sit Cæsar. Certe, inquit, vehemen- « ter ingemiscent militiæ leges, vehementer et pater meus, « quum hanc plagam resciverit : siquidem ille, ætate in « bellis exacta, nunquam isto modo peccavit ; leges vero in « eos, qui vel minimum secus faciunt quam ordo postulat, « morte vindicant. Nunc autem totum exercitum ordinis « deserti reum viderunt. Atqui vero eos statim rescituros « esse qui in tantum audaciæ processerint, quod apud Ro- « manos etiam vincere sine imperatoris præcepto inglorium « sit. » Quum ista ad ordinum ductores cum indignatione loquutus esset, non dubium erat quin in omnes ex lege animadvertere voluerit. Atque illi quidem animis dejecti esse cœperunt, quasi mortem mox oppetituri, idque juste : circumfusæ vero legiones Tito supplicabant pro commilitonibus, paucorumque temeritatem condonari omnium obedientiæ precabantur, ut qui præsens peccatum emendaturi essent sua in posterum virtute.

5. Persuadetur id Cæsari et precibus et quod e re sua esset : etenim unius hominis pœnam re vera exsequendam esse putabat, multitudinis vero verbis tantum. Et cum militibus quidem in gratiam rediit, postquam illos multis monuerat, ut reliquo tempore caute magis se gererent : ipse vero, quemadmodum Judæorum ulcisceretur insidias, secum cogitabat. Quum autem intra quatriduum coæquatum esset intervallum omne usque ad muros, eo animo ut impedimenta et reliquam multitudinem tuto traduceret, militum validissimos a septemtrionali tractu in occiduum usque septemplici secundum profunditatem ordine contra murum prætendit, peditibus in fronte ac post eos equitibus acie

τῶν ἱππέων τριστοίχων ἑκατέρων, ἑβδομοι κατὰ μέσον εἱστήκεσαν οἱ τοξόται. Τοσούτῳ δὲ στίφει πεφραγμένων Ἰουδαίοις τῶν ἐκδρομῶν, τά τε ὑποζύγια τῶν τριῶν ταγμάτων καὶ ἡ πληθὺς ἀδεῶς παρώδευσεν. Αὐτὸς μὲν οὖν Τίτος, ἀπέχων ὅσον εἰς σταδίους δύο τοῦ τείχους, κατὰ τὸ γωνιαῖον αὐτοῦ μέρος ἀντικρὺ τοῦ Ψηφίνου καλουμένου πύργου στρατοπεδεύεται, πρὸς ὃν ὁ κύκλος τοῦ τείχους, πρὸς ἄρκτον καθήκων, ἀνακάμπτει πρὸς δύσιν. Ἡ δὲ ἑτέρα μοῖρα τῆς στρατιᾶς κατὰ τὸν Ἱππικὸν προσαγορευθέντα πύργον τειχίζεται, διεστῶσα τῆς πόλεως ὁμοίως δύο σταδίους. Τὸ μέντοι δέκατον τάγμα κατὰ χώραν ἐπὶ τοῦ Ἐλαιῶν καλουμένου ὄρους ἔμενε.

ΚΕΦ. Δ'.

Τρισὶ δὲ ὠχυρωμένη τείχεσιν ἡ πόλις, καθὰ μὴ ταῖς ἀβάτοις φάραγξιν ἐκυκλοῦτο (ταύτῃ γὰρ εἷς ἦν περίβολος), αὐτὴ μὲν ὑπὲρ δύο λόφων ἀντιπρόσωπος ἔκτιστο, μέσῃ φάραγγι διῃρημένων, εἰς ἣν ἐπάλληλοι κατέληγον αἱ οἰκίαι. Τῶν δὲ λόφων ὁ μὲν τὴν ἄνω πόλιν ἔχων ὑψηλότερός τε πολλῷ καὶ τὸ μῆκος ἰθύτερος ἦν· διὰ γοῦν τὴν ὀχυρότητα φρούριον μὲν ὑπὸ Δαβίδου τοῦ βασιλέως ἐκαλεῖτο (πατὴρ Σολομῶνος ἦν οὗτος, τοῦ πρώτου τὸν νεὼν κτίσαντος), ἡ ἄνω δὲ ἀγορὰ πρὸς ἡμῶν· ἕτερος δὲ ὁ καλούμενος Ἄκρα καὶ τὴν κάτω πόλιν ὑφεστὼς ἀμφίκυρτος. Τούτου δὲ ἀντικρὺ τρίτος ἦν λόφος, ταπεινότερός τε φύσει τῆς Ἄκρας, καὶ πλατείᾳ φάραγγι διειργόμενος ἄλλῃ πρότερον· αὖθίς γε μὴν καθ' οὓς οἱ Ἀσαμωναῖοι χρόνους ἐβασίλευον, τήν τε φάραγγα ἔχωσαν, συνάψαι βουλόμενοι τῷ ἱερῷ τὴν πόλιν, καὶ τῆς Ἄκρας κατεργασάμενοι τὸ ὕψος ἐποίησαν χθαμαλώτερον, ὡς ὑπερφαίνοιτο καὶ ταύτῃ τὸ ἱερόν. Ἡ δὲ τῶν Τυροποιῶν προσαγορευομένη φάραγξ, ἣν ἔφαμεν τόν τε τῆς ἄνω πόλεως καὶ τὸν κάτω λόφον διαστέλλειν, καθήκει μέχρι Σιλωάμ· οὕτω γὰρ τὴν πηγὴν, γλυκεῖάν τε καὶ πολλὴν οὖσαν, ἐκαλοῦμεν. Ἔξωθεν δὲ οἱ τῆς πόλεως δύο λόφοι βαθείαις φάραγξι περιείχοντο, καὶ διὰ τοὺς ἑκατέρωθεν κρημνοὺς προσιτὸν οὐδαμόθεν ἦν.

β'. Τῶν δὲ τριῶν τειχῶν τὸ μὲν ἀρχαῖον διά τε τὰς φάραγγας καὶ τὸν ὑπὲρ τούτων λόφον ἐφ' οὗ κατεσκεύαστο δυσάλωτον ἦν· πρὸς δὲ τῷ πλεονεκτήματι τοῦ τόπου καὶ καρτερῶς ἐδεδόμητο, Δαβίδου τε καὶ Σολομῶνος, ἔτι δὲ τῶν μεταξὺ τούτων βασιλέων φιλοτιμηθέντων περὶ τὸ ἔργον. Ἀρχόμενον δὲ κατὰ βορρᾶν ἀπὸ τοῦ Ἱππικοῦ καλουμένου πύργου, καὶ διατεῖνον ἐπὶ τὸν Ξυστὸν λεγόμενον, ἔπειτα τῇ βουλῇ συνάπτον, ἐπὶ τὴν ἑσπέριον τοῦ ἱεροῦ στοὰν ἀπηρτίζετο· κατὰ θάτερα δὲ πρὸς δύσιν ἀπὸ τοῦ αὐτοῦ μὲν ἀρχόμενον πύργου, διὰ δὲ τοῦ Βηθσὼ καλουμένου χωρίου κατατεῖνον ἐπὶ τὴν Ἐσσηνῶν πύλην, καὶ ἔπειτα πρὸς νότον ὑπὲρ τὴν Σιλωὰμ ἐπιστρέφον πηγὴν, ἔνθεν τε πάλιν ἐκκλῖνον πρὸς ἀνατολὴν ἐπὶ τὴν Σολομῶνος κολυμβήθραν, καὶ διῆκον μέχρι χώρου τινὸς ὃν καλοῦσιν Ὀφλᾶν, τῇ πρὸς ἀνατολὴν στοᾷ τοῦ ἱεροῦ συνῆπτε. Τὸ δὲ

terna dispositis, mediisque inter utrosque per septenos collocatis sagittariis. Quumque Judæi a militibus ita ordinatis ab excursionibus prohibiti essent, trium legionum jumenta, itemque alia multitudo secure transiit. Et Titus quidem ipse, quum circiter duo stadia a muro abesset, juxta partem ejus angularem, contra turrim quæ Psephina appellatur, castra ponit, ad quam muri ambitus ad austrum pertingens flectitur versus occidentem. Altera autem exercitus pars juxta turrim Hippicon nuncupatam circumvallata erat, duorum stadiorum spatio similiter ab urbe distans. Verum legio decima eodem loco manebat in Olivarum monte.

CAP. IV. (XIII.)

Civitas autem triplici muro munita, nisi qua vallibus inviis cingebatur (ea enim parte simplici circumdata erat), ipsa quidem adversis frontibus super duos colles erat condita, media valle discretos, in quam utrinque desinebant frequentes domus. Collium vero ille cui superior insidet civitas longe est excelsior, et in longitudinem directior: adeoque propter munitionem castellum quidem a rege Davide appellabatur, (hic pater Solomonis erat, qui primus templum ædificavit), a nobis autem Forum superius. Alter vero Acra dictus qui inferiorem sustinet civitatem, utrinque declivis. Huic autem ex adverso tertius erat collis, natura humilior quam Acra, atque ab alia lata valle olim discretus: ceterum postea, quo tempore Asamonæi regnabant, hi et vallem aggeribus ingestis compleverunt, eo animo ut templo civitatem conjungerent, et Acræ altitudinem demoliti depressiorem fecerunt, ut eam etiam superemineret templum. Vallis autem Tyropœorum appellata, qua diximus superioris civitatis collem ab inferiori dirimi, usque ad Siloam protenditur: ita enim vocamus fontem, qui dulcis est et copiosus. Extrinsecus autem duo illi colles profundis vallibus cingebantur, et ob præcipitia utrinque nullus locus adiri poterat.

2. Trium autem murorum vetustissimus inexpugnabilis erat, tum propter valles et imminentem illis collem cui superstructus erat, tum quod ad loci naturam et firmitatem accesserant Davidis et Solomonis et subsequentium regum munimenta, quibus multum studii et sumptuum impenderant. Incipiens autem parte boreali a turri quæ Hippica dicitur, et protensus ad Xystum qui appellatur, deinde curiæ conjunctus, in occidentalem templi porticum desinebat. Ab altera autem parte ad occidentem ab eadem quidem turri incipiens, per eum vero locum qui Bethso dicitur porrectus ad Essenorum usque portam, et postea versus Notum ad fontem Siloam flectens, et inde rursus in orientem deflectens versus piscinam Solomonis, et usque ad locum quendam pertinens qui Ophlas dicitur, orientali templi porticui conjunctus erat. Secundus autem murus initium quidem du-

δεύτερον τὴν μὲν ἀρχὴν ἀπὸ πύλης εἶχεν ἣν Γεννὰθ ἐκάλουν, τοῦ πρώτου τείχους οὖσαν, κυκλούμενον δὲ τὸ προσάρκτιον κλίμα μόνον ἀνήει μέχρι τῆς Ἀντωνίας. Τῷ τρίτῳ δὲ ἦν ἀρχὴ ὁ Ἱππικὸς πύργος, ὅθεν μέχρι τοῦ βορείου κλίματος κατατεῖνον ἐπὶ τὸν Ψήφινον πύργον, ἔπειτα καθῆκον ἀντικρὺ τῶν Ἑλένης μνημείων (Ἀδιαβηνὴ βασιλὶς ἦν αὕτη, Ἰζάτου βασιλέως μήτηρ), καὶ διὰ σπηλαίων βασιλικῶν μηκυνόμενον ἐκάμπτετο μὲν γωνιαίῳ πύργῳ κατὰ τὸ Κναφέως προσαγορευόμενον μνῆμα· τῷ δὲ ἀρχαίῳ περιβόλῳ συνάπτον εἰς τὴν Κεδρῶνα καλουμένην φάραγγα κατέληγεν. Τοῦτο τῇ προσκτισθείσῃ πόλει περιέθηκεν Ἀγρίππας, ἥπερ ἦν πᾶσα γυμνή. Πλήθει γὰρ ὑπερχεομένη, κατὰ μικρὸν ἐξεῖρπε τῶν περιβόλων, καὶ τοῦ ἱεροῦ τὰ προσάρκτια πρὸς τῷ λόφῳ συμπολίζοντες, ἐπ' οὐκ ὀλίγον προῆλθον καὶ τέταρτον περιοικηθῆναι λόφον, ὃς καλεῖται Βεζεθὰ, κείμενος μὲν ἀντικρὺ τῆς Ἀντωνίας, ἀποτεμνόμενος δὲ ὀρύγματι βαθεῖ (διεταφρεύθη γὰρ ἐπίτηδες), ὡς μὴ τῷ λόφῳ συνάπτοντες οἱ θεμέλιοι τῆς Ἀντωνίας εὐπρόσιτοί τε εἶεν καὶ ἧττον ὑψηλοί. Διὸ δὴ καὶ πλεῖστον ὕψος τοῖς πύργοις προσεδίδου τὸ βάθος τῆς τάφρου. Ἐπιχωρίως δὲ ἐκλήθη Βεζεθὰ τὸ νεόκτιστον μέρος, ὃ μεθερμηνευόμενον Ἑλλάδι γλώσσῃ καινὴ λέγοιτ' ἂν πόλις. Δεομένων οὖν τῶν ταύτῃ σκέπης, ὁ πατὴρ τοῦ νῦν βασιλέως καὶ ὁμώνυμος Ἀγρίππας ἄρχεται μὲν οὗ προείπομεν τείχους, δείσας δὲ Κλαύδιον Καίσαρα, μὴ τὸ μέγεθος τῆς κατασκευῆς ἐπὶ νεωτερισμῷ πραγμάτων ὑπονοήσῃ καὶ στάσεως, παύεται θεμελίους μόνον βαλόμενος. Καὶ γὰρ οὐδ' ἂν ἦν ἁλώσιμος ἡ πόλις, εἰ προὔκοπτε τὸ τεῖχος ὡς ἤρξατο. Λίθοις μέν γε εἰκοσιπήχεσι τὸ μῆκος καὶ τὸ εὖρος δεκαπήχεσι συνηρμόζετο, μήθ' ὑπορυγῆναι σιδήρῳ ῥᾳδίως μήθ' ὑπ' ὀργάνοις διασεισθῆναι δυναμένοις· δέκα πήχεις αὐτὸ τὸ τεῖχος ἐπλατύνετο, καὶ τὸ ὕψος πλεῖον μὲν ἂν ὡς εἰκὸς ἔσχε, μὴ διακωλυθείσης τῆς τοῦ καταρξαμένου φιλοτιμίας. Αὖθις δὲ, καίτοι μετὰ σπουδῆς ἐγειρόμενον ὑπὸ Ἰουδαίων, εἰς εἴκοσι πήχεις ἀνέστη· καὶ διπήχεις μὲν τὰς ἐπάλξεις, τριπήχεις δὲ τοὺς προμαχῶνας εἶχεν, ὡς τὸ πᾶν ὕψος εἰς εἴκοσι πέντε πήχεις ἀνατετάσθαι.

γ'. Τοῦ δὲ τείχους ὑπερεῖχον οἱ πύργοι πήχεις εἴκοσι μὲν εἰς εὖρος, εἴκοσι δὲ εἰς ὕψος, τετράγωνοί τε καὶ πλήρεις ὥσπερ αὐτὸ τὸ τεῖχος ὄντες· ἥ γε μὴν ἁρμονία καὶ τὸ κάλλος τῶν λίθων οὐδὲν ἀπέδει ναοῦ. Μετὰ δὲ τὸ ναστὸν ὕψος τῶν πύργων, ἥπερ ἦν εἰκοσίπηχυ, πολυτελεῖς ἦσαν οἶκοι, καὶ καθύπερθεν ὑπερῷα, δεξαμεναί τε πρὸς τὰς τῶν ὑετῶν ὑποδοχὰς ἐκεῖ πλεῖσται καὶ πλατεῖαι καθ' ἕκαστον ἄνοδοι. Τοιούτους μὲν οὖν πύργους τὸ τρίτον τεῖχος εἶχεν ἐνενήκοντα· τὰ δὲ μεταπύργια τούτων ἀνὰ πήχεις διακοσίους. Τὸ δὲ μέσον εἰς τεσσαρεσκαίδεκα πύργους, τὸ δὲ ἀρχαῖον εἰς ἑξήκοντα μεμέριστο. Τῆς πόλεως δὲ ὁ πᾶς κύκλος σταδίων ἦν τριάκοντα τριῶν. Θαυμασίου δὲ ὄντος τοῦ τρίτου τείχους, θαυμασιώτερος ἀνεῖχε κατὰ γωνίαν βόρειός τε καὶ πρὸς δύσιν ὁ ψήφινος πύργος, καθ' ὃν

cebat a porta quam Gennath vocabant, quæ primi muri erat, solumque septemtrionalem tractum ambiens ad Antoniam usque pertingebat. Tertio autem muro initium dabat turris Hippica, unde versus borealem tractum sese extendens ad turrim usque Psephinam, deinde protendens sese ex adverso monumenti Helenæ (quæ Adiabenorum regina erat et Izatæ regis mater), et per speluncas regias in longum ductus flectebatur in angulari turri prope monumentum Fullonis dictum, antiquo autem muro conjunctus desinebat in vallem Cedronem quæ appellatur. Hoc muro eam civitatis partem, quæ antiquæ accreverat, circumdedit rex Agrippa, quum antea esset omnis nuda. Multitudine enim exuberans civitas paulatim extra mœnia serpebat; quumque templi septemtrionalia colli proxima domibus complerentur, non parum processum est extra veteres colles, ita ut quartus ædificiis occuparetur collis, cui nomen Bezetha, ex adverso quidem Antoniæ situs, inde vero abscissus fossa profunda (nam de industria ducta erat fossa), ne Antoniæ fundamenta, si colli cohærerent, accessu facilia essent et minus edita. Quo factum est ut fossæ profunditas plurimum altitudinis turribus adjiceret. Pars autem illa civitatis quæ veteri accesserat voce patria Bezetha appellata est, quæ, si Græce eam interpretemur, Cænopolis (*Urbs nova*) dici posset. Quum ergo qui illic habitarent tegumento muri opus haberent, regis præsentis pater eique cognominis Agrippa murum quidem jam memoratum inchoat; veritus autem Claudium Cæsarem, ne constructionis magnitudinem in novarum rerum studii et seditionis suspicionem traheret, jactis tantummodo fundamentis destitit ab opere. Etenim inexpugnabilis exstitisset civitas, si murum, uti cœperat, perfecisset. Saxa enim, quibus construebatur, erant cubitos quidem viginti longa, decem vero lata, ut nec ferro facile suffodi possent, nec machinis loco dimoveri: bisque factus est murus ipse in latitudinem decem cubitorum, ac in majorem, ut consentaneum est, altitudinem surrexisset, si magnificentia illius qui eum inchoaverat non inhibita fuisset. Postea vero idem murus, utpote studiose ab Judæis excitatus, ad viginti cubitos attollitur; et minas quidem binis cubitis, propugnacula vero trium habebat: adeo ut tota altitudo ad viginti quinque cubitos assurgeret.

3. Murum autem supereminebant turres, viginti quidem cubitis in latitudinem, viginti etiam in altitudinem, quadratæ et solidæ sicut et ipse murus præterea junctura et pulchritudine lapidum nihil cedebant templo. Supra vero solidam turrium altitudinem ad viginti cubitos magnifici erant œci, iisque superimposita cœnacula, et cisternæ ad aquas pluviales illic recipiendas plurimæ, et lati ad singula gradus quibus ascendebatur. Atque turres quidem ejusmodi tertius iste murus nonaginta habebat; earum autem intervalla erant ducentorum cubitorum. Medius vero murus in quattuordecim turres, et antiquus in sexaginta divisus erat. Urbis autem circuitus universus erat stadiorum triginta trium. At quum totus esset admirabilis tertius ille murus, admirabilior tamen adhuc erat Psephina turris, quæ in angulo ad septemtrionem et occidentem sito

ἐστρατοπεδεύσατο Τίτος. Ἐπὶ γὰρ ἑβδομήκοντα πήχεις ὑψηλὸς ὢν Ἀραβίαν τε ἀνίσχοντος ἡλίου παρεῖχεν ἀφορᾶν καὶ μέχρι θαλάττης τὰ τῆς Ἑβραίων κληρουχίας ἔσχατα. Ὀκτάγωνος δὲ ἦν. Τούτου δὲ ἄντικρυς ὁ Ἱππικὸς, καὶ παρ' αὐτὸν δύο κατεσκευάσθησαν μὲν ὑφ' Ἡρώδου τοῦ βασιλέως ἐν τῷ ἀρχαίῳ τείχει, μέγεθος δὲ καὶ κάλλος ἦσαν καὶ ὀχυρότητα τῶν κατὰ τὴν οἰκουμένην διάφοροι. Πρὸς γὰρ τῷ φύσει μεγαλοψύχῳ καὶ τῇ περὶ τὴν πόλιν φιλοτιμίᾳ τὴν ὑπεροχὴν τῶν ἔργων ὁ βασιλεὺς πάθεσιν οἰκείοις ἐχαρίζετο, καὶ τρισὶ τοῖς ἡδίστοις προσώποις ἀφ' ὧν ὠνόμασε τοὺς πύργους, ἀδελφῷ καὶ φίλῳ καὶ γυναικὶ, τὴν μνήμην ἀνέθηκε· τὴν μὲν, ὡς προειρήκαμεν, κτείνας δι' ἔρωτα, τοὺς δὲ ἀποβαλὼν ἐν πολέμῳ γενναίως ἀγωνισαμένους. Ὁ μὲν οὖν Ἱππικὸς, ἀπὸ τοῦ φίλου προσαγορευθεὶς, τετράγωνος μὲν ἦν, εὖρος δὲ καὶ μῆκος εἴκοσι καὶ πέντε πηχῶν ἕκαστος καὶ ὕψος τριάκοντα, οὐδαμοῦ διάκενος. Ὑπὲρ δὲ τὸ πλῆρες καὶ ταῖς πέτραις συνηνωμένον εἰς ἐκδοχὴν τῶν ὄμβρων εἰκοσίπηχυς λάκκος ἦν τὸ βάθος. Ἐπάνω δὲ τούτου δίστεγος οἶκος ἦν, ὅσον εἴκοσι καὶ πέντε πηχῶν τὸ ὕψος, εἰς ποικίλα διηρημένος, ὑπὲρ ὃν τύρσεις μὲν διπήχεις, προμαχῶνες δὲ περιβέβληντο τριπήχεις· ὡς τὸ πᾶν ὕψος εἰς ὀγδοήκοντα πήχεις συναριθμεῖσθαι. Ὁ δὲ δεύτερος πύργος, ὃν ὠνόμασεν ἀπὸ τἀδελφοῦ Φασάηλον, τὸ μὲν πλάτος καὶ τὸ μῆκος ἴσον εἶχε, τεσσαράκοντα πηχῶν ἕκαστον, ἐπὶ τεσσαράκοντα δ' ἦν τὸ ναστὸν αὐτοῦ ὕψος. Ἐπάνω δ' αὐτοῦ περιήει στοὰ δεκαπήχης τὸ ὕψος, θωρακείοις τε καὶ προβόλοις σκεπομένη. Μέσην δ' ὑπερῳκοδόμητο τὴν στοὰν πύργος ἕτερος, εἴς τε οἴκους πολυτελεῖς καὶ δὴ καὶ βαλανεῖον διηρημένος, ὡς μηδὲν ἐνδέοι τῷ πύργῳ βασίλειον δοκεῖν. Τὰ δὲ ἄκρα τοῖς προμαχῶσι καὶ ταῖς τύρσεσι μᾶλλον ἢπερ ὁ πρὸ αὐτοῦ κεκόσμητο. Πηχῶν δὴ τὸ πᾶν ὕψος, ὡς ἐνενήκοντα, καὶ τὸ μὲν σχῆμα παρεῴκει τῷ κατὰ τὴν Φάρον ἐκπυρσεύοντι τοῖς ἐπ' Ἀλεξανδρείας πλέουσι, τῇ περιοχῇ δὲ πολὺ μεῖζον ἦν. Τηνικαῦτά γε μὴν τυραννεῖον ἀπεδείχθη τοῦ Σίμωνος. Ὁ δὲ τρίτος πύργος ἡ Μαριάμμη (τοῦτο γὰρ ἡ βασιλὶς ἐκαλεῖτο) μέχρι μὲν εἴκοσι πηχῶν ναστὸς ἦν, εἴκοσι δὲ πήχεις εἰς εὖρος διέβαινε καὶ μῆκος ἴσον. Πολυτελεστέραν δὲ καὶ ποικιλωτέραν τῶν ἄλλων τὴν οἴκησιν εἶχεν ἐπάνω, τοῦ βασιλέως οἰκεῖον ὑπολαβόντος τὸν ἀπὸ γυναικὸς ὀνομασθέντα κεκοσμῆσθαι πλέον ἢ τοὺς ἀπ' ἀνδρῶν, ὥσπερ ἐκείνους τοῦ τῆς γυναικὸς ὀχυρωτέρους. Τούτου τὸ πᾶν ὕψος πεντήκοντα καὶ πέντε πηχῶν ἦν.

δ'. Τηλικοῦτοι δὲ ὄντες οἱ τρεῖς τὸ μέγεθος πολὺ μείζονες ἐφαίνοντο διὰ τὸν τόπον· αὐτό τε γὰρ τὸ ἀρχαῖον τεῖχος, ἐν ᾧ ἦσαν, ἐφ' ὑψηλῷ λόφῳ δεδόμητο, καὶ τοῦ λόφου καθάπερ κορυφή τις ὑψηλοτέρα προανεῖχεν εἰς τριάκοντα πήχεις, ὑπὲρ ἣν οἱ πύργοι κείμενοι πολὺ δή τι τοῦ μετεώρου προσελάμβανον. Θαυμάσιον δὲ καὶ τῶν λίθων ἦν τὸ μέγεθος. Οὐ γὰρ ἐξ εἰκαίας χερμάδος, οὐδὲ φορητῶν ἀνθρώποις πετρῶν συνειστήκεσαν, λευκὴ δὲ μάρμαρος ἐτμήθη· καὶ τὸ μὲν μῆκος ἑκάστης πηχῶν

surgebat, adversus quam Titus castra posuerat. Quum enim septuaginta cubitos alta esset, inde conspici poterat Arabia sole oriente, ultimique ad mare usque terræ Judæorum fines. Erat autem octangularis. Atqui ex adverso illius erat Hippicos, et juxta eam duæ ab Herode rege in veteri muro ædificatæ: quæ magnitudine et pulchritudine et firmitate universis, quæ toto orbe erant, præstabant. Nam præterquam quod rex natura esset magno et excelso animo et magnificentiæ studeret in urbe ornanda, in operum præcellentia animi sui affectibus gratificabatur, tribusque personis carissimis, a quibus turres appellavit, fratri scilicet et amico et conjugi, in memoriam consecravit: huic quidem, ut jam ante diximus, amoris causa ab ipso peremptæ, illis vero bello amissis quum fortiter strenueque dimicassent. Atque Hippica sane, ab amico denominata, quadrangularis quidem erat (cujus singula latera latitudine et longitudine viginti quinque cubitos patebant, altitudine vero erant triginta), nusquam inanis. Supra autem soliditatem saxisque adunatam compaginem imbribus excipiendis puteus erat viginti cubitos altus. Super eum vero domus erat gemino tabulato viginti quinque cubitos alta, et in varia membra divisa, cui impositæ erant minæ quidem ad duos, propugnacula vero ad tres cubitos assurgentia, ita ut tota altitudo ad octoginta cubitos numeraretur. Secunda vero turris, quam de fratris nomine Phasaelum nominavit, æque tam in longitudinem quam in latitudinem quadraginta cubitos patebat, totidemque in altitudinem, tota solida. Hanc autem ambiebat porticus decem cubitos alta, loricis et propugnaculis septa. In media vero porticu superædificata erat alia turris in œcos etiam magnificos cum balneo divisa, ut nihil turri deesset quominus regia videretur. In fastigio autem minis et propugnaculis præ altero quem memoravimus magis ornata erat: adeoque tota ejus altitudo ad xc cubitos usque attollebatur; et specie quidem turri in Pharo quæ Alexandriam navigantibus ignem procul ostendit, similis erat, sed ambitu multo major. Ceterum tunc Simoni factum erat tyrannidis domicilium. Tertia autem turris Mariamne dicta (ita enim vocabatur regina) usque ad viginti quidem cubitos solida erat, viginti vero cubitos lata pariterque alta. Diversoria autem ceteris magnificentiora et ornatiora sustinebat, rege quippe idoneum arbitrante, ut turri de uxoris nomine appellatæ plus ornatus adhiberetur, quam illis quæ a viris nomen traxerunt; sicut illæ hac munitiores erant, cui femina nomen dederat. Hujus tota altitudo erat quinquaginta quinque cubitorum.

4. Quum autem tantæ essent magnitudinis tres illæ turres, ex loci situ multo majores esse videbantur: nam et ipse antiquus murus, cui erant inædificatæ, in excelso colle exstructus fuerat, et magis quam collis eminebat ad triginta cubitos, supra quem verticem turres illæ positæ multum sublimitatis inde assumebant. Mirabilis autem etiam lapidum erat magnitudo. Non enim ex vulgaribus lapidibus, saxisve quæ homines ferre possent, constructæ erant, verum ex secto marmore candido, singulis quidem saxis viginti

ἦν εἴκοσι, δέκα δὲ εὖρος, καὶ βάθος πέντε. Συνήνωντο δ' ἐπ' ἀλλήλοις, ὡς δοκεῖν ἕκαστον πύργον μίαν εἶναι πέτραν ἀναπεφυκυῖαν, ἔπειτα δὲ περιεξέσθαι χερσὶ τεχνιτῶν εἰς σχῆμα καὶ γωνίας· οὕτως οὐδαμόθεν ἡ συνάφεια τῆς ἁρμονίας διεφαίνετο. Κειμένοις δὲ πρὸς ἄρκτον αὐτοῖς ἔνδοθεν ἡ τοῦ βασιλέως αὐλὴ προσέζευκτο, παντὸς λόγου κρείσσων. Οὔτε γὰρ πολυτελείας οὔτε κατασκευῆς τινὸς ἔλειπεν ὑπερβολήν, ἀλλὰ τετείχιστο μὲν ἅπασα τριάκοντα πήχεις τὸ ὕψος κύκλῳ κατ' ἴσον διάστημα, κεκοσμημένοις δὲ πύργοις διείληπτο, ἀνδρῶσί τε μεγίστοις, καὶ εἰς ξενῶνας ἑκατονταklίνους· ἐν οἷς ἀδιήγητος μὲν ἡ ποικιλία τῶν λίθων ἦν (συνῆκτο γὰρ πολὺς ὁ πανταχοῦ σπάνις), θαυμασταὶ δ' ὀροφαί, μήκει τε δοκῶν καὶ λαμπρότητι προκοσμημάτων. Οἴκων δὲ πλῆθος, καὶ διαφοραὶ σχημάτων περὶ τούτους μυρίαι· πᾶσί γε μὴν ἀποσκευαὶ πλήρεις, καὶ τὰ πλείω τῶν ἐν ἑκάστοις κειμένων ἐξ ἀργύρου τε καὶ χρυσοῦ· περίστοα δὲ δι' ἀλλήλων ἐν κύκλῳ πολλὰ καὶ στῦλοι πρὸς ἑκάστῳ διάφοροι. Τά γε μὴν τούτων ὕπαιθρα πανταχοῦ χλοερά· καὶ ποικίλαι μὲν ὗλαι, μακροὶ δὲ δι' αὐτῶν περίπατοι, καὶ περὶ τούτους εὔριποι βαθεῖς δεξάμεναί τε πολλαχοῦ χαλκουργημάτων περίπλεοι, δι' ὧν τὸ ὕδωρ ἐξεχεῖτο, καὶ πολλοὶ περὶ τὰ νάματα πύργοι πελειάδων ἡμέρων. Ἀλλὰ γὰρ οὔθ' ἑρμηνεῦσαι δυνατὸν ἀξίως τὰ βασίλεια καὶ φέρει βάσανον ἡ μνήμη, τὰς τοῦ λῃστρικοῦ πυρὸς δαπάνας ἀναφέρουσα· οὐ γὰρ ταῦτα Ῥωμαῖοι κατέφλεξαν, ἀλλ' ὑπὸ τῶν ἔνδον ἐπιβούλων, ὡς προειρήκαμεν, ἐν ἀρχῇ τῆς ἀποστάσεως· καὶ ἀπὸ μὲν τῆς Ἀντωνίας ἤρξατο τὸ πῦρ, μετέβη δ' ἐπὶ τὰ βασίλεια, καὶ τῶν τριῶν πύργων τὰς στέγας ἐπενεμήθη.

ΚΕΦ. Ε'.

Τὸ δὲ ἱερὸν ὕρθρυτο μέν, ὥσπερ ἔφην, ἐπὶ λόφου καρτεροῦ, κατ' ἀρχὰς δὲ μόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐτοῦ τῷ τε ναῷ καὶ τῷ βωμῷ· τὰ γὰρ πέριξ ἀπόκρημνος ἦν καὶ κατάντης. Τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸ ναὸν ἔκτισε, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, εἶτ' ἐτέθη μία στοὰ τῷ χώματι· καὶ κατά γε τὰ λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. Τοῖς δ' ἐξῆς αἰῶσιν, ἀεί τι τοῦ λαοῦ προσχωννύντος, ἀνισούμενος ὁ λόφος ηὐρύνετο. Διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος τοσοῦτον προσέλαβον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. Τειχίσαντες δὲ ἐκ βίζης τριχῇ κύκλῳ τὸν λόφον, καὶ μεῖζον ἐλπίδος ἐκπονήσαντες ἔργον (εἰς ὃ μακροὶ μὲν ἐξανηλώθησαν αἰῶνες αὐτοῖς καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες, οὓς ἀνεπίμπλασαν οἱ παρὰ τῆς οἰκουμένης δασμοὶ πεμπόμενοι τῷ Θεῷ), τούς τε ἄνω περιβόλους καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. Τούτου τὸ ταπεινότατον ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηγῶν, κατὰ δέ τινας τόπους ἐκ πλείονος. Οὐ μέντοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων· ἐπὶ πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας, ἀνισοῦν βουλόμενοι τοὺς στενωποὺς τοῦ ἄστεως. Πέτραι δὲ

cubitos longis, decem vero latis, et quinque altis. Tam apte autem inter se conjuncta erant, ut singulæ turres singula saxa viderentur a natura facta, ac deinde manibus artificum in faciem angulosque efformata: adeo nusquam compaginis junctura deprehendi potuit. His autem, in septemtrionali muri parte positis, intus conjuncta erat regia, omni narratione superior: ut quæ operis aut apparatus cujuscunque magnificentia superari non potuerit, sed tota quidem muro triginta cubitos alto cincta erat, et in circuitu turribus ornatissimis æquali distantia positis distincta, maximisque cœnaculis, quæ centum virorum lectos caperent, instructa; in quibus inenarrabilis erat lapidum varietas: nam quicquid illorum ubique rarum, magna copia collectum erat. Tecta etiam et laquearia ob trabium longitudinem et ornamentorum magnificentiam miranda. Cubiculorum item ingens multitudo, et figurarum circa illa multiplex varietas; atque omnia supellectile pretiosissima, vasisque, quorum pleraque aurea et argentea erant, instructa: peristylia vero multa, alia post alia in circulum, singula variis columnis ornata. Quæ vero illorum spatia sub dio erant, viriditate ubique gaudebant: et variæ quidem silvæ erant, inque iis prolixa ambulacra, et circa ea profundi euripi, cisternæque passim signis æreis abundantes, per quæ aqua effundebatur, et circa latices multæ cicurum columbarum turres. Sed enim regia, qualis fuerit, pro dignitate exponi nequit, et memoriæ cruciatus adhiberetur, si quis referret, quantas res consumpserit flamma latrocinalis: nec enim ista omnia a Romanis incensa erant, sed ab insidiatoribus intestinis, ut jam ante diximus, sub defectionis initium; atque primum quidem in Antoniam invasit ignis; inde autem transiit in regiam, triumque turrium tecta depastus est.

CAP. V. (XIV.)

Fanum autem, ut dixi, supra arduum quidem collis jugum conditum erat: quumque ædificari cœptum esset, vix templo et aræ sufficiebat planities in illius vertice: nam undique præceps erat atque declivis. Quum autem rex Solomon, idem qui templum exstruxit, partem ejus ad orientem muro cinxisset, tum terræ illic aggestæ porticus una imposita erat: et ex aliis partibus nudum manebat templum. Progressu autem temporis, quum semper aliquid aggeris populus accumularet, coæquatus collis latior effectus est. Deinde etiam muro ad septemtrionem perrupto, tantum assumpsere spatii, quantum postea totius fani ambitus includebat. Quum autem a fundamentis triplici muro collem circumdedissent, et in opere magis quam sperandum erat elaborassent (in quo longa sæcula consumpta erant omnesque thesauri sacri, quos ex toto orbe missa Deo tributa repleverant), tam superiorem ambitum quam templum interius ædificarunt. Cujus quod humillimum erat, ad trecentos cubitos excitarunt, in quibusdam vero locis ad plures. Non tamen omnis fundamentorum altitudo apparebat: nam magna ex parte valles terra aggesta repletæ erant, ut urbis angiportus eas adæquarent. Saxis vero in exstructione usi

τεσσαρακονταπήχεις τὸ μέγεθος ἦσαν τοῦ δομήματος. Ἡ τε γὰρ δαψίλεια τῶν χρημάτων καὶ ἡ τοῦ λαοῦ φιλοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπισθὲν ἔξειν πέρας ἐπὶ μονῇ καὶ χρόνοις ἦν ἀνύσιμον.

β'. Ἦν δὲ ἄξια τῶν τοιούτων θεμελίων καὶ τὰ ὑπὲρ αὐτῶν ἔργα. Διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι, κίονες δ' αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ὑφεστήκεσαν, μονόλιθοι λευκοτάτης μαρμάρου, κεδρίνοις δὲ φατνώμασιν ὠρόφωντο. Τούτων ἡ μὲν φυσικὴ πολυτέλεια καὶ τὸ εὔξεστον καὶ τὸ ἁρμόνιον παρεῖχε θεωρίαν ἀξιόλογον, οὐδενὶ δὲ ἔξωθεν οὔτε ζωγραφίας οὔτε γλυφίδος ἔργῳ προσηγλάϊστο. Καὶ πλατεῖαι μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις, ὁ δὲ πᾶς κύκλος αὐτῶν εἰς ἓξ σταδίους συνεμετρεῖτο, περιλαμβανομένης καὶ τῆς Ἀντωνίας. Τὸ δὲ ὕπαιθρον ἅπαν πεποίκιλτο παντοδαπῶν λίθων κατεστρωμένον. Διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱερὸν δρύφακτος περιβέβλητο λίθινος, τρίπηχυς μὲν ὕψος, πάνυ δὲ χαριέντως διειργασμένος. Ἐν αὐτῷ δ' εἱστήκεσαν ἐξ ἴσου διαστήματος στῆλαι, τὸν τῆς ἁγνείας προσημαίνουσαι νόμον, αἱ μὲν Ἑλληνικοῖς, αἱ δὲ Ῥωμαϊκοῖς γράμμασι, μὴ δεῖν ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι. Τὸ γὰρ δεύτερον ἱερὸν ἅγιον ἐκαλεῖτο. Καὶ τεσσαρεσκαίδεκα μὲν βαθμοῖς ἦν ἀναβατὸν ἀπὸ τοῦ πρώτου, τετράγωνον δὲ ἄνω καὶ τείχει περιπεφραγμένον ἰδίῳ. Τούτου τὸ μὲν ἔξωθεν ὕψος, καίπερ τεσσαράκοντα πηχῶν ὑπάρχον, ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο, τὸ δὲ ἔνδον εἰκοσι καὶ πέντε πηχῶν ἦν. Πρὸς γὰρ ὑψηλοτέρῳ δεδομημένου βαθμοῖς οὐκέτι ἦν ἅπαν εἴσω καταφανές, καλυπτόμενον ὑπὸ τοῦ λόφου. Μετὰ δὲ τοὺς τεσσαρεσκαίδεκα βαθμοὺς τὸ μέχρι τοῦ τείχους διάστημα πηχῶν ἦν δέκα, πᾶν ἰσόπεδον. Ἔνθεν ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον ἐπὶ τὰς πύλας, αἱ ἀπὸ μὲν ἄρκτου καὶ μεσημβρίας ὀκτώ, καθ' ἑκάτερον τέσσαρες, δύο δ' ἦσαν ἐξ ἀνατολῆς κατ' ἀνάγκην· διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς γυναιξὶν ἰδίου πρὸς θρησκείαν χώρου, ἔδει δευτέραν εἶναι πύλην· τέτμητο δ' αὕτη τῆς πρώτης ἀντικρύς. Κἀκ τῶν ἄλλων κλιμάτων μία μεσημβρινὴ πύλη καὶ μία βόρειος, δι' ἧς εἰς τὴν γυναικωνῖτιν εἰσῆγον· κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξῆν παρελθεῖν γυναιξίν, ἀλλ' οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα. Ἀνεῖτό γε μὴν ταῖς τε ἐπιχωρίοις καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. Τὸ δὲ πρὸς δύσιν μέρος οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. Αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ τοῦ τείχους, ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζοφυλακίων, σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν· ἦσαν δ' ἁπλαῖ, καὶ ἄνευ τοῦ μεγέθους τῶν κάτω κατ' οὐδὲν ἀπελείποντο.

γ'. Τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ κεκαλυμμέναι πανταχόθεν ἦσαν, ὁμοίως τε παραστάδες καὶ τὰ ὑπέρθυρα· μία δ' ἡ ἔξωθεν τοῦ νεὼ Κορινθίου χαλκοῦ, πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περισunt quadragenorum cubitorum magnitudinis. Nam et pecuniæ abundantia et populi liberalitas plus quam dici potest structuram procedere faciebat : et quod absolvi posse ne sperabatur quidem, perseverantia et temporis diuturnitate perfectum erat.

2. Tantis autem fundamentis digna erant opera illis imposita. Nam porticus quidem omnes duplices erant; eas vero sustinuerunt columnæ quinis et vicenis cubitis altæ, singulis e saxis marmore candidissimo : et cedrinis laquearibus tectæ erant. Illa utpote natura magnifica et bene polita, apteque et congruenter juncta spectaculum præbebant splendidum et memorabile, nullo autem aut pictoris aut sculptoris opere extrinsecus ornatum. Et latæ quidem erant ad triginta cubitos : omnis vero earum ambitus una cum Antonia sex stadiorum mensuram comprehendebat. At totum sub dio spatium variatum erat et omnigenis lapidibus stratum. Quum per hoc secundum ad templum ibatur, septum lapideum circumjectum erat trium quidem cubitorum altitudine, admodum vero affabre factum. Illic autem paribus intervallis dispositæ erant columnæ, ingressuros de lege munditiæ præmonentes, aliæ Græcis, aliæ Latinis literis, nemini licere alienigenæ in locum sanctum intrare. Sanctum enim vocabatur templum secundum. Et quattuordecim quidem gradibus eo ascendebatur a primo : illius vero area quadrata erat et proprio muro circumdata. Cujus exterior celsitudo, quamvis quadraginta cubitis surgeret, tamen gradibus tegebatur, interior autem viginti quinque cubitorum erat. Nam quum in altiori loco gradibus ædificaretur, non tota pars interior cernebatur, colle utpote obtecta. Post quattuordecim autem gradus spatium usque ad murum erat decem cubitorum, totumque erat planum. Hinc rursum aliæ quinque graduum scalæ ad portas ducebant, quæ a septemtrione quidem ac meridie octo erant, quaternæ utrinque, duæ vero ex oriente necessario : nam quum hic proprius locus religionis causa mulieribus muro discerneretur, altera quoque porta opus esse videbatur : hæc autem ex adverso prioris secta erat. Atque ex aliis regionibus una porta meridiana et una septemtrionalis, quibus ad mulierum atrium introibatur; per alias enim mulieribus non licebat ingredi, sed neque per suam ultra proprium sibi dicatum septum. Ceterum patebat locus non solum feminis Judæam habitantibus, sed etiam extra eam popularibus religionis causa venientibus. Occidua vero pars nullam portam habebat, sed perpetuo exstructus ibi erat murus. Porticus autem intra portas a muro aversæ intro ante gazophylacia, columnis ingentibus et pulcherrimis sustinebantur : erant autem simplices, et præter magnitudinem nulla in re ab inferioris septi porticibus differebant.

3. Portarum autem novem quidem auro et argento undique tectæ erant, una cum postibus et superliminari : una vero extra templum ex ære Corinthio, quæ multum argento inclusas et inauratas dignitate superabat. Et binæ quidem

χρύσους ὑπεράγουσα. Καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ ὕψος ἑκάστης, καὶ τὸ πλάτος ἦν πεντεκαίδεκα. Μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυνόμενοι παρ' ἑκάτερον τριάκοντα πήχεις ἐξέδρας εἶχον εὖρός τε καὶ μῆκος πυργοειδεῖς, ὑψηλαὶ δ' ὑπὲρ τεσσαράκοντα πήχεις. Δύο δ' ἀνεῖχον ἑκάστην κίονες, δώδεκα πηχῶν τὴν περισχὴν ἔχοντες. Καὶ τῶν μὲν ἄλλων ἴσον ἦν τὸ μέγεθος, ἡ δὲ ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ πολὺ μείζων· πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάτασιν, τεσσαρακονταπήχεις τὰς θύρας εἶχε, καὶ τὸν κόσμον πολυτελέστερον, ἐπὶ δαψιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ. Τοῦτον δὲ ταῖς ἐννέα πύλαις ἐπέχεεν ὁ Τιβερίου πατὴρ Ἀλέξανδρος. Βαθμοὶ δὲ πεντεκαίδεκα πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον· τῶν γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι.

δ'. Αὐτὸς δὲ ὁ ναὸς κατὰ μέσον κείμενος, τὸ ἅγιον ἱερὸν, δώδεκα βαθμοῖς ἦν ἀναβατός. Καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε καὶ εὖρος ἴσον ἀνὰ πήχεις ἑκατόν· κατόπιν δὲ τεσσαράκοντα πήχεσι στενότερος· ἔμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ' ἑκάτερον εἰκοσιπήχεις διέβαινον. Ἡ πρώτη δὲ αὐτοῦ πύλη, πηχῶν ἑβδομήκοντα τὸ ὕψος οὖσα, καὶ εὖρος εἴκοσι καὶ πέντε, θύρας οὐκ εἶχε· τοῦ γὰρ οὐρανοῦ τὸ ἀφανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε· κεχρύσωτο δὲ τὰ μέτωπα πάντα, καὶ δι' αὐτῆς ὅ τε πρῶτος οἶκος ἔσωθεν ἅπας κατεφαίνετο, μέγιστος ὢν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. Τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου, μόνος ὁ πρῶτος οἶκος προὔκειτο, καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπὶ ἐνενήκοντα πήχεις, μηκυνόμενος δὲ ἐπὶ πεντήκοντα, καὶ διαβαίνων ἐπὶ εἴκοσιν. Ἡ δὲ διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μὲν, ὡς ἔφην, πᾶσα, καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος· εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους, ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. Ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου ταπεινοτέρα τῆς ἔξωθεν ἦν, καὶ θύρας εἶχε χρυσᾶς πεντηκονταπέντε πηχῶν τὸ ὕψος, εὖρος δ' ἑκαίδεκα. Πρὸ δὲ τούτων ἰσόμηκες καταπέτασμα πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας, ἀξιαγάστως μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων. Ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δὲ ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ τὴν θάλασσαν, τῶν μὲν ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ, τὴν δὲ ἡ θάλασσα. Κατεγέγραπτο δὲ ὁ πέπλος πᾶσαν τὴν οὐράνιον θεωρίαν, πλὴν τῶν ζωδίων.

ε'. Παριόντας δ' εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέχετο. Τούτου τοίνυν τὸ μὲν ὕψος ἑξήκοντα πηχῶν, καὶ τὸ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. Τὸ δὲ ἑξηκοντάπηχυ πάλιν διῄρητο· καὶ τὸ

fores in singulis januis erant, et unaquæque triginta cubitis alta et quindecim lata erat. Atqui post introitum introrsum dilatatæ exhedras utrinque habebant triginta cubitos longas et latas, turris in modum exstructas, altas veros quadraginta cubitos et amplius. Singulas autem binæ columnæ duodenûm cubitorum ambitu sustinebant. Et ceterarum quidem par magnitudo erat: quæ vero supra Corinthiam ab oriente ex parte atrii feminarum recta in templi portam respiciebat, multo major: alta enim erat cubitos quinquaginta, lata vero quadraginta, cum foribus paris magnitudinis, quæ magnificentiore cultu et ornatu decoratæ erant, crassioribus scilicet auri et argenti laminis vestitæ. Illud vero quicquid erat auri et argenti, novem istis portis infundi curaverat pater Tiberii Alexander. Gradus autem quindecim a muro, qui mulieres segregabat, ad majorem portam ducebant: illis enim quinque gradibus, qui ad ceteras portas ferebant, erant breviores.

4. Ipsum vero templum in medio positum, id est sacrosanctum, duodecim gradibus ascendebatur. Et a fronte quidem ejus altitudo et latitudo par, centum cubitorum; pone vero quadraginta cubitis erat angustius; nam a fronte duo veluti humeri utrinque viginti cubitos ultra templi latera producebantur. Prima autem ejus porta, septuaginta cubitis alta et lata viginti quinque, fores non habebat (cœlum enim undique conspicuum et ubique patens significabat); omnis vero ejus frons erat inaurata, perque eam prima ædes intus tota apparebat, quæ maxima erat; quæque circa interiorem portam erant, tota auro coruscantia, aspicientibus occurrebant. Quum autem interior ejus pars contignatione intersepta esset, sola prima domus patebat, et perpetuam in altitudinem surgebat ad nonaginta cubitos, in longitudine vero quinquaginta cubitûm erat, et viginti in transversum. At interior in propylæo porta inaurata erat, ut dixi, tota, totusque circum eam paries: desuper autem habebat aureas vites, unde botri statura humana dependebant. Verum quia ædes mediam coaxationem habebat, interior erat exteriori humilior; foresque aureas habebat quinquaginta quinque cubitorum altitudine, latitudine vero sedecim. Foribus autem oppansum aulæum pari longitudine peplum erat Babylonium, variatum ex hyacintho et bysso et cocco et purpura, opere quidem mirabili contextum, contemplatione vero non indignam materiæ permixtionem habens, sed omnium rerum veluti imaginem. Nam cocco quidem ignis significari videbatur, bysso vero terra, hyacintho autem aer, ac purpura mare: illis quidem, propter colorum similitudinem, bysso autem et purpura, ex origine sua, quoniam byssum quidem terra, mare autem purpuram gignit. Eratque in peplo descripta omnis cœli ratio, exceptis signis.

5. Introgredientes autem pars templi inferior excipiebat. Jam vero ejus altitudo quidem erat cubitorum sexaginta et longitudo totidem, latitudo autem cubitorum viginti. At rursus divisi erant hi cubiti sexaginta: et prima quidem

16.

μὲν πρῶτον μέρος ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις, εἶχεν ἐν αὐτῷ τρία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις ἔργα, λυχνίαν, τράπεζαν, θυμιατήριον. Ἐνέφαινον δὲ οἱ μὲν ἑπτὰ λύχνοι τοὺς πλανήτας (τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διῃρῆντο τῆς λυχνίας), οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα τόν τε ζωδιακὸν κύκλον καὶ τὸν ἐνιαυτόν. Τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαίδεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο καὶ τῆς ἀοικήτου καὶ οἰκουμένης, ἐσήμαινεν ὅτι τοῦ Θεοῦ πάντα καὶ τῷ Θεῷ. Τὸ δ' ἐνδοτάτω μέρος εἶχοσι μὲν ἦν πηχῶν, διεῖργετο δ' ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. Ἔκειτο δ' οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. Περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ δι' ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοὶ καὶ παρ' ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. Τὸ δὲ ὑπερῷον μέρος τούτους μὲν οὐκέτ' εἶχε τοὺς οἴκους, παρόσον ἦν καὶ στενότερον, ὑψηλότερον δ' ἐπὶ τεσσαράκοντα πήχεις καὶ λιτότερον τοῦ κάτω. Συνάγεται δὲ οὕτω πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

ς'. Τὸ δ' ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτε εἰς ψυχῆς οὔτε εἰς ὀμμάτων ἔκπληξιν ἀπέλιπε. Πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν, ὑπὸ τὰς πρώτας ἀνατολὰς πυρωδεστάτην ἀπέπαλλεν αὐγὴν καὶ τῶν βιαζομένων ἰδεῖν τὰς ὄψεις ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεφε. Τοῖς γε μὴν εἰσαφικνουμένοις ξένοις πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο· καὶ γὰρ καθὰ μὴ κεχρύσωτο λευκότατος ἦν. Κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχε τεθηγμένους, ὡς μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. Τῶν δὲ ἐν αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν, ὕψος πηχῶν πέντε, εὖρος δὲ ἕξ. Πρὸ αὐτοῦ δ' ὁ βωμὸς πεντεκαίδεκα μὲν ὕψος ἦν πηχῶν, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον, ἀνὰ πεντήκοντα πήχεις. Τετράγωνος δ' ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας ἐπ' αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο. Κατεσκευάσθη δ' ἄνευ σιδήρου, καὶ οὐδέποτε ἔψαυεν αὐτοῦ σίδηρος. Περιέστεφε δὲ τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ χαρίεν γείσιον, ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον ἀπὸ τῶν ἱερέων. Γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη διείργετο, γυναικῶν δὲ ἐμμηνίοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπομεν ὅρον. Ἀνδρῶν δ' οἱ μὴ κατὰ πᾶν ἡγνευκότες εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ μὴ καθαρεύοντες εἴργοντο.

(ΙΕ'.) ζ'. Τῶν δὲ ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλειτούργουν, παρῆσάν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ γείσιου, καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε μὴν ἐσθῆσιν ἰδιωτικαῖς ἐχρῶντο· τὴν γὰρ ἱερὰν ὁ λειτουργῶν ἠμφιέννυτο μόνος. Ἐπὶ δὲ τὸ θυσιαστήριον καὶ τὸν ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων ἄμωμοι, βύσσον μὲν ἀμπεχόμενοι, μάλιστα δ' ἀπὸ ἀκράτου

pars, ad quadraginta cubitos abscissa, in se habebat tria opera maxime mirabilia et omnium hominum sermone celebrata, lychnuchum, et mensam, et thuribulum. Et septem quidem lucernæ planetas significabant (tot enim ab ipso exibant lychnucho), duodecim vero panes in mensa positi circulum Zodiacum et annum. Thuribulum autem per tredecim odores, quibus replebatur ex mari et terra inhabitabili habitataque, indicabant omnia Dei esse Deique in usum. Intima vero pars viginti quidem cubitorum erat: discernebatur autem similiter velo ab exteriore. Nihil prorsus in illo erat positum, inaccessum vero erat et inviolabile, et quod a nemine videri posset, sanctique sanctum vocabatur. Circa autem latera inferioris templi multæ erant domunculæ mutuo perviæ cum triplici tecto, inque eas e templi porta utrinque patebat ingressus. Superior autem pars istas domunculas non habebat, quo magis erat angusta; altior autem ad quadraginta cubitos magis angusta quam inferior. Colligitur enim ea ratione, cum sexaginta ejus quæ in solo, universa altitudo centum cubitorum.

6. Exterior autem ejus facies nihil habuit quod animus et oculi non mirarentur. Laminis enim gravissimis aureis undiquaque obtecta erat, ita ut primum ad solis exortum igni simillimum ejacularetur splendorem, et oculos eorum, qui eam intueri necesse haberent, quasi radiis solaribus inde averteret. Porro hospitibus advenientibus e longinquo monti niveo similis videbatur: nam ubi deaurata non erat, candidissimo marmore constabat. Atque in fastigio aureis verubus horrebat, idque acutissimis, ne ab insidentibus avibus inquinaretur. Saxorum autem, quibus exstructum erat templum, quædam erant quadraginta quinque cubitos longa, alta quinque, et lata sex. Ara vero pro templo quindecim cubitos alta erat, longa vero pariterque lata ad quinquaginta cubitos. Quadrata autem collocata erat, angulos habens instar cornuum prominentes, et a meridie ascensus in eam leniter acclivis resupinabatur. Sine ferro autem constructa erat, neque unquam ferrum eam tetigerat. Ceterum templum et aram cingebat lorica quædam ex saxo pulchro aspectuque grato ad cubitum unum quasi assurgens, quæ populum a sacerdotibus segregabat. Et gonorrhæa quidem laborantes itemque leprosi tota urbe arcebantur, et mulieribus in mensium profluvio clausa erat, istisque, ne quum mundæ quidem essent, limitem de quo diximus transgredi licebat. Viri autem qui non per omnia purificati erant ab interiore septo arcebantur, et e sacerdotibus qui puri non essent similiter excludebantur.

(XV.) 7. Quicunque autem ex genere sacerdotum ob defectum aliquem non ministrabant, simul aderant intra loricam cum reliquis qui integro erant corpore, partesque sacrificiorum jure generis accipiebant; ceterum vestibus plebeiis utebantur: nam sacra veste is solus indutus erat qui ministrabat. Ad altare autem templumque ascendebant de sacerdotibus illi qui puri et integro erant corpore, byssina

νήφοντες δέει τῆς θρησκείας, ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ. Ὁ δὲ ἀρχιερεὺς ἀνῄει μὲν σὺν αὐτοῖς, ἀλλ' οὐκ ἀεί, ταῖς δ' ἑβδομάσι καὶ νουμηνίαις καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις πάνδημος ἀγομένη δι' ἔτους. Ἐλειτούργει δὲ τοὺς μηροὺς μὲν ἄχρις αἰδοίου διαζώσματι καλύπτων, λινοῦν τε ὑποδύτην ἔνδοθεν λαμβάνων, καὶ ποδῆρες καθύπερθεν ὑακίνθινον ἔνδυμα στρογγύλον, θυσανωτὸν ἔργον. Τῶν δὲ θυσάνων ἀπήρτηντο κώδωνες χρύσεοι καὶ ῥοιαὶ παράλληλοι, βροντῆς μὲν οἱ κώδωνες, ἀστραπῆς δ' αἱ ῥοιαὶ σημεῖον. Ἡ δὲ τὸ ἔνδυμα τῷ στέρνῳ προσηλοῦσα ταινία πέντε διηνθισμένη ζώναις πεποίκιλτο, χρυσοῦ τε καὶ πορφύρας καὶ κόκκου, πρὸς δὲ βύσσου καὶ ὑακίνθου, δι' ὧν ἔφαμεν καὶ τὰ τοῦ ναοῦ καταπετάσματα συνυφάνθαι. Τούτοις δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ πλείων χρυσὸς ἦν. Σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν. Δύο δ' αὐτὴν ἐνεπόρπουν ἀσπιδίσκαι χρυσαῖ, κατεκέκλειντο δ' ἐν ταύταις κάλλιστοί τε καὶ μέγιστοι σαρδώνυχες, τοὺς ἐπωνύμους τῶν τοῦ ἔθνους φυλῶν ἐπιγεγραμμέναι. Κατὰ δὲ θάτερον ἄλλοι προσήρτηντο λίθοι δώδεκα, κατὰ τρεῖς εἰς τέσσαρα μέρη διηρμένοι, σάρδιον τόπαζος σμάραγδος, ἄνθραξ ἴασπις σάπφειρος, ἀχάτης ἀμέθυστος λιγύριον, ὄνυξ βήρυλλος χρυσόλιθος· ὧν ἐφ' ἑκάστου πάλιν εἷς τῶν ἐπωνύμων ἐγέγραπτο. Τὴν δὲ κεφαλὴν βυσσίνη μὲν ἔσκεπε τιάρα, κατέστεπτο δ' ὑακίνθῳ· περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος ἔκτυπα φέρων τὰ ἱερὰ γράμματα· ταῦτα δέ ἐστι φωνήεντα τέσσαρα. Ταύτην μὲν οὖν τὴν ἐσθῆτα οὐκ ἐφόρει τὸν ἄλλον χρόνον, λιτοτέραν δ' ἀνελάμβανεν, ὁπότε δὲ εἰσοῖοι εἰς τὸ ἄδυτον· εἰσῄει δ' ἅπαξ κατ' ἐνιαυτὸν μόνος, ἐν ᾗ νηστεύειν ἔθος ἡμέρᾳ πάντας τῷ Θεῷ. Καὶ τὰ μὲν περὶ τῆς πόλεως καὶ τοῦ ναοῦ, τῶν τ' ἐπὶ τούτοις ἐθῶν καὶ νόμων, αὖθις ἀκριβέστερον ἐροῦμεν· οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται λόγος.

η'. Ἡ δὲ Ἀντωνία κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο τοῦ πρώτου ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν καὶ τῆς πρὸς ἄρκτον· δεδόμητο δ' ὑπὲρ πέτρας πεντηκονταπήχους μὲν ὕψος, περικρήμνου δὲ πάσης. Ἔργον δ' ἦν Ἡρώδου βασιλέως, ἐν ᾧ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. Πρῶτον μὲν γὰρ ἐκ ῥίζης ἡ πέτρα πλαξὶ κεκάλυπτο λείαις λίθων, εἴς τε κάλλος καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ προσβαίνειν καὶ κατιέναι πειρώμενος· ἔπειτα πρὸ τῆς τοῦ πύργου δομήσεως τριῶν πηχῶν τεῖχος ἦν, ἐνδοτέρω δὲ τούτου τὸ πᾶν διάστημα τῆς Ἀντωνίας ἐπὶ τεσσαράκοντα πήχεις ἠγείρετο. Τὸ δὲ ἔνδον βασιλείων εἶχε χώραν καὶ διάθεσιν. Μεμέριστο γὰρ εἰς πᾶσαν οἴκων ἰδέαν τε καὶ χρῆσιν, περίστοά τε καὶ βαλανεῖα καὶ στρατοπέδων αὐλὰς πλατείας, ὡς τῷ μὲν πάντα ἔχειν τὰ χρειώδη πόλις εἶναι δοκεῖν, τῇ πολυτελείᾳ δὲ βασίλειον. Πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα κατὰ γωνίαν τέσσαρσιν ἑτέροις διείληπτο πύργοις, ὧν οἱ μὲν ἄλλοι πεντήκοντα τὸ ὕψος, ὁ δὲ ἐπὶ τῇ μεσημβρινῇ καὶ κατ' ἀνατολὴν γωνίᾳ κείμενος ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ' αὐτοῦ τὸ ἱερόν. Καθ' ἃ

quidem veste amicti, maxime vero vino abstinentes religionis reverentia, ne quid in ministerio perperam agerent. Pontifex autem cum ipsis quidem, non tamen semper, ascendebat, sed diebus septimis et noviluniis, et si quando patria festivitas atque annua celebritas ab omni populo ageretur. Sacris autem operabatur femora quidem usque ad verenda subligari occultans, intusque habens lineam subuculam et hyacinthinum desuper indumentum rotundum ad talos demissum, opus fimbriatum. Ex fimbriis autem pendebant tintinnabula aurea et mala Punica alternatim intertexta, tintinnabulis quidem tonitrua, malis vero Punicis fulgura referentibus. Pectori autem indumentum quæ affigebat tænia, quinque distincta erat et variata zonis, auri et purpuræ et cocci, byssique præterea et hyacinthi, quibus etiam vela templi diximus esse contexta. Iisdem autem epomidem temperatam habebat, in qua plus auri erat. Et figura quidem thoraci quo quis indui potest similis erat. Duabus autem fibulis aureis clypeorum parvulorum specie vinciebatur, illisque inclusi erant optimi maximique sardonyches, nomina eorum, a quibus denominatæ erant gentis tribus, inscripta ferentes. Ex altera vero parte duodecim pendebant alii lapides, terni per quattuor versiculos dispositi; sardius, topazius, smaragdus; carbunculus, jaspis, saphirus; achates, amethystus, ligurius; onyx, beryllus, chrysolithus: quorum singulis rursus unus eorum inscriptus erat, quorum nomina ferebant tribus. Caput autem tegebat tiara ex bysso quidem facta, hyacinthino vero serto redimita: circa quam alia corona erat aurea, in qua expressæ erant sacræ literæ; hæ autem sunt vocales quattuor. Et hanc quidem vestem alio tempore non gerebat, quippe simpliciorem adsumebat; sed tunc quum in adytum intraret: semel autem quotannis solus intrabat, quo die moris erat omnibus jejunio Deum colere. Et quæ ad civitatem quidem spectant et templum, moresque et leges circa ea observandas, alias accurate magis explicabimus; non enim pauca de illis dicenda supersunt.

8. Ceterum Antonia posita erat ad angulum, quo septemtrionalis et occidentalis septi exterioris templi porticus conjungebantur; exstructa autem erat super petra quinquaginta cubitis alta, et undique prærupta. Opus erat regis Herodis, in quo maxime ingenii sui magnificentiam ostendit. Primum enim ab imis usque radicibus saxum ipsum lævibus ex cæso lapide crustis obtegebatur, quo et decus ei adderetur, et facile dilaberentur qui vel ascendere vel descendere tentavissent: deinde ante arcis ipsius ædificium murus erat altitudinis trium cubitorum; intra hunc, omne spatium Antoniæ in quadraginta cubitos erigebatur. Intus autem regiæ amplitudinem et formam habebat. Divisa enim et distincta erat in varia omnis speciei omnisque usus habitacula, atria, porticus, balneas, et aulas amplissimas, militibus collocandis aptissimas, ita ut, quod omnia in ea erant ad usum necessaria, urbs, structuræ vero magnificentia regia videretur. Quum autem tota haberet turris speciem, quattuor in angulis quattuor habuit alias turres: quarum ceteræ quidem quinquaginta cubitos altæ, illa vero quæ ad angulum meridionalem et orientalem sita erat, septuaginta cubitis eminebat, ita ut ex ea totum templum conspici pos-

δὲ συνῆπτο ταῖς τοῦ ἱεροῦ στοαῖς, εἰς ἀμφοτέρας εἶχε καταβάσεις, δι' ὧν κατιόντες οἱ φρουροί (καθῆστο γὰρ ἀεὶ ἐπ' αὐτῆς τάγμα Ῥωμαίων) καὶ διιστάμενοι περὶ τὰς στοὰς μετὰ τῶν ὅπλων ἐν ταῖς ἑορταῖς τὸν δῆμον ὡς μή τι νεωτερισθείη παρεφύλαττον· φρούριον γὰρ ἐπέκειτο τῇ πόλει μὲν τὸ ἱερὸν, τῷ ἱερῷ δὲ ἡ Ἀντωνία. Κατὰ δὲ ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν, καὶ τῆς ἄνω πόλεως ἴδιον φρούριον ἦν, τὰ Ἡρώδου βασίλεια. Ἡ Βεζεθὰ δὲ λόφος διῆρητο μὲν, ὡς ἔφην, ἀπὸ τῆς Ἀντωνίας, πάντων δὲ ὑψηλότατος ὢν μέρει τῆς καινῆς πόλεως προσῴκιστο, καὶ μόνος τῷ ἱερῷ κατ' ἄρκτον ἐπεσκότει. Περὶ μὲν δὴ τῆς πόλεως καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἕκαστα προτεθειμένος ἐπὶ τοῦ παρόντος ἀποχρώντως εἴρηκα.

ΚΕΦ. Ϛ'.

Τὸ μάχιμον δ' ἐν αὐτῇ καὶ στασιάζον πλῆθος περὶ Σίμωνα μὲν μύριοι ἦσαν, δίχα τῶν Ἰδουμαίων, πεντήκοντα δ' ἡγεμόνες τῶν μυρίων, ἐφ' οἷς οὗτος κύριος τῶν ὅλων. Ἰδουμαῖοι δ' αὐτῷ συντελοῦντες εἰς πεντακισχιλίους ἄρχοντας εἶχον δέκα. Τούτων προὔχειν ἐδόκουν ὅ τε τοῦ Σωσᾶ Ἰάκωβος καὶ Σίμων υἱὸς Καθλᾶ. Ἰωάννης δὲ τὸ ἱερὸν κατειληφὼς ἑξακισχιλίους ὁπλίτας εἶχεν ὑφ' ἡγεμόνας εἴκοσι. Προσεγένοντο δ' αὐτῷ τότε καὶ οἱ ζηλωταὶ, παυσάμενοι τοῦ διαφέρεσθαι, δισχίλιοι μὲν ὄντες καὶ τετρακόσιοι, χρώμενοι δ' ἄρχοντι τῷ καὶ πρότερον Ἐλεαζάρῳ καὶ Σίμωνι τῷ Ἀρί. Πολεμούντων δὲ τούτων, ὡς ἔφαμεν, ἄθλον ὁ δῆμος ἦν ἑκατέρων, καὶ τὸ μὴ συναδικοῦν τοῦ λαοῦ μέρος ὑπ' ἀμφοῖν διηρπάζετο. Κατεῖχε δ' ὁ μὲν Σίμων τήν τε ἄνω πόλιν καὶ τὸ μέγα τεῖχος ἄχρι τοῦ Κεδρῶνος, τοῦ τε ἀρχαίου τείχους ὅσον ἀπὸ τῆς Σιλωᾶς ἀνακάμπτον εἰς ἀνατολὴν, ὃ μέχρι τῆς Μονοβάζου κατέβαινεν αὐλῆς. Βασιλεὺς δ' οὗτος ἦν τῶν ὑπὲρ Εὐφράτην Ἀδιαβηνῶν. Κατεῖχε δὲ καὶ τὴν πηγὴν καὶ τὴν Ἄκραν (αὕτη δ' ἦν ἡ κάτω πόλις) καὶ τὰ μέχρι τῶν Ἑλένης βασιλείων, τῆς τοῦ Μονοβάζου μητρός· ὁ δὲ Ἰωάννης τό τε ἱερὸν καὶ τὰ πέριξ ἐπ' οὐκ ὀλίγον, τόν τε Ὀφλᾶν καὶ τὴν Κεδρῶνα καλουμένην φάραγγα. Τὸ μεταξὺ δὲ τούτων ἐμπρήσαντες τῷ πρὸς ἀλλήλους πολέμῳ χώραν ἀνεῖσαν. Οὐδὲ γὰρ, πρὸς τοῖς τείχεσιν ἑστρατοπεδευμένων Ῥωμαίων, ἔνδον ἡ στάσις ἠρέμει· βραχὺ δὲ πρὸς τὴν πρώτην ὑπονήψαντες ἐκδρομὴν ἀνενόσουν, καὶ κατὰ σφᾶς πάλιν διαστάντες ἐμάχοντο, κατά τε εὐχὴν πάντα τοῖς πολιορκοῦσιν ἔπραττον. Οὔτε γοῦν αὐτοί τι χεῖρον ὑπὸ Ῥωμαίων ἔπαθον ὧν ἀλλήλους ἔδρασαν, οὔτε μετὰ τούτους ἡ πόλις ἐπειράθη καινοτέρου πάθους, ἀλλ' ἡ μὲν χαλεπώτερόν τι πρὸ τοῦ πεσεῖν ἠτύχησεν, οἱ δὲ ἑλόντες αὐτὴν κατώρθωσάν τι μεῖζον. Φημὶ γὰρ ὡς τὴν μὲν πόλιν ἡ στάσις, Ῥωμαῖοι δὲ εἷλον τὴν στάσιν, ἥπερ ἦν πολὺ τῶν τειχῶν ὀχυρωτέρα. Καὶ τὸ μὲν σκυθρωπὸν τοῖς οἰκείοις, τὸ δίκαιον δ' ἄν τις εὐλόγως Ῥωμαίοις προσγράφοι. Νοείτω δ' ὅπη τοῖς πράγμασιν ἕκαστος ἄγεται.

set. Qua vero templi porticibus jungebatur, in ambas descensus habebat, per quas descendentes vigiles (semper enim in Antonia erat Romana legio) et variis in locis ad porticus stantes cum armis, festis diebus populum, ne quid novi moveret, observabant; custodia enim urbis erat templum, templi Antonia. Ibi vero erant trium illorum locorum custodes: atque superiori civitati etiam suum erat præsidium, Herodis regia. Bezetha autem collis ab Antonia, uti dixi, divisus erat: quum autem omnium altissimus esset, parti novæ urbis adjunctus erat, templumque ad septemtrionem solus obscurabat. Et de urbe quidem murisque, quum mihi propositum sit alias singula dicendo diligentius persequi, in præsentia satis dixisse videor.

CAP. VI. (XVI.)

Bellicosi autem quotquot in ea erant, et seditiosi de multitudine, circa Simonem quidem erant ad decem millia, præter Idumæos, quinquaginta vero decem millium duces, quibus ipse quasi dominus omnium præerat. Idumæi autem qui a Simone stabant, ad quinque millia, duces decem habebant. Horum principes esse videbantur Sosæ filius Jacobus, et Simon filius Cathlæ. Joannes autem, qui templum occupaverat, sex armatorum millia habebat, sub ducibus viginti. Illi vero tunc etiam zelotæ, depositis discordiis, accesserant, bis mille et quadringenti, sub duce priori Eleazaro et Simone Ari filio. His autem, uti diximus, bellum gerentibus, plebs erat utrique certaminis præmium, populique pars, quæ illorum injuriis non favebat, ab utrisque diripiebatur. Tenebat autem Simon quidem superiorem civitatem, murumque magnum usque ad Cedronem, et antiqui muri quicquid a Siloa flectitur ad orientem, et usque ad Monobazi regiam descendebat. Is autem rex erat Adiabenorum Transeuphratensium. Tenebat etiam fontem et montem Acræ (illa autem est inferior civitas), et omnia usque ad regiam Helenæ, matris Monobazi. Verum Joannes et templum tenebat, et circumcirca omnia non exiguum in spatium, itemque Ophlam et vallem quæ Cedron appellatur. His autem quæ interjacebant incensis, medium bello quod inter se gerebant spatium aperuerunt. Nequaquam enim castris Romanorum prope murum positis intra civitatem quiescebat seditio, sed quum ad primum illorum impetum paulisper sanitatem recepissent, mox in pristinum morbum recidere; et secum ipsi iterum dissidentes pugnabant, et omnia faciebant quæ in votis erant obsidentibus. Nihil enim a Romanis acerbius passi sunt quam quæ ipsi sibi invicem fecerunt, neque post illos civitas aliquid novæ calamitatis experta est: sed illa quidem graviores casus pertulit antequam subverteretur; at qui eam ceperunt, majus quiddam bono illius effectum reddiderunt. Alo enimvero quod civitatem delevit seditio, seditionem sustulerunt Romani, quæ multo validior erat mœnibus: et quicquid triste erat et calamitosum, suis, quod vero æquum et justum merito Romanis adscribi debet. Ex rebus autem ipsis unusquisque judicium ferat.

(IZ'.) β'. Τῶν γε μὴν ἔνδον οὕτω διακειμένων ὁ Τίτος μετ' ἐπιλέκτων ἱππέων περιὼν ἔξωθεν ᾗ προσβάλλοι τοῖς τείχεσι κατεσκέπτετο. Ἀπορουμένῳ δὲ πάντοθεν (οὔτε γὰρ κατὰ τὰς φάραγγας ἦν που προσιτὸν, καὶ κατὰ θάτερα τὸ πρῶτον τεῖχος ἐφαίνετο τῶν ὀργάνων στερεώτερον) ἐδόκει κατὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβαλεῖν. Ταύτῃ γὰρ τό τε πρῶτον ἦν ἔρυμα χθαμαλώτερον καὶ τὸ δεύτερον οὐ συνῆπτεν, ἀμελησάντων καθ' ἃ μὴ λίαν ἡ καινὴ πόλις συνῴκιστο τειχίζειν, ἀλλ' ἐπὶ τὸ τρίτον ἦν εὐπέτεια, δι' οὗ τὴν ἄνω πόλιν καὶ διὰ τῆς Ἀντωνίας τὸ ἱερὸν αἱρήσειν ἐπενόει. Ἐν δὲ τούτῳ περιιόντος αὐτοῦ τοξεύεταί τις τῶν φίλων, ὀνόματι Νικάνωρ, κατὰ τὸν λαιὸν ὦμον, ἔγγιον μετὰ τοῦ Ἰωσήπου προσελθών, καὶ πειρώμενος εἰρηνικὰ τοῖς ἐπὶ τοῦ τείχους (οὐ γὰρ ἄγνωστος ἦν) διαλέγεσθαι. Διὰ τοῦτο τὰς ὁρμὰς αὐτῶν ἐπιγνοὺς Καῖσαρ, εἰ μηδὲ τῶν ἐπὶ σωτηρίᾳ προσιόντων ἀπέχοιντο, παροξύνεται πρὸς τὴν πολιορκίαν, ἅμα τε τοῖς τάγμασι δηοῦν τὰ πρὸ τῆς πόλεως ἠφίει καὶ συμφέροντας ἐκέλευσε τὴν ὕλην ἐγείρειν χώματα. Τριχῇ δὲ διατάξας τὴν στρατιὰν, πρὸς τὰ ἔργα μέσους ἵστησι τῶν χωμάτων τούς τε ἀκοντιστὰς καὶ τοξότας, καὶ πρὸ τούτων τοὺς ὀξυβελεῖς καὶ καταπέλτας καὶ τὰς λιθοβόλους μηχανὰς, ὡς τάς τε ἐκδρομὰς εἴργοι τῶν πολεμίων ἐπὶ τὰ ἔργα καὶ τοὺς ἀπὸ τοῦ τείχους κωλύειν πειρωμένους. Κοπτομένων δὲ τῶν δένδρων τὰ προάστεια μὲν ἐν τάχει γεγύμνωτο, συμφερομένων δὲ ἐπὶ τὰ χώματα τῶν ξύλων, καὶ τῆς στρατιᾶς ἅπάσης ἐπὶ τὸ ἔργον ὡρμημένης, οὐδὲ τὰ παρὰ τῶν Ἰουδαίων ἠρέμει. Τὸν μὲν οὖν δῆμον ἐν ἁρπαγαῖς ὄντα καὶ φόνοις συνέβαινε τότε θαρρεῖν· ἀναπνεύσειν τε γὰρ περισπωμένων πρὸς τοὺς ἔξωθεν ὑπελάμβανον καὶ λήψεσθαι παρὰ τῶν αἰτίων αὐτοὶ δίκας, εἰ Ῥωμαῖοι περιγένοιντο.

(IH'.) γ'. Ἰωάννης δὲ, καίτοι χωρεῖν ἐπὶ τοὺς ἔξω πολεμίους τῶν περὶ αὐτὸν ὡρμημένων, δέει τοῦ Σίμωνος ἔμενεν. Οὐ μὴν ὁ Σίμων ἠρέμει (καὶ γὰρ ἦν ἔγγιον τῇ πολιορκίᾳ), τὰ δὲ ἀφετήρια διίστησιν ἐπὶ τοῦ τείχους, ὅσα Κέστιόν τε ἀφήρητο πρότερον καὶ τὴν ἐπὶ τῆς Ἀντωνίας φρουρὰν ἑλόντες ἔλαβον. Ἀλλὰ τούτων μὲν τοῖς πολλοῖς ἀχρεῖος ἡ κτῆσις ἦν δι' ἀπειρίαν, ὀλίγοι δὲ ὑπὸ τῶν αὐτομόλων διδαχθέντες ἐχρῶντο κακῶς τοῖς ὀργάνοις· χερμάσι δὲ καὶ τόξοις τοὺς χωννύντας ἔβαλλον ἀπὸ τοῦ τείχους, καὶ κατὰ συντάξεις ἐκτρέχοντες αὐτοῖς συνεπλέκοντο. Τοῖς δ' ἐργαζομένοις ἦν ἀπὸ μὲν τῶν βελῶν ἡ σκέπη γέρρα χαρακωμάτων ὑπερτεταμένα, τὰ δ' ἀφετήρια πρὸς τοὺς ἐκθέοντας· θαυμαστὰ δὲ πᾶσι μὲν κατεσκεύαστο τοῖς τάγμασι, διαφόρως δὲ τῷ δεκάτῳ βιαιότεροί τε ὀξυβελεῖς καὶ μείζονα λιθοβόλα, δι' ὧν οὐ μόνον τὰς ἐκδρομὰς, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῦ τείχους ἀνέτρεπον. Ταλαντιαῖοι μὲν γὰρ ἦσαν οἱ βαλλόμενοι πέτροι, δύο δὲ καὶ πλεῖον ἀπῆισαν σταδίους· ἡ πληγὴ δὲ οὐ τοῖς προεντυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους ἦν ἀνυπόστα-

(XVII.) 2. Ceterum quum res intra civitatem ita se haberent, Titus cum lectis equitibus foris eam circumiens, qua impressionem faceret in mœnia, dispiciebat. Hæsitanti autem undique (neque enim qua valles erant adiri poterat, et ab alio latere primus murus firmior videbatur machinis) placuit ad Joannis pontificis monumentum urbem oppugnare. Hac enim parte et primum munimentum erat humilius, et secundum non conjungebatur, quod insuper haberent munitiones facere, qua nova urbs incolis minus frequentaretur : sed facilis illac erat aditus tertium in murum, per quem superiorem civitatem, perque Antoniam templum capi posse cogitabat. Interea autem dum ille perlustraret, quidam ex amicis ejus, Nicanor nomine, lævo humero sagitta percutitur, quum propius una cum Josepho accessisset, pacemque in muro stantibus suadere tentaret, ut qui non ignotus esset. Quapropter Cæsar, quum animos illorum cognovisset, quod ne ab iis quidem abstinerent, qui ipsorum in salutem ad eos accederent, ad obsidionem incitatur : simulque suburbana militibus vastare permittebat, materiamque comportari et aggeres erigi jussit. Quum autem exercitum trifariam ad opera divisisset, medios in aggeribus jaculatores et sagittarios constituebat, et ante eos scorpiones et catapultas et ballistas, quibus et excursus hostium in opera arceret, et eos qui ex muris illa impedire satagerent. Cæsis autem arboribus illico nudata erant suburbana, quumque ligna comportata essent ad aggeres et totus operi manus admoveret exercitus, nequaquam otium agebatur apud Judæos. Et populo quidem, qui in mediis erat rapinis et cædibus, tunc contigit audaciam sumere : nam et se respiraturos esse existimabant, quum inimici adversus externos undique occuparentur, pœnasque se ab noxiis repetituros, si superiores fierent Romani.

(XVIII.) 3. Joannes autem, quamvis in hostes qui foris erant socii ipsius irrumpere properarent, metu tamen Simonis se continebat. Verum Simon non quiescebat; quippe propior erat obsidentibus : machinas autem bellicas per muros disponit, et quas Cestio olim abstulerant, et quas capto Antoniæ præsidio nacti erant. Sed ex iis quidem penes ipsos plerique nihil profecerunt, propter imperitiam; pauci autem a transfugis edocti male utebantur organis : verum lapidibus et sagittis aggerem jacientes e muris feriebant, perque cuneos excurrentes cum illis manus conserebant. Operariis autem tegumento erant crates super vallos expansæ, contraque excursus oppositæ erant machinæ : et omnibus quidem legionibus egregiæ paratæ erant, præcipue vero decimæ scorpiones vehementiores, ballistæque majores, quibus non solum irruentes, sed etiam super muros stantes prosternebant. Talenti quidem pondere erant lapides qui mittebantur, duo autem et amplius stadia pervadebant : atque ictus ipse non iis modo quibus primis incidebat, sed et longe retrorsum stantibus erat intolerabilis. Ceterum

τος. Οἵ γε μὴν Ἰουδαῖοι τὸ πρῶτον ἐφυλάττοντο τὴν πέτραν (λευκὴ γὰρ ἦν), ὥστε μὴ τῷ ῥοίζῳ σημαίνεσθαι μόνῳ, ἀλλὰ καὶ τῇ λαμπρότητι προορᾶσθαι. Σκοποὶ οὖν αὐτοῖς ἐπὶ τῶν πύργων καθεζόμενοι προεμήνυον, ὁπότε σχασθείη τὸ ὄργανον καὶ ἡ πέτρα φέροιτο, τῇ πατρίῳ γλώσσῃ βοῶντες, ὁ ἰὸς ἔρχεται. Διίσταντο δὲ καθ' οὓς ἦει καὶ προκατεκλίνοντο. Συνέβαινε δὲ φυλαττομένων ἄπρακτον διεκπίπτειν τὴν πέτραν. Ἀντεπινοοῦσι δὲ Ῥωμαῖοι μελαίνειν αὐτήν. Τότε γὰρ οὐκέθ' ὁμοίως προορωμένης ηὐστόχουν καὶ πολλοὺς ἅμα μιᾷ βολῇ διέφθειραν. Ἀλλ' οὐδὲ κακούμενοι μετ' ἀδείας παρεῖχον Ῥωμαίοις ἐγείρειν τὰ χώματα· πάσῃ δ' ἐπινοίᾳ καὶ τόλμῃ χρώμενοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εἶργον.

(ΙΘ'.) δ'. Τῶν δ' ἔργων συντετελεσμένων, μολιβδίδι μὲν καὶ λίνῳ διαμετροῦσιν οἱ τέκτονες τὸ διάστημα πρὸς τὸ τεῖχος, ἀπὸ τῶν χωμάτων ῥίψαντες· οὐ γὰρ ἐνῆν ἄλλως ἄνωθεν βαλλομένοις. Εὑρόντες δ' ἐξικνεῖσθαι δυναμένας τὰς ἑλεπόλεις προσῆγον, καὶ Τίτος, ἐγγυτέρω τὰ ἀφετήρια διαστήσας, ὡς μὴ τοὺς κριοὺς εἶργοιεν ἀπὸ τοῦ τείχους, ἐκέλευσε τύπτειν. Τριχόθεν δ' ἐξαισίου κτύπου περιηχήσαντος αἰφνιδίως τὴν πόλιν, κραυγή τε παρὰ τῶν ἔνδον ἤρθη καὶ τοῖς στασιασταῖς ἴσον ἐμπίπτει δέος. Κοινὸν δ' ἑκάτεροι τὸν κίνδυνον ἰδόντες κοινὴν ἐπενόουν ἤδη ποιεῖσθαι καὶ τὴν ἄμυναν. Διαβοώντων δὲ πρὸς ἀλλήλους τῶν διαφόρων ὡς πάντα πράττοιεν ὑπὲρ τῶν πολεμίων, δέον, εἰ καὶ μὴ διηνεκῆ δίδωσιν αὐτοῖς ὁμόνοιαν ὁ Θεὸς, ἐν γοῦν τῷ παρόντι τὴν πρὸς ἀλλήλους φιλονεικίαν ὑπερθεμένους κατὰ Ῥωμαίων συνελθεῖν, κηρύσσει μὲν ἄδειαν ὁ Σίμων τοῖς ἀπὸ τοῦ ἱεροῦ παρελθεῖν ἐπὶ τὸ τεῖχος, ἐπιτρέπει δὲ καίπερ ἀπιστῶν ὁ Ἰωάννης. Οἱ δὲ τοῦ μίσους καὶ τῶν ἰδίων διαφορῶν λαβόντες ἀμνηστίαν ἓν σῶμα γίνονται, καὶ τὸ μὲν τεῖχος περισχόντες ἀπ' αὐτοῦ πυρά τε παμπληθῆ κατὰ τῶν μηχανημάτων ἐνίεσαν καὶ τοὺς ἐπιβρίθοντας τὰς ἑλεπόλεις ἀδιαλείπτως ἔβαλλον. Οἱ τολμηρότεροι δὲ κατὰ στίφη προπηδῶντες τὰ γέρρα τῶν μηχανημάτων ἐσπάραττον, καὶ τοῖς ἐπ' αὐτῶν προσπίπτοντες ἐπιστήμῃ μὲν ἐπ' ὀλίγα, τόλμῃ δὲ τὰ πλείω περιεγένοντο. Προσεβοήθει δὲ τοῖς πονοῦσιν αὐτὸς ἀεὶ Καῖσαρ, καὶ παρ' ἑκάτερον τῶν ὀργάνων τούς τε ἱππέας καὶ τοὺς τοξότας διαστήσας εἶργε μὲν τοὺς τὸ πῦρ ἐπιφέροντας, ἀνέστελλε δὲ τοὺς ἀπὸ τῶν πύργων βάλλοντας, ἐνεργοὺς δὲ ἐποίει τὰς ἑλεπόλεις. Οὐ μὴν ταῖς πληγαῖς ὑπήκουε τὸ τεῖχος, εἰ μὴ καθ' ὅσον ὁ τοῦ πεντεκαιδεκάτου τάγματος κριὸς γωνίαν διεκίνησε πύργου· τὸ δὲ τεῖχος ἀκέραιον ἦν· οὐδὲ γὰρ εὐθέως συνεκινδύνευε τῷ πύργῳ προύχοντι πολὺ καὶ μὴ δυναμένῳ συναπορρῆξαί τι ῥᾳδίως τοῦ περιβόλου.

ε'. Παυσάμενοι δὲ τῶν ἐκδρομῶν πρὸς ὀλίγον καὶ τοὺς Ῥωμαίους ἐπιτηρήσαντες ἐσκεδασμένους ἐπὶ τὰ ἔργα καὶ κατὰ τὰ στρατόπεδα (καμάτῳ γὰρ ἀναχωρῆσαι καὶ δέει τοὺς Ἰουδαίους ἠξίουν), ἐκθέουσι κατὰ τὸν Ἱππικὸν πύργον διὰ πύλης ἀφανοῦς πάντες, πῦρ τε τοῖς

Judæi primum cavebant a lapidibus, nam candidi erant, adeo ut non tantum stridore prænoscerentur, sed et ex splendore prævideruntur. Itaque speculatores turribus insidentes prænunciabant, quando impelleretur machina, saxumque ferretur, patria lingua clamantes, Missile venit. In partes itaque discedebant in quos veniret, humique procumbebant. Quo factum est illis ut, sibimet caventibus, lapides irriti caderent. Proinde Romanis in mentem veniebat illos denigrare. Tunc enim, quum non amplius, ut ante, prævideruntur, ita cadebant ut vellent, simulque multos uno jactu occidebant Romani. Neque vero Judæi, multa licet gravia perpessi, illis permittebant aggeres secure erigere : sed commenta omnia cum audacia conjuncta adhibentes, die noctuque eos arcebant.

(XIX.) 4. Perfectis autem operibus plumbo quidem et lino ab aggeribus jacto fabri dimetiuntur spatium quod inter aggeres et muros intercedebat : nec enim alioqui id fieri poterat, quoniam desuper telis petebantur. Compertoque helepoles eousque posse pertingere, eas adducebant : atque Titus, quum propius machinas disposuisset, ne arietes a muro arcerentur, ferire jussit. Tribus vero e locis ingenti fragore subito circumsonante civitatem, clamor ab iis qui intus erant sublatus est, similiterque seditiosos pavor invasit. Quumque periculum utrisque commune vidissent, in animum tum inducebant etiam junctis viribus illud depellere. Clamantibus autem ad se invicem ex utraque factione, quod faciant omnia pro hostibus, quum oporteret, si non perpetuam illis concordiam daret Deus, in præsenti saltem inimicitias inter se deponere et contra Romanos conspirare : Simon quidem per præconem facit potestatem e templo ad murum secure egrediendi ; id vero Joannes, licet diffideret, permittit. Adeoque odiorum ac discordiarum suarum obliti in unum corpus coeunt, et in muros circumfusi faces inde quamplurimas contra machinas jaciebant, atque eos, qui helepoles degravabant, sine intermissione telis impetebant. Audaciores vero catervatim prosilientes crates machinarum dilacerabant, eosque qui illis præerant adorti parum quidem ex peritia, maxime vero fortiter audendo superiores erant. Titus autem ipse nunquam cessabat laborantibus opem ferre, quumque ab utroque machinarum latere equites et sagittarios disposuisset, ignem quidem ferentes arcebat, a turribus vero jaculantes reprimebat, copiamque faciebat helepoli vires suas exercendi. Haud tamen murus ictibus cedebat, nisi quod decimæ quintæ legionis aries turris angulum dimovit, muro stante incolumi : non enim statim discrimen adiit cum turri, quæ multo altius eminebat ; nec facile poterat quidquam muri secum abrumpere.

5. Quum autem ab excursibus paululum quievissent, observassentque Romanos per opera et castra esse dispersos (existimabant enim Judæos lassitudine aut formidine discessisse), excursionem faciunt omnes juxta turrim Hippicam per portam obscuram, et ignem operibus admovebant,

ἔργοις ἐπιφέροντες καὶ μέχρι τῶν ἐρυμάτων ἐπὶ τοὺς Ῥωμαίους προσελθεῖν ὡρμημένοι. Πρὸς δὲ τὴν κραυγὴν αὐτῶν οἵ τε πλησίον συνίσταντο ταχέως καὶ οἱ πόρρωθεν συνέθεον. Ἔφθανε δ' ἡ Ἰουδαίων τόλμα τὴν Ῥωμαίων εὐταξίαν, καὶ τοὺς προεντυγχάνοντας τρεψάμενοι προσέκειντο τοῖς συλλεγομένοις. Δεινὴ δὲ περὶ τὰς μηχανὰς συμπίπτει μάχη, τῶν μὲν ὑποπιμπράναι, τῶν δὲ κωλύειν βιαζομένων. Κραυγή τε παρ' ἀμφοτέρων ἀσήμαντος ἦν καὶ πολλοὶ τῶν προαγωνιζομένων ἔπιπτον. Ἰουδαῖοι δὲ ὑπερεῖχον ἀπονοίᾳ, καὶ τῶν ἔργων ἥπτετο τὸ πῦρ, καταφλεγῆναί τ' ἂν ἐκινδύνευσε πάντα μετὰ τῶν ὀργάνων, εἰ μὴ τῶν ἀπ' Ἀλεξανδρείας ἐπιλέκτων ἀντέστησαν οἱ πολλοί, παρὰ τὴν σφετέραν ὑπόληψιν ἀνδρισάμενοι (καὶ γὰρ τῶν ἐνδοξοτέρων διήνεγκαν κατὰ ταύτην τὴν μάχην), μέχρι Καῖσαρ τοὺς τῶν ἱππέων δυνατωτάτους ἀναλαβὼν ἐμβάλλει τοῖς πολεμίοις. Καὶ δώδεκα μὲν αὐτὸς τῶν προμάχων ἀναιρεῖ, πρὸς δὲ τὸ τούτων πάθος ἐκκλίναντος τοῦ λοιποῦ πλήθους, ἐπόμενος συνελαύνει πάντας εἰς τὴν πόλιν, κἀκ τοῦ πυρὸς διασώζει τὰ ἔργα. Συνέβη δὲ ἐν ταύτῃ τῇ μάχῃ καὶ ζωγρηθῆναί τινα τῶν Ἰουδαίων, ὃν ὁ Τίτος ἀνασταυρῶσαι πρὸ τοῦ τείχους ἐκέλευσεν, εἴ τι πρὸς τὴν ὄψιν ἐνδοῖεν οἱ λοιποὶ καταπλαγέντες. Μετὰ δὲ τὴν ἀναχώρησιν καὶ Ἰωάννης ὁ τῶν Ἰδουμαίων ἡγεμὼν, πρὸς τοῦ τείχους γνωρίμῳ στρατιώτῃ διαλεγόμενος, ὑπό τινος τῶν Ἀράβων κατὰ τοῦ στέρνου τοξεύεται, καὶ παραχρῆμα θνήσκει, μέγιστον τοῖς τε Ἰουδαίοις πένθος καὶ λύπην τοῖς στασιασταῖς ἀπολιπών· καὶ γὰρ κατά τε χεῖρα καὶ συνέσει διάσημος ἦν.

ΚΕΦ. Ζ'.

Τῇ δὲ ἐπιούσῃ νυκτὶ ταραχὴ καὶ τοῖς Ῥωμαίοις ἐμπίπτει παράλογος. Τοῦ γὰρ Τίτου πύργους τρεῖς κατασκευάσαι κελεύσαντος πεντηκοντάπηχεις, ἵν' ἑκάστου χώματος ἐπιστήσας ἀπὸ τούτων τοὺς ἐπὶ τοῦ τείχους τρέποιτο, συνέβη πεσεῖν αὐτομάτως ἕνα μέσης νυκτός. Μεγίστου δ' ἀρθέντος ψόφου, δέος ἐμπίπτει τῷ στρατῷ, καὶ τοὺς πολεμίους ἐπιχειρεῖν σφίσι δόξαντες ἐπὶ τὰ ὅπλα πάντες ἔθεον. Ταραχὴ δὲ τῶν ταγμάτων καὶ θόρυβος ἦν, καὶ τὸ συμβὰν οὐδενὸς εἰπεῖν ἔχοντος, ἐπὶ πλεῖστον ἀπορούμενοι διεφέροντο, μηδενός τε φαινομένου πολεμίου δι' ἀλλήλων ἐπτοοῦντο, καὶ τὸ σύνθημα μετὰ σπουδῆς ἕκαστος τὸν πλησίον ἐπηρώτα, καθάπερ Ἰουδαίων ἐμβεβηκότων εἰς τὰ στρατόπεδα. Πανικῷ τε δείματι κυκλουμένοις παρεῴκεσαν, ἄχρι μαθὼν τὸ συμβὰν Τίτος διαγγέλλειν ἐκέλευσε πᾶσι καὶ μόλις ἐπαύσαντο τῆς ταραχῆς.

β'. Ἰουδαίους γε μὴν πρὸς τὰ λοιπὰ καρτερῶς ἀντέχοντας ἐκάκωσαν οἱ πύργοι· καὶ γὰρ τῶν ὀργάνων τοῖς κουφοτέροις ἀπ' αὐτῶν ἐβάλλοντο καὶ τοῖς ἀκοντισταῖς καὶ τοξόταις καὶ λιθοβόλοις. Οὔτε δὲ τούτων αὐτοὶ διὰ τὸ ὕψος ἐφικνοῦντο, καὶ τοὺς πύργους ἦν ἀμήχανον ἑλεῖν, μήτε ἀνατραπῆναι ῥᾳδίως διὰ τὸ βρῖθος μήτ'

et usque ad castrorum munimenta in Romanos facto impetu ferebantur. Quumque ab illis sublatus esset clamor, et qui prope erant statim conveniebant, et qui procul aberant concurrebant. Romanorum autem disciplinam præveniebat Judæorum audacia, illisque in quos primos inciderant in fugam versis, instabant illis qui se collegerunt. Gravis tum circa machinas pugna commissa est, illis quidem incendere, his vero incendium prohibere vi nitentibus. Incertusque clamor utrinque tollebatur, et multi, *qui in fronte steterant*, *ceciderunt*. At vero Judæi salutis desperatione incitati superabant, et opera corripuit ignis, parumque aberat quin omnia cum machinis incensa fuissent, nisi lecti de Alexandrinis viri restitissent plerique, rebus præter opinionem suam strenue gestis (nam in hac dimicatione ceteris præstabant ipsis præclarioribus), donec Cæsar, equitum valentissimis secum assumptis, in hostes irruit. Et ipse quidem sternit duodecim propugnatores : metu autem cladis illorum cetera multitudine in fugam versa, insequens omnes in urbem compulit, atque opera incendio liberavit. In hoc autem prælio contingebat ut Judæorum quidam vivus caperetur, quem Titus pro muris cruci affigi jussit, eo *consilio* ut *reliqui hoc spectaculo* exterriti paullum se inclinarent. Post discessum vero etiam Joannes dux Idumæorum, cognito sibi Romano militi ante muros sermonem conserens, ab Arabe quodam pectus sagitta percutitur et continuo moritur, magnumque et Judæis luctum et seditiosis mœrorem reliquit; nam et manu promptus erat, et consilio insignis.

CAP. VII. (XX.)

Nocte vero quæ sequuta est inopinata inter Romanos coorta est trepidatio. Nam quum tres turres quinquagenorum cubitorum Titus construi præcepisset, ut, his per aggeres *singulos* positis, inde hostes *in muro stantes* in fugam verteret, accidit ut nocte media una sponte sua rueret. Maximo autem edito sonitu metus occupat exercitum : atque hostes in eo esse ut ipsos adorirentur suspicati, ad arma decurrunt omnes. Inde trepidatio in legionibus ac tumultus erat; *et quum* nemo quid accidisset dicendo esset, diu consilii inopes alius aliud opinabantur; quumque hostes in illorum conspectum minime venirent, suimetipsorum in metu esse cœperunt, signumque diligenter singuli a proximis requirebant, ac si Judæi in castra invasissent. Imo visi sunt Panico terrore circumdari, donec Titus, cognito quod acciderat, rem omnibus indicari jussit : eoque facto vix trepidare desierunt.

2. Atqui Judæos cetera fortiter sustinentes male habuerunt turres : nam et machinis levioribus inde feriebantur, insuper et a jaculatoribus ac sagittariis et funditoribus. Verum ipsi ad eos propter celsitudinem pertingere non potuerunt : neque turres erant captu, neque faciles eversu propter gravitatem, nequo *incensu propter fer-*

ἐμπρησθῆναι διὰ τὸν σίδηρον δυναμένους, ᾧ κατεκαλύπτοντο. Τρεπόμενοι δ' ἐξωτέρω βέλους οὐκέτ' ἐκώλυον τῶν κριῶν τὰς ἐμβολάς, οἱ ἀδιαλείπτως παίοντες ἦνυον κατ' ὀλίγον. Ἤδη δὲ τῷ Νίκωνι τοῦ τείχους ἐνδιδόντος (αὐτοὶ γὰρ τοῦτο Ἰουδαῖοι τὴν μεγίστην ἑκάλεσαν Ῥωμαίων ἑλέπολιν, ἀπὸ τοῦ πάντα νικᾶν), ἀπέκαμνον μὲν πάλαι πρός τε τὰς μάχας καὶ τὰς φυλακὰς πόρρωθεν τῆς πόλεως διανυκτερεύοντες, ἄλλως δ' ὑπὸ ῥᾳστώνης καὶ τοῦ βουλεύεσθαι πάντα κακῶς περιττὸν αὐτοῖς δόξαν φυλάττειν τὸ τεῖχος, ἑτέρων μετ' αὐτὸ λειπομένων δύο, μαλακισθέντες ἀνεχώρουν οἱ πολλοί. Καὶ τῶν Ῥωμαίων ἐπιβάντων καθ' ἃ παρέρρηξεν ὁ Νίκων, καταλιπόντες τὰς φυλακὰς πάντες εἰς τὸ δεύτερον τεῖχος ἀναφεύγουσιν. Οἱ δὲ ὑπερβάντες, τὰς πύλας ἀνοίξαντες, πᾶσαν εἰσδέχονται τὴν στρατιάν. Καὶ Ῥωμαῖοι μὲν οὕτω τοῦ πρώτου τείχους πεντεκαιδεκάτῃ κρατήσαντες ἡμέρᾳ, (ἑβδόμῃ δ' ἦν Ἀρτεμισίου μηνός), αὐτοῦ τε πολὺ κατασκάπτουσι καὶ τὰ προσάρκτια τῆς πόλεως, ἃ καὶ πρότερον Κέστιος.

(ΚΑ'.) γ'. Μεταστρατοπεδεύεται δὲ Τίτος ἔσω κατὰ τὴν Ἀσσυρίων παρεμβολὴν καλουμένην, ἐπισχὼν πᾶν τὸ μεταξὺ μέχρι τοῦ Κεδρῶνος, ἀπὸ δὲ τοῦ δευτέρου τείχους ὅσον ἐξωτέρω βέλους εἶναι προσβολὰς εὐθέως ἐποιεῖτο. Μερισθέντες δ' οἱ Ἰουδαῖοι καρτερῶς ἀπημύναντο τοῦ τείχους, οἱ μὲν περὶ τὸν Ἰωάννην ἀπό τε τῆς Ἀντωνίας καὶ τῆς προσαρκτίου στοᾶς τοῦ ἱεροῦ καὶ πρὸ τῶν Ἀλεξάνδρου τοῦ βασιλέως μνημείων μαχόμενοι, τὸ δὲ τοῦ Σίμωνος τάγμα τὴν παρὰ τὸ Ἰωάννου μνημεῖον ἐμβολὴν διαλαβόντες ἐφράξαντο μέχρι πύλης καθ' ἣν τὸ ὕδωρ ἐπὶ τὸν Ἱππικὸν πύργον εἰσῆκτο. Προπηδῶντες δὲ πολλάκις ἐκ τῶν πυλῶν συστάδην ἐπολέμουν, καὶ συνδιωχθέντες ἐπὶ τοῦ τείχους κατὰ μὲν τὰς συμπλοκὰς ἡττῶντο, τῆς Ῥωμαίων ἐπιστήμης ὄντες ἄπειροι, περιῆσαν δὲ ταῖς τειχομαχίαις. Καὶ τοὺς μὲν ἰσχὺς μετ' ἐμπειρίας παρεκρότει, Ἰουδαίους δὲ τόλμα δέει τρεφομένη καὶ τὸ φύσει καρτερικὸν ἐν συμφοραῖς. Προσῆν δ' ἐλπὶς ἔτι σωτηρίας, ἣ καὶ Ῥωμαίοις τοῦ ταχέως κρατήσειν· οὐδετέρων δὲ ἥπτετο κόπος, ἀλλὰ προσβολαὶ καὶ τειχομαχίαι, καὶ κατὰ λόχους ἐκδρομαὶ συνεχεῖς δι' ὅλης ἡμέρας ἦσαν, οὐδέ ἐστιν ἥτις ἰδέα μάχης ἀπελείπετο. Νὺξ δ' ἀνέπαυε μόλις ἕωθεν ἀρχομένους· ἦν δὲ ἄϋπνος ἀμφοτέροις ἡ νὺξ, καὶ χαλεπωτέρα τῆς ἡμέρας, δέει τῶν μὲν ὅσον οὔπω καταληφθήσεσθαι τὸ τεῖχος, τῶν δὲ ἐπιθήσεσθαι Ἰουδαίους τοῖς στρατοπέδοις. Ἔν τε τοῖς ὅπλοις ἑκάτεροι διανυκτερεύοντες ὑπὸ τὰς πρώτας αὐγὰς ἕτοιμοι πρὸς μάχην ἦσαν. Καὶ παρὰ μὲν Ἰουδαίοις ἔρις ἦν ὅστις προκινδυνεύσας χαρίσαιτο τοῖς ἡγεμόσι, μάλιστα δὲ τοῦ Σίμωνος αἰδὼς ἦν καὶ δέος, οὕτω τε προσεῖχεν ἕκαστος αὐτῷ τῶν ὑποτεταγμένων, ὡς καὶ πρὸς αὐτοχειρίαν ἑτοιμότατος εἶναι κελεύσαντος. Ῥωμαίοις δὲ ἐπ' ἀνδρείαν ἦν προτροπὴ τοῦ τε κρατεῖν ἔθος καὶ ἥττης ἀήθεια, συνεχεῖς τε στρατεῖαι καὶ διηνεκεῖς μελέται, καὶ μέγεθος ἡγεμονίας· πρὸ δὲ πάντων Τίτος, ἀεὶ πᾶσι πανταχοῦ

rum quo tegebantur. Ultra autem teli jactum fugientes non amplius imminutum ibant arietum impetum, qui sine intermissione ferientes paulatim aliquid proficiebant. Muro autem Niconi tandem cedente (ita enim ipsi Judæi maximam Romanorum helepolin vocarunt, quod omnia vinceret), antea quidem defessi erant pugnando et vigilando, longe ab urbe pernoctantes, ceteroqui negligentia, vel quod male omnino consulerent, sibi superfluum esse credentes murum custodire, quum alia duo post illud munimenta ipsis superessent, plerique languidi facti recesserunt. Quumque Romani, qua Nicon murum perruperat, ascendissent, Judæi omnes desertis custodiis ad murum secundum se recipiunt. Qui vero muros transgressi erant, quum portas aperuissent, exercitum omnem intromiseruut. Et Romani quidem muro primo ita potiti sunt die decima quinta quæ septima erat mensis Artemisii, et partem ejus magnam diruunt et septemtrionalia civitatis, quæ etiam prius Cestius.

(XIX.) 3. Titus autem ad interiora muri castra transfert, in locum qui Assyriorum castra vocatus erat, occupato omni inde usque ad Cedronem spatio; quantumque erat extra teli jactum a muro secundo, oppugnationem statim aggrediebatur. Judæi autem in duas partes divisi bellum mœnibus fortiter propulsarunt, Joannes quidem cum suis ex Antonia et templi porticu septemtrionali et ab Alexandri monumento pugnantes; Simonis vero manus, aditu juxta monumenta Joannis occupato, omnia præsidio munierunt usque ad portam, qua in Hippicam turrim aqua inducta erat. Sæpe autem prosilientes e portis cominus dimicabant, compulsique intra muros in conflictibus quidem superabantur, scientiæ Romanorum militaris imperiti; quum autem e muris pugnarent, eos vincebant. Atque hos quidem incitabant vires cum peritia conjunctæ; Judæos vero audacia ex metu aucta, et naturalis in calamitatibus ferendis patientia. Ad hæc autem istis suberat spes salutis, et Romanis citæ victoriæ: neutrique fatiscebant; sed continuæ fiebant impressiones murorumque oppugnationes, et excursus crebri per cuneos totis diebus: nec pugnæ species ulla erat quam non tentabant. Vixque a solis ortu pugnantibus concessum erat nocte quiescere: sed utrisque insomnis erat nox, dieque gravior; his quidem jamjam expugnatum iri murum metuentibus, illis vero ne Judæi castra invaderent. Atque in armis utrique pernoctantes, a primo diluculo pugnæ parati erant. Et Judæi quidem certabant, quis primus periculum adiret iniretque gratiam a ducibus: maxime vero Simonis reverentia ac metus eos commovebat; adeoque singuli ejus sub imperio eum colebant, ut ad semet quoque interficiendos parati fuissent si hoc ille jussisset. Romanos autem ad se strenue gerendos hortabatur et vincendi consuetudo, quodque vinci nescii essent, crebræque militiæ et exercitationes perpetuæ, imperiique magnitudo: ante omnia vero Titus, qui semper

παρατυγχάνων. Τότε γὰρ μαλακισθῆναι, παρόντος καὶ συναγωνιζομένου Καίσαρος, δεινὸν ἐδόκει, καὶ τῷ καλῶς ἀγωνισαμένῳ μάρτυς αὐτὸς ὁ καὶ τιμήσων παρῆν· κέρδος δ' ἦν ἤδη καὶ τὸ γνωσθῆναι Καίσαρι γενναῖον ὄντα. Διὰ τοῦτο πολλοὶ τῆς κατὰ σφᾶς ἰσχύος ἀμείνους τῇ προθυμίᾳ διεφάνησαν. (ΚΒ'.) Παραταξαμένων γοῦν κατὰ ταύτας τὰς ἡμέρας τῶν Ἰουδαίων πρὸ τοῦ τείχους καρτερῷ στίφει, καὶ διακοντιζομένων ἔτι πόρρωθεν τῶν ταγμάτων ἑκατέρων, Λογγῖνός τις τῶν ἱππέων ἐξαλλόμενος τῆς Ῥωμαϊκῆς τάξεως ἐμπηδᾷ τῇ μέσῃ τῶν Ἰουδαίων φάλαγγι· καὶ διασκεδασθέντων πρὸς τὴν ἐμβολὴν δύο τοὺς γενναιοτάτους ἀναιρεῖ, τὸν μὲν κατὰ στόμα πλήξας ὑπαντιάσαντα, τὸν δ' ἀνασπάσας ἐκ τοῦ προτέρου τὸ δόρυ κατὰ πλευρὰν διαπείρει τραπόμενον, ἐκ μέσων τε τῶν πολεμίων πρῶτος εἰς τοὺς σφετέρους ἔδραμεν. Ὁ μὲν οὖν δι' ἀρετὴν ἐπίσημος ἦν, ζηλωταὶ δὲ τῆς ἀνδρείας ἐγίνοντο πολλοί. Καὶ οἱ Ἰουδαῖοι μὲν ἀμελοῦντες τοῦ παθεῖν τὸ διαθεῖναι μόνον ἐσκόπουν, ὅ τε θάνατος αὐτοῖς ἐδόκει κουφότατος, εἰ μετὰ τοῦ κτεῖναί τινα τῶν πολεμίων προσπέσοι. Καῖσαρ δὲ τῆς τῶν στρατιωτῶν ἀσφαλείας οὐχ ἧττον τοῦ κρατεῖν προὐνόει, καὶ τὴν μὲν ἀπερίσκεπτον ὁρμὴν ἀπόνοιαν λέγων, μόνην δ' ἀρετὴν τὴν μετὰ προνοίας, καὶ τοῦ μηδὲν τὸν ὁρῶντα παθεῖν ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἐκέλευεν ἀνδρίζεσθαι.

(ΚΓ'.) δ'. Προσάγει δ' αὐτὸς τοῦ βορείου τείχους τῷ μέσῳ πύργῳ τὴν ἑλέπολιν, ἐν ᾧ τῶν Ἰουδαίων τις ἀνὴρ γόης ὄνομα Κάστωρ ἑλόχα μεθ' ὁμοίων δέκα, τῶν λοιπῶν φυγόντων διὰ τοὺς τοξότας. Οὗτοι μέχρι μέν τινος ὑπεπτηχότες τοῖς θωρακείοις ἠρέμουν, σαλευομένου δὲ τοῦ πύργου διανίστανται, καὶ προτείνας ὁ Κάστωρ τὰς χεῖρας ὡς ἱκετεύων ὄπισθεν ἐκάλει τὸν Καίσαρα, καὶ τῇ φωνῇ κατοικτιζόμενος ἐλεῆσαι σφᾶς παρεκάλει. Πιστεύσας δ' ἐξ ἁπλότητος ὁ Τίτος, καὶ μετανοεῖν ἤδη τοὺς Ἰουδαίους ἐλπίσας, ἐπέχει μὲν τοῦ κριοῦ τὴν ἐμβολήν, κωλύει τε τοξεύειν τοὺς ἱκέτας· λέγειν δ' ἐκέλευσεν ὅ τι βούλεται τῷ Κάστορι. Τοῦ δὲ εἰπόντος ἐπὶ δεξιᾷ καταβῆναι θέλειν, ὁ Τίτος συνήδεσθαι μὲν αὐτῷ τῆς εὐβουλίας ἔφη, συνήδεσθαι δ' εἰ πάντες ἤδη τὰ αὐτὰ φρονοῦσι, καὶ τῇ πόλει διδόναι γε πίστιν ἑτοίμως. Τῶν δέκα δὲ οἱ πέντε μὲν αὐτῷ συνυπεκρίνοντο τὴν ἱκετηρίαν, οἱ λοιποὶ δ' οὐκ ἄν ποτε δουλεύσειν Ῥωμαίοις ἐβόων, παρὸν ἐλευθέρους ἀποθανεῖν. Καὶ μέχρι πολλοῦ διαφερομένων ἐτρίβετο μὲν ἡ προσβολή, πέμπων δ' ὁ Κάστωρ πρὸς τὸν Σίμωνα σχολῇ βουλεύεσθαι περὶ τῶν ἐπειγόντων ἔλεγεν, ὡς οὐκ ἐπ' ὀλίγον αὐτὸς διαπαίζοι τὴν Ῥωμαίων ἀρχήν. Ἅμα δὲ ταῦτα πέμπων καταφανὴς ἦν καὶ τοὺς ἀπειθοῦντας ἐπὶ τὴν δεξιὰν παρακαλῶν. Οἱ δ' ὥσπερ ἀγανακτοῦντες ὑπὲρ τὰ θωρακεῖα διῆραν τε τὰ ξίφη γυμνὰ καὶ τοὺς θώρακας αὐτῶν πλήξαντες ὡς ἀπεσφαγμένοι κατέπεσον. Θάμβος δὲ τὸν Τίτον καὶ τοὺς περὶ αὐτὸν εἰσῆλθε τοῦ τῶν ἀνδρῶν παραστήματος, καὶ μὴ δυνάμενοι κάτωθεν ἀκριβῶς τὸ γεγενημένον ἰδεῖν, ἐθαύμαζόν τε τῆς εὐτολμίας αὐτοὺς καὶ τοῦ πάθους

omnibus ubique præsens aderat. Tunc enim turpe videbatur languescere, quum Cæsar pugnæ interesset simulque pugnaret, idemque pulchre decertanti testis fieret qui et remunerator; lucroque jam vertebatur pro viro forti cognosci a Cæsare. Quo factum est ut multi alacriores se ostenderint quam robustiores. (XXII.) Itaque istis diebus, cum Judæi in acie starent valida pro mœnibus, et ab utroque exercitu eminus conjicerentur tela, Longinus quidam eques, ex acie Romana exsiliens, in mediam phalangem Judæorum irruit; illisque hac impressione disjectis, duos e fortissimis perimit, unum quidem ora percussum dum obviam ipsi veniret; alterum vero, dum fugeret, per latus trajectum eodem telo, quod priori extraxerat : et ex mediis hostibus superior ad suos se recipiebat. Atque ita ille ob virtutem insignis erat, æmulique ejus fortitudinis multi exstiterunt. Et Judæi quidem nil morantes quod paterentur, illud tantum curabant quibus malis alios afficerent; morsque illis levissima ducebatur, si quo alio interfecto caderent. Titus autem non minus saluti militum quam victoriæ prospiciebat; et temerarium quidem impetum desperationem vocans, unicam vero fortitudinem, quum quis prudenter et caute nihilque patiendo fortiter ageret, sine suo periculo viros se præstare jussit.

4. (XXIII.) Ipse autem mediæ muri septemtrionalis turri helepolin admoveri curabat, in qua Judæus quidam versutus ac subdolus, Castor nomine, cum decem sui similibus insidias struebat, fugatis ceteris per jacula sagittariorum. Hi quum pavidi sub propugnaculis aliquamdiu quievissent, turri concussa surgunt, manibusque protensis Castor veluti supplex Cæsarem implorabat; et voce miserabili ut sibi parceret obtestabatur. Cui quum Titus pro simplicitate sua fidem habuisset, sperassetque Judæos jam belli pœnitere, arietes quidem ab impulsione cessare jubet, ac sagittarios ferire supplices prohibet; Castori autem præcepit dicere quodcunque vellet. Quumque ille respondisset, ad fœdus se velle descendere, Titus se quidem de bono consilio gratulari dicebat, gratulari vero si omnes in eandem sententiam ire vellent, seque parato animo etiam civitati manus dare. Ex decem autem quinque se supplices esse simulabant : reliqui vero nunquam se Romanis servituros clamabant, dum mori liberis liceat. Quumque diu inter se disceptarent, cessabat oppugnatio. Castor autem nuncios ad Simonem mittens eum monebat, ut, dum otium esset, de rebus urgentibus consilium caperet : non enim paulisper se illudere velle imperatori Romano. Simul autem dum ista mitteret, præ se ferebat illud ipsum agere, ut contranitentes ad pacem hortaretur. Illi vero, velut ægre ferentes, super propugnaculi loricam nudos coruscarunt gladios, percussisque illorum thoracibus tanquam interfecti ceciderunt. At Titus et qui cum eo erant tantam virorum audaciam obstupuêre, quumque ex inferiori loco quod factum erat accurate videre non potuissent, illos et ob fortitudi-

ἠλέουν. Τοξεύει δέ τις ἐν τούτῳ παρὰ τὴν ῥῖνα τὸν Κάστορα, κἀκεῖνος εὐθέως ἀνασπάσας τὸ βέλος ἐπεδείκνυ τῷ Τίτῳ καὶ ὡς οὐ δίκαια πάσχων κατεμέμφετο. Πρὸς δὲ τὸν βαλόντα σχετλιάσας Καῖσαρ ἔπεμπε παρεστῶτα τὸν Ἰώσηπον δοῦναι τῷ Κάστορι δεξιάν. Ἀλλ' ὁ μὲν οὔτ' αὐτὸς ἔφη προαπελεύσεσθαι (φρονεῖν γὰρ οὐδὲν ὑγιὲς τοὺς δεομένους) καὶ τοὺς ὁρμημένους τῶν φίλων κατέσχεν. Αἰνείας δέ τις τῶν αὐτομόλων αὐτὸς ἔφη προσελεύσεσθαι. Καὶ τοῦ Κάστορος καλοῦντος, ὅπως δέξαιτό τις καὶ τὸ ἀργύριον ὃ φέρει μεθ' αὑτοῦ, σπουδαιότερον ὁ Αἰνείας διαπετάσας τὸν κόλπον προσέδραμεν. Ἀράμενος δ' ὁ Κάστωρ πέτραν ἐπαφίησιν αὐτῷ, καὶ τούτου μὲν διήμαρτε φυλαξαμένου, τιτρώσκει δὲ στρατιώτην ἕτερον προσελθόντα. Συννοήσας δὲ Καῖσαρ τὴν ἀπάτην πρὸς βλάβης μὲν ἔγνω τὸν ἐν πολέμοις ἔλεον (τὸ γὰρ ἀπηνέστερον ἧττον ὑποπίπτειν τῷ πανούργῳ), τὰς δ' ἐμβολὰς τῆς ἐλεπόλεως ὀργῇ τῆς χλεύης ἐποιεῖτο δυνατωτέρας. Ὑποδιδόντα δὲ τὸν πύργον ἐμπιπρᾶσιν οἱ περὶ τὸν Κάστορα, καὶ διὰ τῆς φλογὸς εἰς τὴν ὑπ' αὐτῷ κρυπτὴν ἁλάμενοι πάλιν δόξαν ἀνδρείας Ῥωμαίοις παρέσχον ὡς ῥίψαντες σφᾶς αὐτοὺς εἰς τὸ πῦρ.

ΚΕΦ. Η'.

Τίτῳ δὲ τὰ μὲν χώματα προὔκοπτε, καίτοι πολλὰ κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν. Πέμψας δ' αὐτὸς μοῖραν τῶν ἱππέων ἐκέλευσε τοὺς κατὰ τὰς φάραγγας ἐπὶ συγκομιδῇ τροφῆς ἐξιόντας ἐνεδρεύειν. Ἦσαν δέ τινες μὲν καὶ τῶν μαχίμων οὐκέτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ δὲ πλέον ἐκ τοῦ δήμου πένητες, οὓς αὐτομολεῖν ἀπέτρεπε τὸ περὶ τῶν οἰκείων δέος· οὔτε γὰρ λήσεσθαι τοὺς στασιαστὰς ἤλπιζον μετὰ γυναικῶν καὶ παιδίων διαδιδράσκοντες, καὶ καταλιπεῖν ταῦτα τοῖς λῃσταῖς οὐχ ὑπέμενον ὑπὲρ αὐτῶν σφαγησόμενα. Τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς ἐποίει, καὶ κατελείπετο λανθάνοντας εἰς τοὺς πολεμίους ἁλίσκεσθαι. Λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο δέει τῆς κολάσεως, καὶ μετὰ μάχην ἱκετεύειν ἄωρον ἐδόκει. Μαστιγούμενοι δὴ καὶ προβασανιζόμενοι τοῦ θανάτου πᾶσαν αἰκίαν, ἀνεσταυροῦντο τοῦ τείχους ἀντικρύ. Τίτῳ μὲν οὖν οἰκτρὸν τὸ πάθος κατεφαίνετο, πεντακοσίων ἑκάστης ἡμέρας, ἔστι δ' ὅτε καὶ πλειόνων ἁλισκομένων, οὔτε δὲ τοὺς βίᾳ ληφθέντας ἀφεῖναι ἀσφαλὲς, καὶ φυλάττειν τοσούτους φρουρὰν τῶν φυλαξάντων ἑώρα· τό γε μὴν πλέον οὐκ ἐκώλυε, τάχ' ἂν ἐνδοῦναι πρὸς τὴν ὄψιν ἐλπίσας αὐτοὺς, εἰ μὴ παραδοῖεν ὁμοια πεισομένους. Προσήλουν δ' οἱ στρατιῶται δι' ὀργὴν καὶ μῖσος τοὺς ἁλόντας, ἄλλον ἄλλῳ σχήματι πρὸς χλεύην, καὶ διὰ τὸ πλῆθος χώρα τε ἐνέλειπε τοῖς σταυροῖς καὶ σταυροὶ τοῖς σώμασιν.

β'. Οἱ στασιασταὶ δὲ τοσοῦτον ἀπεδέησαν τοῦ μεταβαλέσθαι πρὸς τὸ πάθος, ὥστε καὶ τοὐναντίον αὐτοὶ σοφίσασθαι πρὸς τὸ λοιπὸν πλῆθος. Σύροντες γὰρ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύγοντες ἐπεδείκνυσαν, καὶ τοὺς κεκρατημένους ἱκέτας ἔλεγον, οὐκ αἰχμαλώτους. Τοῦτο πολλοὺς τῶν αὐτομολεῖν ὡρμημένων, μέχρι τἀληθὲς ἐγνώσθη, κατέσχεν εἴσω. Ἔνιοι δὲ καὶ παραχρῆμα διέδραν ὡς ἐπὶ βέβαιον τιμωρίαν, ἀνάπαυσιν ἡγούμενοι τὸν ἐκ τῶν πολεμίων θάνατον ἐν λιμοῦ συγκρίσει. Πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας Τίτος τῶν ἁλωκότων, ὡς μὴ δοκοῖεν αὐτόμολοι καὶ πιστεύοιντο διὰ τὴν συμφορὰν, εἰσέπεμψε πρὸς τὸν Ἰωάννην καὶ τὸν Σίμωνα, « νῦν γε ἤδη παύσασθαι παραινῶν, καὶ μὴ πρὸς ἀναίρεσιν τῆς πόλεως αὐτὸν βιάζεσθαι, κερδῆσαι δ' ἐκ τῆς « ἐν ὑστάτοις μεταμελείας τάς τε αὐτῶν ψυχὰς καὶ τηλικαύτην πατρίδα καὶ ναὸν ἀκοινώνητον ἄλλοις. » Περιιὼν δὲ τὰ χώματα τοὺς ἐργαζομένους ἅμα κατήπειγεν, ὡς οὐκ εἰς μακρὰν ἀκολουθήσων ἔργοις τῷ λόγῳ. Πρὸς ταῦτα αὐτόν τε ἐβλασφήμουν ἀπὸ τοῦ τείχους Καίσαρα καὶ τὸν πατέρα αὐτοῦ, « καὶ τοῦ μὲν

Profecto quum ex superiore civitate illud ardere viderent, neque doluere neque illacrimavere, sed Romanis ista accidisse compertum est. Et suo quidem in loco ista posterius dicemus cum singularum rerum documentis.

CAP. XI. (XXVIII.)

Interea Tito quidem aggeres promovebantur, quamvis milites de muris valde affligerentur. Ipse vero, parte equitatus missa, jussit per valles ad cibum comportandum exeuntibus insidias tendi. Erant autem in his nonnulli quidem bellicosorum rapinis haud contenti; majore vero ex parte pauperes plebeii, quos metus de necessariis suis a transfugio deterrebat: neque enim fore sperabant ut clam seditiosos cum conjugibus ac liberis diffugerent; eosque latronibus relinquere, vice sua jugulandos, non sustinebant. Audaciores autem faciebat ad exeundum fames: restabatque ut occulto egressi versus hostes ab iis caperentur. Deprehensi autem ex necessitate repugnabant metu supplicii: et post pugnam supplicare intempestivum videbatur. Itaque verberati et ante mortem modis omnibus excruciati, pro mœnibus suffigebantur crucibus. Et Tito quidem miseranda videbatur ea calamitas, quum Judæi in dies singulos quingenti, nonnunquam etiam plures caperentur: sed neque vi captos dimittere tutum erat, tantamque adservare multitudinem custodum videbat esse custodiam; maxime vero eos crucifigi non prohibebat, ut qui sperarit ipsos ad eum conspectum forsan deditionem facere, quasi similia passuros nisi se dederent. Milites autem ex ira aut odio cruci affigebant captos, modis quidem diversis ludibrii causa, et propter multitudinem spatium crucibus deerat, et corporibus cruces.

2. Tantum vero aberat ut seditiosi ad calamitatem istam animos mutarent, ut contrarium plane ad reliquam multitudinem simularint. Transfugarum enim necessariis ad muros pertractis, illisque e popularibus qui ad Romanorum fidem fugere properarint, qualia paterentur ii qui ad Romanos confugerent ostenderunt; et qui comprehensi tenebantur non captivos esse, sed supplices, dicebant. Hoc multos transfugere cupientium, donec verum cognosceretur, intra muros continebat. Nonnulli autem statim discurrerunt quasi ad verum supplicium; mortem ab hostibus illatam, si cum fame conferatur, requiem esse ducentes. Quumque multis captivorum Titus manus amputari jussisset, ut transfugæ minime viderentur, crederenturque propter calamitatem, eos ad Joannem et Simonem remisit, « saltem « nunc desinerent admonens, neve ipsum ad urbis excidium « compellerent, animisque tandem mutatis lucrarentur et « propriam vitam, et patriam tantam, et templum quod « cum aliis communicari non debeat. » Simul autem aggeres circumeundo operarios urgebat, veluti factis verba non multo post sequuturus. Ad hæc in muris stantes et ipsi Cæsari et patri ejus maledicebant, « mortemque se conte-

« θανάτου καταφρονεῖν ἐδόων· ἠρῆσθαι γὰρ αὐτὸν πρὸ « δουλείας καλῶς· ἐργάσεσθαι δ' ὅσα ἂν δύνωνται κακὰ « Ῥωμαίους ἕως ἐμπνέωσι, πατρίδος δ' οὐ μέλειν τοῖς « ὡς αὐτός φησιν ἀπολουμένοις, καὶ ναοῦ ἀμείνω τού- « του τῷ Θεῷ τὸν κόσμον εἶναι. Σωθήσεσθαί γε μὴν « καὶ τοῦτον ὑπὸ τοῦ κατοικοῦντος, ὃν καὶ αὐτοὶ σύμ- « μαχον ἔχοντες πᾶσαν χλευάζειν ἀπειλὴν ὑστεροῦσαν « ἔργων· τὸ γὰρ τέλος εἶναι τοῦ Θεοῦ. » Τοιαῦτα ταῖς λοιδορίαις ἀναμίσγοντες ἐκεκράγεσαν.

(ΚΘ'.) γ'. Ἐν δὲ τούτῳ καὶ ὁ Ἐπιφανὴς Ἀντίοχος παρῆν, ἄλλους τε ὁπλίτας συχνοὺς ἔχων καὶ περὶ αὐτὸν στῖφος Μακεδόνων καλούμενον, ἥλικας πάντας, ὑψηλοὺς, ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένους τε καὶ πεπαιδευμένους, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον, ὑστεροῦντες οἱ πολλοὶ τοῦ γένους. Εὐδαιμονῆσαι γὰρ μάλιστα τῶν ὑπὸ Ῥωμαίοις βασιλέων τὸν Κομμαγηνὸν συνέβη πρὶν γεύσασθαι μεταβολῆς· ἀπέφηνε δὲ κἀκεῖνος ἐπὶ γήρως ὡς οὐδένα χρὴ λέγειν πρὸ θανάτου μακάριον. Ἀλλ' ὅ γε παῖς ἀκμάζοντος αὐτοῦ τηνικαῦτα παρὼν θαυμάζειν ἔφασκε, τί δήποτε Ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει. Πολεμιστὴς δέ τις αὐτὸς ἦν καὶ φύσει παράβολος, κατά τε τὴν ἀλκὴν τοσοῦτος ὡς ὀλίγῳ τὴν τόλμαν διαμαρτάνειν. Μειδιάσαντος δὲ τοῦ Τίτου καὶ « κοινὸς ὁ πόνος » εἰπόντος, ὡς εἶχεν ὥρμησεν ὁ Ἀντίοχος μετὰ τῶν Μακεδόνων πρὸς τὸ τεῖχος. Αὐτὸς μὲν οὖν διά τε ἰσχὺν καὶ κατ' ἐμπειρίαν ἐφυλάττετο τὰ τῶν Ἰουδαίων βέλη, τοξεύων εἰς αὐτοὺς, τὰ μειράκια δ' αὐτῷ συνετρίβη πάντα, πλὴν ὀλίγων. Διὰ γὰρ αἰδῶ τῆς ὑποσχέσεως προσεφιλονείκει μαχόμενα, καὶ τέλος ἀνεχώρουν τραυματίαι πολλοὶ, συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς Μακεδόσιν, εἰ μέλλοιεν κρατεῖν, δέοι τῆς Ἀλεξάνδρου τύχης.

(Λ'.) δ'. Τοῖς δὲ Ῥωμαίοις ἀρξαμένοις δωδεκάτῃ μηνὸς Ἀρτεμισίου συνετελέσθη τὰ χώματα μόλις ἑνάτῃ καὶ εἰκάδι, ταῖς ἑπταικαίδεκα συνεχῶς πονουμένοις ἡμέραις. Μέγιστα γὰρ ἐχώσθη τὰ τέσσαρα, καὶ θάτερον μὲν τὸ ἐπὶ τὴν Ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη κατὰ μέσον τῆς Στρουθίου καλουμένης κολυμβήθρας, τὸ δὲ ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος ὅσον εἰς πήχεις εἴκοσι. Τῷ δεκάτῳ δὲ τάγματι, διέχοντι πολὺ τούτων, κατὰ βόρειον κλίμα τὸ ἔργον ἦν καὶ κολυμβήθραν Ἀμύγδαλον προσαγορευομένην· τούτου δὲ τὸ πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν ἐχώννυ κατὰ τὸ τοῦ ἀρχιερέως μνημεῖον. Προσαγομένων δ' ἤδη τῶν ὀργάνων ὁ μὲν Ἰωάννης ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων διάστημα, καὶ διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους ἀναχρήμνησι τὰ ἔργα. Πίσσῃ δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην ὕλην εἰσκομίσας ἐνίησι πῦρ, καὶ τῶν σταυρῶν ὑποκαέντων ἥ τε διῶρυξ ἐνέδωκεν ἀθρόα καὶ μετὰ μεγίστου ψόφου κατεσείσθη τὰ σώματα εἰς αὐτήν. Τὸ μὲν οὖν πρῶτον μετὰ τοῦ κονιορτοῦ καπνὸς ἠγείρετο βαθὺς, πνιγομένου τῷ πτώματι τοῦ πυρός· τῆς δὲ θλιβούσης ὕλης διαβιβρωσκομένης ἤδη φανερὰ φλὸξ ἐρρήγνυτο. Καὶ τοῖς Ῥωμαίοις ἐκ-

« mnere clamabant, (eam quippe se servituti recte præferre,) « et mala quæcumque possint Romanis illaturos esse dum « spirent, ipsisque non curæ esse patriam, ut ipse dicat, per- « ituris, mundumque Deo esse templum hoc præstantius. « Ceterum hoc ipsum ab eo servatum iri qui illud incole- « ret, quem et ipsos auxiliatorem habentes minas omnes « deridere facta desiderantes : rerum enim eventum penes « Deum esse. » Hujusmodi dicta conviciis admista vociferabantur.

(XXIX.) 3. Interea autem et Antiochus Epiphanes aderat, aliosque multos milites secum habens et circa ipsum catervam quæ Macedonum appellabatur; omnes ejusdem ætatis, procerus, et ex ephebis paullum modo egressos, Macedonum more armatos et in re militari exercitos, unde etiam nomen habebant, qui tamen plerique famam gentis æquare non poterant. Omnium enim regum qui Romanis parebant felicissimum Commagenum fieri contigit, priusquam fortuna mutaretur : ostendit autem et ille in senecta ætate, neminem ante obitum beatum dici oportere. Ceterum filius ejus, qui eo adhuc vigente tunc forte aderat, se mirari aiebat, quidnam esset cur Romani muros adire cunctarentur. Erat enim bellator ipse, naturaque factus ad audendum, tantusque viribus ut non multum peccaret audacia. Quum vero Titus ad hoc subrisisset, laboremque communem esse dixisset, ita ut erat se cum Macedonibus proripuit Antiochus, et in muros impetum fecit. Et ipse quidem pro viribus suis ac peritia cavebat tela Judæorum, dum illos jaculis peteret : fere autem omnes ejus adolescentes attriti erant. Promissa enim reveriti certatim in pugna perseverabant, et ad extremum multi saucii recesserunt, secum cogitantes, etiam veris Macedonibus, si vellent vincere, opus esse fortuna Alexandri.

(XXX.) 4. Quum autem Romani duodecimo mensis Artemisii die aggeres inchoassent, vix eos vigesimo nono perfecerunt, septemdecim illis diebus operi sine intermissione impensis. Quattuor enim maximi surrexerant, et alter quidem ad Antoniam a quinta legione jactus erat contra mediam piscinam quæ Struthia vocatur : alius vero a duodecima legione inde circiter viginti cubitos distante. At decima legio, quæ ab his longe aberat, in operibus ad regionem septemtrionalem occupata erat et ad piscinam quæ Amygdalon appellatur : inde vero quasi ad triginta cubitos legio decima quinta aggeres struebat ad *Joannis* pontificis monumentum. Jam vero machinis admotis, Joannes quidem, eo spatio quod inter Antoniam et aggeres interjacet suffosso, et cuniculis sudibus suffultis opera suspendit. Quum vero materiam importasset pice ac bitumine illitam, ignem immittit, et sudibus deflagratis fossa repente subsedit, cumque magno sonitu in eam prolapsi sunt aggeres. Ac primo quidem cum pulvere fumus ex alto excitatus est, igne ruina suffocato : peresa vero materia qua premebatur, flamma tum manifesta erumpebat. Et Romani repentino quidem

πληξις μὲν πρὸς τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς τὴν ἐπίνοιαν ἐμπίπτει. Καὶ κρατήσειν οἰομένοις ἤδη τὸ συμβὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα· τὸ δὲ ἀμύνειν ἀχρεῖον ἐδόκει πρὸς τὸ πῦρ, καὶ εἰ σβεσθείη, τῶν χωμάτων καταποθέντων.

ε'. Μετὰ δὲ ἡμέρας δύο καὶ τοῖς ἄλλοις ἐπιτίθενται χώμασιν οἱ περὶ τὸν Σίμωνα. Καὶ γὰρ δὴ προσαγαγόντες ταύτῃ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι διέσειον ἤδη τὸ τεῖχος. Τεφθαῖος δέ τις ἀπὸ Γαρσὶς πόλεως τῆς Γαλιλαίας, καὶ Μεγάσσαρος τῶν βασιλικῶν Μαριάμμης θεράπων, μεθ' ὧν Ἀδιαβηνός τις υἱὸς Ναβαταίου, τοὔνομα κληθεὶς ἀπὸ τῆς τύχης Χαγείρας, ὅπερ σημαίνει χωλὸς, ἁρπάσαντες λαμπάδας, προεπήδησαν ἐπὶ τὰς μηχανάς. Τούτων τῶν ἀνδρῶν οὔτε τολμηρότεροι κατὰ τόνδε τὸν πόλεμον ἐκ τῆς πόλεως ἐφάνησαν οὔτε φοβερώτεροι. Καθάπερ γὰρ εἰς φίλους ἐκτρέχοντες, οὐ πολεμίων στῖφος, οὔτε ἔδεισαν οὔτε ἐμέλλησαν, οὔτε ἀπέστησαν, ἀλλὰ διὰ μέσων ἐνθορόντες τῶν ἐχθρῶν ὑφῆψαν τὰς μηχανάς. Βαλλόμενοι δὲ καὶ τοῖς ξίφεσιν ἀνωθούμενοι πάντοθεν οὐ πρότερον ἐκ τοῦ κινδύνου μετεκινήθησαν ἢ δράξασθαι τῶν ὀργάνων τὸ πῦρ. Αἰρομένης δ' ἤδη τῆς φλογὸς Ῥωμαῖοι μὲν ἀπὸ τῶν στρατοπέδων συνθέοντες ἐβοήθουν, Ἰουδαῖοι δὲ ἐκ τοῦ τείχους ἐκώλυον, καὶ τοῖς σβεννύειν πειρωμένοις συνεπλέκοντο, κατὰ μηδὲν τῶν ἰδίων φειδόμενοι σωμάτων. Καὶ οἱ μὲν εἶλκον ἐκ τοῦ πυρὸς τὰς ἑλεπόλεις, τῶν ὑπὲρ αὐτὰς γέρρων φλεγομένων, οἱ δὲ Ἰουδαῖοι καὶ διὰ τῆς φλογὸς ἀντελαμβάνοντο καὶ τοῦ σιδήρου ζέοντος δρασσόμενοι τοὺς κριοὺς οὐ μεθίεσαν. Διέβαινε δ' ἀπὸ τούτων ἐπὶ τὰ χώματα τὸ πῦρ καὶ τοὺς ἀμύνοντας προελάμβανεν. Ἐν τούτῳ δ' οἱ μὲν Ῥωμαῖοι κυκλούμενοι τῇ φλογὶ καὶ τὴν σωτηρίαν τῶν ἔργων ἀπογνόντες ἀνεχώρουν ἐπὶ τὰ στρατόπεδα, Ἰουδαῖοι δὲ προσέκειντο πλείους ἀεὶ γινόμενοι, τῶν ἔνδοθεν προσβοηθούντων, καὶ τῷ κρατεῖν τεθαρρηκότες ἀταμιεύτοις ἐχρῶντο ταῖς ὁρμαῖς· προελθόντες δὲ μέχρι τῶν ἐρυμάτων ἤδη συνεπλέκοντο τοῖς φρουροῖς. Τάξις δ' ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη πρὸ τοῦ στρατοπέδου [μετὰ τῶν ὅπλων] καὶ δεινὸς ἐπ' αὐτῇ Ῥωμαίων νόμος, τὸν ὑποχωρήσαντα καθ' ἣν δήποτ' οὖν αἰτίαν θνήσκειν. Οὗτοι τοῦ μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες ἵστανται, καὶ πρὸς τὴν τούτων ἀνάγκην πολλοὶ τῶν τραπέντων ἐπεστράφησαν αἰδούμενοι. Διαθέντες δὲ καὶ τοὺς ὀξυβελεῖς ἐπὶ τοῦ τείχους εἶργον τὸ προσγινόμενον πλῆθος ἐκ τῆς πόλεως, οὐδὲν εἰς ἀσφάλειαν ἢ φυλακὴν τῶν σωμάτων προνοουμένους· συνεπλέκοντο γὰρ οἱ Ἰουδαῖοι τοῖς προστυχοῦσι, καὶ ταῖς αἰχμαῖς ἀφυλάκτως ἐμπίπτοντες αὐτοῖς τοῖς σώμασι τοὺς ἐχθροὺς ἔπαιον· οὔτε δ' ἔργοις αὐτοὶ πλέον ἢ τῷ θαρρεῖν περιῆσαν, καὶ Ῥωμαῖοι τῇ τόλμῃ πλέον εἶκον ἢ τῷ κακοῦσθαι.

ς'. Παρῆν δ' ἤδη ὁ Καῖσαρ ἀπὸ τῆς Ἀντωνίας, ὅπου κεχώριστο, κατασκεπτόμενος τόπον ἄλλοις χώμασι· καὶ πολλὰ τοὺς στρατιώτας φαυλίσας, εἰ κρατοῦντες casu obstupefacti erant, atque animos despondere cœperunt ex facti sollertia. Quumque se victoriam reportaturos esse jam crederent, hoc ipsum quod accidit spem eorum in posterum refrigeravit : frustraque videbantur in igne exstinguendo laborare, quum illo exstincto absorptos viderent aggeres.

5. Biduo autem post reliquos etiam aggeres Simon cum suis aggreditur. Illa enim parte Romani jam productis helepolibus murum concutere cœperant. Tephthæus autem quidam ex Garsis ortus civitate Galilææ, et Megassarus ex regiis famulis Mariamnes, cum quibus Adiabenus quidam filius Nabatæi, ex fortuna cognominatus Chagiras, quæ vox claudum denotat, raptis facibus in machinas prosiluerunt. His viris neque audaciores quiquam eo bello ex urbe in hostem processerunt, neque magis terribiles. Nam veluti ad amicos, non in agmen hostium, excurrerent, non trepidarunt, neque cunctati sunt, neque abscesserunt, sed per medios hostes proruentes machinas succenderunt. Impetiti autem missilibus, et gladiis ab omni parte repulsi, non prius e periculo semet subduxerunt, quam ignis instrumenta corriperet. Sublata vero flamma, concursus quidem factus est Romanorum e castris, ut machinis subveniretur : Judæi vero ex muro prohibebant, et cum iis qui exstinctum ibant manus conserebant, propriis corporibus nullo modo parcentes. Et Romani quidem arietes igni subtrahebant, quum eorum tegmina cremarentur : Judæi vero etiam per flammas eos retinere certabant, et quamvis fervens nacti essent ferrum, arietes non dimittebant. Ab his autem in aggeres transibat ignis, et auxilium ferentes præveniebat. Quumque res ita erat, Romani quidem flammis circumdati, et de operibus servandis desperantes, in castra discedebant; Judæi vero magis instabant, semper numero gliscentes, quod ad eos in auxilium accurrerent qui in urbe erant, fretique victoria effuso impetu ferebantur; et usque ad munimenta castrorum progressi, jam cum custodibus ad conflictum veniebant. Est enim statio pro castris per vices succedentium [armatorum] et acerba in eos sanctio Romanorum, morte plectendum esse qui loco qualibet de causa cederet. Hi supplicio capitali gloriosa morte prælata substant, et ad horum necessitatem multi fugientium cum pudore conversi sunt. Quumque scorpiones per murum disposuissent, multitudinem a civitate advenientem repellebant, nihil in corporum securitatem custodiamve providentem : nam quoscunque obvios haberent, cum his congrediebantur Judæi; et in spicula incaute irruentes ipsis corporibus inimicos feriebant : neque hi tam illis quæ faciebant quam quæ audebant superiores erant; et Romani plus audaciæ quam quod male tractarentur cedebant.

6. Jam vero Cæsar aderat ab Antonia, quo seorsum iverat, ut loca exploraret aliis aggeribus : multumque increpatis militibus, quod, quum hostium muros obtinuissent, in suis

τῶν πολεμίων τειχῶν κινδυνεύουσι τοῖς ἰδίοις, καὶ πολιορκουμένων ὑπομένουσιν αὐτοὶ τύχην, ὥσπερ ἐκ δεσμωτηρίου καθ' αὑτῶν Ἰουδαίους ἀνέντες, περιῄει μετὰ τῶν ἐπιλέκτων κατὰ πλευρὰ τοῖς πολεμίοις αὐτός. Οἱ δὲ κατὰ στόμα παιόμενοι καὶ πρὸς τοῦτον ἐπιστραφέντες ἐκαρτέρουν. Μιγείσης δὲ τῆς παρατάξεως ὁ μὲν κονιορτὸς τῶν ὁμμάτων, ἡ κραυγὴ δὲ τῶν ἀκοῶν ἐπεκράτει, καὶ οὐδετέρῳ παρῆν ἔτι τεκμήρασθαι τὸ ἐχθρὸν ἢ τὸ φίλιον. Ἰουδαίων δ' οὐ τοσοῦτον ἔτι κατ' ἀλκὴν ὅσον ἀπογνώσει σωτηρίας παραμενόντων, καὶ Ῥωμαίους ἐτόνωσεν αἰδὼς δόξης τε καὶ τῶν ὅπλων καὶ προκινδυνεύοντος Καίσαρος· ὥστε μοι δοκοῦσι τὰ τελευταῖα δι' ὑπερβολὴν θυμῶν κἂν ὅλον ἁρπάσαι τὸ τῶν Ἰουδαίων πλῆθος, εἰ μὴ τὴν ῥοπὴν τῆς παρατάξεως φθάσαντες ἀνεχώρησαν εἰς τὴν πόλιν. Διεφθαρμένων δὲ τῶν χωμάτων Ῥωμαῖοι μὲν ἦσαν ἐν ἀθυμίαις, τὸν μακρὸν κάματον ἐπὶ μιᾶς ὥρας ἀπολέσαντες· καὶ πολλοὶ μὲν ταῖς συνήθεσι μηχαναῖς ἀπήλπιζον ἁλώσεσθαι τὴν πόλιν.

periclitarentur, et velut ex carcere contra se dimissis Judæis obsessorum paterentur ipsi fortunam, ipse cum lectis militibus hostes a latere circumvenit. Illi autem quum in ora ferirentur, etiam in Titum conversi pugna perseverabant. Mixta vero acie, pulvis quidem oculos, clamor vero aures occupabat, ac neutri conjicere poterant quisnam amicus esset aut inimicus. Quum autem Judæi non tantum viribus adhuc persisterent quantum salutis desperatione, Romanos etiam fortiores reddidit gloriæ reverentia et armorum et Cæsaris ante ipsos periculum adeuntis. Itaque putaverim eos ad extremum nimia ferocitate animorum vel totam multitudinem Judæorum fuisse rapturos, nisi præventa aciei inclinatione hi in civitatem se recepissent. Labefactatis autem aggeribus Romani tristes erant et anxii, qui longi laboris opus una hora perdiderant : et multi quidem machinis iis, quibus utebantur, jam captum iri civitatem desperabant.

ΚΕΦ. ΙΒ'.

Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. Καὶ τοῖς μὲν θερμοτέροις ἐδόκει πᾶσαν προσάγοντα τὴν δύναμιν ἀποπειρᾶσθαι τοῦ τείχους βίᾳ· μέχρι μὲν γὰρ νῦν κατασπάσματι Ἰουδαίους τῆς στρατιᾶς συμπεπλέχθαι, προσιόντων δὲ ἀθρόων οὐδὲ τὴν ἔφοδον οἴσειν· καταχωσθήσεσθαι γὰρ ὑπὸ τῶν βελῶν. Τῶν δὲ ἀσφαλεστέρων οἱ μὲν καὶ τὰ χώματα ποιεῖν πάλιν, οἱ δὲ καὶ δίχα τούτων προσκαθέζεσθαι, μόνον παραφυλάττοντας τάς τε ἐξόδους αὐτῶν καὶ τὰς εἰσκομιδὰς τῶν ἐπιτηδείων, παρῄνουν· καὶ τῷ λιμῷ καταλιπεῖν τὴν πόλιν, μηδὲ συμπλέκεσθαι κατὰ χεῖρα τοῖς πολεμίοις· ἄμαχον γὰρ εἶναι τὴν ἀπόγνωσιν, οἷς εὐχὴ μὲν τῷ σιδήρῳ πεσεῖν, ἀπόκειται δὲ καὶ δίχα τούτου πάθος χαλεπώτερον. Αὐτῷ δὲ τὸ μὲν ἀργεῖν καθόλου μετὰ τοσαύτης δυνάμεως οὐκ ἐδόκει πρέπον, καὶ τὸ μάχεσθαι περιττὸν πρὸς ἀλλήλων φθαρησομένοις· βάλλεσθαι δὲ χώματα δύσεργον ἀπέφαινεν ὕλης ἀπορία, καὶ τὸ παραφυλάττειν τὰς ἐξόδους δυσεργότερον. Κυκλώσασθαί τε γὰρ τῇ στρατιᾷ τὴν πόλιν, διὰ τὸ μέγεθος καὶ δυσχωρίαν, οὐκ εὐμαρὲς εἶναι, καὶ σφαλερὸν ἄλλως πρὸς τὰς ἐπιθέσεις· τῶν δὲ φανερῶν φυλαττομένων ἀφανεῖς ἐπινοεῖσθαι Ἰουδαίοις ὁδοὺς κατά τε ἀνάγκην καὶ δι' ἐμπειρίαν. Εἰ δέ τι λάθρα παρεισκομίζοιτο, τριβὴν ἔσεσθαι πλείω τῇ πολιορκίᾳ, δεδιέναι τε μὴ τὴν δόξαν τοῦ κατορθώματος αὐτῷ τὸ μῆκος ἐλαττώσῃ τοῦ χρόνου. Τούτῳ μὲν γὰρ εἶναι πᾶν ἀνύσιμον, πρὸς δὲ τῆς εὐκλείας τὸ τάχος. Δεῖν μέν γε, εἰ καὶ τῷ τάχει μετ' ἀσφαλείας βούλοιτο χρήσασθαι, περιτειχίζειν ὅλην τὴν πόλιν· μόνως γὰρ οὕτως ἂν πάσας ἀποφράξαι τὰς ἐξόδους, καὶ Ἰουδαίους ἢ πρὸς ἅπαντα ἀπογνόντας τὴν σωτηρίαν παραδώσειν τὴν πόλιν, ἢ λιμώττοντας χειρωθήσεσθαι ῥᾳδίως. Οὐδὲ γὰρ ἠρεμήσειν αὐτὸν ἄλλως, ἀλλὰ καὶ τῶν χωμάτων ἐπιμελήσεσθαι πάλιν, χρώμενον τοῖς

CAP. XII. (XXXI.)

Titus autem cum ducibus deliberabat. Et fervidioribus quidem placebat ut omnibus copiis adductis mœnia vi tentarent : adhuc enim Judæos cum exercitus quidem parte dimicasse, quando vero milites universi adessent, impetum eorum non laturos : fore enim ut telis obruti succumbant. Prudentiorum autem alii quidem aggeres alios excitandos suadebant; alii vero et sine his assidendum, egressus eorum tantummodo observando, ac ne quid commeatus intro ferretur; atque ita civitatem fami relinquere, neque cum hostibus manu confligere : haud enim cum desperatis posse dimicari, quibus in votis sit ferro cadere, eos autem vesine hoc manere tristiorem exitum. Ipsi autem cessare quidem prorsus tanto cum exercitu honestum non videbatur, et cum his pugnare supervacuum, qui semetipsos perdituri sint; aggeres autem excitare in materiæ penuria opus arduum et impeditum esse ostendebat, egressusque observare adhuc difficilius. Nec enim urbem circumdari propter amplitudinem ejus et loca invia facile posse, et parum alioqui tutum impressiones facere : viis autem apertis custoditis, occultas excogitaturos Judæos ex necessitate et locorum peritia. Et si quid clam subvectum sit, diutius aliquanto protractum iri obsidionem; metuendumque ne successus gloriam ipsi diminuat temporis longitudo. Hac enim cuncta quidem effici posse, sed ad gloriam facere celeritatem. Porroque debere, si celeritate uti velit cum securitate conjuncta, totam urbem muro circumdare : ita enim solum omnes exitus obstrui posse; Judæosque aut desperata quoad omnia salute civitatem tradituros, aut fore ut fame laborantes facile capiantur : ipsum enim non esse temere quieturum, sed et aggeres iterum curaturum, quum infirmiores habeat qui prohibeant. Quodsi cuiquam

κωλύουσιν ἀτονωτέροις. Εἰ δέ τῳ μέγα δοκεῖ καὶ δυσήνυτον τὸ ἔργον, χρῆναι σκοπεῖν ὡς οὔτε Ῥωμαίοις τι μικρὸν ἐνεργεῖν πρέπει, καὶ δίχα πόνου κατορθοῦν τι τῶν μεγάλων οὐδενὶ ῥᾴδιον ἀλλ' ἢ Θεῷ μόνῳ.

β'. Τούτοις πείσας τοὺς ἡγεμόνας διανέμειν ἐκέλευσε τὰς δυνάμεις ἐπὶ τὸ ἔργον. Ὁρμὴ δέ τις ἐμπίπτει δαιμόνιος τοῖς στρατιώταις, καὶ μερισαμένων τὸν περίβολον οὐ μόνον τῶν ταγμάτων ἦν ἔρις, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς τάξεων πρὸς ἀλλήλας· καὶ στρατιώτης μὲν δεκαδάρχην, δεκαδάρχης δὲ ἑκατοντάρχην, οὗτος δὲ ἐσπούδαζεν ἀρέσασθαι χιλίαρχον, τῶν δὲ χιλιάρχων ἐπὶ τοὺς ἡγεμόνας ἔτεινεν ἡ φιλοτιμία, καὶ τῶν ἡγεμόνων τὴν ἅμιλλαν ἐβράβευε Καῖσαρ. Περιιὼν γὰρ αὐτὸς ἑκάστης ἡμέρας πολλάκις ἐπεσκόπει τὸ ἔργον. Ἀρξάμενος δ' ἀπὸ τῆς Ἀσσυρίων παρεμβολῆς, καθ' ἣν αὐτὸς ἐστρατοπεδεύετο, ἐπὶ τὴν κατωτέρω Καινόπολιν ἦγε τὸ τεῖχος, ἔνθεν διὰ τοῦ Κεδρῶνος ἐπὶ τὸ Ἐλαιῶν ὄρος, εἶτα ἀνακάμπτων κατὰ μεσημβρίαν περιλαμβάνει τὸ ὄρος ἄχρι τῆς Περιστερεῶνος καλουμένης πέτρας, τόν τε ἐξῆς λόφον ὃς ἐπίκειται τῇ κατὰ τὴν Σιλωὰμ φάραγγι, κἀκεῖθεν ἐκκλίνας πρὸς δύσιν εἰς τὴν τῆς Πηγῆς κατῆει φάραγγα. Μεθ' ἣν ἀναβαίνων κατὰ τὸ Ἀνάνου τοῦ ἀρχιερέως μνημεῖον, καὶ διαλαβὼν τὸ ὄρος, ἔνθα Πομπήιος ἐστρατοπεδεύσατο, πρὸς κλίμα βόρειον ἐπέστρεφε, καὶ προελθὼν μέχρι κώμης τινός (Ἐρεβίνθων οἶκος καλεῖται), καὶ μετ' ἐκείνην τὸ Ἡρώδου μνημεῖον περισχὼν κατ' ἀνατολὴν τῷ ἰδίῳ στρατοπέδῳ συνῆπτεν ὄπισθεν ἤρξατο. Τὸ μὲν οὖν τεῖχος ἑνὸς δέοντος τεσσαράκοντα σταδίων ἦν, ἔξωθεν δὲ αὐτῷ προσῳκοδομήθη τρισκαίδεκα φρούρια· καὶ τούτων οἱ κύκλοι δέκα συνηριθμοῦντο σταδίων. Τρισὶ δ' ᾠκοδομήθη τὸ πᾶν ἡμέραις, ὡς τὸ μὲν ἔργον μηνῶν εἶναι ἄξιον, τὸ δὲ τάχος ἠττῆσθαι πίστεως. Περικλείσας δὲ τῷ τείχει τὴν πόλιν, καὶ δύναμιν τοῖς φρουρίοις ἐγκαταστήσας, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιὼν αὐτὸς ἐπεσκέπτετο, τὴν δευτέραν δὲ ἐπέτρεψεν Ἀλεξάνδρῳ, τὴν τρίτην δὲ ἔλαχον οἱ τῶν ταγμάτων ἡγεμόνες. Διεκληροῦντο δ' οἱ φύλακες τοὺς ὕπνους, καὶ δι' ὅλης νυκτὸς περιῆσαν κατὰ διαστήματα τῶν φρουρίων.

(ΛΒ'.) γ'. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας ἐλπὶς, καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐπεδόσκετο. Καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρέφων λελυμένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν. Παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο, καὶ κατέπιπτον ὅπῃ τινὰ τὸ πάθος καταλαμβάνοι. Θάπτειν δὲ τοὺς προσήκοντας οὔτε ἴσχυον οἱ κάμνοντες καὶ τὸ διευτονοῦν ὤκνει διὰ τὸ πλῆθος τῶν νεκρῶν, καὶ τὸ κατὰ σφᾶς ἄδηλον. Πολλοὶ γοῦν τοῖς ὑπ' αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δ' ἐπὶ τὰς θήκας, πρὶν ἐπιστῆναι τὸ χρεών, προῆλθον. Οὔτε δὲ θρῆνος ἐν ταῖς συμφοραῖς οὔτ' ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη. Ξηροῖς γὰρ τοῖς ὄμμασι καὶ σεσηρόσι τοῖς στόμασιν οἱ δυσθανατοῦντες ἐφεώρων

magnum opus videatur ægreque perficiendum, eum considerare oportere, neque Romanos decere parvi aliquid efficere, et sine labore nihil e magnis perficere facile cuiquam esse nisi Deo soli.

2. Quum his dictis persuasisset ducibus, jussit eos distribuere copias ad opus perficiendum. Divinus autem quidam impetus militibus incidit; ambituque in partes diviso, non solum legiones, verum ipsi etiam in illis ordines inter se certabant : et miles quidem decurioni, decurio autem centurioni, isque tribuno placere studebat, atque tribunis cum ducibus intercedebat contentio, et ducum concertationes remunerabat Cæsar : ipse enim in dies singulos circumiens sæpe opus inspiciebat. Facto autem initio a castris Assyriorum, ubi ipse tendebat, ad inferiorem Cænopolim murum ducebat, et hinc per Cedronem ad Olivarum montem, dein revertens a meridie montem complectitur usque ad petram quæ Peristereonos vocatur, eique proximum collem, qui valli juxta Siloam imminet; quumque inde divertisset ad occasum, ad vallem Fontis descendit. Unde facto ascensu ad Anani pontificis monumentum, et monte circumdato ubi Pompeius castra posuerat, ad regionem septemtrionalem redit, progressusque ad vicum cui nomen Cicerum domus, et post illum Herodis monumentum complexus, ad orientem suis castris murum conjungit, unde eum inchoaverat. Et murus quidem undequadraginta stadiorum erat; eique foris adstructa erant castella tredecim, eorumque ambitus denis stadiis numerabatur. Totum autem opus triduo constructum erat, ut id quidem dignum mensibus videretur, celeritas vero fide careret. Muro autem circumclusa civitate et custodibus per castella collocatis, primas noctis excubias ipse obibat et explorabat, secundas vero Alexandro mandabat, tertiasque nacti sunt legionum duces. Somnum autem vigiles sortito capiebant, per totamque noctem spatia inter castella circuibant.

(XXXII.) 3. Judæis autem cum egrediendi facultate spes quoque omnis salutis præcisa erat : et fames ingravescens per domos et familias populum depascebatur. Ac tecta quidem plena erant mulieribus et infantibus fame enectis, angiportus vero senibus mortuis referti. Pueri autem et juvenes intumescentes veluti simulacra quædam per fora oberrabant, et ubicunque quis labe correptus fuerat, procidebat. Porro propinquorum cadavera sepelire neque valebant ægri et qui adhuc integris viribus erant, tum multitudine mortuorum, tum quod de vita sua incerti essent, absterrebantur. Plerique enim dum alios sepelirent, ipsi mortem obierunt : multi etiam, antequam fatalis hora adesset, ad loculos properarunt. Ceterum nec luctus in calamitatibus nec questus erat ullus, sed animorum affectus fames superabat. Qui autem ægre adhuc spiritum trahebant, siccis oculis et ore renidenti aspiciebant eos, qui fato celerius

τοὺς φθάσαντας ἀναπαύσασθαι, βαθεῖα δὲ τὴν πόλιν περιεῖχε σιγὴ καὶ νὺξ θανάτου γέμουσα, καὶ τούτων οἱ λῃσταὶ χαλεπώτεροι. Τυμβωρυχοῦντες γοῦν τὰς οἰκίας ἐσύλων τοὺς νεκροὺς καὶ τὰ κατακαλύμματα τῶν σωμάτων περισπῶντες μετὰ γέλωτος ἐξῄεσαν, τάς τε ἀκμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασι, καί τινας τῶν ἐρριμμένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πεῖρα τοῦ σιδήρου. Τοὺς δὲ ἱκετεύοντας χρῆσαι σφίσι δεξιὰν καὶ ξίφος τῷ λιμῷ κατέλιπον ὑπερηφανοῦντες. Καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενίσας εἰς τὸν ναὸν ἀφεώρα τοὺς στασιαστὰς ζῶντας ἀπολιπών. Οἱ δὲ τὸ μὲν πρῶτον ἀπὸ τοῦ δημοσίου θησαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες, ἔπειθ' ὡς οὐ διήρκουν, ἀπὸ τῶν τειχῶν ἐρρίπτουν εἰς τὰς φάραγγας.

δ'. Περιιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλησμένας τῶν νεκρῶν καὶ βαθὺν ἰχῶρα μυδώντων ὑπορρέοντα τῶν σωμάτων, ἐστέναξέ τε καὶ τὰς χεῖρας ἀνατείνας κατεμαρτύρετο τὸν Θεὸν ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ. Τὰ μὲν δὴ κατὰ τὴν πόλιν εἶχεν οὕτω· Ῥωμαῖοι δὲ, μηδενὸς ἔτι τῶν στασιαστῶν ἐκτρέχοντος (ἤδη γὰρ καὶ τούτων ἀθυμία καὶ λιμὸς ἐφήπτετο), ἐπ' εὐθυμίαις ἦσαν, σίτου τε ἀφθονίαν καὶ τῶν ἄλλων ἐπιτηδείων ἐκ τῆς Συρίας καὶ τῶν πλησίον ἐπαρχιῶν ἔχοντες· ἱστάμενοι δὲ πολλοὶ τοῦ τείχους πλησίον, καὶ πολὺ πλῆθος τῶν ἐδωδίμων ἐπιδεικνύμενοι, τῷ κατὰ σφᾶς κόρῳ τὸν λιμὸν τῶν πολεμίων ἐξέκαιον. Πρὸς δὲ τὸ πάθος τῶν στασιαστῶν μηδὲν ἐνδιδόντων, Τίτος οἰκτείρων τὰ λείψανα τοῦ δήμου καὶ σπουδάζων τὸ γοῦν περιὸν ἐξαρπάσαι, πάλιν ἤρχετο χωμάτων, χαλεπῶς αὐτῷ τῆς ὕλης πoριζομένης. Ἡ μὲν γὰρ περὶ τὴν πόλιν πᾶσα τοῖς προτέροις ἔργοις ἐκκέκοπτο, συνεφόρουν δ' ἄλλην ἀπ' ἐνενήκοντα σταδίων οἱ στρατιῶται, καὶ πρὸς μόνης ὕψουν τῆς Ἀντωνίας κατὰ μέρη τέσσαρα πολὺ μείζονα τῶν προτέρων χώματα. Περιιὼν δ' ὁ Καῖσαρ τὰ τάγματα καὶ κατεπείγων τὸ ἔργον ἐπεδείκνυ τοῖς λῃσταῖς ὡς ἐν χερσὶν εἵησαν αὐτοῦ. Μόνοις δ' ἐκείνοις ἄρα κακῶν ἀπολώλει μεταμέλεια, καὶ τὰς ψυχὰς χωρίσαντες ἀπὸ τῶν σωμάτων ἀμφοτέροις ὡς ἀλλοτρίοις ἐχρῶντο. Οὔτε γὰρ πάθος αὐτῶν ἡμέρου τὴν ψυχὴν, οὔτε ἀλγηδὼν ἥπτετο τοῦ σώματος, οἵ γε καὶ νεκρὸν τὸν δῆμον ὥσπερ κύνες ἐσπάραττον καὶ τὰ δεσμωτήρια τῶν ἀρρώστων ἐνεπίμπλασαν.

ΚΕΦ. ΙΓ'.

Σίμων γοῦν οὐδὲ Ματθίαν, δι' ὃν κατέσχε τὴν πόλιν, ἀδασάνιστον ἀνεῖλε. Βοηθοῦ παῖς ἦν οὗτος ἐκ τῶν ἀρχιερέων, ἐν τοῖς μάλιστα τῷ δήμῳ πιστὸς καὶ τίμιος, ὃς, ὑπὸ τοῖς ζηλωταῖς κακουμένου τοῦ πλήθους, οἷς ἤδη καὶ Ἰωάννης προσῆν, πείθει τὸν δῆμον εἰσαφιέναι τὸν Σίμωνα βοηθὸν, οὐδὲν οὔτε προσυνθέμενος οὔτε προσδοκήσας φαῦλον ἐξ αὐτοῦ. Παρελθὼν δ' ἐκεῖνος, ὡς ἐκράτησε τῆς πόλεως, ἐχθρὸν ἐν ἴσῳ τοῖς ἄλλοις ἡγεῖτο καὶ τὸν ὑπὲρ αὐτοῦ σύμβουλον, ὡς ἂν ἐξ ἁπλόfuncti quiete fruerentur : altum vero silentium et nox feralis civitatem obsidebat. Sed his malis graviores erant prædones. Effossis quippe domibus, quæ in sepulcra conversæ erant, cadavera spoliabant; et velamina corporibus detrahentes cum risu egrediebantur. Quin etiam gladiorum mucrones in ipsis cadaveribus experiebantur, et quosdam humi jacentium adhuc spirantes ad probandam ferri aciem transfigebant. Si qui autem ipsos rogarent ut manum sibi ac ferrum commodarent, arrogantia elati fami conficiendos relinquebant. Morientium vero singuli, quum seditiosos sibi superstites relinquerent, fixis oculis templum spectabant. At hi principio quidem ex publico ærario mortuos humari jusserant, quum cadaverum fœtorem ferre non possent; postea vero, quum humandis corporibus nequaquam sufficerent, in profundas voragines de muro ea projiciebant.

4. Has vero quum Titus circuiret, ubi oppletas cadaveribus vidit, altamque saniem putrefactis corporibus diffluentem, ingemuit, sublatisque in cœlum manibus Deum testatus est, facinus illud suum non esse. Atque ita quidem se res habebant in civitate. Romani vero, quum jam nemo seditiosorum excurreret (nam etiam hos tum mœror famesque tangebat), læti atque alacres erant, frumenti aliarumque rerum necessariarum copiam habentes de Syria allisque proximis provinciis ; multique juxta murum tantes, et magnam alimentorum vim præ se ferentes, satietate sua famem hostium incendebant. Seditiosis autem nihil ista calamitate commotis, Titus reliquias populi miseratus, et festinans saltem quantum superaret periculo eripere, iterum aggeres inchoabat, materia ægre ipsi suppeditata. Quippe universa civitati proxima prioribus operibus succisa erat, a nonagesimo vero stadio aliam comportabant milites; et contra Antoniam solam quattuor ad partes majores prioribus aggeres erigebant. Cæsar autem, legiones circumiens atque opus urgens et accelerans, quod in manibus eos haberet latronibus palam faciebat. Illos autem solos malorum quæ perpetraverant prorsus non pœnitebat : animabusque a corporibus divulsis, utrisque velut alienis utebantur. Neque enim vel animas illorum affectio mitigabat, neque corpora dolor tangebat, ut qui mortuos de plebe canum more dilacerabant, et ergastula invalidis replebant.

CAP. XIII. (XXXIII.)

Denique Simon ne Matthiam quidem, per quem civitatem occupaverat, sine cruciatu adhibito peremit. Boethi filius hic erat ex pontificibus, populo maxime fidelis et carus : qui, quum multitudo male acciperetur a zelotis, quibus jam Joannes accesserat, ut adjutorem Simonem reciperent populo persuadet, nulla cum eo prius habita pactione, neque mali aliquid ab eo metuens. Ingressus autem ille, postquam obtinuit civitatem, æque ac ceteros pro inimico habebat eum etiam qui pro ipso consilium dederat, quasi hoc

τητος γεγενημενον. Ἀχθέντα δὲ τηνικαῦτα καὶ κατηγορούμενον τὰ Ῥωμαίων φρονεῖν κατακρίνει μὲν θανάτῳ, μηδὲ ἀπολογίας ἀξιώσας, σὺν τρισὶν υἱοῖς· ὁ γὰρ τέταρτος ἔφθη διαδρὰς πρὸς Τίτον. Ἱκετεύοντα δ' ἀναιρεθῆναι πρὸ τῶν τέκνων καὶ ταύτην αἰτούμενον τὴν χάριν ἀνθ' ὧν ἀνοίξειεν αὐτῷ τὴν πόλιν, τελευταῖον ἀνελεῖν ἐκέλευσεν. Ὁ μὲν οὖν ἐν ὄψει φονευθεῖσιν ἐναπεσφάγη τοῖς παισὶν, ἄντικρυς τῶν Ῥωμαίων προαχθείς· οὕτω γὰρ ὁ Σίμων Ἀνάνῳ τῷ Βαμάδου προσέταξεν, ὃς ἦν ὠμότατος αὐτῷ τῶν δορυφόρων, ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ πρὸς οὓς ἐξελθεῖν εἵλετο. Θάπτειν δὲ ἀπεῖπε τὰ σώματα. Μετὰ τούτους ἱερεύς τις Ἀνανίας υἱὸς Μασαμβάλου τῶν ἐπισήμων, καὶ ὁ γραμματεὺς τῆς βουλῆς Ἀριστεὺς, γένος ἐξ Ἀμμαοῦς, καὶ σὺν τούτοις πεντεκαίδεκα τῶν ἀπὸ τοῦ δήμου λαμπρῶν, ἀναιροῦνται. Τὸν δὲ τοῦ Ἰωσήπου πατέρα συγκλείσαντες ἐφύλαττον, κηρύττουσι δὲ μηδένα τῶν κατὰ τὴν πόλιν μήτε συνομιλεῖν μήτε ἐπὶ τὸ αὐτὸ συναθροίζεσθαι, δέει προδοσίας, καὶ τοὺς συνολοφυρομένους πρὸ ἐξετάσεως ἀνῄρουν.

(ΛΔ'.) β'. Ταῦτα ὁρῶν Ἰούδης τις υἱὸς Ἰούδου, τῶν ὑπάρχων τοῦ Σίμωνος εἷς ὤν, καὶ πεπιστευμένος ὑπ' αὐτοῦ πύργον φυλάττειν, τάχα μέν τι καὶ οἰκτῳ τῶν ὡμῶς ἀπολλυμένων, τὸ δὲ πλέον ἑαυτοῦ προνοίᾳ, συγκαλέσας τοὺς πιστοτάτους τῶν ὑπ' αὐτὸν δέκα, « μέχρι « τίνος ἀνθέξομεν, ἔφη, τοῖς κακοῖς; ἢ τίνας σωτηρίας « ἔχομεν ἐλπίδας πιστοὶ πονηρῷ μένοντες; οὐχ ὁ μὲν « λιμὸς ἤδη καθ' ἡμῶν, Ῥωμαῖοι δὲ παρὰ μικρὸν ἔν« δον, Σίμων δὲ καὶ πρὸς εὐεργέτας ἄπιστος, καὶ δέος « μὲν ἤδη παρ' αὐτῷ κολάσεως, ἡ δὲ παρὰ Ῥωμαίοις « δεξιὰ βέβαιος; Φέρε, παραδόντες τὸ τεῖχος σώσωμεν « ἑαυτοὺς καὶ τὴν πόλιν. Πείσεται δ' οὐδὲν δεινὸν « Σίμων, ἐὰν ἀπεγνωκὼς ἑαυτοῦ τάχιον δῷ δίκην. » Τούτοις τῶν δέκα πεισθέντων, ὑπὸ τὴν ἕω τοὺς λοιποὺς τῶν ὑποτεταγμένων ἄλλον ἀλλαχόσε διέπεμψεν, ὡς μὴ φωραθείη τι τῶν βεβουλευμένων, αὐτὸς δὲ περὶ τρίτην ὥραν ἀπὸ τοῦ πύργου τοὺς Ῥωμαίους ἐκάλει. Τῶν δὲ οἱ μὲν ὑπερηφάνουν, οἱ δ' ἠπίστουν, οἱ πολλοὶ δ' ὤκνουν ὡς μετὰ μικρὸν ἀκινδύνως ληψόμενοι τὴν πόλιν. Ἐν ὅσῳ δὲ Τίτος μετὰ τῶν ὁπλιτῶν παρῄει πρὸς τὸ τεῖχος, ἔφθη γνοὺς ὁ Σίμων, καὶ μετὰ τάχους τόν τε πύργον προκαταλαμβάνει καὶ τοὺς ἄνδρας συλλαβὼν ἐν ὄψει τῶν Ῥωμαίων ἀναιρεῖ, καὶ πρὸ τοῦ τείχους λωβησάμενος ἔρριψε τὰ σώματα.

(ΛΕ'.) γ'. Κἀν τούτῳ περιιὼν Ἰώσηπος (οὐ γὰρ ἀνίει παρακαλῶν) βάλλεται τὴν κεφαλὴν λίθῳ, καὶ παραχρῆμα πίπτει καρωθείς. Ἐκδρομὴ δ' ἐπὶ τῷ πτώματι τῶν Ἰουδαίων γίνεται, κἂν ἔφθη συρεὶς εἰς τὴν πόλιν, εἰ μὴ ταχέως Καῖσαρ ἔπεμψε τοὺς ὑπερασπίζοντας. Μαχομένων δὲ τούτων, ὁ Ἰώσηπος μὲν αἴρεται, βραχὺ τῶν πραττομένων ἐπαίων. Οἱ στασιασταὶ δὲ, ὡς ἀνελόντες ὃν ἐπεθύμουν μάλιστα, μετὰ χαρᾶς ἀνεβόων. Διαγγέλλεται δ' εἰς τὴν πόλιν, καὶ τὸ καταλειπόμενον πλῆθος ἐπέσχεν ἀθυμία, πεπεισμένους οἴχεσθαι τῷ ὄντι δι' ὃν

ex simplicitate fecisset. Tunc autem productum et accusatum quod Romanis studeret, morte eum damnavit, nulla semet purgandi data libertate, cum tribus filiis; quartus enim ad Titum ante profugerat. Supplicantem vero ut prius quam filii occideretur, atque hanc pro illa quod civitatem ei aperuisset gratiam postulantem, novissimum jussit interfici. Et ille quidem super cæsos in conspectu suo filios jugulabatur, in locum e regione Romanorum productus (id enim Simon in mandatis dederat Anano Bamadi filio, qui erat ejus satellitum crudelissimus), cum hac cavillatione, an quid eum juvaturi sint ad quos egredi voluisset. Corpora vero sepeliri prohibebat. Post hos pontifex quidam Ananias Masambali filius, claro genere, et scriba curiæ Aristeus ex Ammaunte ortus, et cum his alii de populo quindecim ceteris præeminentes necantur. Josephi vero patrem conclusum adservabant, et per præconem denunciant, ne quis in civitate vel cum eo colloqueretur, vel eum illic conveniret, proditionis metu; et eos qui vel simul gemerent, nulla prius habita quæstione, de medio tollebant.

(XXXIV.) 2. Ista videns quidam Judes Judæ filius, ex iis quos præfectos constituerat Simon, quique turrim ab eo sibi creditam custodiebat, fortasse quidem nonnihil miseratus crudeliter pereuntes, magis vero quod sibi provideret, convocatis decem sub ipso fidelissimis, « quousque tandem, in« quit, hæc mala sustinebimus? quamve salutis spem ha« bemus improbo fidem servantes? Nonne fames quidem « jam contra nos facit, Romani vero fere intra urbem sunt, « et Simon bene de se meritis parum fidelis, metusque jam « apud eum pœnæ, et apud Romanos certa fides? Eia agite, « tradito muro et nosmet servemus et civitatem. Nihil « autem grave Simon patietur, si, quum de se desperaverit, « pœnas citius dabit. » Quum dicto audientes essent hi decem, mane ceteros, quos subjectos habebat, alio alios dimittebat, ne quid eorum quæ consilio agitaverat deprehenderetur: ipse vero de turri hora tertia Romanos invocabat. Illorum autem alii quidem eum contemnebant, alii vero ei diffidebant, at plerique aliquid agere gravabantur, quasi mox capturi essent civitatem sine periculo. Quum autem Titus in eo esset ut cum armatis ad murum accederet, rem prius cognitam habebat Simon, et quam ocissime turrim præoccupat, virosque comprehensos in conspectu Romanorum interficit, et e muro corpora dilaniata projicit.

(XXXV.) 3. Interim, quum circumiret Josephus (non enim hortari cessabat), caput ictus est lapide, et statim vertigine correptus cecidit. Excursus autem ad ejus casum factus est Judæorum, abreptusque in urbem fuisset, nisi ocius ei auxiliatores misisset Cæsar. Illis autem pugnantibus, Josephus quidem tollitur, parum quod ageretur intelligens. Seditiosi vero, tanquam interfecto quem perimi maxime volebant, cum gaudio clamorem edebant. Divulgatur autem per urbem, et residuam multitudinem mœror tenuit, vere periisse credentem, cujus fiducia profugere cogitabant.

αὐτομολεῖν ἐθάρρουν. Ἀκούσασα δ' ἡ τοῦ Ἰωσήπου μήτηρ ἐν τῷ δεσμωτηρίῳ τεθνάναι τὸν υἱὸν, πρὸς μὲν τοὺς φύλακας ἀπὸ Ἰωταπάτων τοῦτ' ἔφη πεπεῖσθαι (καὶ γὰρ οὐδὲ ζῶντος ἀπολαύειν), ἰδίᾳ δ' ὀλοφυρομένη πρὸς τὰς θεραπαινίδας τοῦτον εἰληφέναι τῆς εὐτεκνίας ἔλεγε καρπὸν, τὸ μηδὲ θάψαι τὸν υἱὸν, ὑφ' οὗ ταφήσεσθαι προσεδόκησεν. Ἀλλὰ γὰρ οὔτε ταύτην ἐπὶ πλέον ὠδύνα τὸ ψεῦδος οὔτε τοὺς λῃστὰς ἔθαλπε. Ταχέως γὰρ ἐκ τῆς πληγῆς ἀνήνεγκεν ὁ Ἰώσηπος, καὶ προελθὼν τοὺς μὲν οὐκ εἰς μακρὰν ἑβόα δίκας αὐτῷ δώσειν τοῦ τραύματος, τὸν δὲ δῆμον πάλιν ἐπὶ πίστιν προὐκαλεῖτο. Θάρσος δὲ τῷ λαῷ καὶ τοῖς στασιασταῖς ἔκπληξις ἐμπίπτει πρὸς τὴν ὄψιν αὐτοῦ.

(ΛϚ'.) δ'. Τῶν δὲ αὐτομόλων οἱ μὲν ὑπ' ἀνάγκης ἀπὸ τοῦ τείχους ἐπήδων ταχέως, οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχῃ μετὰ χερμάδων, ἔπειτα πρὸς τοὺς Ῥωμαίους ἔφευγον. Συνείπετο δὲ τούτοις τύχη τῶν εἴσω χαλεπωτέρα, καὶ τοῦ παρὰ σφίσι λιμοῦ συντονώτερον ηὕρισκον πρὸς ὄλεθρον τὸν παρὰ Ῥωμαίοις κόρον. Παρεγίνοντο μὲν γὰρ ἀπὸ τῆς ἐνδείας πεφυσημένοι, καὶ ὥσπερ ὑδρωπιῶντες, ἔπειτα ἀθρόως κενοῖς ὑπερεμπιπλάμενοι τοῖς σώμασιν ἐρρήγνυντο, πλὴν τῶν δι' ἐμπειρίαν ταμιευσαμένων τὰς ὀρέξεις, καὶ κατ' ὀλίγον προσθέντων τροφὴν ἀπειθισμένῳ τῷ σώματι φέρειν. Καὶ τοὺς οὕτω δὲ σωζομένους ἑτέρα πληγὴ μετελάμβανε. Τῶν γὰρ παρὰ τοῖς Σύροις τις αὐτομόλων φωρᾶται τῶν τῆς γαστρὸς λυμάτων χρυσοῦς ἐκλέγων. Καταπίνοντες δὲ, ὡς ἔφαμεν, αὐτοὺς προῄεσαν, ἐπειδὴ ἀνηρεύων πάντας οἱ στασιασταὶ, καὶ πολὺ πλῆθος ἦν ἐν τῇ πόλει χρυσοῦ· δώδεκα γοῦν Ἀττικῶν ὠνοῦντο τὰ πρότερον ἰσχύοντα πέντε καὶ εἴκοσιν· ἀλλά τοι τῆς ἐπινοίας ἐλεγχθείσης δι' ἑνὸς, ἀναπίμπλαται μὲν φήμη εἰς τὰ στρατόπεδα ὡς μεστοὶ χρυσίου παρεῖεν οἱ αὐτόμολοι, τὸ δὲ τῶν Ἀράβων πλῆθος καὶ οἱ Σύροι τοὺς ἱκέτας ἀνατέμνοντες ἠρεύνων τὰς γαστέρας. Καὶ τούτου τοῦ πάθους οὐδὲν ἔμοιγε δοκεῖ συμβῆναι Ἰουδαίοις χαλεπώτερον· μιᾷ γοῦν ἀνεσχίσθησαν νυκτὶ πρὸς δισχιλίους.

ε'. Καὶ γνοὺς τὴν παρανομίαν Καῖσαρ ὀλίγου μὲν ἐδέησε τὸ ἱππικὸν περιστήσας κατακοντίσαι τοὺς αἰτίους, εἰ μὴ πολὺ πλῆθος ἐνείχετο, καὶ τῶν ἀνηρημένων πολλαπλασίους ἦσαν οἱ κολασθησόμενοι. Συγκαλέσας δὲ τούς τε τῶν συμμάχων ἡγεμόνας καὶ τοὺς τῶν ταγμάτων (συνδιεβάλλοντο γὰρ καὶ τῶν στρατιωτῶν τινές) πρὸς ἑκατέρους ἀγανακτῶν ἔλεγεν, εἰ τῶν μὲν σὺν αὐτῷ στρατευομένων τινὲς τοιαῦτα δρῶσι κέρδους ἕνεκεν ἀδήλου, μηδὲ τὰ ὅπλα σφῶν αὐτῶν αἰδούμενοι πεποιημένα ἐξ ἀργύρου τε καὶ χρυσοῦ· τοῖς δ' Ἄραψι καὶ τοῖς Σύροις, εἰ πρῶτον μὲν ἐν ἀλλοτρίῳ πολέμῳ τοῖς πάθεσιν αὐτεξουσίως χρῶνται, ἔπειτα τῇ περὶ φόνους ὠμότητι καὶ τῷ πρὸς Ἰουδαίους μίσει Ῥωμαίους ἐπιγράφουσι· καὶ γὰρ νῦν ἐνίους αὐτῶν τῶν στρατιωτῶν συναπολαύειν τῆς κακοδοξίας. Τούτοις μὲν οὖν διεπείλησε θάνατον, εἴ τις εὑρεθείη πάλιν τὸ αὐτὸ τολμῶν, τοῖς δὲ ἀπὸ τῶν ταγμάτων ἐπέστελλεν ἐρευνήσοντας

Atque mater Josephi, quum in carcere accepisset filium occubuisse, custodibus quidem Jotapatenis, id se persuasissimum habere dicebat (nec enim vivo potituram esse); secreto autem flens ancillis aiebat, hunc se fructum fœcunditatis tulisse, quod sibi ne sepelire quidem filium licuisset, a quo sepeliri sperasset. Verum nec illam rumor falsus diu cruciavit, nec latrones recreavit. Nam ex vulnere cito convaluit Josephus, progressusque clamabat, illos sibi non multo post vulneris pœnas daturos: atque populum rursus, ut sibi haberent fidem, hortabatur. Ejus autem ad aspectum populo crevit fiducia, et seditiosos invasit consternatio.

(XXXVI.) 4. Ceterum e transfugis alii statim de muro necessitate adacti se dejiciebant; alii velut ad pugnam cum lapidibus progredi simulantes, mox ad Romanos se recipiebant. Hos autem atrocior ea quam in urbe pertulerant fortuna consequebatur, et fame, quam domi reliquerant, velociorem ad exitium inveniebant apud Romanos satietatem. Aderant namque ex inedia inflati, et velut aqua intercuti tumefacti, deinde ciborum abunde in vacua ingerentes corpora disrumpebantur: nisi qui rerum non imperiti desideria cohibuissent, paulatimque alimentum desueto corpori obtulissent. Verum et eos, qui hoc modo servarentur, alia plaga excepit. Quidam enim e transfugis apud Syros deprehenditur e fimo ventris aureos colligens. Quippe eos, ut diximus, deglutientes prodibant, quod cunctos seditiosi perscrutarentur, et magna vis auri erat in civitate, adeo ut duodecim Atticis veniret quod antea viginti quinque valebat. Verum hac arte per unum detecta, totis quidem castris fama percrebuit, quod auro transfugæ pleni adessent; Arabum autem multi et Syri supplicum dissectorum ventres perscrutabantur. Et hac ego clade nullam credo atrociorem Judæis contigisse: una quippe nocte ad duo millia discissi sunt.

5. Et quum Cæsari cognita esset hæc iniquitas, parum aberat quin circumfuso equitatu auctores sceleris jaculis configi jussisset, nisi ingens multitudo eum cohibuisset, utpote quod multo plures puniendi essent quam fuerant interempti. Convocatis autem auxiliarium et legionum ducibus (nam et militum quidam ejusdem probri insimulati erant), utrisque iratus dicebat, an qui militum quidem suorum hæc committant lucri causa incerti, neque arma sua erubescentes ex auro et argento facta? Arabibus autem et Syris, an primum quidem in alieno bello affectibus suis licenter indulgeant, dein crudelitatem in cædibus et in Judæos odia Romanis ascribant? etenim istas quosdam de militibus suis infamiæ notas jam subire. His quidem mortem interminatus est, si quis in eodem postea deprehensus fuerit audaci facinore; legionibus vero mandata dedit, ut suspe-

τοὺς ὑπόπτους ἀναγαγεῖν ἐπ' αὐτόν. Κατεφρόνει δὲ, ὡς ἔοικε, φιλοχρηματία πάσης κολάσεως, καὶ δεινὸς ἐμπέφυκεν ἀνθρώποις τοῦ κερδαίνειν ἔρως, οὐδέν τε οὕτω πάθος ὡς πλεονεξία παραβάλλεται. Ἡ ταῦτα μὲν ἄλλως καὶ μέτρον ἔχει καὶ φόβοις ὑποτάσσεται, Θεὸς δὲ ἦν ὁ τοῦ λαοῦ παντὸς κατακρίνας καὶ πᾶσαν αὐτοῖς σωτηρίας ὁδὸν εἰς ἀπώλειαν ἀποστρέφων. Ὅ γοῦν μετὰ ἀπειλῆς ἀπεῖπεν ὁ Καῖσαρ λάθρα κατὰ τῶν αὐτομόλων ἐτολμᾶτο. Καὶ τοὺς διαδιδράσκοντας πρὶν πᾶσιν ὀφθῆναι προαπαντῶντες ἔσφαττον οἱ βάρβαροι· περισκοπούμενοι δὲ μή τις ἐπίδοι Ῥωμαίων ἀνέσχιζον, κἀκ τῶν σπλάγχνων τὸ μιαρὸν κέρδος εἶλκον. Ὀλίγοις δ' ἐνηυρίσκετο, καὶ τοὺς πολλοὺς παρανήλισκεν ἐλπὶς μόνη. Τοῦτο μὲν δὴ τὸ πάθος πολλοὺς τῶν αὐτομόλων ἐπανήγαγεν.

(ΛΖ'.) ς'. Ἰωάννης δὲ, ὡς ἐπέλιπον αἱ ἁρπαγαὶ παρὰ τοῦ δήμου, πρὸς ἱεροσυλίαν ἐτράπετο. Καὶ πολλὰ μὲν τῶν ἀναθημάτων κατεχώνευεν ἐκ τοῦ ναοῦ, πολλὰ δὲ τῶν πρὸς τὰς λειτουργίας ἀναγκαίων σκεύη, κρατῆράς τε καὶ πίνακας καὶ τραπέζας. Ἀπέσχετο δ' οὐδὲ τῶν ὑπὸ τοῦ Σεβαστοῦ καὶ τῆς γυναικὸς αὐτοῦ πεμφθέντων ἀκρατοφόρων. Οἱ μὲν γὰρ Ῥωμαίων βασιλεῖς ἐτίμησάν τε καὶ προσεκόσμησαν τὸ ἱερὸν ἀεί· τότε δ' ὁ Ἰουδαῖος καὶ τὰ τῶν ἀλλοφύλων κατέσπα· πρὸς δὲ τοὺς συνόντας ἔλεγεν ὡς δεῖ μετὰ ἀδείας καταχρήσασθαι τοῖς θείοις ὑπὲρ τοῦ θείου, καὶ τοὺς τῷ ναῷ στρατευομένους ἐξ αὐτοῦ τρέφεσθαι. Διὰ τοῦτο καὶ τὸν ἱερὸν οἶνον καὶ τὸ ἔλαιον, ᾧ τοῖς ὁλοκαυτώμασιν οἱ ἱερεῖς ἐφύλαττον ἐπιχεῖν, ἐκκενώσας (ἦν δ' ἐν τῷ ἐνδοτέρῳ ἱερῷ) διένειμε τῷ πλήθει, κἀκεῖνοι δίχα φρίκης πλέον τοῦ ἓν ἠλείφοντο καὶ ἔπινον ἐξ αὐτῶν. Οὐκ ἂν ὑποστειλαίμην εἰπεῖν, ἅ μοι κελεύει τὸ πάθος. Οἶμαι Ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἀλιτηρίους, ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος, ἢ κατακλυσθῆναι τὴν πόλιν, ἢ τοὺς τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν. Τῇ γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ λαὸς συναπώλετο.

ζ'. Καὶ τί δεῖ κατὰ μέρος ἐκδιηγεῖσθαι τὰς συμφοράς; ἀλλὰ πρὸς Τίτον ἐν ταύταις ταῖς ἡμέραις Μανναῖος ὁ Λαζάρου φυγὼν διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης, ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας ἕνδεκα νεκρῶν ἐπὶ πεντακισχιλίοις ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ' ἧς αὐτοῖς ἡμέρας παρεστρατοπεδεύσατο, τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς ἄχρι Πανέμου νουμηνίας. Τοῦτο δ' ἦν πλῆθος ἄπειρον. Καὶ οὐδὲ αὐτὸς ἐφεστὼς, ἀλλὰ δημοσίᾳ μισθὸν διδοὺς ἐξ ἀνάγκης ἠρίθμει. Τοὺς δὲ λοιποὺς οἱ προσήκοντες ἔθαπτον. Ταφὴ δ' ἦν τὸ προκομίσαντας ἐκ τοῦ ἄστεος ῥῖψαι. Μετὰ δὲ τοῦτον διαδράντες πολλοὶ τῶν ἐπισήμων τὰς πάσας τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον μυριάδας ἑξήκοντα διὰ τῶν πυλῶν ἐκριφῆναι, τῶν δὲ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. Μηκέτι δὲ εὐτονούντων τοὺς πτωχοὺς ἐκφέρειν ἔλεγον συσσωρεύοντας εἰς τοὺς μεγίστους οἴκους τὰ πτώματα ἀποκλείειν καὶ τοῦ μὲν σίτου τὸ μέτρον πραθῆναι τα-

ctos investigarent et ad ipsum deferrent. Verum avaritia plane contemnit omne supplicium, et lucri amor gravis hominibus innatus est, nullusque animi affectus in pericula adeo præceps ruit ac plura habendi cupiditas. Imo vero et isti alias et modum habent et metu subjugantur : Deus autem erat qui populum universum damnaverat, et omnem ad salutem viam ei in perniciem vertebat. Quod utique, ne fieret, cum pœnarum comminatione interdixit Cæsar, id occulte in profugos admittebatur. Et transfugas, priusquam omnium in conspectum venirent, jugulabant barbari obviam eis procedentes : dein circumspicientes ne quis Romanorum videret, eos discindebant, et ex visceribus quæstum nefarium trahebant. In paucis autem reperiebatur, et plerique ex sola spe mactabantur. Certe quidem hoc malum multos transfugarum reduxit.

XXXVII. 6. Joannes autem, ubi rapinæ ex populo defecerunt, ad sacrilegium sese convertit. Et multa quidem e donariis in templo repositis conflabat, multaque vasa rei divinæ ministerio necessaria, crateras et lances et mensas : et ne urceolis quidem abstinuit, quos Augustus ejusque uxor miserant. Nam Romanorum quidem Imperatores templum semper honorarunt atque ornarunt : tunc autem Judæus etiam alienigenarum dona distrahebat, et ad socios dicebat, oportere sine metu uti divinis pro numine stantes, et ex templo ali qui ei militant. Propterea sacrum quoque vinum et oleum quod servabant sacerdotes ut holocaustis superinfunderent, exhauriens (erat enim in templi parte interiori), distribuebat multitudini, atque illi sine horrore ungendo et potando plus quam hin ex illis consumebant. Nequaquam verebor palam dicere quæ dolor jubet. Equidem arbitror, si Romani sceleratis exitium inferre cessassent, futurum fuisse ut urbs aut terræ hiatu absorberetur, aut eluvione deleretur, aut soli Sodomitici fulmina experiretur : multo enim magis impiam progeniem edidit, quam erant qui hæc perpessi sunt. Itaque simul cum istorum furore ac vesania universus populus interiit.

7. Et quid opus est singulatim recensere clades? Mannæus Lazari filius, his diebus ad Titum transgressus, dicebat per unam portam elata fuisse centum et quindecim mortuorum millia et octingentos octoginta, ex quo die castra prope civitatem posita essent, die decima quarta mensis Xanthici usque ad primam Panemi diem. Hæc autem erat immensa multitudo. Nec tamen ipse fuit portæ appositus, sed publicam mercedem distribuens necesse habuit mortuos numerare. Ceteros autem propinqui sepeliebant. Sepultura autem erat, elatos de urbis muro dejicere. Post hunc autem multi nobiles transfugæ narrabant, mortuos egenos ad sexcenta millia universos portis ejectos esse, ceterorum vero numerum inveniri non posse. Quumque pauperibus efferendis non sufficerent, congesta in maximis ædibus cadavera inclusa esse dicebant : et frumenti quidem modium veniisse

λάντου, μετὰ ταῦτα δὲ ὡς οὐδὲ ποηλογεῖν ἔτι οἷόντε ἦν περιτειχισθείσης τῆς πόλεως, προελθεῖν τινας εἰς τοσοῦτον ἀνάγκης, ὥστε τὰς ἀμάρας ἐρευνῶντας καὶ παλαιὸν ὄνθον βοῶν προσφέρεσθαι τὰ ἐκ τούτων σκύβαλα, καὶ τὸ μηδὲ ὄψει φορητὸν πάλαι τότε γενέσθαι τροφήν. Ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες ἠλέησαν, οἱ στασιασταὶ δὲ καὶ βλέποντες οὐ μετενόουν, ἀλλ' ἠνείχοντο μέχρις αὐτῶν προελθεῖν. Πεπήρωντο γὰρ ὑπὸ τοῦ χρεών, ὃ τῇ τε πόλει καὶ αὐτοῖς ἤδη παρῆν.

talento; post autem, ubi muro circumdata civitate ne herbas quidem legere jam liceret, eo necessitatis quosdam devenisse, ut cloacas et vetusta rimantes boum stercora, reticimenta inde collecta ederent; et quod olim visu erat horribile, in escam cessisse. Quum ista quidem audirent Romani, eos miserati sunt: seditiosos autem ista etiam aspicientes non pœnitebat, sed patiebantur ea usque ad ipsos progredi. Fatum enim eos cæcos reddiderat, quod jam et civitati et ipsis imminebat.

ΛΟΓΟΣ Ϛ'.

LIBER VI.

α'. Περὶ τῆς τῶν στασιαστῶν ἀπονοίας καὶ τῶν ὑπὸ τοῦ λιμοῦ θνησκόντων· καὶ ὅπως τῶν Ῥωμαίων τὰ χώματα ἐγειράντων περικαθαρθέντα τὰ προάστεια ἀχαριστότατα ἐφαίνοντο.

β'. Ὅπως διετέθησαν Ῥωμαῖοι καὶ Ἰουδαῖοι τῶν χωμάτων γενομένων· καὶ ὅπως ὁρμήσαντες Ἰουδαῖοι καὶ ταῦτα καῦσαι οὐκ ἴσχυσαν.

γ'. Ὅπως ταῖς τε ἑλεπόλεσι τύπτοντες Ῥωμαῖοι καὶ ὑπορύττοντες τὸ τεῖχος τῆς Ἀντωνίας κατέρριψαν, ἀναδειχθέντος δὲ ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδόμησαν, ἡνιάθησαν.

δ'. Ὡς δεδοικότας ἀναβῆναι τοὺς στρατιώτας Τίτος δημηγορίᾳ ἀρίστῃ προὐτρέψατο αὐτούς.

ε'. Ὅπως ἄλλοι τε καὶ Σαβῖνος πρῶτος πάντων ἐκπηδήσας τοὺς Ἰουδαίους ἐτρέψατο, καὶ πολλοὺς ἀποκτείνας τελευταῖον καὶ αὐτὸς διεφθάρη.

ϛ'. Ὡς καὶ τὸ τρίτον τεῖχος παρελήφθη. Ἔκφρασις τοῦ περὶ τὸ ἱερὸν πολέμου Ἰουδαίων τε καὶ Ῥωμαίων.

ζ'. Περὶ Ἰουλιανοῦ τοῦ ἑκατοντάρχου, ὅπως πολλούς τε τῶν Ἰουδαίων ἀπέκτεινε καὶ αὐτὸς ἀπώλετο· καὶ ὅπως τρέπονται Ῥωμαῖοι καὶ κατακλείονται εἰς τὴν Ἀντωνίαν.

η'. Ὅπως Τίτος κατασκάψαι προστάξας τὴν Ἀντωνίαν τὸν Ἰώσηπον προὐτρέψατο τοῖς Ἰουδαίοις αὖθις παραινέσαι.

θ'. Ὡς μηδὲν τῶν στασιαστῶν ὠφεληθέντων ἐκ τῶν λόγων Ἰωσήπου, πολλοὶ τῶν ἀπὸ τοῦ δήμου πρὸς τὸ αὐτομολεῖν ὁρμήσαντες ἐξῆλθον, οὓς ὁ Τίτος εἰς Γόφναν ἐξαπέστειλεν.

ι'. Ὅπως οἱ αὐτομολήσαντες πλεῖστα τοὺς Ἰουδαίους ἱκέτευον παραδοῦναι Καίσαρι τὴν πόλιν, ἀλλ' οὐδὲν ἤνυον, μᾶλλον δὲ καὶ φιλονεικοτέρους ἐποίουν· ἐφ' οἷς Τίτος διὰ Ἰωσήπου διελέχθη, καὶ μὴ πειθομένων αὐτῶν πάλιν πρὸς τὸν πόλεμον ἐχώρει.

ια'. Ὡς ἀπὸ πάσης τῆς δυνάμεως τοὺς ἀρίστους ἐκλεξάμενος Τίτος, καὶ κατὰ τοῦ ἱεροῦ αὐτοὺς διαφείς, αὐτὸς ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

ιϐ'. Ὅπως συμπεσόντες ἀλλήλοις πολλῶν ἑκατέρωθεν πεσόντων διελύθησαν, μηδενὸς βεβαίως νικήσαντος.

ιγ'. Ὅπως κατὰ τοῦ ἱεροῦ χώματα ἤγειραν.

ιδ'. Ὡς τινῶν ἱππέων ἀπολλύντων τοὺς ἵππους, διὰ τῆς εἰς ἕνα στρατιώτην κολάσεως τοὺς λοιποὺς Καῖσαρ ἐσωφρόνισεν.

ιε'. Ὅπως κατὰ τὸ Ἐλαιῶν ὄρος πολλοὶ τῶν στασιαστῶν ὁρμήσαντες ὑπεξελθεῖν ἀνετράπησαν· ὅτε καί τις τῶν ἱππέων Πεδάνιος ἁρπάσας τινὰ νεανίαν φεύγοντα, τῷ Καίσαρι καθάπερ τι κειμήλιον προσήγαγεν.

ιϛ'. Ὡς Ἰουδαῖοι τὰ προσεγγίζοντα τῷ ἱερῷ κατέπρησαν, ὡς μὴ δι' αὐτῶν Ῥωμαῖοι τοῦ ἱεροῦ ἐγκρατεῖς γένοιντο.

ιζ'. Περὶ τοῦ μονομαχήσαντος Ἰουδαίου κατὰ πρόκλησιν καὶ νικήσαντος, πῶς διὰ τὴν ἀλαζονείαν ἀπεκτάνθη.

1. De seditiosorum desperatione, et hominibus fame pereuntibus; qualiterque suburbia circumcisa, post erectos a Romanis aggeres, aspectu erant ingratissima.

2. Quomodo Romani et Judæi animis affecti erant excitatis aggeribus; quodque Judæi excursione facta illos urere non potuerunt.

3. Quomodo Romani machinarum pulsatione, et suffossione Antoniæ murum dejecerunt, alio autem muro conspecto, quem Joannes cum suis ædificaverat, conturbati erant.

4. Quemadmodum Titus milites, quum murum ascendere non ausi essent, præstantissima oratione adhortatus est.

5. Qualiter et alii, et Sabinus omnium primus de muro exsiliens Judæos in fugam vertit; multisque cæsis tandem et ipse occiditur.

6. Quomodo et tertius murus superatus est. Descriptio pugnæ inter Judæos et Romanos circa templum.

7. De Juliano centurione, quomodo Judæorum multos interfecit, et ipse peremptus est: utque fugiunt Romani et in Antoniam conclusi sunt.

8. Quomodo Titus, quum Antoniam dirui jussisset, Josephum incitavit ut Judæos iterum verbis hortaretur.

9. Quod multi de populo, quum seditiosi in melius non mutarentur verbis Josephi, transfugiendi desiderio egressi sunt, quos Titus in Gophnam misit.

10. Quemadmodum transfugæ multis Judæos rogabant ut Cæsari urbem traderent; verum nihil valebant, sed potius pertinaciores eos efficiebant: unde Titus, quum per Josephum eos increpasset, illique nihil obsequuti essent, rursus bello eos aggreditur.

11. Quomodo Titus, quum ex copiis universis fortissimos elegisset et ipsos contra templum dimisisset, ipse ab Antonia quid fieret exspectabat.

12. Qualiter prælio congressi sunt, et multis utrinque cæsis dirempta est pugna cum dubia victoria.

13. Quomodo contra templum aggeres excitarunt.

14. Ut, quum equitum nonnulli equos amisissent, unius militis pœna reliquos in posterum cautiores reddidit.

15. Quomodo e regione Olivarum montis multi seditiosorum clam egredi conati prosternuntur: quodque equitum quidam Pedanius, rapto quodam juvene dum fugeret, eum ad Cæsarem tanquam munus pretiosum adducebat.

16. Ut Judæi omnia templo propinqua incenderunt, ne ex illis Romani templum in potestatem suam redigerent.

17. De Judæo qui ad singulare certamen Romanos provocaverat, victorque ex gloriatione sua occisus est.

ιη'. Περὶ τοῦ ἐπινοηθέντος παρὰ τῶν Ἰουδαίων δόλου, ᾧ πολλοὺς Ῥωμαίων ἐνέπρησαν.

ιθ'. Περὶ Λόγγου τοῦ στρατιώτου Ῥωμαίων ὃς ἑαυτὸν ἀνεῖλε, καὶ περὶ τοῦ ἐπιρρίψαντος ἑαυτὸν συστρατιώτῃ Λουκίῳ.

κ'. Ἔκφρασις αὖθις τῶν ὑπὸ τοῦ λιμοῦ θνησκόντων.

κα'. Περὶ Μαρίας τῆς τὸ ἴδιον τέκνον καταφαγούσης.

κβ'. Ὅπως, τῶν χωμάτων κατὰ τοῦ ἱεροῦ ἀπαρτισθέντων, προσήγαγον τοὺς κριούς· καὶ ὡς ἐπὶ κλιμάκων ἀναβάντες δεινὸν αὖθις ἔστησαν πόλεμον καὶ τέλος ἠττήθησαν Ῥωμαῖοι· ἐφ' οἷς ὀργισθεὶς Τίτος τὰς πύλας ὑφάπτειν προσέταξεν.

κγ'. Περὶ τῶν αὐτομολησάντων τῷ Τίτῳ δορυφόρων τοῦ τυράννου Σίμωνος.

κδ'. Ὅπως βουλὴν προτιθεὶς Τίτος πῶς δεῖ χρήσασθαι τῷ ἱερῷ, ἄλλων ἄλλα λεγόντων, αὐτὸς οὐκ ἔφη συγχωρῆσαι τοιοῦτον ἔργον καταφλεγῆναι, καὶ οὕτως διαλύεται τὸ συνέδριον.

κε'. Ὅπως Ἰουδαῖοι τοῖς τῶν Ῥωμαίων φύλαξιν ἐπιπίπτουσι, καὶ μελλόντων αὐτῶν τραπῆναι, φθάσας Καῖσαρ ἐπήμυνε, τρέψας τοὺς Ἰουδαίους.

κς'. Ὅπως ὁ ναὸς ἐνεπρήσθη καὶ ἄκοντος Καίσαρος.

κζ'. Ὅτι καθ' ὃν καιρὸν ἐπὶ τῶν Βαβυλωνίων καὶ πρότερον ὁ ναὸς ἐνεπρήσθη, κατὰ τόνδε τὸν μῆνα καὶ τὴν ἡμέραν αὖθις κατεφλέγη.

κη'. Ὡς τοῦ ναοῦ φλεγομένου καὶ πάντων ὁμοῦ τῶν Ἰουδαίων συναναιρουμένων συμμιγής τις ἦχος καὶ βοὴ τῶν τε Ῥωμαίων καὶ τῶν ἀπολωλότων ἐγένετο.

κθ'. Ὅπως τῶν ἱερέων τινὲς κατὰ τῶν Ῥωμαίων ἐπερρίπτουν τοὺς ὀβελοὺς τοῦ ναοῦ, καὶ ὡς ἐπὶ τοῖχόν τινα ἀναβάντες ἑαυτοὺς εἰς τὸ πῦρ ἔβαλλον· καὶ ὡς Ῥωμαῖοι τὰ λοιπὰ λείψανα τοῦ ναοῦ πάντα καταφλέγοντες κατέκαυσαν καὶ πλῆθος τῶν καταφυγόντων αὐτόθι εἰς ἑξακισχιλίους.

λ'. Περὶ τοῦ ψευδοπροφήτου, ᾧ πιστεύσας ὁ λαὸς ἀπώλετο.

λα'. Περὶ τῶν προγεγονότων σημείων τῆς ἁλώσεως.

λβ'. Ὅπως Ῥωμαῖοι τὰς σημαίας ἐν τῷ ναῷ εἰσεκόμισαν, καὶ τὸν Τίτον εὐφημίαις ἐγέραιρον· καὶ ὅπως ὁ χρυσὸς ἀπὸ τῆς λείας εὐθήνησεν.

λγ'. Περὶ τοῦ παιδίου τοῦ μετὰ ἱερέων εἰς τὸν τοῖχον ἀναφυγόντος πῶς ἠπάτησε Ῥωμαίους· καὶ ὅπως λιμώττοντες κατέβησαν πρὸς τὸν Τίτον οἱ ἱερεῖς, ὁ δὲ αὐτοὺς ἐκέλευσε κολάσαι.

λδ'. Ὅπως οἱ τύραννοι τὸν Τίτον εἰς λόγους προύκαλέσαντο, ὁ δὲ αὐτοῖς διαλαλιᾷ θαυμασιωτάτῃ ὡμίλησεν.

λε'. Ὅτι μηδὲν μέτριον φρονούντων τῶν τυράννων, ἀγανακτήσας Τίτος ἐκήρυξε μὴ ἐλπίζειν αὐτοὺς ἔτι δεξιᾶς τυχεῖν· ὅθεν τὴν στρατιὰν ἐκέλευσε τὰ λοιπὰ καταφλέξαι.

λς'. Περὶ τῶν προσφυγόντων Καίσαρι βασιλικῶν συγγενῶν, ὅπως τε αὐτοὺς εἰς Ῥώμην ἀπέστειλεν.

λζ'. Ὡς ὁρμήσαντες οἱ στασιασταὶ, τοὺς ἐν τῇ βασιλικῇ οἰκίᾳ Ῥωμαίους διώξαντες, τὸ λοιπὸν πλῆθος τῶν καταφυγόντων τοῦ δήμου πᾶν ἐρόνευσαν, δύο τῶν Ῥωμαίων ζωγρήσαντες.

λη'. Ὅπως πάλιν Ῥωμαῖοι, τοὺς λῃστὰς τρεψάμενοι, τὰ ὑπόλοιπα τῆς πόλεως κατέφλεξαν.

λθ'. Ὅπως οἱ τύραννοι τοῖς ὑπονόμοις θαρροῦντες μέχρι παντὸς τῷ πολέμῳ προσέμενον.

μ'. Ὡς πάλιν ὁ Καῖσαρ τὴν ἄνω πόλιν χώμασι διαλαμβάνει, καθ' ὃν καιρὸν βουλευομένων τινῶν στασιαστῶν περὶ παραδόσεως, φθάνει μαθὼν ὁ Σίμων, οὓς καὶ ἐκόλασεν.

μα'. Περὶ τοῦ ἱερέως τοῦ προσφυγόντος Καίσαρι, καὶ κειμήλια πολλὰ παραδόντος.

μβ'. Ὡς, συντελουμένων τῶν χωμάτων, Ῥωμαῖοι τὰς μηχανὰς προσάγοντες, τῶν λῃστῶν παραλόγως ἀποδράντων κάν τοῖς ὑπονόμοις ὑποδύντων, ἐγκρατεῖς τῆς ὅλης πόλεως ἐγεγόνεισαν.

μγ'. Ὡς παρελθὼν εἴσω Καῖσαρ, καὶ πολλὰ τῆς ὀχυρότητος τὴν πόλιν θαυμάσας, τὰ μὲν ἄλλα πάντα ἀφανίσαι προσέταξε,

18. De dolo a Judæis excogitato, quo multos Romanorum exusserunt.

19. De Longo milite Romano, qualiter semetipsum interfecit; deque eo qui semet in Lucium commilitonem projecit.

20. Altera descriptio illorum qui fame perierunt.

21. De Maria quæ suum filium comederat.

22. Qualiter aggeribus contra templum erectis arietes admovebant: utque scalis ascensis acre commissum est prælium, tandemque victi sunt Romani: qua de causa Titus iratus portis ignem subjici jussit.

23. De satellitibus Simonis tyranni qui ad Titum profugerant.

24. Quod, quum proponeretur a Tito quid facturi essent de templo, aliique alia dicerent, ipse dixerit se non passurum esse ejusmodi structuram flammis absumi: atque ita concilium dimisit.

25. Quomodo Judæi Romanos qui in statione erant adoriuntur, quumque in eo essent ut in fugam verterentur, Cæsar prius auxilio venit et Judæos fugat.

26. Quomodo templum incensum est, invito Cæsare.

27. Quod eodem mense et die deflagravit templum, quæ olim concrematum est a Babyloniis.

28. Quod, quum templum flammis vastaretur et Judæi omnes cujuscunque ætatis una perirent, permixtus cum cæde editur sonitus, clamorque Romanorum et pereuntium promiscuus.

29. Quomodo sacerdotum nonnulli verubus templi in Romanos pro missilibus utebantur, et muro quodam ascenso semetipsos in ignem conjecerunt: utque Romani, igne in omnia grassante, quicquid reliquum erat templi incenderunt, et multitudinem eo confugientium ad sex hominum millia.

30. De falso propheta, cui populus ad sui interitum fidem habuit.

31. De signis excidium præcedentibus.

32. Quomodo Romani signa in templum inferebant, et Titum acclamationibus honorabant; deque magna auri copia ex præda.

33. De puero cum sacerdotibus in templi parietem se recipiente, et quo pacto decepit Romanos: utque sacerdotes fame laborantes descenderunt ad Titum, quos ipse puniri jussit.

34. Quomodo tyranni Titum ad colloquium provocant, atque ipse cum eis sermonem habuit maxime admirandum.

35. Quod Titus, quum tyranni nihil moderati præ se ferrent, vehementer iratus edixerit per præconem, ne jam fidem dextramque sibi dari sperarent: quo facto imperavit militibus igne omnia vastare.

36. De regis consanguineis ad Cæsarem perfugientibus, utque eos Romam mittendos curavit.

37. Quomodo seditiosi ad domum regiam profecti Romanos inde pepulerunt, et reliquam multitudinem popularium qui eo confugerant occiderunt, et duos milites Romanos vivos ceperunt.

38. Quomodo Romani, latronibus rursus in fugam versis, quod reliquum erat urbis incenderunt.

39. Quomodo tyranni cuniculis freti et innixi ad extremum usque belligerabant.

40. Quod Cæsar iterum superiorem urbem aggeribus occupat: quumque e seditiosis nonnulli de urbe tradenda deliberant, eos re explorata prævenit Simon et pœnis afficit.

41. De sacerdote ad Cæsarem profugiente, et res multas pretiosas ei tradente.

42. Quomodo aggeribus perfectis Romani machinas adducebant, et latronibus inexspectato fugientibus et cuniculos subeuntibus, totam urbem nacti sunt Romani.

43. Quod Cæsar urbem introgressus eamque ob firmitatem multum miratus, cetera quidem omnia deleri jussit, tres

μόνους δὲ τοὺς τρεῖς πύργους, εἰς μνήμην τῆς ἑαυτοῦ ἀρετῆς τε καὶ ἀνδρείας, εἴασεν.

μδ'. Ὅπως Καῖσαρ τοὺς λῃστρικοὺς καὶ στασιώδεις, ὑπ' ἀλλήλων ἐνδεικνυμένους, ἀναιρεθῆναι προστάξας, τοὺς λοιποὺς, οὓς μὲν εἰς τὸν θρίαμβον ἐτήρησεν, οὓς δὲ ταῖς ἐπαρχίαις ἐδωρήσατο, ἄλλους δ' εἰς τὰ κατ' Αἴγυπτον ἔργα, τοὺς δὲ πλείους διέπρασε.

με'. Περὶ ὅλου τοῦ πλήθους τῶν ὑπὸ τὸν πόλεμον ἁλωκότων τε καὶ διαφθαρέντων.

μϛ'. Περὶ τῶν εἰς τοὺς ὑπονόμους καταφυγόντων.

μζ'. Ὅτι πεντάκις πρότερον ἁλούσης τῆς πόλεως τοῦτο δεύτερον ἠρημώθη.

ΚΕΦ. Α'.

Τὰ μὲν οὖν τῶν Ἱεροσολύμων πάθη προὔκοπτε καθ' ἡμέραν ἐπὶ τὸ χεῖρον, τῶν τε στασιαστῶν μᾶλλον παροξυνομένων ἐν ταῖς συμφοραῖς καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον ἤδη κἀκείνους νεμομένου. Τό γε μὴν πλῆθος τῶν σεσωρευμένων ἀνὰ τὴν πόλιν πτωμάτων ὄψει τε φρικῶδες ἦν καὶ λοιμώδη προσέβαλλεν ὀσμὴν, πρός τε τὰς ἐκδρομὰς ἐμπόδιον τοῖς μαχομένοις. Ὥσπερ γὰρ διὰ παρατάξεως φόνῳ μυρίῳ γεγυμνασμένους χωροῦντας ἔδει τὰ σώματα πατεῖν, οἱ δὲ ἐπιβαίνοντες οὔτε ἔφριττον οὔτε ἠλέουν οὔτε κληδόνα κακὴν σφῶν αὐτῶν ὑπελάμβανον τὴν εἰς τοὺς κατοιχομένους ὕβριν· πεφυρμένοι δ' ὁμοφύλῳ φόνῳ τὰς δεξιὰς, ἐπὶ τὸν πρὸς τοὺς ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες, ἔμοιγε δοκεῖ, τὸ θεῖον εἰς βραδύτητα τῆς ἐπ' αὐτοῖς κολάσεως· οὐ γὰρ ἐλπίδι νίκης ὁ πόλεμος, ἤδη δὲ ἀπογνώσει σωτηρίας ἐθρασύνετο. Ῥωμαῖοι δὲ, καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν ταλαιπωρούμενοι, τὰ χώματα διήγειραν μιᾷ καὶ εἴκοσι ἡμέραις, κείραντες, ὡς προείρηται, τὴν περὶ τὸ ἄστυ χώραν ἐπ' ἐνενήκοντα σταδίους ἐν κύκλῳ πᾶσαν. Ἦν δὲ ἐλεεινὴ καὶ τῆς γῆς ἡ θέα· τὰ γὰρ πάλαι δένδρεσι καὶ παραδείσοις κεκοσμημένα τότε πανταχόθεν ἠρήμωτο καὶ περικέκοπτο τὴν ὕλην. Οὐδείς τε τὴν πάλαι Ἰουδαίαν καὶ τὰ περικαλλῆ προάστεια τῆς πόλεως ἑορακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων ἐρημίαν, οὐκ ὠλοφύρατο καὶ κατεστέναξε τὴν μεταβολὴν παρ' ὅσον γένοιτο. Πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ κάλλους ὁ πόλεμος, καὶ οὐκ ἂν τις ἐξαπίνης ἐπιστὰς τῶν προεγνωκότων ἐγνώρισε τὸν τόπον, ἀλλὰ παρὼν ἐζήτει τὴν πόλιν.

(Β'.) β'. Ῥωμαίοις δὲ καὶ Ἰουδαίοις τὸ τέλος τῶν χωμάτων ἴσην ἐνεποίει δέους ἀρχήν. Οἱ μὲν γὰρ, εἰ μὴ καὶ ταῦτα καύσειαν, ἁλώσεσθαι τὴν πόλιν προσεδόκων, Ῥωμαῖοι δὲ οὐκ ἂν ἔθ' αἱρήσειν κἀκείνων διαφθαρέντων. Ὕλης τε γὰρ ἦν ἀπορία καὶ τῶν μὲν πόνων ἤδη τὸ σῶμα, τῶν δ' ἐπαλλήλων πταισμάτων αἱ ψυχαὶ τοῖς στρατιώταις ἐλείποντο. Τάς γε μὴν κατὰ τὴν πόλιν συμφορὰς Ῥωμαίοις πλέον εἶναι συνέβαινε πρὸς ἀθυμίας ἢ τοῖς ἐν αὐτῇ. Παρὰ γὰρ τὰ τηλικαῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακωτέροις, ἀλλ' ἐθραύοντο

vero turres solas in suæ virtutis et fortitudinis monumentum intactas reliquit.

44. Quomodo Cæsar, postquam latrones et seditiosos a se invicem delatos interfici jusserat reliquos, partim in triumphum reservavit, partim provinciis donavit, aliosque ad Ægyptiorum opera relegavit, majoremque eorum numerum vendidit.

45. De tota multitudine eorum qui bello capti erant et perierunt.

46. De iis qui in cuniculos confugerunt.

47. Quod urbs quinquies prius capta, tunc altera vice vastata erat.

CAP. I.

At enim Hierosolymorum calamitates quotidie ingravescebant, cum et seditiosi magis irritarentur rebus adversis pressi, et fames in populum grassata jam et ipsos depasceretur. Ac multitudo congestorum in civitate cadaverum et visu horrenda erat, odoremque pestiferum emittebat, ac pugnantium excursibus impedimento erat. Nam incedentes, veluti per aciem plurima cæde exercitati, conculcare corpora necesse habebant; quique super eis graderentur neque horrebant neque miserabantur, neque malum omen sibi ducebant contumeliam in mortuos: gentili autem cæde dextras pollutas habentes, ad bellum cum alienigenis excurrebant, tanquam exprobrantes Deo (ut mihi videtur) supplicii sui tarditatem: non enim spe victoriæ, sed jam desperatione salutis ferociter gerebatur bellum. Romani autem, quamvis in aggreganda materia valde laborarent, aggeres tamen intra dies viginti et unum excitarunt, attonsa, ut jam ante dictum est, omni in orbem circa civitatem regione ad nonaginta stadia. Erat autem miserabilis etiam terræ facies: nam quæ antea arboribus et hortis ornata fuerant loca', ea tunc undique deserta silvis accisis cernebantur. Nec ullus qui antea Judæam viderat alienigena et suburbana pulcherrima civitatis, quum ejus solitudinem tunc cerneret, lacrimas continere poterat, et mutationem non gemere, quæ et quanta fuerit. Quippe omnia pulchritudinis vestigia deleverat bellum: nec si quis subito advenisset qui locum prius noverat, eum cognosceret, sed præsens quæreret civitatem.

(II.) 2. Aggerum autem opus finitum Romanis pariter ac Judæis in causa erat ut timere inciperent. Namque hi, nisi eos quoque exurerent, captum iri civitatem putabant: Romani vero, eam haud unquam se capturos esse, si et isti destruerentur. Materia quippe eos defecerat, et labore quidem militibus attrita erant corpora, crebris vero adversis casibus animis deficiebant. Porro eveniebat ut ex civitatis calamitatibus Romani magis animos desponderent, quam qui in ea erant. Nam per istiusmodi clades pugnatores nihilo segniores habebant, ipsis interim fracta spe et

πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων ταῖς ἐπιβουλαῖς, τῶν δὲ ὀργάνων στερρότητι τοῦ τείχους, τῆς δὲ κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι. Τὸ δὲ μέγιστον, στάσεώς τε καὶ λιμοῦ καὶ πολέμου καὶ τοσούτων κακῶν εὑρίσκοντες ἐπάνω τὸ παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχοντας, ὑπελάμβανον τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμὰς, ἀνάλωτον δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι· τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ χρωμένους, τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους; Οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων ἐποιοῦντο τὰς φυλακάς.

γ'. Οἱ δὲ περὶ τὸν Ἰωάννην κατὰ τὴν Ἀντωνίαν ἅμα καὶ πρὸς τὸ μέλλον, εἰ καταρριφθείη τὸ τεῖχος, ἠσφαλίζοντο, καὶ πρὶν ἐπιστῆναι τοὺς κριοὺς ἐπέθεντο τοῖς ἔργοις. Οὐ μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως, ἀλλὰ προελθόντες μετὰ λαμπάδων, πρὶν ἐγγίσαι τοῖς χώμασι, ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. Πρῶτον μὲν γὰρ οὐδὲ ὁμονοεῖν ἡ σκέψις αὐτῶν ἐδόκει κατὰ μέρος ἐκπηδώντων κἀκ διαλειμμάτων καὶ μεμελλημένως μετὰ δέους, καθόλου τ' εἰπεῖν, οὐκ Ἰουδαϊκῶς. Τὰ γὰρ ἴδια τοῦ ἔθνους ὑστέρητο ἅμα, τόλμα καὶ ὁρμὴ, καὶ δρόμος ὁμοῦ πάντων, καὶ τὸ μηδὲ πταίοντας ἀναστρέφειν. Ἀτονώτεροι δὲ ἑαυτῶν προελθόντες καὶ τοὺς Ῥωμαίους ἧσσον ἐρρωμενέστερον τοῦ συνήθους παρατεταγμένους. Τοῖς μέν γε σώμασι καὶ ταῖς πανοπλίαις οὕτως ἐφράξαντο τὰ χώματα πάντοθεν ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν παράδυσιν, τὴν δὲ ψυχὴν ἐτόνωσαν ἕκαστος, μὴ μετακινηθῆναι τῆς τάξεως πρὸ θανάτου. Πρὸς γὰρ τῷ πάσας αὐτῶν ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ κἀκεῖνα καταφλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδὼς, εἰ πάντα κρατήσειαν πανουργία μὲν ἀρετῆς, ἀπόνοια δὲ ὅπλων, πλῆθος δὲ ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. Ἅμα δέ τι καὶ τὰ ἀφετήρια συνήργει τῶν προπηδώντων ἐφικνούμενα, καὶ πεσόντος τις τῷ μεθ' ἑαυτὸν ἐμπόδιον ἦν, ὅ τε κίνδυνος τοῦ πρόσω χωρεῖν ἐποίει μαλακωτέρους. Τῶν δ' ἐνδοτέρω βέλους ὑποδραμόντων οἱ μὲν πρὶν εἰς χεῖρας ἐλθεῖν τὴν εὐταξίαν καὶ τὸ πύκνωμα τῶν πολεμίων καταπλαγέντες, οἱ δὲ νυττόμενοι τοῖς ξυστοῖς ἐπαλινδρόμουν· καὶ τέλος ἀλλήλους κακίζοντες εἰς δειλίαν ἀνεχώρουν ἄπρακτοι. Νουμηνίᾳ Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν. Ἀναχωρησάντων δὲ τῶν Ἰουδαίων προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλεπόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας καὶ πυρὶ καὶ σιδήρῳ καὶ παντὶ τῷ χορηγουμένῳ Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει. Καίπερ γὰρ πολὺ τῷ τείχει πεποιθότες καὶ τῶν ὀργάνων καταφρονοῦντες, ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. Οἱ δὲ τὴν σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμβάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους, καὶ σαθροὺς ἐλπίσαντες εἶναι τοὺς θεμελίους, ἀντεφιλονείκουν. Οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον, ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι καὶ πρὸς μηδένα τῶν καθύπερθεν κινδύνων ἐνδιδόντες ἐνεργοὺς παρεῖχον τὰς ἑλεπόλεις·

debilitata, quum aggeres insidiis, machinæ soliditati muri, pugnaque manibus conserta audaciæ confligentium cederent. Maxime vero, quum et seditione et fame et bello superiorem animi fortitudinem Judæos habere experirentur, virorum insuperabiles esse impetus et animos eorum in calamitatibus terrore invictos arbitrabantur : quid enim non sustineant prosperis in rebus, qui malis ad virtutem incitarentur? Et illi quidem propterea validiores aggeribus adhibebant custodias.

3. Joannes autem ejusque socii apud Antoniam simul et futuris, si disjiceretur murus, prospiciebant, et antequam arietes admoverentur, impetum faciebant in opera. Non tamen illis successit conatus : sed cum facibus progressi, priusquam aggeribus appropinquarent, spe sua frustrati reverterunt. Nam primum ne concordare quidem videbatur eorum consilium, paulatim et per intervalla et cunctanter nec sine metu exsilientium, atque ut summatim dicam, non Judæorum more. Simul enim illis deerant quæ gentis sunt propria, audacia et impetus, conjunctusque omnium cursus, et sine offensione revertere. Languidiores vero progressi, quam solebant, etiam Romanos acie solito validiori stantes inveniebant : qui corporibus quidem atque armis ita undique aggeres sepserunt, ut nusquam igni aditum relinquerent; animo vero quisque eatenus confirmato erat, ut prius moreretur quam loco cederet. Nam præterquam quod omnis spes illis præcideretur, si etiam ista opera forent exusta, magno sibi pudori esse ducebant milites, si per omnia cederet aut calliditati virtus, aut arma temeritati, aut peritia multitudini, aut Romani Judæis. Simul autem et machinæ obsidionales pro illis faciebant, missilia ad eos usque conjicientes qui prosiliebant, et quum quis cecidisset, subsequuturo moram injiciebat, periculumque ultra progrediendi remissiores efficiebat. Qui vero intra teli jactum se proripuerant, alii, priusquam ad manus ventum esset, disciplina hostium et densitate perterriti, alii spiculis vulnerati retrocedebant : tandemque, alius alium timiditatis arguens, re infecta revertebantur. Primo mensis Panemi die hæc oppugnatio facta est. Judæis autem inde digressis, Romani helepoles admovere, quamvis ab Antonia saxis peterentur et igni et ferro, telisque omnigenis quæ Judæis suppeditaret necessitas. Nam licet mœnibus multum confiderent Judæi, machinasque contemnerent, tamen eas applicare prohibebant Romanos. Illi autem Judæorum studium ne læderetur Antonia ex murorum infirmitate esse arbitrantes, ratique eam fragilibus niti fundamentis, ex adverso contendebant. Nec tamen quod feriebatur ictibus cedebat : sed ipsi quidem crebris in se missilibus jactis, quum nulli periculo desuper venienti succumberent, eo perducebant helepoles ut agendi vim haberent. At quum inferiores

ὡς δ' ἦσαν ἐλάττους καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων χερσὶ καὶ μοχλοῖς ὑπώρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες ἐξέσεισαν. Ἀνέ-
5 παυσε δὲ νὺξ ἑκατέρους, καὶ ἐν ταύτῃ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σεσαλευμένον, καθ' ὃ τοῖς προτέροις ἐπιβουλεύων χώμασιν ὁ Ἰωάννης ὑπώρυξεν, ἐνδούσης τῆς διώρυχος, ἐξαπίνης κατερείπεται.

(Γ'.) δ'. Τούτου συμβάντος παραδόξως ἑκατέροις διη-
10 γέρθη τὰ φρονήματα. Ἰουδαίους μὲν γὰρ, οὓς ἀθυμεῖν εἰκὸς ἦν τῷ παρ' ἐλπίδα γενέσθαι τὸ πτῶμα καὶ μὴ προησφαλίσθαι πρὸς αὐτὸ, θαρρεῖν ὡς μενούσης συνέβαινε τῆς Ἀντωνίας· Ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα χαρὰν ἐπὶ τῷ καταρριφθέντι ταχέως ἔσβεσεν ὄψις ἑτέρου
15 τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδομήκεσαν. Εὐμαρεστέρα μέν γε τῆς πρότερον ἡ προσβολὴ κατεφαίνετο· τότε γὰρ ἀναβῆναι διὰ τῶν καταρριφθέντων ῥᾷον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν τε πολλῷ τῆς Ἀντωνίας καὶ ταχέως τῷ πρόσκαιρον
20 εἶναι λύειν ὑπελάμβανον. Οὐ μὴν ἐτόλμα τις ἀναβῆναι· προὔπτος γὰρ τοῖς ἀρξαμένοις ἦν ἀπώλεια.

(Δ'.) ε'. Νομίζων δ' ὁ Τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν πολεμούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς καὶ τὰς ὑποσχέσεις πολλάκις μὲν λήθην ἐνερ-
25 γάζεσθαι τῶν κινδύνων, ἔστι δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγαγὼν ἐπὶ ταυτὸ τοὺς ἀλκίμους, ἐπειρᾶτο τῶν ἀνδρῶν, « ὧ συστρατιῶται, λέγων, τὸ μὲν παρακε-
« λεύειν ἐπὶ τὰ μὴ φέροντα κίνδυνον αὐτόθεν τοῖς παρα-
« κελευομένοις ἀκλεὲς, ἀμέλει δὲ καὶ τῷ παρακελεύοντι
30 « φέρει κατάγνωσιν ἀνανδρίας. Δεῖ δ', οἶμαι, προτροπῆς
« εἰς μόνα τὰ σφαλερὰ τῶν πραγμάτων, ὡς ἐκεῖνά γε
« καθ' αὑτοὺς πράττειν ἄξιον. Ὥστε ἔγωγε τὸ μὲν
« ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος ἄνοδον αὐτὸς
« ὑμῖν προτίθημι· τὸ δ' ὅτι μάλιστα προσήκει μάχεσθαι
35 « τοῖς δυσκόλοις τοὺς ἀρετῆς ἐφιεμένους, καὶ ὅτι καλὸν
« ἐν εὐκλείᾳ τελευτὴ, καὶ ὡς οὐκ ἄκαρπον ἔσται τοῖς
« καταρξαμένοις τὸ γενναῖον, διέξειμι. Πρῶτον μὲν
« οὖν ὑμῖν γενέσθω προτροπὴ τὸ τινὰς ἴσως ἀποτρέπον,
« ἡ Ἰουδαίων μακροθυμία καὶ τὸ καρτερικὸν ἐν οἷς κα-
40 « κοπαθοῦσιν. Αἰσχρὸν γὰρ Ῥωμαίους τε ὄντας καὶ
« στρατιώτας ἐμοὺς, καὶ διδακτὸν μὲν ἐν εἰρήνῃ τὸ
« πολεμεῖν, ἔθιμον δ' ἐν πολέμῳ τὸ κρατεῖν ἔχοντας,
« ἡττᾶσθαι κατὰ χεῖρα Ἰουδαίων ἢ κατὰ ψυχὴν, καὶ
« ταῦτα πρὸς τέλει τῆς νίκης καὶ συνεργουμένους ὑπὸ
45 « τοῦ Θεοῦ. Τὰ μὲν γὰρ ἡμέτερα πταίσματα τῆς
« Ἰουδαίων ἐστὶν ἀπονοίας, τὰ δ' ἐκείνων πάθη ταῖς τε
« ὑμετέραις ἀρεταῖς καὶ ταῖς τοῦ Θεοῦ συνεργίαις αὔξε-
« ται. Στάσις γὰρ καὶ λιμὸς καὶ πολιορκία καὶ δίχα
« μηχανημάτων πίπτοντα τείχη τί ἂν ἄλλ' ἢ Θεοῦ μὲν
50 « εἴη μῆνις ἐκείνοις, βοήθεια δ' ἡμετέρα; Τὸ τοίνυν μὴ
« μόνον ἐλαττοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν θείαν συμ-
« μαχίαν προδιδόναι, πρὸς ἡμῶν οὐκ ἂν εἴη. Πῶς δ'
« οὐκ αἰσχρὸν Ἰουδαίους μὲν οἷς πολλὴν αἰσχύνην οὐ
« φέρει τὸ λείπεσθαι μαθοῦσι δουλεύειν, ὑπὲρ τοῦ μηκέτι

essent ac lapidibus comminuerentur, alii scutis super corpora concameratis fundamenta manibus et vectibus suffodiebant, atque saxa quattuor obstinato labore amoliti sunt. Nox autem prælium utrinque diremit : atque in ea murus arietibus quassatus, qua Joannes, quum prioribus aggeribus insidiaretur, eum suffoderat, subsidente cuniculo, repente corruit.

(III.) 4. Quum hoc præter opinionem accidisset, utrorumque animi erigebantur. Nam Judæi quidem, quos anxios et dejectos esse verisimile erat, quod præter exspectationem inciderit ruina, et adversus eam nihil præcaverint, tanquam maneret Antonia hoc casu, confidebant : Romanorum vero inopinatam lætitiam e prostrato conceptam cito restinxit muri alterius conspectus, quem post illum Joannes cum suis ædificaverat. Verumtamen priori facilior oppugnatu apparebat : tunc enim et ascensus per ruinas promptior videbatur, et Antonia multo infirmiorem esse murum, quodque temporarius esset, cito destrui posse existimabant. Nemo tamen eum audebat ascendere, quod primo tentantibus præsentissimum impenderet exitium.

(IV.) 5. Titus vero spe atque oratione putans alacritatem pugnantium quammaxime excitari, et adhortationes atque promissa facere ut sæpe in oblivionem veniant periculorum, atque mors ipsa interdum contemnatur, fortissimis in concionem congregatis experiebatur eos, dicens, « hortari qui-
« dem ad ea, commilitones, quæ sine periculo geri possunt,
« subinde et ipsis qui monentur inglorium est, ipsumque
« certe qui monet ignaviæ arguit. Non opus esse puto ex-
« hortatione, nisi quum res periculosæ sint; nam reliquas
« per se quemque gerere dignum est. Quare ego ab una parte
« difficilem vobis in murum esse ascensum ipse profiteor;
« ab altera vero quod deceat gloriæ cupidos cum difficilibus
« congredi, quodque pulchrum sit cum gloria mori, nec
« infructuosum erit iis qui primi audeant forte facinus, per-
« sequor. Et primum quidem vos illud hortetur, quod
« nonnullos fortasse deterreat, Judæorum patientia et in
« adversis rebus constantia. Etenim Romanos meosque
« milites, quibus in pace quidem bella discere, in bello vero
« vincere consuetum est, a Judæis manu vel animo superari,
« turpe est, idque in fine victoriæ, quumque a Deo adjuti
« simus. Nostra enim infortunia Judæorum desperationi
« accepta debentur : illorum autem clades vestris virtutibus,
« quibus auxiliatur Deus, crescunt. Etenim seditio, fames,
« obsidio, murorumque sine machinis casus, quid sit aliud
« quam in illos ira Dei, nostrumque adjumentum? Igitur
« non solum deterioribus inferiores videri, sed etiam divi-
« num auxilium prodere, nobis non convenit. Quo pacto
« autem non turpe videatur, Judæos quidem, quibus non
« magno pudori est vinci qui servire didicerint, ne in po-
« sterum id patiantur, mortem contemnere, atque in nos

« τοῦτο πάσχειν θανάτου καταφρονεῖν, καὶ πολλάκις « εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρατήσειν, « ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρείας· ἡμᾶς δὲ τοὺς γῆς « ὀλίγου δεῖν ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ « τὸ μὴ νικᾶν ὄνειδος, μηδὲ ἅπαξ εἰς τοὺς πολεμίους πα- « ραβάλλεσθαι, περιμένειν δὲ τὸν λιμὸν κατ' αὐτῶν καὶ « τὴν τύχην ἀργοὺς καθεζομένους μετὰ τοιούτων ὅπλων, « καὶ ταῦτα δι' ὀλίγου τοῦ παραβόλου τὸ πᾶν κατορ- « θῶσαι δυναμένους; ἀναβάντες γοῦν ἐπὶ τὴν Ἀντωνίαν « ἔχομεν τὴν πόλιν. Καὶ γὰρ ἂν γίνηταί τις ἔτι πρὸς « τοὺς ἔνδον, ὅπερ οὐκ οἶομαι, μάχη, τό γε κατὰ κορυ- « φὴν εἶναι καὶ ταῖς ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν πο- « λεμίων ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. Καὶ « ἔγωγε τὸ μὲν ὁμνεῖν ἄρτι τὴν ἐν πολέμῳ τελευτήν, « καὶ τὴν ἐπὶ τοῖς ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν πα- « ραλείπω, ἐπαρασαίμην δ' ἂν τοῖς ἄλλως ἔχουσι τὸν « κατ' εἰρήνην ἐκ νόσου θάνατον, οἷς μετὰ τοῦ σώματος « καὶ ἡ ψυχὴ τάφῳ κατακρίνεται. Τίς γὰρ οὐκ οἶδε « τῶν ἀγαθῶν ἀνδρῶν ὅτι τὰς μὲν ἐν παρατάξει ψυχὰς « σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας τὸ καθαρώτατον « στοιχεῖον αἰθὴρ ξενοδοχῶν ἄστροις ἐγκαθιδρύει, δαί- « μονες δ' ἀγαθοὶ καὶ ἥρωες εὐμενεῖς ἰδίοις ἐκγόνοις « ἐμφανίζονται, τὰς δὲ ἐν νοσοῦσι τοῖς σώμασι συντα- « κείσας, κἂν τὰ μάλιστα κηλίδων ἢ μιασμάτων ὦσι « καθαραί, νὺξ ὑπόγειος ἀφανίζει καὶ λήθη βαθεῖα δέ- « χεται, λαμβανούσας ἅμα τοῦ τε βίου καὶ τῶν σωμά- « των, ἔτι δὲ τῆς μνήμης περιγραφήν; Εἰ δὲ κέκλωσται « μὲν ἀνθρώποις ἀναγκαία τελευτή, κουφότερος δ' εἰς « αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς « μὴ διδόναι ταῖς χρείαις ὃ τῷ χρεὼν ἀποδώσομεν; Καὶ « ταῦτα μὲν ὡς οὐ δυναμένων σωθῆναι τῶν ἐπιχειρη- « σόντων διεξῆλθον· ἔνεστι δὲ σώζεσθαι τοῖς ἀνδρι- « ζομένοις καὶ ἐκ τῶν σφαλερωτάτων. Πρῶτον μὲν « γὰρ τὸ καταρριφθὲν εὐεπίβατον· ἔπειτα πᾶν τὸ « οἰκοδομηθὲν εὐδιάλυτον. Ὑμεῖς τε πλείους, θαρσή- « σαντες ἐπὶ τὴν πρᾶξιν, ἀλλήλοις προτροπὴ καὶ βοή- « θεια γίνεσθε, καὶ τοῖς πολεμίοις τὸ ὑμέτερον παρά- « στημα ταχέως κλάσει τὰ φρονήματα. Καὶ τάχα ἂν « ὑμῖν ἀναίμακτον τὸ κατόρθωμα γένοιτο μόνον καταρ- « ξαμένοις. Ἀναβαίνοντας μὲν γὰρ κωλύειν πειράσον- « ται κατὰ τὸ εἰκὸς, λαθόντας δὲ καὶ βιασαμένους ἅπαξ « οὐκ ἂν ὑποσταῖεν ἔτι, κἂν ὀλίγοι φθάσητε. Τὸν δὲ « καταρξάμενον αἰσχυνοίμην ἂν εἰ μὴ ποιήσαιμι ζη- « λωτὸν ἐν ταῖς ἐπικαρπίαις, καὶ ὁ μὲν ζῶν ἄρξει τῶν « νῦν ὁμοίων, μακαριστὰ δ' ἀκολουθήσει καὶ τοῖς πεσοῦσι « τὰ ἀριστεῖα. »

(E'.) ς'. Τοιαῦτα τοῦ Τίτου διεξιόντος τὸ μὲν ἄλλο πλῆθος ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος, τῶν δ' ἐν ταῖς σπείραις στρατευομένων Σαβῖνος τοὔνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ καὶ κατὰ χεῖρα καὶ κατὰ ψυχὴν ἄριστος ἐφάνη, καίτοι προϊδὼν ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐ δίκαιον εἶναι στρατιώτην ἔδοξε. Μέλας μὲν γὰρ ἦν τὴν χροιὰν, ἰσχνὸς, τὴν σάρκα πεπιλημένος, ἀλλ' ἐνῴκει τις ἡρωικὴ ψυχὴ λεπτῷ σώματι καὶ πολὺ

« medios frequenter excurrere, non victoriæ spe, sed ad « solam virtutis ostentationem : nos autem totius pæne terræ « marisque victores, quibus etiam non vincere probro ha- « betur, otiosos sedentes, ne semel quidem in hostem ali- « quid audaciter expertos, famem ac fortunam illis adver- « sam cum ejusmodi armis operiri, idque quum parvo « discrimine totum possitis efficere? nam in Antoniam si « ascenderimus, habebimus civitatem. Nam etsi pugnandum « sit adversum intus positos, quod non arbitror, attamen in « verticibus esse ac respirationi hostium insidere victoriam « nobis integram spondet. Equidem prætermissa nunc eorum « laude qui in bello moriuntur, illorumque immortalitate « qui Martio furore cadunt, est ut illis, qui non adeo fortiter « animati sunt, ex morbo pacis tempore mortem imprecer, « quorum anima cum corpore sepulchro damnatur. Quis « enim virorum fortium nescit, animas in acie quidem ferro « corporibus solutas purissimo ætheris elemento inter astra « collocari; easque manes bonos ac propitios heroas po- « steris suis conspici; quas vero morbus corporis tabes- « que consumpserit, macularum licet labisque puras, sub « terras ire in tenebras et in profundam demergi oblivio- « nem, eundemque memoriæ statui terminum qui sit et vitæ « et corporis? Quod si fati necessitate mors hominibus « decreta est, ad eam autem omni morbo levius est ferri « ministerium, cui non videatur ignavum negare id in com- « modum aliorum, quod ut fato debitum redditurі sumus? « Et hæc quidem, quasi servari nequeant qui hoc ipsum « aggredientur, prosequutus sum : est autem iis qui virilem « animum gerunt evadendi via etiam e maximis periculis. « Nam primum quidem quod dejectum est facile ascendi- « tur : deinde totum quod ædificatum est facile dissolvi « potest. Vosque plures, sumpta audacia ad rem aggre- « diendam, alii aliis incitamento estote et auxilio, vestraque « animi fortitudo brevi animos hostium franget. Et for- « tasse vobis res sine sanguine successerit, si eam tantum « inceperitis. Nam ascendentes quidem ab illis prohiberi « verisimile est : si vero clam vel etiam per vim aliquid « semel egeritis, non erit ut vos sustineant, si pauci id « facere occupaveritis. Me autem profecto pudeat, nisi, qui « primus murum conscenderit, eum invidendum remunera- « tionibus fecero : et qui vixerit quidem, iis imperabit qui « nunc ipsi æquales habentur; beatissima vero etiam eos « sequentur præmia, qui ceciderint. »

(V.) 6. Talia quum diceret Titus, cetera quidem multitudo periculi magnitudinem pertimuit : eorum vero unus qui in cohortibus militarent, Sabinus nomine, Syrus natione, vir et animo et manu fortissimus apparuit, etiamsi qui illum intuitus virtutem habitu corporis mensus fuisset, eum ne justum quidem militem esse credidisset. Etenim colore niger erat, gracilis et densa habitudine, sed in tenui corpore et viribus naturalibus fortiore heroica quædam virtus habi-

τῆς ἰδίας ἀλκῆς γενναιοτέρῳ. Πρῶτος γοῦν ἀναστὰς, « ἐπιδίδωμι σοὶ, Καῖσαρ, ἔφη, προθύμως ἐμαυτὸν, « πρῶτος ἀναβαίνω τὸ τεῖχος· καὶ εὔχομαι μέν μου τῇ « τε ἰσχύϊ καὶ τῇ γνώμῃ τὴν σὴν ἀκολουθῆσαι τύχην· « εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με μὴ πταίσαντα « παρ' ἐλπίδας, ἀλλ' ὑπὲρ σοῦ κρίσει τὸν θάνατον « ἠρημένον. » Ταῦτα εἰπὼν καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν ὑπὲρ τῆς κεφαλῆς προανατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐχώρει πρὸς τὸ τεῖχος, μάλιστα περὶ ὥραν τῆς ἡμέρας ἕκτην. Εἵποντο δ' αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς ἀνδρείας γενόμενοι. Προῆγε δὲ πολὺ πάντας ὁ ἀνὴρ ὁρμῇ τινι δαιμονίῳ χρώμενος. Οἱ φρουροὶ δ' ἀπὸ τοῦ τείχους κατηκόντιζόν τε αὐτοὺς καὶ βέλεσι πάντοθεν ἀπείροις ἔβαλλον, καὶ πέτρας ἐξαισίους κατεκύλιον, αἳ ἐκ τῶν μὲν ἕνδεκα παρέσυραν ἐνίους, ὁ δὲ Σαβῖνος ἁπάντων τοῖς ἀφιεμένοις καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ γενέσθαι τε ἐπ' ἄκρῳ καὶ τρέψασθαι τοὺς πολεμίους. Καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰουδαῖοι καὶ τὸ παράστημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀναβεβηκέναι δόξαντες, ἐτράπησαν. Ἔνθα δὴ καταμέμψαιτ' ἄν τις ὡς φθονερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην καὶ κωλύουσαν ἀεὶ τὰ παράδοξα τῶν κατορθωμάτων. Ὁ γοῦν ἀνὴρ οὗτος ὅτε ἐκράτησε τῆς ἐπιβολῆς ἐσφάλη, καὶ πταίσας πρός τινα πέτραν πρηνὴς ἐπ' αὐτῆς μετὰ μεγίστου ψόφου κατέπεσεν. Ἐπιστραφέντες δ' οἱ Ἰουδαῖοι καὶ κατιδόντες μόνον τε αὐτὸν καὶ πεπτωκότα πάντοθεν ἔβαλλον. Ὁ δ' εἰς γόνυ διαναστὰς, καὶ προκαλυψάμενος τὸν θυρεὸν, τὸ μὲν πρῶτον ἠμύνατο καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν, αὖθις δ' ὑπὸ πλήθους τραυμάτων παρῆκε τὴν δεξιὰν, καὶ τέλος, πρὶν ἀποδοῦναι τὴν ψυχὴν, κατεχώσθη τοῖς βέλεσιν, ἀνὴρ ἄξιος μὲν ἀμείνονι χρῆσθαι δι' ἀνδρείαν τύχῃ, πεσὼν δὲ τῆς ἐπιβολῆς ἀναλόγως. Τῶν δ' ἄλλων τρεῖς μὲν τοὺς ἤδη πρὸς τοῖς ἄκροις ὄντας συντρίψαντες ἀπέκτειναν τοῖς λίθοις, οἱ δ' ὀκτὼ τραυματίαι κατασυρέντες ἀνεκομίσθησαν εἰς τὸ στρατόπεδον. Ταῦτα μὲν οὖν τρίτῃ Πανέμου μηνὸς ἐπράχθη.

(Ϛ.) ζ'. Μετὰ δὲ ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ τοῖς χώμασι φυλάκων εἴκοσι συνελθόντες προσκαλοῦνται μὲν τὸν τοῦ πέμπτου τάγματος σημαιοφόρον καὶ δύο τινὰς τῶν ἐν ταῖς ἴλαις ἱππέων καὶ σαλπιγκτὴν ἕνα, κατὰ δ' ὥραν τῆς νυκτὸς ἐνάτην προβαίνουσι μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων ἐπὶ τὴν Ἀντωνίαν, ἀποσφάξαντες δὲ τοὺς πρώτους τῶν φρουρῶν κοιμωμένους κρατοῦσι τοῦ τείχους καὶ τῷ σαλπιγκτῇ σημαίνειν ἐκέλευσαν. Πρὸς δ τῶν μὲν ἄλλων φυλάκων ἐξανάστασίς τε αἰφνίδιος ἦν καὶ φυγὴ, πρίν τινα τὸ πλῆθος ἐπιδεῖν τῶν ἐπιβεβηκότων· ὅ τε γὰρ φόβος καὶ ἡ σάλπιγξ φαντασίαν αὐτοῖς τοῦ πλήθους ἀναβεβηκέναι πολεμίων παρεῖχε. Καῖσαρ δὲ τοῦ σημείου κατακούσας ἐξοπλίζει τήν τε δύναμιν διὰ τάχους καὶ μετὰ τῶν ἡγεμόνων πρῶτος ἀναβαίνει τοὺς ἐπιλέκτους ἔχων. Καταφευγόντων δ' Ἰουδαίων εἰς τὸ ἱερὸν, καὶ αὐτοὶ διὰ τῆς διώρυχος εἰσέπιπτον, ἣν

tabat. Quum primus itaque surrexisset, « dedo me, in- « quit, tibi alacri animo, Cæsar, et ante omnes in murum « ascendo : atque opto quidem ut vires ac voluntatem meam « sequatur fortuna tua. Quodsi invideatur mihi hoc faci- « nus audax, scito me non præter spem, si res aliter ces- « serit, sed quod sic decreverim, pro te moriturum. » His dictis, et scuto læva manu capiti prætenso, strictoque dextera gladio, hora fere diei sexta murum petebat. Eumque ex ceteris sequebantur, qui soli ejus virtutem æmulati sunt, viri undecim. Ille autem omnes multo antecedebat, impulsu quodam divino incitatus. At vigiles e muro jaculis eos petebant, et tela undique innumera jaciebant, insuper et saxa ingentia devolvebant, quibus aliquot ex undecim dejecti sunt : Sabinus autem missilibus occurrens, telisque pæne obrutus, non prius destitit ab impetu, quam in summum murum evasisset et hostes fugasset. Nam Judæi, tam viribus illius attoniti quam animi fortitudine, simulque plures ascendisse rati, in fugam versi sunt. Hic est quod fortuna incusetur, ut quæ virtutibus invideat, semperque præclaris obstet facinoribus. Siquidem hic vir, quum quod aggressus est superasset, lapsus est, saxoque cuidam impactus maximo cum sonitu pronus in eum decidit. Quo factum est ut Judæi conversi, ubi solum et jacentem videre, undique eum peterent. Ille autem genu nixus et scuto protectus, primo quidem semet defendit, multosque ad ipsum accedentes sauciavit; postea vero vulnerum multitudine dextram laxavit, et ad extremum, priusquam animam redderet, telis est obrutus : vir sane ob fortitudinem dignus meliori fortuna, haud secus tamen ac pro cœpti facinoris difficultate cecidit. E ceteris autem tres, qui jam ad summum evaserant, lapidibus obtritos occiderunt, octo vero saucii detracti et in castra relati sunt. Hæc tertio die mensis Panemi gesta sunt.

(VI.) 7. Biduo autem post viginti de numero custodum per aggeres excubantium congregati signiferum legionis quintæ et duos quosdam ex ala equitum atque unum tubicinem ad se vocant : hora autem noctis nona tacite per ruinas ad Antoniam progrediuntur : occisisque primis custodibus qui obdormierant, murum occupant, et tubicinem signum dari jusserunt. Quo ceteri quidem vigiles subito exsuscitantur, fugiuntque priusquam numerum eorum qui ascenderunt discernere potuerant : nam et timor et tuba faciebant ut magna hostium multitudo ascendisse crederetur. Cæsar autem signo audito exercitum propere armari jubet, et cum ducibus primus, lectorum manu comitatus, ascendit. Quum autem Judæi ad templum confugerent, ipsi quoque per cuniculum, quem Joannes ad aggeres Ro-

ὁ Ἰωάννης ἐπὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπώρυξε. Καὶ διαστάντες ἀπ' ἀμφοτέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ τε Ἰωάννου καὶ τοῦ Σίμωνος, εἶργον αὐτοὺς, οὐδεμίαν οὔτε ἰσχύος οὔτε προθυμίας ἐλλείποντες ὑπερβολήν· πέρας γὰρ ἀλώσεως ὑπελάμβανον τὸ Ῥωμαίους παρελθεῖν εἰς τὸ ἅγιον, ὃ δὴ κἀκεῖνοι, τοῦ κρατεῖν ἀρχήν. Συρρήγνυται δὲ περὶ τὰς εἰσόδους μάχη καρτερὰ, τῶν μὲν καταλαβέσθαι καὶ τὸ ἱερὸν εἰσβιαζομένων, τῶν δὲ Ἰουδαίων ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν Ἀντωνίαν. Καὶ τὰ βέλη μὲν ἦν ἀμφοτέροις ἄχρηστα καὶ τὰ δόρατα, σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο, καὶ περὶ τὴν συμβολὴν ἄκριτον ἦν ὁποτέρωθεν ἕκαστοι μάχοιντο, πεφυρμένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωρίαν διηλλαγμένων, τῆς δὲ βοῆς ἀσημάντου προσπιπτούσης διὰ τὸ μέγεθος. Φόνος τε ἦν ἑκατέρωθεν πολὺς καὶ τῶν πεσόντων τά τε σώματα καὶ τὰς πανοπλίας πατοῦντες ἔθραυον οἱ μαχόμενοι. Ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειε ῥέπων ὁ πόλεμος, παρακέλευσις μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων· οὔτε δ' αἱ φυγαὶ τόπον εἶχον οὔθ' αἱ διώξεις, ἀλλ' ἀγχώμαλοι ῥοπαὶ καὶ μεταklίσεις μεμιγμένης ἐγίνοντο τῆς παρατάξεως. Τοῖς δ' ἔμπροσθεν γινομένοις ἢ τοῦ κτείνειν ἢ τοῦ θνήσκειν ἀνάγκη παρῆν, οὐκ οὔσης ἀναφυγῆς· οἱ γὰρ κατὰ νώτου πρόσω βιαζόμενοι τοὺς σφετέρους παρ' ἀμφοῖν οὐδὲ τῇ μάχῃ μεταίχμιον κατέλιπον. Πλεονεκτούντων δὲ τῶν Ἰουδαίων τοῖς θυμοῖς τὴν Ῥωμαίων ἐμπειρίαν, καὶ κλινομένης καθ' ἅπαν ἤδη τῆς παρατάξεως (ἀπὸ γὰρ ἐνάτης νυκτὸς ὥρας εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν), οἱ μὲν ἀθρόοι καὶ τὸν τῆς ἁλώσεως κίνδυνον ἔχοντες ἀνδρείας ἐφόδιον, Ῥωμαῖοι δὲ μέρει τῆς δυνάμεως (οὔπω γὰρ ἐπαναβεβήκει τὰ τάγματα, κἀκείνοις ἐπανεῖχον οἱ μαχόμενοι), τότε κρατεῖν τῆς Ἀντωνίας ἀποχρῆν ἐπὶ τοῦ παρόντος ἐδόκει.

(Ζ'.) η'. Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς Βιθυνίας, οὐκ ἄσημος ὢν ἀνὴρ, ὧν ἐγὼ κατ' ἐκεῖνον ἱστόρησα τὸν πόλεμον ὅπλων τε ἐμπειρίᾳ καὶ ἀλκῇ σώματος καὶ ψυχῆς παραστήματι πάντων ἄριστος, ὁρῶν τοὺς Ῥωμαίους ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους (παρειστήκει δὲ Τίτῳ κατὰ τὴν Ἀντωνίαν) προπηδᾷ, καὶ νικῶντας ἤδη τοὺς Ἰουδαίους τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρω ἱεροῦ γωνίας. Ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν οὔτε τὴν τόλμαν ἀνθρωπίνην ὑπολαμβάνοντες. Ὁ δὲ διὰ μέσων τῶν σκεδαννυμένων ἄλλοτε ἄλλῃ διάττων ἐφόνευε τοὺς καταλαμβανομένους, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τῷ Καίσαρι θαυμασιώτερον οὔτε τοῖς ἄλλοις παρέστη φρικωδέστερον. Ἐδιώκετο δ' ἄρα καὶ αὐτὸς ὑπὸ τῆς εἱμαρμένης, ἦν ἀμήχανον διαφυγεῖν θνητὸν ὄντα. Τὰ γὰρ ὑποδήματα πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν ἄλλων στρατιωτῶν ἕκαστος, καὶ κατὰ λιθοστρώτου τρέχων ὑπολισθάνει, πεσὼν δ' ὕπτιος μετὰ μεγίστου τῆς πανοπλίας ἤχου τοὺς φεύγοντας ἐπιστρέφει. Καὶ τῶν μὲν ἀπὸ τῆς Ἀντωνίας Ῥωμαίων ἤρθη βοὴ περὶ τἀνδρὶ δεισάντων, οἱ δὲ Ἰουδαῖοι περιmanorum excavarat, irruebant. Discretique ab utroque agmine seditiosi, tam Joannis quam Simonis, arcebant eos, summa vi atque alacritate repugnantes : siquidem excidii finem putabant locum sanctum penetrasse Romanos, quod et illi pro victoriæ principio habebant. Ad ipsum autem aditum acris committitur pugna, his quidem templum vi occupare nitentibus, Judæis vero Antoniam versus eos repellentibus. Et sagittæ quidem et hastæ utrisque inutiles erant, strictis autem gladiis congrediebantur, et in ipso conflictu discerni non poterat ex qua parte quisque pugnaret, permixtis quidem viris et propter angustias permutatis, incerto vero clamore propter ejus magnitudinem ad aures accidente. Ac multa utrinque cædes erat, et cadentium cadavera simul et arma conculcantes frangebant pugnatores. Semper autem, ad utram partem vergens prælium gravius esset, se invicem adhortabantur superantes, cedentesque ejulatus edebant; et neque fugæ locus erat neque persecutioni, sed incerto modo nunc inclinabant, nunc se reflectebant, acie mixta confusaque. Qui vero inter primos steterant, necesse habebant ut alios interficerent aut ipsi morerentur, quod refugere non daretur : nam posteriores utriusque partis suos in frontem urgebant, nullumque dimicantibus spatium intermedium relinquebant. Quum autem Judæorum animi Romanorum peritiam vincerent, jamque omnino tota acies inclinaret (a nona enim hora noctis ad septimam diei usque pugnabant), hi quidem simul omnes, etiam excidii periculum pro incitamento ad virtutem habentes, Romani vero cum parte exercitus (nondum enim ascenderant legiones, illisque spes pugnantium nitebantur), tunc satis esse videbatur in præsens Antoniam occupare.

(VII.) 8. Julianus vero quidam centurio ex Bithynia, vir non ignobilis, inter eos quos in illo bello cognovi et armorum peritia et corporis viribus et animi fortitudine omnium præstantissimus, ubi Romanos jam cedere et male semet defendere conspexit (nam Tito apud Antoniam adstabat), prosiliebat, et Judæos, quum victores essent, solus in fugam vertit usque ad interioris templi angulum. Fugiebat autem universa multitudo, neque vim ejus neque audaciam hominis esse opinantes. At ille per medios ruens, quos alios alio disjecit, ipsos quos prehendit interficiebat : illoque spectaculo nihil aut Cæsari magis admirabile visum est, aut ceteris magis horribile. Verum et ipsum profecto fata persequebantur, quæ mortalis nemo vitare potest. Nam calceis crebros clavos et acutos, ut et ceteri milites, infixos habens, et in solo lapidibus strato currens prolabitur : quumque resupinus caderet, maximo cum armorum sonitu, fugientes in se convertit. Et Romanorum quidem clamor ex Antonia sublatus est, saluti ejus metuentium : Judæi vero multi simul hastis et gladiis eum undique ferie-

στάντες αὐτὸν ἀθρόοι τοῖς τε ξυστοῖς καὶ ταῖς ῥόμφαίαις πάντοθεν ἔπαιον. Ὁ δὲ πολὺν μὲν τῷ θυρεῷ σίδηρον ἐξεδέχετο, πολλάκις δ' ἀναστῆναι πειράσας, ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, καὶ κείμενος δ' ὅμως ἔνυττε τῷ ξίφει πολλούς. Οὐδὲ γὰρ ἀνῃρέθη ταχέως, τῷ τε κράνει καὶ τῷ θώρακι πεφραγμένος πάντα τὰ καίρια πρὸς σφαγὴν, καὶ τὸν αὐχένα συνέλκων, μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν καὶ μηδενὸς προσαμῦναι τολμῶντος ἐνέδωκε. Δεινὸν δὲ πάθος εἰσῄει Καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου καὶ ἐν ᾖ τοσούτων φονευομένου· καὶ αὐτὸν μὲν ὁ τόπος διέκλειε τοῦ βοηθεῖν θέλοντα, τοὺς δυναμένους δὲ κατάπληξις. Ἰουλιανὸς μὲν οὖν πολλὰ δυσθανατήσας καὶ τῶν κτεινάντων ὀλίγους ἁπλῆγας καταλιπὼν μόλις ἀποσφάττεται, μέγιστον οὐ παρὰ Ῥωμαίοις καὶ Καίσαρι μόνον, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις κλέος καταλιπών. Ἰουδαῖοι δὲ καὶ τὸν νεκρὸν ἁρπασάμενοι πάλιν τοὺς Ῥωμαίους τρέπονται, καὶ κατακλείουσιν εἰς τὴν Ἀντωνίαν. Ἠγωνίσαντο δ' ἐξ αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην Ἀλεξᾶς μέν τις καὶ Γυφθαῖος τοῦ Ἰωάννου τάγματος, ἐκ δὲ τῶν περὶ Σίμωνα Μαλαχίας τε καὶ ὁ τοῦ Μέρτωνος Ἰούδας, καὶ Σωσᾶ υἱὸς Ἰάκωβος τῶν Ἰδουμαίων ἡγεμὼν, τῶν δὲ ζηλωτῶν ἀδελφοὶ δύο, παῖδες Ἀρὶ, Σίμων τε καὶ Ἰούδης.

ΚΕΦ. Β'.

Καῖσαρ δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις κατασκάπτειν προσέταξε τοὺς θεμελίους τῆς Ἀντωνίας, καὶ τῇ δυνάμει πάσῃ ῥᾳδίαν τὴν ἄνοδον εὐτρεπίζειν· αὐτὸς δὲ τὸν Ἰώσηπον παραστησάμενος (ἐπέπυστο γὰρ ἐπ' ἐκείνης τῆς ἡμέρας, Πανέμου δ' ἦν ἑπτακαιδεκάτη, τὸν ἐνδελεχισμὸν καλούμενον, ἀνδρῶν ἀπορίᾳ διαλελοιπέναι τῷ Θεῷ, καὶ τὸν δῆμον ἐπὶ τούτῳ δεινῶς ἀθυμεῖν) λέγειν τῷ Ἰωάννῃ πάλιν ἐκέλευσεν ἃ καὶ πρότερον, « ὡς εἰ καί τις αὐτὸν ἔρως κακὸς ἔχοι τοῦ μάχεσθαι, « προελθόντι μεθ' ὅσων βούλεται πολεμεῖν ἐξείη, δίχα « τοῦ συναπολέσθαι τήν τε πόλιν καὶ τὸν ναὸν αὐτῷ, « μηκέτι μέντοι μιαίνειν τὸ ἅγιον, μηδὲ εἰς τὸν Θεὸν « πλημμελεῖν. Παρεῖναι δ' αὐτῷ τὰς ἐπιλελοιπυίας « θυσίας ἐκτελεῖν, δι' ὧν ἂν ἐπιλέξηται Ἰουδαίων. » Καὶ ὁ Ἰώσηπος, ὡς ἂν εἰ μὴ τῷ Ἰωάννῃ μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς, ἐν ἐπηκόῳ στὰς, τά τε τοῦ Καίσαρος διήγγειλεν Ἑβραΐζων, καὶ πολλὰ προσηντιβόλει « φείσασθαι τῆς πατρίδος, καὶ διασκεδάσαι τοῦ ναοῦ γευόμενον ἤδη τὸ πῦρ, τούς τε ἐναγισμοὺς ἀποδοῦναι τῷ « Θεῷ. » Πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν κατήφεια καὶ σιγὴ, πολλὰ δ' ὁ τύραννος λοιδορηθείς τε τῷ Ἰωσήπῳ καὶ καταρασάμενος τὸ τελευταῖον προσέθηκεν « ὡς « οὐκ ἄν ποτε δείσειεν ἅλωσιν, Θεοῦ γὰρ ὑπάρχειν τὴν « πόλιν. » Καὶ ὁ Ἰώσηπος πρὸς ταῦτα ἀνέκραγε, « πάνυ γοῦν καθαρὰν τῷ Θεῷ τετήρηκας αὐτὴν, ἁμίαντον δὲ μένει τὸ ἅγιον· εἰς ὃν δὲ ἐλπίζεις σύμμαχον « οὐδὲν ἠσέβησας· τὰς δὲ ἐθίμους θυσίας ἀπολαμβάνει. « Κἂν μέν σού τις ἀφέληται τὴν καθ' ἡμέραν τροφὴν,

bant. Ille autem multam quidem ferri vim scuto excipiebat; sæpe vero conatus semet erigere, percutientium multitudine prosternebatur: at jacens tamen multos gladio vulnerabat. Nec enim cito peremptus est, galea et thorace per omnia tectus ubi plagam letalem acciperet, contractaque cervice, donec concisis aliis ejus membris, et nemine ei succurrere audente, morti succubuit. Ingentem autem dolorem capiebat Cæsar ex viro tantæ fortitudinis etiam in conspectu tot virorum occiso: et ipsum quidem locus discludebat auxilium ferre cupientem; alios autem, quum possent, metus impediebat. Et Julianus quidem diu cum morte luctatus, relictisque paucis interfectorum suorum quos non percusserit, ægre perimitur; magna sui gloria non apud Romanos tantum et Cæsarem, verum apud hostes quoque relicta. Judæi vero etiam rapto mortui cadavere Romanos iterum in fugam vertunt et in Antoniam concludunt. Insigniter autem in eo prælio decertarunt Alexas quidam et Gyphthæus ex agmine Joannis, ex parte vero Simonis Malachias et Mertonis filius Judas, et Sosæ filius Jacobus, dux Idumæorum; zelotarum vero fratres duo, Ari filii, Simon et Judes.

CAP. II. (VII.)

Cæsar autem militibus qui cum ipso quidem erant imperavit ut Antoniæ fundamenta diruerent, facilemque ascensum toti exercitui darent curarent: ipse vero, quum Josephum ad se vocasset (nam audiverat eo die, qui erat mensis Panemi decimus septimus, juge sacrificium, ut vocabatur, virorum penuria Deo defuisse, idque populum valde dolere), Joanni dicere iterum præcepit quæ et ante mandaverat: « quod, si quis etiam eum pugnandi pravus amor teneret, « cum qua vellet multitudine ad bellum progrederetur, dum « modo non una cum ipso et civitas interiret simul et tem- « plum: sanctum certe locum violare desineret, neve in « Deum nefas admitteret. Ipsi autem licere sacra intermis- « sa celebrare per Judæos quos delecturus esset. » Atque Josephus, quasi non soli Joanni, sed etiam pluribus, quum constitisset unde exaudiri posset, quæque in mandatis dederat Cæsar Hebraice nunciavit, multisque etiam ab se additis eos precabatur, « ut patriæ parcerent, ignemque jam « templum attingentem depellerent, Deoque vota redderent consueta. » Ad hæc mœstitia tenebatur populus et silentio. Tyrannus autem, quum multa Josepho convicia dixisset et maledicta, postremo addidit, « nunquam excidium esse me- « tuendum, utpote quod Dei civitas esset. » Atque Josephus ad ista exclamavit, « valde quippe Deo puram conservasti, « et sacrarium manet incontaminatum; nec in eum, cujus « speras auxilium, aliquid sceleris admisisti, sed is sacra « solemnia consequitur. Et siquidem tibi, o sceleratissime, « quisquam quotidianum auferat cibum, eum pro hoste

« ἀσεβέστατε, τοῦτον ἡγήσῃ πολέμιον, αὐτὸν δὲ, ὃν τῆς « αἰωνίου θρησκείας ἐστέρησας Θεὸν, ἐλπίζεις σύμμα- « χον ἕξειν ἐν τῷ πολέμῳ; καὶ Ῥωμαίοις τὰς ἁμαρτίας « ἀνατίθης, οἳ μέχρι νῦν κήδονται τῶν ἡμετέρων νό- « μων, καὶ τὰς ὑπὸ σοῦ διακοπείσας θυσίας ἀποδίδοσθαι « τῷ Θεῷ βιάζονται; Τίς οὐκ ἂν στενάξειε καὶ κατολο- « φύραιτο τῆς παραδόξου μεταβολῆς τὴν πόλιν, εἴ γε « ἀλλόφυλοι μὲν καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπα- « νορθοῦνται, σὺ δὲ ὁ Ἰουδαῖος, ὁ τοῖς νόμοις ἐντραφείς, « κἀκείνων πρὸς αὐτοὺς γίνῃ χαλεπώτερος; Ἀλλ', ὦ « Ἰωάννη, καὶ μετανοῆσαι μὲν ἐκ κακῶν οὐκ αἰσχρὸν « ἐν ἐσχάτοις, καὶ καλὸν ὑπόδειγμα βουλομένῳ σώζειν « τὴν πατρίδα σοι πρόκειται, βασιλεὺς Ἰουδαίων Ἰε- « χωνίας, ὃς ποτε στρατεύσαντι τῷ Βαβυλωνίῳ δι' « αὐτὸν ἑκὼν ἐξέστη πρὶν ἁλῶναι τῆς πόλεως, καὶ « μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἑθελούσιον, ὑπὲρ « τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις τὰ ἅγια, καὶ « τὸν οἶκον τοῦ Θεοῦ περιιδεῖν φλεγόμενον. Διὰ τοῦτο « λόγος τε αὐτὸν πρὸς ἁπάντων Ἰουδαίων ἱερὸς ἀνυ- « μνεῖ καὶ μνήμη ῥέουσα δι' αἰῶνος ἀεὶ νέα τοῖς ἐπιγι- « νομένοις παραδίδωσιν ἀθάνατον. Καλὸν, ὦ Ἰωάννη, « ὑπόδειγμα, κἂν προσῇ κίνδυνος. Ἐγὼ δέ σοι καὶ « τὴν ἀπὸ Ῥωμαίων συγγνώμην ἐγγυῶμαι. Μέμνησο « δὲ ὡς δημόφυλος ὢν παραινῶ καὶ Ἰουδαῖος ὢν ἐπαγ- « γέλλομαι· καὶ χρὴ σκοπεῖν τίς ὁ συμβουλεύων καὶ « πόθεν. Μὴ γὰρ ἔγωγέ ποτε γενοίμην ζῶν οὕτως « αἰχμάλωτος, ἵνα παύσωμαι τοῦ γένους, ἢ τῶν πα- « τρίων ἐπιλάθωμαι. Πάλιν ἀγαναχτεῖς καὶ κέκρα- « γάς μοι λοιδορούμενος, ἀξίῳ γε καὶ χαλεπωτέρων, « ὃς ἀντικρυς εἰμαρμένης τι παραινῶ, καὶ τοὺς ὑπὸ « τοῦ Θεοῦ βιάζομαι κατακρίτους σώζειν. Τίς οὐκ οἶδε « τὰς τῶν παλαιῶν προφητῶν ἀναγραφὰς καὶ τὸν ἐπιρ- « ρέποντα τῇ τλήμονι πόλει χρησμὸν ἤδη ἐνεστῶτα; « Τότε γὰρ ἅλωσιν αὐτῆς προεῖπον, ὅταν δημόφυλος τις « ἄρξῃ φόνου. Τῶν ὑμετέρων δὲ πτωμάτων οὐχ ἡ « πόλις, καὶ τὸ ἱερὸν δὲ πᾶν πεπλήρωται; Θεὸς ἄρα, « Θεὸς αὐτὸς ἐπάγει μετὰ Ῥωμαίων καθάρσιον αὐτῷ « πῦρ, καὶ τὴν τοσούτων μιασμάτων γέμουσαν πόλιν « ἀναρπάζει. »

(Θ'.) β'. Ταῦτα λέγων ὁ Ἰώσηπος μετ' ὀδυρμοῦ καὶ δακρύων λυγμῷ τὴν φωνὴν ἀνεκόπη. Καὶ Ῥωμαῖοι μὲν ᾠκτειράν τε τοῦ πάθους καὶ τῆς προαιρέσεως αὐτὸν ἐθαύμασαν· οἱ δὲ περὶ τὸν Ἰωάννην παρωξύνοντο μᾶλλον ἐπὶ τοὺς Ῥωμαίους, ἐπιθυμοῦντες ἐγκρατεῖς κἀκείνου γενέσθαι. Τῶν γε μὴν εὐγενῶν πολλοὺς ἐκίνησεν ὁ λόγος. Καί τινες μὲν ὀρρωδοῦντες τὰς φυλακὰς τῶν στασιαστῶν κατὰ χώραν ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως κατεγνώκεσαν. Εἰσὶ δ' οἳ, καιροφυλακήσαντες ἄδειαν ἀναχωρήσεως, πρὸς τοὺς Ῥωμαίους κατέφυγον. Ὧν ἦσαν ἀρχιερεῖς μὲν Ἰώσηπός τε καὶ Ἰησοῦς, υἱοὶ δ' ἀρχιερέων, τρεῖς μὲν Ἰσμαήλου τοῦ καρατομηθέντος ἐν Κυρήνῃ καὶ τοῦ Ματθίου τέσσαρες, καὶ εἷς ἑτέρου Ματθίου παῖς, διαδρὰς μετὰ τὴν πατρὸς ἀπώλειαν, ὃν ὁ τοῦ Γιώρα Σίμων

« habebis; ipsum vero Deum, quem perpetuo cultu pri- « vasti, in bello tibi auxilio speras futurum? et Romanis « tua peccata imputas, qui hucusque legibus nostris curam « adhibent, et quæ ipse interdixisti sacra, Deo ut reddan- « tur vi contendunt? Quis non gemeret et urbem ob ino- « pinatam mutationem defleret, quod alienigenæ quidem « hostesque impietatem tuam emendatam eant; tu vero « Judæus, inter leges educatus, eis etiam quam illi infestior « sis? Atqui, Joannes, ut malorum te pœniteat non turpe « est in extremis, bonumque tibi exemplum civitatem « servare cupienti propositum est in Jechonia rege Judæo- « rum : qui, quum olim Babylonius propter ipsum cum « exercitu venisset, sponte ea, priusquam caperetur, ex- « cessit, et cum cognatione sua voluntariam captivitatem « sustinuit, ne sancta hæc hostibus proderet, Deique « domum ardentem videret. Ob hoc sacra omnium Ju- « dæorum commemoratione celebratur, eumque memoria « per sæcula transmissa semper nova immortalem posteris « tradidit. Bonum, o Joannes, exemplar, etiamsi immineat « periculum. Ego autem veniam tibi a Romanis quoque « spondeo. At memento quod popularis qui sum te mo- « neam, Judæusque ista promittam : et spectari oportet « quis sit auctor et unde. Absit enim unquam me ita ca- « ptivum vivere, ut genus in memoria tenere desinam, « aut eorum quæ e patria mea sint obliviscar. Rursum in- « dignaris et vociferaris, mihique maledicis, qui etiam « acerbiora mereor, qui adversus fata te horter et suadeam, « Deique sententia condemnatos servare contendam. Quis « ignorat scripta veterum prophetarum, et oraculum quod « miseræ civitati jam præsens imminet? Tunc enim ejus « excidium prædixere, quando aliquis e popularibus cædem « patrare incipiet. Vestris autem cadaveribus nonne civi- « tas et templum omne repletum est? Deus profecto, Deus « ipse cum Romanis ignem ei lustrationis infert, totque « scelerum plenam civitatem e sedibus evellit. »

(IX.) 2. Hæc Josepho cum fletu et lacrimis prosequente, singultibus vox ejus interrupta est. Et Romani quidem miserati sunt et ipsum ob ea quæ passus est, et admirati eorum ergo quæ facere destinavit : Joannes autem ejusque socii magis contra Romanos irritabantur, illum quoque capere cupientes. Ceterum nobilium plurimos commoverat oratio. Et nonnulli quidem, seditiosorum custodias formidantes, cum sociis suis manebant, quamvis certi de suo pariter et civitatis exitio. Erant autem qui, capto securæ discessionis tempore, ad Romanos confugere. In quibus erant Josephus et Jesus pontifices, filii vero pontificum, tres quidem Ismaeli, cui apud Cyrenen fuerat caput abscissum, et Matthiæ quattuor, alterius vero Matthiæ unus, qui post interitum patris aufugerat, quem Simon Gioræ cum

ἀπέκτεινε, σὺν τρισὶν υἱοῖς, ὡς προείρηται. Πολλοὶ δὲ καὶ τῶν ἄλλων εὐγενῶν τοῖς ἀρχιερεῦσι συμμετεβάλλοντο. Καῖσαρ δ' αὐτοὺς τά τε ἄλλα φιλοφρόνως ἐδέξατο, καὶ γινώσκων ἀλλοφύλοις ἤθεσιν ἀηδῆ τὴν διατριβὴν ἕξειν, ἀπέπεμψεν αὐτοὺς εἰς Γόφναν, τέως ἐκεῖ παραινῶν μένειν· ἀποδώσειν γὰρ ἑκάστῳ τὰς κτήσεις κατὰ σχολὴν ἀπὸ τοῦ πολέμου γενόμενος. Οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον μετὰ πάσης ἀσφαλείας ἀνεχώρουν ἄσμενοι· μὴ φαινομένων δ' αὐτῶν διεφήμισαν οἱ στασιασταὶ πάλιν ὡς ἀποσφαγεῖεν ὑπὸ Ῥωμαίων οἱ αὐτόμολοι, δηλονότι τοὺς λοιποὺς ἀποτρέποντες τῷ φόβῳ διαδιδράσκειν. Ἤνυστο δ' ὡς καὶ πρότερον αὐτοῖς τὸ πανούργημα πρὸς καιρόν· ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ δέους αὐτομολεῖν.

(Γ'.) γ'. Αὖθις δ', ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς Γόφνας Τίτος ἐκέλευσε μετὰ τοῦ Ἰωσήπου περιελθόντας τὸ τεῖχος ὀφθῆναι τῷ δήμῳ, πλεῖστοι πρὸς τοὺς Ῥωμαίους ἔφευγον. Γινόμενοι δ' ἀθρόοι καὶ πρὸ τῶν Ῥωμαίων ἱστάμενοι μετ' οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστάς, τὸ μὲν πρῶτον ὅλῃ τοὺς Ῥωμαίους δέξασθαι τῇ πόλει, καὶ τὴν πατρίδα σῶσαι πάλιν, εἰ δὲ μή, τοῦ τε ἱεροῦ πάντως ὑπεξελθεῖν καὶ ῥύσασθαι τὸν ναὸν αὐτοῖς· οὐ γὰρ ἂν τολμῆσαι Ῥωμαίους μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι τὰ ἅγια. Τούτοις μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλάσφημα τοῖς αὐτομόλοις ἀντικεχραγότες, ἐπὶ τῶν ἱερῶν πυλῶν τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλους μηχανὰς διέστησαν, ὡς τὸ κύκλῳ μὲν ἱερὸν ἀπὸ πλήθους νεκρῶν προσεοικέναι πολυανδρίῳ, τὸν δὲ ναὸν αὐτὸν φρουρίῳ. Τοῖς δ' ἁγίοις καὶ ἀβάτοις μετὰ τῶν ὅπλων εἰσεπήδων, θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντες φόνων· καὶ προὔκοψαν εἰς τοσοῦτον παρανομίας, ὥστε ἦν ἂν εἰκὸς ἀγανάκτησιν γενέσθαι Ἰουδαίων, εἰ Ῥωμαῖοι ταῦτα ἐξυβρίζοιεν εἰς αὐτούς, ταύτην εἶναι παρὰ Ῥωμαίων τότε πρὸς Ἰουδαίους ἀσεβοῦντας εἰς τὰ ἴδια. Τῶν μέν γε στρατιωτῶν οὐκ ἔστιν ὅστις οὐ μετὰ φρίκης εἰς τὸν ναὸν ἀφεώρα καὶ προσεκύνει, τούς τε λῃστὰς ἠύχετο, πρὶν ἀνηκέστου πάθους, μετανοῆσαι.

δ'. Καῖσαρ δ' ὑπερπαθήσας πάλιν ἐξωνείδιζε τοὺς περὶ τὸν Ἰωάννην λέγων, « Ἆρ' οὐχ ὑμεῖς, ὦ μιαρώ-« τατοι, τὸν δρύφακτον τοῦτον προὐβάλεσθε τῶν ἁγίων; « οὐχ ὑμεῖς δὲ τὰς ἐν αὐτῷ στήλας διεστήσατε, γράμ-« μασιν Ἑλληνικοῖς καὶ ἡμετέροις κεχαραγμένας, ἃ « μηδένα τὸ γείσιον ὑπερβαίνειν παραγγέλλει; οὐχ « ἡμεῖς δὲ τοὺς ὑπερβάντας ὑμῖν ἀναιρεῖν ἐπετρέψαμεν, « κἂν Ῥωμαίων τις ᾖ; Τί οὖν νῦν, ἀλιτήριοι, καὶ νε-« κροὺς ἐν αὐτῷ καταπατεῖτε; τί δὲ τὸν ναὸν αἵματι « ξένῳ καὶ ἐγχωρίῳ φύρετε; Μαρτύρομαι θεοὺς ἐγὼ « πατρίους, καὶ εἴ τις ἐφεώρα ποτὲ τόνδε τὸν χῶρον « (νῦν μὲν γὰρ οὐκ οἶομαι), μαρτύρομαι δὲ καὶ στρα-« τιὰν ἐμὴν, καὶ τοὺς παρ' ἐμοὶ Ἰουδαίους, καὶ ὑμᾶς « αὐτούς, ὡς οὐκ ἐγὼ ταῦθ' ὑμᾶς ἀναγκάζω μιαίνειν· « κἂν ἀλλάξητε τῆς παρατάξεως τὸν τόπον, οὔτε προσ-

tribus filiis, ut supra dictum est, interemerat. Multi autem ex aliis quoque nobilibus una cum pontificibus migrabant ad Romanos : eosque Cæsar cetera humaniter excepit, sciensque inter alienigenarum mores haud jucunde illos victuros esse, in Gophnam dimisit, eis interim illic manere suadens, ut qui possessiones singulis redditurus esset, quando bello confecto frueretur otio. Et illi quidem in oppidum sibi concessum cum omni securitate læti discedebant. Quum autem illi non compararent, seditiosi iterum divulgarunt, transfugas a Romanis occisos esse, scilicet ut metu reliquos a fuga deterrerent. Et paulisper, ut antea, hæc calliditas eis profuit : nam metus eos impedivit quominus transfugerent.

(X.) 3. Rursus autem, postquam eos Titus revocatos a Gophna cum Josepho muros obire et populo in conspectum dari jusserat, plurimi ad Romanos fugiebant. Frequentes vero congregati et ante Romanos stantes, cum ejulatu et lacrimis seditiosos supplicabant, primo quidem ut Romanos in omnem civitatem reciperent, patriamque iterum servarent : sin vero hoc displiceret, saltem de fano exirent, templumque ipsis servarent : non enim ausuros nisi in maxima necessitate Romanos ignem sanctis immittere. His autem illi magis adversabantur; quumque multa in transfugas vociferati essent maledicta, supra sacras portas scorpiones et catapultas et balistas disposuerunt : adeo ut omne circa fanum spatium mortuorum multitudine cœmeterio, templum vero ipsum castello simile videretur. In loca autem sancta et inaccessa cum armis et manibus adhuc gentili cæde calentibus insiliebant; et eo iniquitatis processerunt, ut quam ad indignationem Judæos adduci verisimile erat, si hanc Romani in ipsos injuriam admisissent, ea tunc in Judæos propria sacra temerantes uterentur Romani. Nemo sane erat ex militibus qui non cum horrore templum aspiceret atque adoraret, optaretque ut latrones, antequam insanabile malum pateretur, resipiscerent.

4. Cæsar autem, quum admodum doleret vicem eorum, iterum Joannem ejusque socios his verbis increpabat: « nonne vos, o sceleratissimi, hunc cancellum locis sanctis « objecistis? nonne vos columnas ad certa intervalla in eo « statuistis, literis Græcis ac nostris inscriptas, quibus « edicitur ne septa quidem cuiquam licere transgredi? nonne « nos eos qui transiissent, quamvis Romanus quis esset, « vobis necare permisimus? Quid igitur in eo etiam mor-« tuos nunc concultatis, o nocentissimi? cur autem tem-« plum et externo et gentili sanguine contaminatis? Testor « ego patrios deos, et si quis olim hunc locum respexit « (nunc enim neminem ad eum respicere arbitror), itemque « testor et exercitum meum, et Judæos qui apud me « sunt, et vosmetipsos, quod non ego vos ad hæc violanda « compellam : et si locum aciei mutaveritis, neque accedet

« ελεύσεταί τις Ῥωμαίων τοῖς ἁγίοις οὔτε ἐνυβρίσει. « Τηρήσω δὲ τὸν ναὸν ὑμῖν καὶ μὴ θέλουσι. »

(IA'.) ε'. Ταῦτα τοῦ Ἰωσήπου διαγγέλλοντος ἐκ τοῦ Καίσαρος οἱ λῃσταὶ καὶ ὁ τύραννος οὐκ ἀπ' εὐνοίας, ἀλλὰ κατὰ δειλίαν γίνεσθαι τὰς παρακλήσεις δοκοῦντες, ὑπερηφάνουν. Τίτος δὲ, ὡς οὔτε οἶκτον ἑαυτῶν τοὺς ἄνδρας οὔτε φειδὼ τινα τοῦ ναοῦ ποιουμένους ἑώρα, πάλιν πρὸς πόλεμον ἄκων ἐχώρει. Πᾶσαν μὲν οὖν τὴν δύναμιν ἐπάγειν αὐτοῖς οὐχ οἷόντε ἦν, μὴ χωρουμένην τῷ τόπῳ, τριάκοντα δ' ἐπιλέξας ἀφ' ἑκάστης ἑκατονταρχίας τοὺς ἀρίστους, καὶ τοῖς χιλιάρχοις ἀνὰ χιλίους παραδοὺς, τούτων δ' ἐπιτάξας ἡγεμόνα Κερεάλιον, ἐπιθέσθαι προσέταξε ταῖς φυλακαῖς περὶ ὥραν τῆς νυκτὸς ἑνάτην. Ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις καὶ συγκαταβαίνειν παρεσκευασμένον οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου κατέσχον, καὶ τὰ παρὰ τῶν ἡγεμόνων λεγόμενα· « πλέον γὰρ αὐτὸν ἀνύσειν ἔφασαν « ἐπὶ τῆς Ἀντωνίας καθεζόμενον καὶ τὴν μάχην ἀγω- « νοθετοῦντα τοῖς στρατιώταις ἢ εἰ καταβὰς προκιν- « δυνεύοι· πάντας γὰρ ὁρῶντος Καίσαρος ἀγαθοὺς « πολεμιστὰς ἔσεσθαι. » Τούτοις πεισθεὶς ὁ Καῖσαρ, « δι' ἓν τοῦτο τοῖς στρατιώταις ὑπομένειν' εἰπὼν, ἵνα « κρίνῃ τὰς ἀρετὰς αὐτῶν, καὶ μήτε τῶν ἀγαθῶν τις « ἀγέραστος μήτε τῶν ἐναντίων ἀτιμώρητος διαλά- « θῃ, γένηται δ' αὐτόπτης καὶ μάρτυς ἁπάντων, ὁ καὶ « τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριος, » τοὺς μὲν ἐπὶ τὴν πρᾶξιν ἔπεμπε καθ' ἣν ὥραν καὶ προείρηται, προελθὼν δ' αὐτὸς εἰς τὸ κάτοπτον ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

(IB'.) ς'. Οὐ μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας ηὗρον κοιμωμένους ὡς ἤλπισαν, ἀλλ' ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο. Πρὸς δὲ τὴν τῶν ἐκκοιτούντων βοὴν ἔνδοθεν οἱ λοιποὶ κατὰ στῖφος ἐξέθεον. Τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς ἐξεδέχοντο Ῥωμαῖοι, περιέπιπτον δ' οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς οἰκείοις ὡς πολεμίοις ἐχρῶντο. Τὴν μὲν γὰρ διὰ βοῆς ἐπίγνωσιν ἡ κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, τὴν δὲ δι' ὀμμάτων ἡ νὺξ ἕκαστον ἀφεῖλετο, καὶ τυφλώττειν ἄλλως οὓς μὲν οἱ θυμοὶ παρεσκεύαζον, οὓς δὲ οἱ φόβοι. Διὰ τοῦτο τὸν προστυχόντα πλήττειν ἦν ἄκριτον. Ῥωμαίους μὲν οὖν συνησπικότας καὶ κατὰ συντάξεις προπηδῶντας ἧττον ἔβλαπτεν ἄγνοια· καὶ γὰρ ἦν παρ' ἑκάστῳ μνήμη τοῦ συνθήματος· Ἰουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι, καὶ τάς τε προσβολὰς καὶ τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι, πολλάκις φαντασίαν παρεῖχον ἀλλήλοις πολεμίων· τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ σκότους ὡς ἐπιόντα Ῥωμαῖον ἐξεδέχετο. Πλείους γοῦν ὑπὸ τῶν ἰδίων ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως ἡμέρας γενομένης ὄψει τὸ λοιπὸν ἡ μάχη διεκρίνετο· καὶ κατὰ φάλαγγα διαστάντες τοῖς τε βέλεσιν εὐτάκτοις ἐχρῶντο καὶ ταῖς ἀμύναις. Οὐδέτεροι δὲ οὔτ' εἶχον οὔτ' ἐκοπίων, ἀλλ' οἱ μὲν, ὡς ἐφορῶντος Καίσαρος, κατ' ἄνδρα καὶ κατὰ συντάξεις ἤριζον ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην αὐτῷ τὴν ἡμέ-

« ad sancta quisquam Romanorum, neque contumeliam « eis faciet. Vobis autem etiam invitis templum servabo. »

(XI.) 5. Hæc Josepho illis renunciante mandato Cæsaris, latrones ac tyrannus non ex benevolentia, sed timiditate adhortationes proficisci existimantes, superbia efferebantur. Titus autem, quum illos neque suas fortunas miserari neque templo parcere videret, invitus bellum repetebat. Et copias quidem universas, quod locus eas non caperet, illis admovere non poterat : tricenis autem optimorum ex unaquaque centuria delectis, et tribunis per millenos attributis, hisque duce præposito Cereali, circa noctis horam nonam custodes aggredi jussit. Quum autem ipse quoque in armis esset, simulque ad descensum semet paravisset, propter periculi magnitudinem eum amici cohibebant, atque illa quæ a ducibus dicta erant : « plus enim ipsum effecturum, « aiebant, ad Antoniam sedentem, pugnamque assignantem « militibus, quam si descenderet periculisque pro ipsis se « objiceret : quippe omnes in conspectu Cæsaris strenuos « fore bellatores. » Istis obsequutus Cæsar, quum ad milites dixisset « ob hoc solum se manere, ut de eorum virtute « judicaret, et neque fortis quisquam præmio careret, « neque ignavus pœnam evaderet, sed omnium spectator « ipse esset et testis, penes quem ulciscendi et remunerandi « arbitrium, » illos quidem ad rem aggrediendam, hora quæ supra memorata est, dimisit, ipse vero ad speculam ex Antonia progressus, quid fieret exspectabat.

(XII.) 6. Verum hi qui missi fuerant non uti sperarant somno oppressos invenerunt custodes, sed cum clamore insilientibus statim ad manus ventum est. Ceteri autem excubitorum clamoribus exciti ex ædibus se turmatim proripiebant. Primorum quidem impetum excipiebant Romani : et qui illos sequerentur, in agmen proprium incidebant, multique suis velut hostibus utebantur. Nam voce quidem suorum agnitionem confusus utriusque partis clamor, oculis vero quominus discernerentur nox omnino impediebat : ac præterea quibusdam cæcitatem injiciebat furor, aliis timor. Idcirco obvium quemque sine discrimine feriebant. Et Romanis quidem, scutorum conjunctione septis et per globos prosilientibus, ignoratio minus nocebat; tesseræ enim suæ quisque meminerat. Judæi vero semper disjecti, et tam impetus quam recessus temere facientes, sibi invicem hostium speciem sæpe ingerebant; nam revertentem suum quisque per tenebras quasi Romanum aggredientem excipiebat. Qua re factum ut plures a suis quam ab hostibus sauciarentur, donec orto die visu deinceps pugna discerneretur, et in acie ex adverso stantes bono ordine hostes telis peterent atque propulsarent. Neutri vero cedebant, neque labore fatigabantur. Sed Romani quidem et sigillatim et multi simul utpote in conspectu Cæsaris strenue concertabant : illumque diem sibi quisque promotionis initium fore

ραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο· Ἰουδαίοις δ' ἐβράβευε τὰς τόλμας ὅ τε περὶ σφῶν αὐτῶν καὶ τοῦ ἱεροῦ φόβος καὶ ὁ τύραννος ἐφεστὼς καὶ τοὺς μὲν παρακαλῶν, τοὺς δὲ μαστιγῶν καὶ διεγείρων ἀπειλαῖς. Συνέβαινε δὲ τὸ μὲν πλεῖστον σταδιαίαν εἶναι τὴν μάχην, ἐν ὀλίγῳ δὲ καὶ ταχέως ἀντιστρέφεσθαι τὰς ῥοπάς· οὐδέτεροι γὰρ οὔτε φυγῆς οὔτε διώξεως μῆκος εἶχον. Ἀεὶ δὲ πρὸς τὸ συμβαῖνον οἰκεῖος ἀπὸ τῆς Ἀντωνίας ὁ θόρυβος ἦν, θαρρεῖν δὲ καὶ κρατοῦσι τοῖς σφετέροις ἐπεβόων καὶ μένειν τρεπομένοις· ἦν δ' ὥσπερ τι πολέμου θέατρον· οὐδὲν γὰρ οὔτε Τίτον οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν μάχην. Τὸ δὲ πέρας, ἀρξάμενοι τῆς νυκτὸς ἐνάτης ὥρας, ὑπὲρ πέμπτην τῆς ἡμέρας διελύθησαν, ἀφ' οὗπερ ἤρξαντο τόπου τῆς συμβολῆς, μηδέτεροι βεβαίως κλίναντες τοὺς ἑτέρους, ἀλλὰ τὴν νίκην μέσην ἐν ἀγχωμάλῳ τῇ παρατάξει καταλιπόντες. Καὶ Ῥωμαίων μὲν ἐπισήμως ἠγωνίσαντο πολλοί, Ἰουδαίων δ' ἐκ μὲν τῶν περὶ Σίμωνα Ἰούδας ὁ τοῦ Μέρτωνος καὶ Σίμων ὁ τοῦ Ἰωσίου, τῶν δὲ Ἰδουμαίων Ἰάκωβος καὶ Σίμων, Καθλᾶ μὲν οὗτος παῖς, Σωσᾶ δὲ ὁ Ἰάκωβος, τῶν δὲ μετὰ Ἰωάννου Γυφθαῖος καὶ Ἀλεξᾶς, τῶν δὲ ζηλωτῶν Σίμων υἱὸς Ἀρί.

(ΙΓ'.) ζ'. Ἐν τούτῳ δ' ἡ λοιπὴ τῶν Ῥωμαίων δύναμις, ἡμέραις ἑπτὰ καταστρεψαμένη τοὺς τῆς Ἀντωνίας θεμελίους, μέχρι τοῦ ἱεροῦ πλατεῖαν ἄνοδον ηὐτρεπίσαντο. Πλησιάσαντα δὲ τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα κατήρχετο χωμάτων, τὸ μὲν ἀντικρυς τῆς τοῦ εἴσω ἱεροῦ γωνίας, ἥτις ἦν κατ' ἄρκτον καὶ δύσιν, τὸ δὲ κατὰ τὴν βόρειον ἐξέδραν, ἣ μεταξὺ τῶν δύο πυλῶν ἦν, τῶν δὲ λοιπῶν δύο θάτερον μὲν κατὰ τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ, τὸ δὲ ἕτερον ἔξω κατὰ τὴν βόρειον. Προὔκοπτε μέντοι μετὰ πολλοῦ καμάτου καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα, καὶ τὴν ὕλην ἀφ' ἑκατὸν σταδίων συγκομίζουσιν. Ἐκακοῦντο δ' ἐσθ' ὅπῃ καὶ κατ' ἐπιβουλὰς αὐτοί, διὰ περιουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι, καὶ δι' ἀπόγνωσιν ἤδη σωτηρίας χρώμενοι τολμηροτέροις τοῖς Ἰουδαίοις. (ΙΔ'.) Τῶν γὰρ ἱππέων τινὲς, ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογήν, τὸν τῆς κομιδῆς χρόνον, ἀνέσαν βόσκεσθαι τοὺς ἵππους ἀποχαλινοῦντες, οὓς οἱ Ἰουδαῖοι κατὰ στῖφος ἐκπηδῶντες ἥρπαζον. Καὶ τούτου συνεχῶς γινομένου, νομίσας Καῖσαρ, ὅπερ ἦν, ἀμελείᾳ τῶν σφετέρων πλέον ἢ τῇ Ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγὰς, ἔγνω σκυθρωπότερον τοὺς λοιποὺς πρὸς φυλακὴν τῶν ἵππων ἐπιστρέψαι· καὶ κελεύσας ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ τῶν ἀπολεσάντων στρατιωτῶν ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους. Οὐκέτι γὰρ εἴων νέμεσθαι, καθάπερ δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξήεσαν. Οἱ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ καὶ τὰ χώματα διήγειρον.

(ΙΕ'.) η'. Μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τῆς ἀνόδου πολλοὶ τῶν στασιαστῶν, οἷς ἁρπαγαί τε ἐπέλιπον ἤδη καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες ταῖς κατὰ τὸ Ἐλαιῶν ὄρος

putabat, si fortiter dimicasset : Judæis autem ministrabat audaciam et proprium cujusque periculum, et quod templo metuerent, quodque tyrannus instaret, alios quidem obsecrans, alios vero verberans et minis incitans. Verum accidebat ut maxima ex parte stataria esset pugna, atque in exiguo spatio et celeriter huc illuc inclinaret acies : neutra enim pars prolixum fugiendi vel persequendi spatium habebat. Semper autem, prout res eveniebat, ex Antonia tumultus erat, ad suos clamantium, si superarent, ut bono animo essent, sin vero fugerent, ut fugam sisterent : eratque veluti quoddam belli theatrum; nec enim vel Titum vel eos qui cum eo erant, quicquam latebat eorum quæ in pugna gerebantur. Postremo, nona noctis hora cœpto prælio, non nisi post quintam diei horam diremptum est, quum neutri eo loco unde pugnam iniere certa fuga cessissent, verum mediam in ancipiti acie victoriam reliquissent. Et Romanorum quidem plurimi egregie dimicabant : Judæorum vero, ex parte Simonis, Judas Mertonis filius, et Simon Josiæ; ex Idumæis, Jacobus et Simon, hic Cathlæ filius, Jacobus autem Sosæ; atque ex Joannis factione, Gyphthæus et Alexas; et ex zelotis, Simon filius Ari.

(XIII.) 7. Interea autem reliqua Romanorum manus, septem diebus Antoniæ fundamentis eversis, latum ad templum ascensum muniverunt. Et legiones quum primo muro appropinquassent, aggeres moliri cœperunt : unum quidem contra interioris templi angulum, qui ad septemtrionem orientemque spectabat; alterum vero ad exedram septemtrionalem, quæ inter duas portas erat; reliquorum vero duorum unum contra porticum occidentalem templi exterioris, alterum vero contra septemtrionalem. Verumtamen opera illis procedebant magno cum labore et gravi difficultate, materiemque a centesimo usque stadio comportarunt. Interdum autem insidiis ipsi lædebantur, utpote minus cauti quod insidiatores facile superare se posse putarint, atque Judæos propter desperationem salutis audaciores haberent. (XIV.) Nonnulli enim equitum, quoties ad lignum sive fœnum colligendum exiissent, interea dum id facerent, equos suos frenis exutos pasci sinebant, quos Judæi per cuneos erumpentes rapiebant. Itaque quum id crebro fieret, Cæsar ratus, id quod verum erat, negligentia suorum magis quam Judæorum fortitudine rapinas contingere, tristi animadversione ceteros ad equorum custodiam revocare statuit; unoque militum qui equum perdiderat morte damnato, eo metu equos suos ceteris conservavit. Nunquam enim eos posthac ad pascendum dimittebant, sed tanquam natura his connexi ad necessaria egrediebantur. Et illi quidem templum oppugnabant et aggeres erigebant.

(XV.) 8. Altera vero die post eorum ascensum multi seditiosorum, quos rapinæ jam defecerant et fames urgebat, congregati in præsidia Romanorum juxta Olivarum mon-

Ῥωμαίων φυλακαῖς ἐπιτίθενται, περὶ ὥραν ἑνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείας ἤδη τοῦ σώματος ὄντων, ῥᾳδίως διεκπεσεῖν. Προαισθόμενοι δὲ τὴν ἔφοδον αὐτῶν οἱ Ῥωμαῖοι, καὶ ταχέως ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες, εἶργον ὑπερπηδᾶν καὶ διακόπτειν τὸ περιτείχισμα βιαζομένους. Γενομένης δὲ καρτερᾶς τῆς συμβολῆς ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη (Ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων, Ἰουδαίων δ' ἀφειδέσι ταῖς ὁρμαῖς καὶ τοῖς θυμοῖς ἀκατασχέτοις· ἐστρατήγει δὲ τῶν μὲν αἰδὼς, τῶν δ' ἀνάγκη· τότε γὰρ ἐξαφεῖναι Ἰουδαίους, ὥσπερ ἄρκυσιν ἐνειλημμένους, Ῥωμαίοις αἴσχιστον ἐδόκει· κἀκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον, εἰ βιασάμενοι ῥήξειαν τὸ τεῖχος)· καὶ τῶν ἀπὸ σπείρας τις ἱππέων, Πεδάνιος τοὔνομα, τρεπομένων ἤδη τῶν Ἰουδαίων καὶ κατὰ τῆς φάραγγος συνωθουμένων, ῥόθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων, νεανίαν, στιβαρόν τε ἄλλως τὸ σῶμα καὶ καθωπλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ. Τοσοῦτον μὲν ἑαυτὸν ἐκ τρέχοντος ἐπέκλινε τοῦ ἵππου, τοσοῦτον δ' ἐπεδείξατο τῆς τε δεξιᾶς τὸν τόνον καὶ τοῦ λοιποῦ σώματος, ἔτι δ' ἐμπειρίας ἱππικῆς. Ὁ μὲν οὖν ὥσπερ τι κειμήλιον ἁρπασάμενος ἦκε φέρων Καίσαρι τὸν αἰχμάλωτον. Τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ ληφθέντα τῆς περὶ τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς ἐν ταῖς περὶ τὸ ἱερὸν διαμάχαις ἦν καὶ τὰ χώματα κατήπειγεν.

(ΙϚ'.) θ'. Ἐνῷ Ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς, ἀεὶ κατ' ὀλίγον κορυφουμένου τοῦ πολέμου καὶ τῷ ναῷ προσέρποντος, καθάπερ σηπομένου σώματος, ἀπέκοπτον τὰ προειλημμένα μέλη, φθάνοντες τὴν εἰς τὸ πρόσω νομήν. Τῆς γὰρ βορείου καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες, ἔπειτα ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. Μετὰ δ' ἡμέρας δύο, τετράδι καὶ εἰκάδι τοῦ προειρημένου μηνὸς, τὴν πλησίον στοὰν ὑποπιμπρᾶσι Ῥωμαῖοι, καὶ μέχρι πεντεκαίδεκα πηγῶν προκόψαντος τοῦ πυρὸς, ἀποκόπτουσιν ὁμοίως Ἰουδαῖοι τὴν ὀροφὴν, μήτε καθ' ἅπαν ἐξιστάμενοι τῶν ἔργων καὶ τὸ πρὸς τὴν Ἀντωνίαν συναφὲς αὐτῶν διαιροῦντες, καὶ παρὸν κωλύειν ὑποπιμπράντας. Οἱ δὲ πρὸς τὴν ἐμβολὴν τοῦ πυρὸς ἠρεμήσαντες τὴν νομὴν ἐμέτρησαν αὐτῷ σφίσι χρησίμως. Περὶ μὲν δὴ τὸ ἱερὸν οὐ διέλιπον αἱ συμβολαὶ, συνεχὴς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' ἀλλήλους ὁ πόλεμος.

(ΙΖ'.) ι'. Τῶν Ἰουδαίων δέ τις κατὰ ταύτας τὰς ἡμέρας ἀνὴρ τό τε σῶμα βραχὺς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, γένους τε ἕνεκα καὶ τῶν ἄλλων ἄσημος (Ἰωνάθης ἐκαλεῖτο) προελθὼν κατὰ τὸ τοῦ ἀρχιερέως Ἰωάννου μνημεῖον, ἄλλα τε πολλὰ πρὸς τοὺς Ῥωμαίους ὑπερηφάνως ἐφθέγγετο καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομαχίαν προὐκαλεῖτο. Τῶν δὲ ταύτῃ παρατεταγμένων οἱ πολλοὶ

tem, circa undecimam diei horam, impetum faciunt, sperantes primo quidem inopinatos, deinde corporis curandi causa quiescentes facile perrupturos esse. Verum Romani quum illorum eruptionem præsensissent, concursumque fecissent ex propinquis custodiis, obstabant eis murum transcendere et vi perrumpere conantibus. Acri autem pugna conserta, et alia multa fortiter utrinque gesta sunt quum Romani quidem præter fortitudinem etiam bellandi peritia, Judæi vero immoderato impetu et effrenatis animis uterentur: illos autem pudor quidem urgebat, hos vero necessitas: tunc enim dimittere Judæos, velut reti comprehensos, Romanis turpissimum videbatur; et illi unam spem salutis, si murum perrumpere possent, habebant; et quidam ex ala equitum, Pedanius nomine, Judæis jam in fugam versis atque in vallem coactis, equo a latere incitato prætervectus, corripit unum ex hostibus fugientem, juvenem, et alias corpore validum et armis undique septum, talo comprehensum. Tantum quippe se inclinavit equo currente, tantamque dextræ vim et reliqui corporis, itemque equestris peritiæ ostendit. Et ille quidem, tanquam pretiosi aliquid rapuisset, captivum secum adducens ad Cæsarem venit. Titus autem vires illius, qui eum ceperat, admiratus, et captivo, quia murum aggressus est, supplicio tradito, ipse templi oppugnationem curabat, atque aggeribus erigendis instabat.

(XVI.) 9. Interim Judæi in conflictibus pessumdati, paulatim semper ascendente bello et in templum serpente, sicuti in corpore putrescente, membra in quæ jam invaserat abscindebant, priusquam ulterius grassaretur. Nam quum porticus partem quæ a septemtrione et occasu conjuncta erat Antoniæ incendissent, postea ad viginti cubitos abruperunt, suis manibus sacra adyta urere aggressi. Biduo autem post, vicesimo et quarto mensis prædicti die, vicinam porticum incenderunt Romani; flammaque ad cubitos quindecim progressa, Judæi similiter tectum abscindunt: et ab operibus eam minime avertentes, quicquid inter ipsos erat et Antoniam, diruunt, etiam quum liceret eis incendium prohibere. Illi autem, quum primum ignis injiceretur, otiosi, ejus cursum pro sua utilitate metiebantur. Ac circa templum acie confligere non desinebant, sed frequens erat singulorum contra se invicem excurrentium pugna.

(XVII.) 10. Iisdem autem diebus quidam ex Judæis vir et corpore brevis et vultu despicabilis, tamque genere quam rebus aliis ignobilis, Jonathas nomine, progressus ad Joannis pontificis monumentum, quum alia multa superbe ad Romanos proloquutus est, tum quem fortissimum haberent ad singulare certamen provocavit. At eorum qui in acie ex adverso instructa stetere, multi quidem dedigna-

μὲν ὑπερηφάνουν, ἦσαν δ' οἳ κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν· ἥπτετό γε μὴν τινῶν καὶ λογισμὸς οὐκ ἀσύνετος, θανατῶντι μὴ συμπλέκεσθαι· τοὺς γὰρ ἀπεγνωκότας τὴν σωτηρίαν τά τ' ἄλλα καὶ τὰς ὁρμὰς ἀταμιεύτους ἔχειν καὶ τὸ θεῖον ἀδυσώπητον· τό τε παραβάλλεσθαι πρὸς οὓς καὶ τὸ νικᾶν οὐ μέγα καὶ μετ' αἰσχύνης τὸ λειφθῆναι σφαλερὸν, οὐκ ἀνδρείας, ἀλλὰ θρασύτητος εἶναι. Μηδενὸς δ' ἐπὶ πολὺ προϊόντος, καὶ τοῦ Ἰουδαίου πολλὰ κατακερτομοῦντος αὐτοὺς εἰς δειλίαν (ἀλαζὼν γάρ τις ἦν αὐτὸς σφόδρα καὶ τῶν Ῥωμαίων ὑπερήφανος) Πούδης τις ὄνομα, τῶν ἐκ Ἴλης ἱππέων, βδελυξάμενος αὐτοῦ τά τε ῥήματα καὶ τὸ αὔθαδες (εἰκὸς δὲ καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτὸν ἀπερισκέπτως ἐπαρθῆναι) προπηδᾷ· καὶ τὰ μὲν ἄλλα περιῆν συμβαλὼν, προεδόθη δ' ὑπὸ τῆς τύχης. Πεσόντα γὰρ αὐτὸν ὁ Ἰωνάθης ἀποσφάττει προσδραμών, ἔπειτα ἐπιβὰς τῷ νεκρῷ τό τε ξίφος ἡμαγμένον ἀνέσειε καὶ τῇ λαιᾷ τὸν θυρεὸν, ἐπηλάλαξέ τε τῇ στρατιᾷ πολλὰ, καὶ πρὸς τὸν πεσόντα κομπάζων, καὶ τοὺς ὁρῶντας Ῥωμαίους ἐπισκώπτων, ἕως αὐτὸν ἀνασκιρτῶντα καὶ ματαίζοντα Πρίσκος τις ἑκατοντάρχης τοξεύσας διήλασε βέλει. Πρὸς δ τῶν τε Ἰουδαίων καὶ τῶν Ῥωμαίων κραυγὴ συνεξήρθη διάφορος. Ὁ δὲ δινηθεὶς ἐκ τῶν ἀλγηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέπεσεν, ὠκυτάτην ἀποφήνας ἐν πολέμῳ τὴν ἐπὶ τοῖς ἀλόγως εὐτυχοῦσι νέμεσιν.

ΚΕΦ. Γ'

Οἱ δ' ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τ' οὐκ ἀνίεσαν τοὺς ἐπὶ τῶν χωμάτων στρατιώτας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν, καὶ τοῦ προειρημένου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι ὅλον ἐνσκευάζονται. Τῆς ἑσπερίου στοᾶς τὸ μεταξὺ τῶν δοκῶν καὶ τῆς ὑπ' αὐταῖς ὀροφῆς ὕλης ἀναπιμπλᾶσιν αὖης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔπειτα ὡς καταπονούμενοι δῆθεν ὑπεχώρουν. Πρὸς δ τῶν μὲν ἀσκέπτων πολλοὶ ταῖς ὁρμαῖς φερόμενοι προσέκειντο τοῖς ὑποχωροῦσιν, ἐπί τε τὴν στοὰν ἐπήδων προσθέμενοι κλίμακας· οἱ δὲ συνετώτεροι, τὴν ἄλογον τροπὴν τῶν Ἰουδαίων ὑπονοήσαντες, ἔμενον. Κατεπλήσθη μέντοι τῶν ἀναπηδησάντων ἡ στοὰ, κἀν τούτῳ οἱ Ἰουδαῖοι πᾶσαν ὑποπιμπρᾶσιν αὐτήν. Αἰρομένης δ' αἰφνιδίως πάντοθεν τῆς φλογὸς, τούς τε ἔξω τοῦ κινδύνου Ῥωμαίους ἔκπληξις ἐπέσχε δεινὴ καὶ τοὺς περισχεθέντας ἀμηχανία. Κυκλούμενοι δ' ὑπὸ τῆς φλογὸς, οἱ μὲν εἰς τὴν πόλιν ὀπίσω κατεκρήμνιζον ἑαυτοὺς, οἱ δ' εἰς τοὺς πολεμίους· πολλοὶ δ' ἐλπίδι σωτηρίας εἰς τοὺς σφετέρους καταπηδῶντες ἐκλῶντο τὰ μέλη, πλείστων δ' ἔφθανε τὰς ὁρμὰς τὸ πῦρ, καί τινες τὴν φλόγα σιδήρῳ. Περιεῖχε δ' εὐθέως καὶ τοὺς ἄλλως φθειρομένους τὸ πῦρ ἐπὶ πλεῖστον ἐκφερόμενον. Καίσαρα δὲ, καίπερ χαλεπαίνοντα τοῖς ἀπολλυμένοις, ἐπειδὴ δίχα παραγγέλματος ἀναβεβήκεσαν, ὅμως οἶκτος εἰσῄει τῶν ἀνδρῶν, καὶ μηδενὸς προσαμύνειν δυναμένου. Τοῦτο γοῦν παραμύθιον ἦν τοῖς φθειρο-

bantur; erant autem inter eos (ut verisimile) etiam qui timerent: ceterum quosdam non inconsulta movebat ratio, cum mortis cupido non esse confligendum: nam qui de salute desperassent, eos præter alia temerario impetu ferri, Deumque non respicere: et cum his in discrimen venire, quos neque vincere magnum sit, et vinci cum dehonestamento periculosum, non fortitudinis, sed audaciæ videri. Quum autem diu nemo procederet, multaque Judæus eorum timiditati illuderet, ut qui in se valde arrogans esset et Romanorum contemptor, Pudens quidam nomine, ex ala equitum, et verba illius et insolentiam detestatus, fortasse autem etiam corporis brevitate inconsiderate sublatus, prosilüit; et cetera quidem superior erat in conflictu, sed a fortuna proditus erat. Ipsum enim Jonathas quum cecidisset accurrens interficit; deinde pede supra mortuum posito, et gladium cruentum quatiebat, lævaque scutum, atque multis acclamavit exercitui, et cæso insultans, et Romanis spectantibus obtrectans, donec eum tripudiantem et vana jactantem Priscus quidam centurio sagitta transfixit. Quo facto et Judæorum et Romanorum clamor diversus excitatus est. Ille autem, vertigine ex dolore correptus, in corpus hostis decidit; ostenditque in bello velocissimam ultionem sequi immerito fortunatos.

CAP. III. (XVIII.)

Seditiosi autem qui in templo erant, et aperte milites in aggere versantes quotidie propulsare non cessabant, et vicesimo die prædicti mensis hujusmodi dolum commoliuntur. Occidentalis porticus spatium, quod inter culmen et trabes erat vacuum, ligno arido, itemque sulphure ac bitumine replevere: deinde, tanquam scilicet labore defatigati, cedebant. Quare multi quidem improvisi impetu concitati instabant fugientibus, et in porticum ascendere admotis scalis nitebantur: at prudentiores, illam sine causa fugam Judæorum suspectam habentes, locis suis manebant. Verumtamen iis qui ascenderant repleta est porticus: et tunc Judæi ipsam totam succendunt. Quum autem undique subito flamma excitaretur, et Romanos qui extra periculum steterunt ingens stupor invasit, et eos quos incendium ceperat occupavit desperatio. Qui vero flammis circumdati erant, alii semetipsos retrorsum in urbem præcipitabant, alii vero in hostes; multique spe salutis in suos desilientes membra frangebant: plurimos, dum effugere conantur, præveniebat incendium: nonnullique ferro flammam antevertebant. Statim vero et eos, qui alias neci darentur, ignis comprehendebat, longe lateque pervagatus. Cæsarem vero, licet morientibus succensentem, quod injussi porticum ascenderant, misericordia tamen eorum tetigit, quum et nemo opem ferre posset. Hoc erat tamen solatio

μένοις, τὸ βλέπειν ὑπὲρ οὗ τις ἠφίει τὴν ψυχὴν ὀδυνώμενον· βοῶν τε γὰρ αὐτοῖς καὶ προπηδῶν καὶ τοῖς περὶ αὐτὸν ἐκ τῶν ἐνόντων ἐπαμύνειν παρακαλῶν δῆλος ἦν. Τὰς δὲ φωνὰς ἕκαστος καὶ τὴν διάθεσιν, ὥσπερ τι λαμπρὸν ἀποφέρων ἐντάφιον, εὔθυμος ἀπέθνησκεν. Ἔνιοί γε μὴν ἐπὶ τὸν τοῖχον τῆς στοᾶς ὄντα πλατὺν ἀναχωρήσαντες ἐκ μὲν τοῦ πυρὸς διεσώθησαν, ὑπὸ δὲ τῶν Ἰουδαίων περισχεθέντες ἐπὶ πολὺ μὲν ἀντέσχον διατιτρωσκόμενοι, τέλος δὲ πάντες ἔπεσον,

(ΙΘ'.) β'. καὶ τελευταῖόν τις αὐτῶν νεανίας, ὀνόματι Λόγγος, ὅλον ἐπικοσμήσας τὸ πάθος, καὶ κατ' ἄνδρα μνήμης ἀξίων ὄντων πάντων τῶν ἀπολωλότων ἄριστος φανείς, ὃν οἱ μὲν Ἰουδαῖοι τῆς τε ἀλκῆς ἀγάμενοι, καὶ ἄλλως ἀνελεῖν ἀσθενοῦντες καταβῆναι πρὸς αὐτοὺς ἐπὶ δεξιᾷ παρεκάλουν, ὁ δὲ ἀδελφὸς Κορνήλιος ἐκ θατέρου, μὴ καταισχῦναι τὸ σφέτερον κλέος καὶ τὴν Ῥωμαίων στρατιάν. Τούτῳ πεισθεὶς καὶ διαράμενος φανερὸν ἑκατέροις τοῖς τάγμασι τὸ ξίφος ἑαυτὸν ἀναιρεῖ. Τῶν δὲ τῷ πυρὶ περισχεθέντων Σερτώριός τις πανουργίᾳ διασώζεται. Προσκαλεσάμενος γάρ τινα τῶν συστρατιωτῶν Λούκιον, ᾧ συνεσκήνει, μεγάλῃ τῇ φωνῇ, « κληρονόμον, ἔφη, καταλείπω σε τῶν « ἐμαυτοῦ κτημάτων, εἰ προσελθών με δέξαιο. » Τοῦ δὲ ἑτοίμως προσδραμόντος, ὁ μὲν ἐπ' αὐτὸν κατενεχθεὶς ἔζησεν, ὁ δὲ δεξάμενος ὑπὸ τοῦ βάρους τῷ λιθοστρώτῳ προσαραχθεὶς παραχρῆμα θνήσκει. Τοῦτο τὸ πάθος πρὸς καιρὸν μὲν Ῥωμαίοις ἐνεποίησεν ἀθυμίαν, πρὸς δὲ τὸ μέλλον ὅμως κατεσκεύασε φυλακτικωτέρους, καὶ πρὸς τὰς τῶν Ἰουδαίων ἐνέδρας ὠφέλησεν, ἐν αἷς τὰ πολλὰ δι' ἄγνοιαν τῶν τόπων καὶ τὸ ἦθος τῶν ἀνδρῶν ἐβλάπτοντο. Κατεκάη δὲ ἡ στοὰ μέχρι τοῦ Ἰωάννου πύργου, ὃν ἐκεῖνος ἐν τῷ πρὸς Σίμωνα πολέμῳ κατεσκεύασεν ὑπὲρ τὰς ἐξαγούσας ὑπὲρ τὸν ξυστὸν πύλας· τὸ δὲ λοιπὸν ἐπὶ διεφθαρμένοις ἤδη Ἰουδαῖοι τοῖς ἀνάβασιν ἀπέκοψαν. Τῇ δ' ὑστεραίᾳ καὶ Ῥωμαῖοι τὴν βόρειον στοὰν ἐνέπρησαν μέχρι τῆς ἀνατολικῆς ὅλην, ὧν ἡ συνάπτουσα γωνία τῆς Κεδρῶνος καλουμένης φάραγγος ὑπερδεδόμητο, παρ' ὃ καὶ φοβερὸν ἦν τὸ βάθος. Καὶ τὰ μὲν περὶ τὸ ἱερὸν ἐν τούτοις ἦν.

(Κ'.) γ'. Τῶν δ' ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. Καθ' ἑκάστην γὰρ οἰκίαν εἴ που τροφῆς παραφανείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. Πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον αὐτῷ. Οἱ δ' ὑπ' ἐνδείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο, καὶ παρεφέροντο ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον καὶ ὑπ' ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσπηδῶντες δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. Πάντα δ' ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζῴων πρόσφορα συλλέγοντες ἐσθίειν ὑπέφερον. Ζωστήρων γοῦν καὶ

pereuntibus, ipsum dolentem cernere, pro quo vitam quisque prodigebat : nam palam erat quod iis acclamaret et prosiliret, comitesque suos obsecraret pro virili quemque sua auxilium ferre. Has voces et dolorem Cæsaris, veluti splendidas exsequias, quisque reportans, hilari animo moriebatur. Ceterum nonnulli, qui in partem porticûs latiorem se receperant, ex igni quidem evaserunt, a Judæis vero circumdati diu quidem saucii restiterunt ; tandem vero universi cecidere,

(XIX.) (2) et postremo ex illis juvenis, nomine Longus, qui toti huic calamitati ornamento fuit, et quamvis sigillatim digni sint memoria qui periere, omnium tamen fortissimum se ostendit : quem Judæi quidem, et fortitudinem ejus admirantes et quia alioqui interficere eum non poterant, ad ipsos fide sua data descendere hortabantur ; frater vero ejus Corneius, qui ex altera parte stabat, ne gloriam suam Romanamque militiam dehonestaret, orabat. Huic dicto audiens, sublatoque altius gladio, ut ab utraque parte cerneretur, semetipsum occidit. Eorum autem, qui ab igne circumdati erant, Sertorius quidam calliditate servatus est. Appellato enim clara voce Lucio quodam commilitone et contubernali suo, « hæredem te, inquit, relinquo totius patrimonii mei, « si propius accedens me exceperis. » Quum autem is prompto animo accurrisset, ille quidem, qui se in eum projecerat, vitam servavit ; qui vero eum exceperat, pondere allisus pavimento continuo moritur. Hoc ipsum quod accidit paulisper quidem Romanis mœstitiam inferebat ; in posterum tamen cautiores effecit, et adversus Judæorum insidias nonnihil contulit, quibus plerumque ex locorum ignoratione hominumque ingenio lædebantur. Verum porticus exusta est ad turrim usque Joannis, quam ille, quum bellum adversus Simonem gereret, ædificaverat super portas quæ ultra Xystum ducerent : reliquum vero Judæi, postquam consumpti fuerant qui ascenderant, absciderunt. Sequenti autem die Romani quoque porticum septemtrionalem ad orientalem usque totam incenderunt, quarum angulus utrasque connectens super vallem quæ Cedronis appellatur ædificata erat, ubi et horribilis erat ejus profunditas. Et circa templum quidem ita se res habebant.

(XX.) 3. Eorum autem qui per civitatem fame perierunt infinita quidem cecidit multitudo : calamitates vero quas passi sunt enarrari non possunt. Per singulas quippe domos, sicubi vel umbra apparuisset cibi, bellum gerebatur, et amicissimi quique inter se dimicabant, sibi invicem misera vitæ subsidia eripientes. Nec mors ipsa fidem penuriæ faciebat, sed eos etiam qui extremum spiritum exhalabant, perscrutabantur latrones, ne quis forte cibum in sinu abditum gerens se mori simularet. Ipsi autem præ inedia hiantes huc illuc, tanquam rabidi canes, vagi atque incerti ferebantur, et foribus illisi instar ebriorum et præ consilii inopia in easdem domos bis terve unius horæ spatio irruebant. Porro omnia necessitas mandere cogebat : atque etiam quæ ne sordidissimis quidem animalium ratione carentium usui sunt, ea colligentes comedere sustinebant. Imo nec cin-

ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. Τροφὴ δ' ἦν καὶ χόρτου τισὶ παλαιοῦ σπαράγματα· τὰς γὰρ ἴνας ἔνιοι συλλέγοντες ἐλάχιστον σταθμὸν ἐπώλουν 5 Ἀττικῶν τεσσάρων. Καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον οἷον μήτε παρ' Ἕλλησι μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ' ἀκοῦσαι. Καὶ ἐγὼ δὲ μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν 10 παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας. Ἄλλως τε καὶ ψυχρὰν ἂν κατεθέμην τῇ πατρίδι χάριν, καθυφέμενος τὸν λόγον οὗ πέπονθε τὰ ἔργα.

(ΚΑ'). δ'. Γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούν- 15 των, Μαρία τοὔνομα, πατρὸς Ἐλεαζάρου, κώμης Βηθεζώβ (σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου), διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. Ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς 20 Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν, τὰ δὲ λείψανα τῶν κειμηλίων κἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. Δεινὴ δὴ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' 25 ἑαυτὴν ἠρέθιζεν. Ὡς δ' οὔτε παροξυνόμενός τις οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα 30 τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον (ἦν δ' αὐτῇ παῖς ὑπομάστιος) ἁρπασαμένη, « βρέφος, εἶπεν, ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ « καὶ στάσει, τίνι σε τηρήσω; Τὰ μὲν παρὰ Ῥωμαίοις « δουλεία, κἂν ζήσωμεν ἐπ' αὐτοῖς· φθάνει δὲ καὶ 35 « τὴν δουλείαν ὁ λιμὸς, οἱ στασιασταὶ δ' ἀμφοτέρων « χαλεπώτεροι. Ἴθι γενοῦ μοι τροφὴ, καὶ τοῖς στα- « σιασταῖς ἐρινὺς καὶ τῷ βίῳ μῦθος, ὁ μόνος ἐλλείπων « ταῖς Ἰουδαίων συμφοραῖς. » Καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱόν, ἔπειτ' ὀπτήσασα τὸ μὲν ἥμισυ κατε- 40 σθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. Εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσης σπάσαντες ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως. Ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου δι- 45 κάλυψε. Τοὺς δὲ εὐθέως φρίκη καὶ φρενῶν ἔκστασις ἦρει καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεσαν. Ἡ δὲ, « ἐμὸν, « ἔφη, τοῦτο τὸ τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν. Φά- « γετε, καὶ γὰρ ἐγὼ βέβρωκα, μὴ γένησθε μήτε μαλα- « κώτεροι γυναικὸς μήτε συμπαθέστεροι μητρός. Εἰ δ' 50 « ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, « ἐγὼ μὲν ἥμισυ βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ « μεινάτω. » Μετὰ ταῦτα οἱ μὲν τρέμοντες ἐξῄεσαν, πρὸς ἓν τοῦτο δειλοὶ, καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες. Ἀνεπλήσθη δ' εὐθέως ὅλη

cingulis nec calceamentis denique abstinuerunt, atque ipsa scutorum coria avulsa dentibus conficiebant. Quin etiam nonnullis vetusta fœni prægegmina esui fuere: quidam enim festucas colligentes, levissimum pondus quattuor drachmis Atticis venundabant. Et quid opus est impudentiam famis ex rebus inanimatis ostendere? nam facinus dicturus sum, quale nec apud Græcos nec barbaros memoratur, et quod dictu quidem horrendum, auditu vero incredibile videbitur. Atque libens hanc calamitatem ipse præteriissem, ne posteris portenta loqui existimer, nisi ex nostræ ætatis hominibus testes haberem innumeros. Ceterum et frigidam patriæ referrem gratiam, si quæ mala re ipsa perpessa est oratione dissimularem.

(XXI.) 4. Mulier ex iis qui trans Jordanem habitant, Maria nomine, patre Eleazaro, ex vico Bethezob (significat autem id hyssopi domum), genere atque opibus illustris, quum Hierosolyma perfugisset una cum reliqua multitudine obsessa tenebatur. Hujus ceteras quidem facultates, quas illa e regione ultra amnem collectas in urbem advexerat, tyranni diripuerant, reliquias vero rerum pretiosarum, et si quid alimenti conquiri poterat, irruentes quotidie satellites auferebant. Itaque gravis indignatio mulieri incessit: ac sæpenumero conviciis et imprecationibus prædones in semetipsam irritabat. Quum autem nemo aut ira incensus aut ex misericordia ipsam interficeret, tæderetque ipsam aliis quidem cibum parare, nec vero jam parandi modus ullus superesset, sed fames per viscera ac medullas grassaretur, fameque ipsa gravius etiam ira excandesceret, in consilium adhibita indignatione itemque necessitate, contra naturam ibat, quumque filium arripuisset (erat autem ipsi puer adhuc lactens), « infans, inquit, miselle, bello et fame et seditione « gliscentibus, cui te servavero? Apud Romanos quidem, « tametsi vivere detur, servitus nos manet: verum et « servitutem prævenit fames, et factiosi utrisque acerbio- « res sunt. Agedum, esto mihi cibus, et seditiosis furia, « atque vitæ fabula, quæ sola deest cladibus Judæorum. » Simul ac ista diceret filium jugulat: coctum deinde ipsa quidem dimidium comedit, adopertum vero reliquum servabat. Confestim vero seditiosi aderant, et nefario odore naribus hausto, eam se statim necaturos minabantur, nisi quod parasset in conspectum daret. Illa autem, quum bonam ipsis partem se reservasse dixisset, reliquias filii sui detexit. Atque horror continuo stuporque eos invasit, stabantque spectaculo attoniti. Tum illa, « meus, inquit, « vere est filius, meumque hoc facinus. Edite, nam et « ipsa comedi: nolite fieri femina molliores, aut matre « misericordiores. Quodsi religiosi estis, et ab esu victi- « mæ meæ abhorretis, ego quidem dimidium consumpsi, « reliquum perinde mihi maneat. » Post hæc illi quidem trementes abscessere, ad hoc unum pavidi et hoc genere alimenti ægre matri relicto. Mox autem eo scelere universa

τοῦ μύσους ἡ πόλις καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων, ὡς παρ' αὐτῷ καινοτομηθὲν ἔφριττεν. Σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων, πρὶν ἀκοῦσαι καὶ θεάσασθαι κακὰ τηλικαῦτα.

ε'. Ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. Τῶν δὲ οἱ μὲν ἠπίστουν, οἱ δὲ ᾤκτειραν, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν. Καῖσαρ δ' ἀπελογεῖτο καὶ περὶ τούτου τῷ Θεῷ, φάσκων « παρὰ μὲν αὐτοῦ Ἰουδαίοις εἰρήνην καὶ αὐτονομίαν προτείνεσθαι καὶ πάντων ἀμνηστίαν τῶν τετολμημένων, τοὺς δὲ ἀντὶ μὲν ὁμονοίας στάσιν, ἀντὶ δὲ εἰρήνης πόλεμον, πρὸ κόρου δὲ καὶ εὐθηνίας λιμὸν αἱρουμένους, ἰδίαις δὲ χερσὶν ἁρξαμένους καίειν τὸ συντηρούμενον ὑφ' ἡμῶν ἱερόν, αὐτοὺς εἶναι καὶ τοιαύτης τροφῆς ἀξίους. Καλύψειν μέντοι τὸ τῆς τεκνοφαγίας μύσος αὐτῷ τῷ τῆς πατρίδος πτώματι, καὶ οὐ καταλείψειν ἐπὶ τῆς οἰκουμένης ἡλίῳ καθορᾶν πόλιν, ἐν ᾗ μητέρες οὕτω τρέφονται. Προσήκειν μέντοι πρὸ μητέρων πατράσι τὴν τοιαύτην τροφήν, οἳ καὶ μετὰ τηλικαῦτα πάθη μένουσιν ἐν τοῖς ὅπλοις. » Ταῦθ' ἅμα διεξιὼν ἐνενόει καὶ τὴν ἀπόγνωσιν τῶν ἀνδρῶν· οὐ γὰρ ἂν ἔτι σωφρονῆσαι τοὺς πάντα προπεπονθότας ἐφ' οἷς εἰκὸς ἦν μεταβαλέσθαι μὴ παθοῦσιν.

ΚΕΦ. Δ'.

Ἤδη δὲ τῶν δύο ταγμάτων συντετελεκότων τὰ χώματα Λώου μηνὸς ὀγδόῃ, προσάγειν ἐκέλευσε τοὺς κριοὺς κατὰ τὴν ἑσπέριον ἐξέδραν τοῦ ἔσωθεν ἱεροῦ. Πρὸ δὲ τούτων ἓξ ἡμέραις ἀδιαλείπτως ἡ στερροτάτη πασῶν ἑλέπολις τύπτουσα τὸν τοῖχον οὐδὲν ἤνυσεν· ἀλλὰ καὶ ταύτης καὶ τῶν ἄλλων τὸ μέγεθος καὶ ἡ ἁρμονία τῶν λίθων ἦν ἀμείνων. Τῆς δὲ βορείου πύλης ὑπώρυττον ἕτεροι τοὺς θεμελίους, καὶ πολλὰ ταλαιπωρήσαντες τοὺς ἔμπροσθεν λίθους ἐξεκύλισαν. Ἀνείχετο δ' ὑπὸ τῶν ἐνδοτέρω καὶ διέμενεν ἡ πύλη, μέχρι τὰς διὰ τῶν ὀργάνων καὶ τῶν μοχλῶν ἐπιχειρήσεις ἀπογνόντες κλίμακας ταῖς στοαῖς προσέφερον. Οἱ δὲ Ἰουδαῖοι κωλῦσαι μὲν οὐκ ἔφθασαν, ἀναβᾶσι δὲ συμπεσόντες ἐμάχοντο, καὶ τοὺς μὲν ἀνωθοῦντες εἰς τοὐπίσω κατεκρήμνιζον, τοὺς δ' ὑπαντιάζοντες ἀνῄρουν. Πολλοὺς δὲ τῶν κλιμάκων ἀποβαίνοντας, πρὶν φράξασθαι τοῖς θυρεοῖς, παίοντες ταῖς ῥομφαίαις ἔφθανον· ἐνίας δὲ γεμούσας ὁπλιτῶν κλίμακας παρακλίνοντες ἄνωθεν κατέσειον. Ἦν δ' οὐκ ὀλίγος καὶ αὐτῶν φόνος. Οἱ δ' ἀνενέγκαντες τὰς σημαίας περὶ αὐτῶν ἐπολέμουν, δεινὴν ἡγούμενοι καὶ πρὸς αἰσχύνης τούτων τὴν ἁρπαγήν. Τέλος δὲ καὶ τῶν σημαιῶν οἱ Ἰουδαῖοι κρατοῦσι καὶ τοὺς ἀναβάντας διαφθείρουσιν, οἱ δὲ λοιποὶ πρὸς τὸ τῶν ἀπολωλότων πάθος ὀρρωδοῦντες ἀνεχώρουν. Τῶν μὲν οὖν Ῥωμαίων ἄπρακτος οὐδεὶς ἀπέθανε, τῶν δὲ στασιαστῶν, οἳ κατὰ τὰς προτέρας μάχας ἠγωνίσαντο γενναίως καὶ τότε, καὶ Ἐλεάζαρος ὁ ἀδελφιδοῦς τοῦ τυράννου Σίμωνος. Ὁ δὲ Καῖσαρ, ὡς ἑώρα τὴν ἐπὶ τοῖς ἀλλοτρίοις ἱεροῖς φειδὼ

civitas repleta est : et quisque facinus illud ante oculos proponens, ac si a seipso perpetratum esset, horrebat. Exinde cuncti, quos fames premebat, ad mortem properabant, et beatos illos prædicabant, qui antequam tantas calamitates aut oculis aut auditu accepissent, e vita excesserant.

5. Cito autem Romanis etiam nunciata est facti immanitas, eorumque alii fidem non habebant, alii miserabantur, multisque accidit in vehementius gentis odium ferri. Verum Cæsar hac de re semet Deo excusabat, dicens « ab ipso quidem Judæis oblatam esse pacem, et suis legibus vivendi arbitrium, et omnium quæ commiserint oblivionem : qui vero pro concordia seditionem, pro pace bellum, et pro satietate atque abundantia famem optarint, et suis manibus templum a nobis conservatum incendere cœperint, ipsos etiam hujusmodi alimentum commeritos esse. Verumtamen liberorum esus piaculum ipsa patriæ ruina operturum esse, neque soli relicturum ut in terrarum orbe civitatem inspiciat, in qua matres sic vescerentur. Ceterum patribus ante matres hujusmodi cibum deberi, qui et post tanta mala nolint arma deponere. » Simul ac ista diceret secum etiam reputabat hominum desperationem : nec enim amplius sanam mentem recepturos, qui cuncta jam perpessi sint; quæ si non passi fuissent, sententiam mutaturos esse verisimile erat.

CAP. IV. (XXII.)

Octavo autem die Loi mensis, quum duæ legiones aggeres perfecissent, exedræ orientali templi exterioris arietes admoveri jussit. Ante hos vero helepolis, omnium firmissima, sex diebus parietem sine intermissione pulsans, nihil profecerat : verum et hac et ceteris validior erat murus magnitudine et structura lapidum. Septemtrionalis autem portæ alii fundamenta suffodiebant : multumque fatigati exteriores tantum lapides vellere potuere. Ab interioribus autem portæ sustinebantur, tamque diu mansere, donec, instrumentorum et vectium moliminibus desperatis, scalas porticibus applicuere. Judæi vero id prohibere non festinabant, sed cum iis qui ascenderant congressi dimicabant : et alios quidem retro depellentes præcipitabant; alios vero obviam eis procedentes trucidabant; multosque de scalis descendentes, priusquam se scutis obtegerent, ferientes gladiis præveniebant; nonnullas etiam scalas armatorum plenas in latus declinantes desuper excutiebant. Sed non parva etiam ipsorum facta est cædes. Quin et signiferi pro signis dimicabant, rapinam eorum haud ferendam esse sibique dedecori fore existimantes. Postremo tamen Judæi et signis potiuntur, et eos qui ascenderant interficiunt; ceteri vero, clade intereuntium perterriti, discedebant. Et Romanorum quidem nemo non aliquo edito facinore cecidit : e seditiosis vero qui prioribus præliis, etiam tunc strenue pugnarunt, et præterea Eleazarus, fratris Simonis tyranni filius. Cæsar autem, quum

πρὸς βλάβης τοῖς στρατιώταις γινομένην καὶ φόνου, τὰς πύλας προσέταξεν ὑφάπτειν.

(ΚΓ'.) β'. Ἐν δὲ τούτῳ πρὸς αὐτὸν αὐτομολοῦσιν Ἀνανός τε ὁ ἀπ' Ἀμμανοῦς, τῶν Σίμωνος δορυφόρων ὁ φονικώτατος, καὶ Ἀρχέλαος υἱὸς Μαγαδάτου, συγγνώμην ἐλπίσαντες, ἐπειδὴ κρατούντων Ἰουδαίων ἀπεχώρουν. Τίτος δὲ καὶ τοῦτο πανούργημα προὐβάλλετο τῶν ἀνδρῶν, καὶ τὴν ἄλλην περὶ τοὺς Ἰουδαίους ὠμότητα πεπυσμένος ὥρμητο κτείνειν ἑκατέρους, « ὑπ' ἀνάγκης ἦχθαι λέγων αὐτοὺς, οὐκ ἐκ προαιρέσεως παρεῖναι, καὶ σωτηρίας οὐκ ἀξίους εἶναι τοὺς φλεγομένης ἤδη δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους. » Ἐκράτει δ' ὅμως τοῦ θυμοῦ ἡ πίστις, καὶ ἀφίησι τοὺς ἄνδρας, οὐ μὴν ἐν ἴσῃ μοίρᾳ κατέτασσε τοῖς ἄλλοις. Ἤδη δὲ ταῖς πύλαις οἱ στρατιῶται προσῆγον τὸ πῦρ, καὶ περιτηκόμενος ὁ ἄργυρος διεδίδου ταχέως εἰς τὴν ξυλείαν τὰς φλόγας, ἔνθεν ἀθρόως ἐκφερόμεναι τῶν στοῶν ἐπελαμβάνοντο. Τοῖς δ' Ἰουδαίοις δρῶσι τὸ πῦρ ἐν κύκλῳ μετὰ τῶν σωμάτων παρείθησαν αἱ ψυχαὶ, καὶ διὰ τὴν κατάπληξιν ἀμύνειν μὲν ἢ σβεννύειν ὥρμησεν οὐδεὶς, αὗοι δ' ἑστῶτες ἀφεώρων. Οὐ μὴν πρὸς τὸ δαπανώμενον ἀθυμοῦντες εἰς γοῦν τὸ λοιπὸν ἐσωφρόνουν, ἀλλ' ὡς ἤδη καὶ τοῦ ναοῦ καιομένου τοὺς θυμοὺς ἐπὶ Ῥωμαίους ἔθηγον. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νυκτὰ τὸ πῦρ ἐπεκράτει· κατὰ μέρος γὰρ, οὐχ ὁμοῦ πάντοθεν ἴσχυσαν ὑφάψαι τὰς στοάς.

(ΚΔ'.) γ'. Τῇ δ' ἐπιούσῃ Τίτος μέρει τῆς δυνάμεως σβεννύειν τε καὶ παρὰ τὰς πύλας ὁδοποιεῖν εἰς εὐμαρεστέραν τῶν ταγμάτων ἄνοδον κελεύσας αὐτὸς συνῆγε τοὺς ἡγεμόνας. Καὶ συνελθόντων ἓξ τῶν κορυφαιοτάτων, Τιβερίου τε Ἀλεξάνδρου τοῦ πάντων τῶν στρατευμάτων ἐπάρχοντος, καὶ Σέξτου Κερεαλίου τὸ πέμπτον ἄγοντος τάγμα, καὶ Λαρκίου Λεπίδου τὸ δέκατον, καὶ Τίτου Φρυγίου τὸ πεντεκαιδέκατον, πρὸς οἷς Φρόντων ἦν Λιτέρνιος, στρατοπεδάρχης τῶν ἀπ' Ἀλεξανδρείας δύο ταγμάτων, καὶ Μάρκος Ἀντώνιος Ἰουλιανὸς, ὁ τῆς Ἰουδαίας ἐπίτροπος, καὶ μετὰ τούτους ἐπιτρόπων καὶ χιλιαρχῶν ἀθροισθέντων, βουλὴν περὶ τοῦ ναοῦ προὐτίθει. Τοῖς μὲν οὖν ἐδόκει χρῆσθαι τῷ τοῦ πολέμου νόμῳ· μὴ γὰρ ἄν ποτε Ἰουδαίους παύσασθαι νεωτερίζοντας τοῦ ναοῦ μένοντος, ἐφ' ὃν οἱ πανταχόθεν συλλέγονται. Τινὲς δὲ παρῄνουν, « εἰ μὲν καταλίποιεν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ μηδεὶς ἐπ' αὐτοῦ τὰ ὅπλα θείη, σώζειν· εἰ δὲ πολεμοῖεν ἐπιβάντες, καταφλέγειν· φρούριον γὰρ, οὐκέτι ναὸν εἶναι. Καὶ τὸ λοιπὸν ἔσεσθαι τῶν ἀναγκασάντων τὴν ἀσέβειαν, οὐκ αὐτῶν. » Ὁ δὲ Τίτος, « οὐδ' ἂν εἰ ἐπιβάντες ἐπ' αὐτοῦ πολεμοῖεν Ἰουδαῖοι, ἔφη, ἀντὶ τῶν ἀνδρῶν ἀμύνεσθαι τὰ ἄψυχα, οὐδὲ καταφλέξειν ποτὲ τηλικοῦτον ἔργον. Ῥωμαίων γὰρ ἔσεσθαι τὴν βλάβην ὥσπερ καὶ κόσμον τῆς ἡγεμονίας αὐτοῦ μένοντος. » Θαρροῦντες δ' ἤδη προσετίθεντο τῇ γνώμῃ Φρόντων τε καὶ Ἀλέξανδρος καὶ Κερεάλιος. Τότε μὲν οὖν διαλύει τὸ συνέδριον, καὶ τὰς ἄλλας δυνάμεις διαναπαῦσαι κελεύσας τοῖς ἡγεμόσιν, ὅπως ἐρρωνίδισσετ se alieno templo parcere cum militum damno et nece, ignem portis subjici jussit.

(XXIII.) 2. Interea vero ad eum perfugiunt Ananus Ammauntinus, e Simonis satellitibus cædis avidissimus, cumque eo Archelaus filius Magadati, idcirco sperantes veniam, quod Judæos victores reliquerant. Titus autem et hac in re viros calliditatis insimulabat, reliquaque in Judæos crudelitate audita, ad utrumque interficiendum ferebatur, dicens « eos necessitate ductos, non sua voluntate adesse, minimeque salute esse dignos qui ex patria propter ipsos flagrante se proripiant. » Verumtamen iræ prævalebat fides data, virosque dimittit, sed non eo loco habendos, quo ceteros. Jam vero portis milites ignem admoverant, argentumque liquefactum flammis cito transitum aperuit in ligni materiam; unde continue delatæ porticus corripuere. Judæi autem, circumcirca igne conspecto, et animis et corporibus defecerunt, et propter perturbationem defendere aut exstinguere conatus est nemo; obstupidi vero stantes spectabant. Non tamen, quum male ipsos haberet quod absumebatur, reliquo cavebant; sed tanquam jam conflagraret templum, animos acuebant in Romanos. Et illo-quidem die ac nocte sequuta ignis grassatus est : nam per partes, non simul omnes porticus incendere valuerunt.

(XXIV.) 3. Postridie autem Titus, parte copiarum exstinguere incendium jussa, viamque ad portas parare, ut legiones expeditius ascenderent, ipse duces advocandos curabat. Quumque sex e primariis convenissent, Tiberius Alexander totius militiæ præfectus, et Sextus Cerealis quintæ legionis dux, et Larcius Lepidus decimæ, et Titus Frugi quintædecimæ; cum quibus erat etiam Liternius Fronto præfectus duarum legionum Alexandrinarum, et Marcus Antonius Julianus procurator Judææ, congregatisque præterea procuratoribus et tribunis, cum illis de templo deliberabat. Atque nonnulli quidem censebant belli jure utendum; nunquam enim Judæos res novas moliri desituros esse templo manente, quo omnes ubicunque essent se reciperent. Quidam vero monebant, « si templum relinquerent Judæi, neque armis pro eo quisquam certaret, conservandum esse; sin vero eo conscenso bellarent, comburendum : jam enim castellum, et non amplius templum esse; et deinceps piaculum non ipsos, sed qui id fieri coegerint, commissuros. » Titus vero dicebat, « etsi Judæi eo conscenso bellarent, se tamen loco virorum res inanimatas non ulturum esse, neque unquam tantum opus crematurum : Romanis enim in damnum cessurum, sicut ornamentum quoque fore imperii si maneret. » Jam certi quid vellet, ad ejus accedunt sententiam, Fronto et Alexander et Cerealis. Et tunc quidem consilium dimisit : jussisque ducibus ut ceteras copias interquiescere facerent, ut iis in procinctu validioribus ute-

μενέστερον ἐν τῇ παρατάξει χρήσαιντο, τοῖς ἀπὸ τῶν σπειρῶν ἐπιλέκτοις ὁδοποιεῖν διὰ τῶν ἐρειπίων προσέταξε καὶ τὸ πῦρ σβεννύειν·

(ΚΕ'.) δ'. Κατ' ἐκείνην μὲν δὴ τὴν ἡμέραν Ἰουδαίων κάματός τε καὶ κατάπληξις ἐκράτησε τὰς ὁρμάς· τῇ δ' ἐπιούσῃ συλλεξάμενοί τε τὴν ἰσχὺν καὶ ἀναθαρσήσαντες ἐπεχθέουσι διὰ τῆς ἀνατολικῆς πύλης τοῖς φύλαξι τοῦ ἔξωθεν ἱεροῦ περὶ δευτέραν ὥραν. Οἱ δὲ καρτερῶς μὲν ἐδέξαντο αὐτῶν τὴν ἐμβολήν, καὶ φραξάμενοι τοῖς θυρεοῖς κατὰ μέτωπον ὥσπερ τεῖχος ἐπύκνωσαν τὴν φάλαγγα, δῆλοι δὲ ἦσαν οὐκ ἐπὶ πολὺ συμμένοντες, πλήθει τε τῶν ἐκτρεχόντων καὶ θυμοῖς ἡττώμενοι. Φθάσας δὲ τῆς παρατάξεως τὴν ῥοπὴν Καῖσαρ (καθεώρα γὰρ ἀπὸ τῆς Ἀντωνίας) ἐπήμυνε μετὰ τῶν ἐπιλέκτων ἱππέων. Ἰουδαῖοι δὲ τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλὰ τῶν πρώτων πεσόντων ἐτράπησαν οἱ πολλοί. Καὶ ὑποχωροῦσι μὲν τοῖς Ῥωμαίοις ἐπιστρεφόμενοι προσέκειντο, μεταβαλλομένων δ' ἀνέφευγον πάλιν, ἕως περὶ πέμπτην τῆς ἡμέρας ὥραν οἱ μὲν βιασθέντες εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερὸν,

(ΚϚ'.) ε'. Τίτος δ' ἀνεχώρησεν εἰς τὴν Ἀντωνίαν, διεγνωκὼς τῇ ἐπιούσῃ ἡμέρᾳ ὑπὸ τὴν ἕω μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως καὶ τὸν ναὸν περικατασχεῖν. Τοῦ δὲ ἄρα κατεψηφίστο μὲν τὸ πῦρ ὁ Θεὸς πάλαι, παρῆν δ' ἡ εἱμαρμένη χρόνων περίοδος, ἡμέρᾳ δεκάτῃ Αὠου μηνὸς, καθ' ἣν καὶ τὸ πρότερον ὑπὸ τοῦ τῶν Βαβυλωνίων βασιλέως ἐνεπρήσθη. Λαμβάνουσι δ' αἱ φλόγες ἐκ τῶν οἰκείων τὴν ἀρχὴν καὶ τὴν αἰτίαν. Ὑποχωρήσαντος γὰρ τοῦ Τίτου πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταὶ πάλιν τοῖς Ῥωμαίοις ἐπιτίθενται, καὶ τῶν τοῦ ναοῦ φρουρῶν γίνεται συμβολὴ πρὸς τοὺς σβεννύντας τὸ πῦρ τοῦ ἔξωθεν ἱεροῦ· οἱ τρεψάμενοι τοὺς Ἰουδαίους μέχρι τοῦ ναοῦ παρῆλθον. Ἔνθα δή τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας οὔτε ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινι χρώμενος ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφισθεὶς δ' ὑπὸ στρατιώτου, τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ' ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἰσιτὸν ἦν ἐκ τοῦ βορείου κλίματος. Αἰρομένης δὲ τῆς φλογὸς Ἰουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες οὔτε ταμιευόμενοι τὴν ἰσχὺν, δι' ὃ καὶ φυλακτικοὶ πρότερον ἦσαν οἰχομένου.

ς'. Δραμὼν δέ τις ἀγγέλλει Τίτῳ, κἀκεῖνος (ἔτυχε δὲ κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης) ὡς εἶχεν ἀναπηδήσας, ἔθεε πρὸς τὸν ναὸν εἵρξων τὸ πῦρ· κατόπιν δὲ οἵ τε ἡγεμόνες εἵποντο πάντες καὶ πτοηθέντα τούτοις ἠκολούθει τὰ τάγματα. Βοὴ δ' ἦν καὶ θόρυβος, ἅτε τηλικαύτης δυνάμεως ἀτάκτως κεκινημένης. Ὁ μὲν οὖν Καῖσαρ τῇ τε βοῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν· οὔτε δὲ βοῶντος ἤκουον, μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι, καὶ τῷ νεύματι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν, οἱ δὲ ὀργῇ περισπώμενοι. Τῶν δὲ ταγμάτων εἰσθεόν-

rentur, lectis ex cohortibus imperavit ut per ruinas viam sternerent et ignem restinguerent.

(XXV.) 4. Et illo quidem die Judæos labor et consternatio ab impetu continuit: postridie vero collectis viribus et recepta fiducia, per orientalem portam contra templi exterioris custodes excursionem faciunt, circa horam secundam. Illi autem fortiter quidem illorum impressionem excepere, et consertis clypeis a fronte muri ad instar constiparunt phalangem: certum tamen erat eos non diu duraturos, quod et multitudine excurrentium et animis vincerentur. Cæsar autem, priusquam verteretur acies (nam pugnam ex Antonia prospectabat), cum lectis equitibus auxilio venit. Impetum vero ejus non sustinuere Judæi; sed primis interfectis, plerique in fugam se conjiciunt. Quumque Romani quidem se subducerent, iterum conversi instabant; et quum illi se retorsissent, rursus refugiebant, donec, circa horam diei quintam, Judæi quidem vi coacti se in templum interius concluserunt,

(XXVI.) 5. Titus autem discessit in Antoniam, decreto postridie mane cum omni exercitu impressionem facere, templumque circumsedere. Sed id plane Dei sententia jam dudum igni damnaverat: evolutisque temporibus aderat fatalis dies, qui erat decimus quintus Loi mensis, quo etiam prius a rege Babyloniorum fuerat incensum. Ab ipsis autem Judæis principium sumpsit causamque habuit id incendium. Nam regresso Tito, seditiosi, quum paulisper quievissent, denuo Romanos invaserunt, custodumque templi cum ignem exterioris fani restinguentibus pugna committitur, qui, Judæis in fugam versis, usque ad templum penetrarunt. Quo tempore miles quidam torre correpto, non exspectato cujusquam mandato, neque tantum facinus veritus, divino quodam impetu fretus ex ardente materia aliquid rapit, et a milite sublevatus, ignem per fenestram auream injicit, unde ad cellas circa templum ædificatas de septemtrionali regione aditus erat. Flamma igitur excitata Judæorum oritur clamor, calamitatis magnitudini par, et ad defensionem concurrebant: neque jam vitæ amplius parcendum rati, neque viribus temperandum, eo pereunte ad quod servandum antea intenti erant.

6. Quidam autem accurrit et Tito rem nunciat: et ille (forte enim in tentorio quiescebat e prælio) prosiliens quantum potuit cursum maturabat ad templum, prohibiturus incendium: a tergo autem et duces sequebantur omnes, illosque attonita comitabantur agmina. Clamor autem erat ac tumultus ut in tanto exercitu sine ordine concitato. Et Cæsar quidem et voce et manu pugnantibus significabat, ut incendium restinguerent: sed neque vox ejus audiebatur, quod aures eorum major clamor occupaverat, nec manus nutum observabant, partim pugnæ ardore, partim ira distracti. Legionum vero introcurrentium impetum neque

των οὔτε παραίνεσις οὔτε ἀπειλὴ κατεῖχε τὰς ὁρμάς, ἀλλὰ θυμὸς ἁπάντων ἐστρατήγει· καὶ περὶ τὰς εἰσόδους συνωθούμενοι, πολλοὶ μὲν ὑπ' ἀλλήλων κατεπατοῦντο, πολλοὶ δὲ θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς ἐρειπίοις τῶν στοῶν ἐμπίπτοντες ἠττωμένων συμφοραῖς ἐχρῶντο. Πλησίον δὲ τοῦ ναοῦ γινόμενοι τῶν μὲν τοῦ Καίσαρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς πρὸ αὐτῶν δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο. Τῶν δὲ στασιαστῶν ἀμηχανία μὲν ἦν ἤδη τοῦ βοηθεῖν, φόνος δὲ πανταχοῦ καὶ τροπή. Τὸ δὲ πλέον ἀπὸ τοῦ δήμου λαὸς ἀσθενὴς καὶ ἄνοπλος ὅπου καταληφθείη τις ἀπεσφάττετο, καὶ περὶ μὲν τὸν βωμὸν πλῆθος ἐσωρεύετο νεκρῶν, κατὰ δὲ τῶν τοῦ βωμοῦ βάθρων αἷμά τε ἔρρει πολὺ καὶ τὰ τῶν ἄνω φονευομένων σώματα κατωλίσθανε.

Ζ'. Καῖσαρ δὲ, ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν στρατιωτῶν κατασχεῖν οἷόστε ἦν καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ τῶν ἡγεμόνων ἔνδον ἐθεάσατο τοῦ ναοῦ τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ, πολὺ μὲν τῆς παρὰ τοῖς ἀλλοφύλοις φήμης ἀμείνω, τοῦ δὲ κόμπου καὶ τῆς παρὰ τοῖς οἰκείοις δόξης οὐκ ἐλάττω. Τῆς φλογὸς δ' οὐδέπω διικνουμένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν οἴκους νεμομένης, νομίσας, ὅπερ ἦν, ἔτι σώζεσθαι τὸ ἔργον δύνασθαι, προπηδᾷ, καὶ αὐτός τε παρακαλεῖν τοὺς στρατιώτας ἐπειρᾶτο τὸ πῦρ σβεννύειν καὶ Λιβεράλιον ἑκατοντάρχην τῶν περὶ αὐτὸν λογχοφόρων ξύλοις παίοντα τοὺς ἀπειθοῦντας ἐκέλευσεν εἴργειν. Τῶν δὲ καὶ τὴν πρὸς Καίσαρα αἰδῶ καὶ τὸν ἀπὸ τοῦ κωλύοντος φόβον ἐνίκων οἱ θυμοὶ καὶ τὸ πρὸς Ἰουδαίους μῖσος καὶ πολεμική τις ὁρμὴ λαβροτέρα· τοὺς δὲ πολλοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπὶς, δόξαν τε ἔχοντας ὡς τἄνδον ἅπαντα χρημάτων μεστὰ εἴη καὶ τὰ πέριξ ὁρῶντας χρυσοῦ πεποιημένα. Φθάνει δέ τις καὶ τῶν εἴσω παρεληλυθότων, ἐκπηδήσαντος τοῦ Καίσαρος πρὸς ἐποχὴν τῶν στρατιωτῶν, πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν τῆς πύλης ἐν σκότῳ, ἐξαπίνης τ' ἔνδοθεν ἐκφανείσης φλογὸς οἵ τε ἡγεμόνες μετὰ τοῦ Καίσαρος ἀνεχώρουν καὶ τοὺς ἔξωθεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν. Ὁ μὲν οὖν ναὸς οὕτως ἄκοντος Καίσαρος ἐμπίπραται.

(ΚΖ'.) η'. Πολλὰ δ' ἄν τις ἐπολοφυράμενος ἔργῳ πάντων ὧν ὄψει καὶ ἀκοῇ παρειλήφαμεν θαυμασιωτάτῳ κατασκευῆς τε ἕνεκα καὶ μεγέθους, ἔτι τε τῆς καθ' ἕκαστον πολυτελείας καὶ τῆς περὶ τὰ ἅγια δόξης, μεγίστην λάβοι παραμυθίαν τὴν εἱμαρμένην, ἄφυκτον οὖσαν ὥσπερ ἐμψύχοις, οὕτω καὶ ἔργοις καὶ τόποις. Θαυμάσαι δ' ἄν τις ἐν αὐτῇ τῆς περιόδου τὴν ἀκρίβειαν. Καὶ μῆνα γοῦν, ὡς ἔφην, καὶ ἡμέραν ἐπετήρησε τὴν αὐτὴν, ἐν ᾗ πρότερον ὑπὸ Βαβυλωνίων ὁ ναὸς ἐνεπρήσθη. Καὶ ἀπὸ μὲν τῆς πρώτης αὐτοῦ κτίσεως, ἣν κατεβάλετο Σολομὼν ὁ βασιλεὺς, μέχρι τῆς νῦν ἀναιρέσεως, ἣ γέγονεν ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἔτη συνάγεται χίλια ἑκατὸν τριάκοντα, πρὸς δὲ μῆνες ἑπτὰ καὶ πεντεκαίδεκα ἡμέραι· ἀπὸ δὲ τῆς ὕστερον, ἣν ἔτει δευτέρῳ Κύρου βασιλεύοντος ἐποιήσατο Ἀγγαῖος, ἔτη

admonitio neque interminatio continebat; sed quo furor duceret, omnes ferebantur: atque ad ipsos introitus coarctati, multi quidem sese invicem conculcabant, multi vero, in ardentes adhuc et fumantes porticuum ruinas incidentes, eandem cum victis calamitatem subibant. Quum vero templo appropinquarent, Titi mandata se audire dissimulabant, et præcedentem quisque ut ignem injiceret hortabatur. Seditiosis autem jam subveniendi quidem nulla spes erat, sed fuga et cædes omnia occupabat. Plures vero e plebe, populus imbellis et inermis, ubicunque deprehensi erant, interficiebantur: et circa altare quidem ingens mortuorum numerus congerebatur; per gradus vero templi et sanguis multus profluebat, et eorum corpora qui supra ceciderunt delabebantur.

7. Cæsar autem, quum impetum militum, furore quodam irruentium, reprimere non posset, atque incendium augeretur, cum ducibus ingressus, intro sacrarium templi, et quicquid in eo erat, conspexit, multo quidem fama apud alienigenas meliora, jactatione vero et opinione domestica non minora. Quum autem flamma nondum ex ulla parte ad interiora penetrasset, sed ædes, quæ in templi circuitu erant, depasceretur, ratus, id quod erat, opus adhuc conservari posse, prosilit, et ipse operam dabat ut milites ad restinguendum incendium hortaretur: et Liberalem centurionem ex stipatoribus suis fuste contumaces coercere jussit. At illorum erga Titum reverentiam metumque a prohibente incussum superabat iracundia, et Judæorum odium, et belli impetus quidam vehementior: multos vero rapinæ spes incitabat, existimantes et intus omnia pecunia referta esse, videntes in circuitu vel cuncta ex auro facta. Quidam autem miles ex his qui intraverant, quum Cæsar ad inhibendos milites cucurrisset, ignem jam portæ cardinibus in tenebris subjecerat, subitoque flamma intus emicante, et duces cum Cæsare recedebant, et eos qui extra erant nemo succendere prohibebat. Et templum quidem hoc modo exuritur, invito Cæsare.

(XXVII.) 8. Sed quamvis hoc multum quis deflendum putet, ut opus omnium quæ vidimus et audivimus maxime admirabile, tam ob structuram quam magnitudinem, itemque ob magnificentiam in singulis, et existimationem quæ de Sanctis habebatur, maximum tamen inde capiet solatium, quod fatum ut animantibus, ita operibus locisque sit ineluctabile. Est autem ut mirari quis possit in eo accuratam circumacti temporis rationem. Nam eundem, ut dictum est, mensem et diem servavit, quo prius templum a Babyloniis exustum fuerat. Et a prima quidem structione templi, quam Solomon rex inchoaverat, usque ad excidium, quod secundo imperii Vespasiani anno accidit, colliguntur anni mille centum et triginta, itemque menses septem, et dies quindecim: a posteriore autem, quam anno secundo Cyri regis Aggæus fecerat, usque ad excidium sub Vespa-

μέχρι τῆς ὑπὸ Οὐεσπασιανοῦ ἁλώσεως, τριάκοντα ἐννέα πρὸς ἑξακοσίοις καὶ ἡμέραι τεσσαράκοντα πέντε.

ΚΕΦ. Ε'.

Καιομένου δὲ τοῦ ναοῦ τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγή, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος· οὔτε δ' ἡλικίας ἦν ἔλεος οὔτ' ἐντροπὴ σεμνότητος, ἀλλὰ καὶ παιδία καὶ γέροντες καὶ βέβηλοι καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο, καὶ πᾶν γένος ἐπεξῄει περισχὼν ὁ πόλεμος, ὁμοῦ τούς τε ἱκετεύοντας καὶ τοὺς ἀμυνομένους. Συνήχει δ' ἡ φλὸξ ἐπὶ πλεῖστον ἐκφερομένη τοῖς τῶν πιπτόντων στεναγμοῖς, καὶ διὰ μὲν τὸ ὕψος τοῦ λόφου καὶ τὸ τοῦ φλεγομένου μέγεθος ἔργου πᾶσαν ἄν τις ἔδοξε καίεσθαι τὴν πόλιν, τῆς δὲ βοῆς ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν ἢ μεῖζον ἢ φοβερώτερον. Τῶν τε γὰρ Ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν συμφερομένων καὶ τῶν στασιαστῶν πυρὶ καὶ σιδήρῳ κεκυκλωμένων κραυγή, τοῦ τε ἀπολειφθέντος ἄνω λαοῦ τροπή τε μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους καὶ πρὸς τὸ πάθος οἰμωγαί· συνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου τὸ κατὰ τὴν πόλιν πλῆθος (ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι καὶ μεμυκότες, ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν ηὐτόνησαν· συνήχει δ' ἥ τε Περαία καὶ τὰ πέριξ ὄρη, βαρυτέραν ποιοῦντα τὴν ὁρμήν. Ἦν δὲ τοῦ θορύβου τὰ πάθη φοβερώτερα. Τὸν μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε βράττεσθαι, πάντοθεν τοῦ πυρὸς καταγέμοντα, δαψιλέστερον δὲ τὸ αἷμα τοῦ πυρὸς εἶναι καὶ τῶν φονευόντων πλείους τοὺς φονευομένους. Οὐδαμοῦ γὰρ ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ σωροῖς ἐπεμβαίνοντες οἱ στρατιῶται σωμάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον. Τὸ μὲν οὖν λῃστρικὸν πλῆθος ὠσάμενοι τοὺς Ῥωμαίους μόλις εἰς τὸ ἔξω διεκπίπτουσιν ἱερὸν κἀκεῖθεν εἰς τὴν πόλιν, τοῦ δημοτικοῦ δὲ τὸ λειφθὲν ἐπὶ τὴν ἔξω στοὰν κατέφυγε. (ΚΘ'.) Τῶν δ' ἱερέων τινὲς τὸ μὲν πρῶτον ἀπὸ τοῦ ναοῦ τούς τε ὀβελοὺς καὶ τὰς ἕδρας αὐτῶν μολίβδου πεποιημένας ἀνασπῶντες εἰς τοὺς Ῥωμαίους ἠφίεσαν, αὖθις δ' ὡς οὔτ' ἤνυόν τι καὶ τὸ πῦρ ἐπ' αὐτοὺς ἀνερρήγνυτο, ἐπὶ τὸν τοῖχον ἀναχωρήσαντες, ὄντα ὀκτάπηχυν τὸ εὖρος, ἔμενον. Δύο γε μὴν τῶν ἐπισήμων, παρὸν σωθῆναι πρὸς Ῥωμαίους μεταστᾶσιν, ἡ διακαρτερεῖν· πρὸς τὴν μετὰ τῶν ἄλλων τύχην, ἑαυτοὺς ἔρριψαν εἰς τὸ πῦρ, καὶ τῷ ναῷ συγκατεφλέγησαν, Μήϊρός τε υἱὸς Βελγᾶ καὶ Ἰώσηπος Δαλαίου.

β'. Ῥωμαῖοι δὲ μάταιον τὴν ἐπὶ τοῖς πέριξ φειδὼ κρίναντες τοῦ ναοῦ φλεγομένου πάντα συνεπίπρασαν, τά τε λείψανα τῶν στοῶν καὶ τὰς πύλας, πλὴν δύο, τῆς μὲν ἐκ τῶν ἀνατολικῶν, τῆς δὲ ἐκ μεσημβρίας, καὶ ταύτας ὕστερον κατέσκαψαν. Ἑξαίον δὲ καὶ τὰ γαζοφυλάκια, ἐν οἷς ἄπειρον μὲν χρημάτων πλῆθος, ἄπειροι δ' ἐσθῆτες καὶ ἄλλα κειμήλια, συνελόντι δ' εἰπεῖν, πᾶς ὁ Ἰουδαίων σεσώρευτο πλοῦτος, ἀνεσκευασμένων ἐκεῖ τῶν οἴκων τῶν εὐπόρων. Ἦκον δὲ καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ· καταφεύγει δ' ἐπ' αὐτὴν

siano, anni sexcenti undequadraginta et dies quadraginta quinque.

CAP. V. (XXVIII.)

Templo autem ardente, obvia quidem quæque rapiebantur, et cædes erat infinita deprehensorum : nec ætati ulla erat miseratio, nec gravitatis reverentia; sed et pueri et senes, et profani et sacerdotes similiter interficiebantur; atque omne genus hominum belli calamitas complexa persequebatur, etiam supplices pariter ac semet defendentes. Atque flamma longe lateque pervagata cum gemitibus occumbentium concrepabat : et ex altitudine quidem collis, ardentisque operis magnitudine, totam quis conflagrare crederet civitatem : illo autem clamore nihil majus aut horribilius excogitari potest. Nam et legionum Romanarum simul moventium læta erat conclamatio, et seditiosorum igne et ferro circumdatorum ululatus, populusque in superioribus relictus fugabatur in hostes cum consternatione, et ob calamitatem luctum edebat et lamentationem : illisque qui in colle erant clamore resonabat multitudo in urbe (jam vero multi fame languidi et ore compresso, postquam ignem templi videbant, in questus iterum et ejulatus vires receperunt); hisque resonabatur ex Peræa et montibus in circuitu, unde impetus augebatur. Hoc tamen tumultu clades erant acerbiores. Nam collem quidem, cui templum impositum, radicitus quis exuri putaret, ut qui ignis undique plenus erat : et sanguinem igne largiorem esse, pluresque interfectoribus interfectos. Nusquam enim solum præ cadaveribus videri potuit : sed milites gradientes super acervos cæsorum fugientes persequebantur. Et latronum quidem multitudo, perruptis Romanorum agminibus, vix in templum exterius evasit, atque inde in urbem : reliquiæ vero popularis turbæ in exteriorem porticum confugerunt. (XXIX.) At sacerdotum nonnulli, primum quidem templi verubus, itemque sedibus suis, quæ ex plumbo factæ erant, avulsis, in Romanos pro missilibus utebantur : deinde quum nihil proficerent, ignisque in eos erumperet, in parietem octo cubitos latum secedentes, ibi manebant. Ceterum duo ex insignibus, quum ad Romanos transeundo servari possent, aut illic permanere ejusdem cum aliis fortunæ participes, in ignem insilierunt, et una cum templo conflagrarunt, Meirus filius Belgæ et Josephus Dalæi.

2. Tum Romani circumpositis ædificiis frustra parci existimantes, ipso templo ardente, omnia simul incenderunt, et quicquid ex porticibus reliquum erat, ipsasque portas, præter duas, unam ex parte orientali, alteram ex meridiana, quas tamen postea diruerunt. Etiam gazophylacia comburebant, in quibus infinita pecuniæ vis, infinitæ etiam vestes, et alia ornamenta, atque, ut breviter dicam, omnis Judæorum congesta erat opulentia, a divitibus illic domibus exstructis. Tandem autem ventum est in eam quæ restabat porticum exterioris templi, quo confugerant ex

ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία καὶ σύμμικτος ὄχλος πλεῖστος εἰς ἑξακισχιλίους. Πρὶν δὲ Καίσαρα κρῖναί τι περὶ αὐτῶν ἢ κελεῦσαι τοὺς ἡγεμόνας, φερόμενοι τοῖς θυμοῖς οἱ στρατιῶται τὴν στοὰν ὑφάπτουσι. Καὶ συνέβη τοὺς μὲν ῥιπτοῦντας αὑτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι, τοὺς δ' ἐν αὐτῇ. Περιεσώθη δ' ἐκ τοσούτων οὐδείς. (Λ'.) Τούτοις αἴτιος τῆς ἀπωλείας ψευδοπροφήτης τις κατέστη, κατ' ἐκείνην κηρύξας τὴν ἡμέραν τοῖς ἐπὶ τῆς πόλεως ὡς ὁ Θεὸς ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύει, δεξομένους τὰ σημεῖα τῆς σωτηρίας. Πολλοὶ δ' ἦσαν ἐγκάθετοι παρὰ τῶν τυράννων τότε πρὸς τὸν δῆμον προφῆται, προσμένειν τὴν ἀπὸ τοῦ Θεοῦ βοήθειαν καταγγέλλοντες, ὡς ἧττον αὐτομολοῖεν, καὶ τοὺς ἐπάνω δέους καὶ φυλακῆς γινομένους ἐλπὶς παρακρατοίη. Πείθεται δὲ ταχέως ἄνθρωπος ἐν συμφοραῖς. Ὅταν δὲ δὴ καὶ τῶν κατεχόντων δεινῶν ἀπαλλαγὴν ὁ ἐξαπατῶν ὑπογράφῃ, τόθ' ὁ πάσχων ὅλος γίνεται τῆς ἐλπίδος.

(ΛΑ'.) γ'. Τὸν γοῦν ἄθλιον δῆμον οἱ μὲν ἀπατεῶνες καὶ καταψευδόμενοι τοῦ Θεοῦ τηνικαῦτα παρέπειθον, τοῖς δὲ ἐναργέσι καὶ προσημαίνουσι τὴν μέλλουσαν ἐρημίαν τέρασιν οὔτε προσεῖχον οὔτε ἐπίστευον, ἀλλ' ὡς ἐμβεβροντημένοι καὶ μήτ' ὄμματα μήτε ψυχὴν ἔχοντες τῶν τοῦ Θεοῦ κηρυγμάτων παρήκουσαν, τοῦτο μὲν ὅτε ὑπὲρ τὴν πόλιν ἄστρον ἔστη ῥομφαίᾳ παραπλήσιον καὶ παρατείνας ἐπ' ἐνιαυτὸν κομήτης, τοῦτο δὲ ἡνίκα πρὸ τῆς ἀποστάσεως καὶ τοῦ πρὸς τὸν πόλεμον κινήματος, ἀθροιζομένου τοῦ λαοῦ πρὸς τὴν τῶν Ἀζύμων ἑορτήν (ὀγδόη δ' ἦν Ξανθικοῦ μηνός), κατὰ νυκτὸς ἐνάτην ὥραν, τοσοῦτον φῶς περιέλαμψε τὸν βωμὸν καὶ τὸν ναὸν ὡς δοκεῖν ἡμέραν εἶναι λαμπράν, καὶ τοῦτο παρέτεινεν ἐφ' ἡμίσειαν ὥραν· ὃ τοῖς μὲν ἀπείροις ἀγαθὸν ἐδόκει, τοῖς δ' ἱερογραμματεῦσι πρὸς τῶν ἀποβεβηκότων εὐθέως ἐκρίθη. Καὶ κατὰ τὴν αὐτὴν ἑορτὴν βοῦς μὲν ἀχθεῖσα ὑπὸ τοῦ ἀρχιερέως πρὸς τὴν θυσίαν ἔτεκεν ἄρνα ἐν τῷ ἱερῷ μέσῳ, ἡ δὲ ἀνατολικὴ πύλη τοῦ ἐνδοτέρω, χαλκῆ μὲν οὖσα καὶ στιβαρωτάτη, κλειομένη δὲ περὶ δείλην μόλις ὑπ' ἀνδρῶν εἴκοσι, καὶ μοχλοῖς μὲν ἐπερειδομένη σιδηροδέτοις, καταπῆγας δ' ἔχουσα βαθυτάτους εἰς τὸν οὐδὸν ὄντα διηνεκοῦς λίθου καθιεμένους, ὤφθη κατὰ νυκτὸς ὥραν ἕκτην αὐτομάτως ἠνεῳγμένη. Δραμόντες δ' οἱ τοῦ ἱεροῦ φύλακες ἤγγειλαν τῷ στρατηγῷ, κἀκεῖνος ἀναβὰς μόλις αὐτὴν ἴσχυσε κλεῖσαι. Πάλιν τοῦτο τοῖς μὲν ἰδιώταις κάλλιστον ἐδόκει τέρας· ἀνοῖξαι γὰρ τὸν Θεὸν αὐτοῖς τὴν τῶν ἀγαθῶν πύλην· οἱ λόγιοι δὲ λυομένην αὐτομάτως τοῦ ναοῦ τὴν ἀσφάλειαν ἐνενόουν καὶ πολεμίοις δῶρον ἀνοίγεσθαι τὴν πύλην, δηλωτικόν τ' ἐρημίας ἀπέφαινον ἐν ἑαυτοῖς τὸ σημεῖον. Μετὰ δὲ τὴν ἑορτὴν ἡμέραις ὕστερον οὐ πολλαῖς, μιᾷ καὶ εἰκάδι Ἀρτεμισίου μηνός, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως. Τερατεία δ' ἂν ἔδοξεν, οἶμαι, τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασαμένοις ἱστόρητο καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν ἄξια. Πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν

populo mulierculæ et pueri et plurima multitudo promiscua, ad sex hominum millia. Sed priusquam de his Cæsar quicquam decerneret, aut ducibus imperaret, ira incitati milites porticum succendunt. Qua re fiebat ut nonnulli quidem sese e flammis præcipitantes perierint, alii vero in ipsis. Ex tanto autem numero servatus est nemo. (XXX.) His causa interitus erat falsus propheta quidam, qui illo tempore prædicaverat populo in civitate, « jubere Deum eos in templum ascendere, signa salutis accepturos. » Multi autem a tyrannis subornati erant ad populum prophetæ, denunciantes esse auxilium a Deo exspectandum, ut populus minus transfugeret, et eos, qui supra metum erant et custodes, spes retineret. Cito autem in adversis homini persuadetur : quodsi etiam a malis prementibus liberationem polliceatur qui fallit, tunc qui patitur totus spei plenus evadit.

(XXXI.) 3. Miserandam igitur plebem seductores seque a Deo missos mentientes tum suadendo decipiebant : evidentibus autem prodigiis et futuram solitudinem prænunciantibus neque advertebant animos neque credebant, sed tanquam attoniti oculisque et mente capti præconia Dei insuper habebant : primum quum supra civitatem stetit sidus simile gladio, et anni spatio ardere perseverabat cometes; deinde quum ante defectionem primosque belli motus, populo ad festum diem Azymorum congregato, die octavo mensis Xanthici, hora noctis nona, tanta lux circa altare templumque circumfusa est, ut dies clarus esse videretur, atque hoc horæ dimidiæ spatio duravit; quod ab imperitis quidem pro bono omine habebatur, sed sacrorum scribæ ea quæ post hæc evenerunt portendi statim judicarunt. In eadem quoque solemnitate vacca, quum a pontifice ad sacificium adduceretur, agnum in medio templo enixa est. Sed et janua interioris sacrarii orienti obversa, quæ tota ærea et immeusi ponderis erat, et quæ sub vesperam vix ab hominibus viginti claudebatur, et vectibus quidem ferro munitis sustentata erat, pessulos vero altissime in saxeum limen ex uno perpetuo lapide demissos habebat, visa est nocte circa horam sextam sponte patefacta. Quod templi custodes, quum ad prætorem cucurrissent, ei indicarunt : ille vero, ubi ascenderat, ægre eam claudere potuit. Id quoque rudibus quidem et indoctis signum videbatur optimum; Deum scilicet illis bonorum portam aperuisse : docti vero et eruditi securitatem templi ultro abiisse secum reputabant, et portam hostibus gratis patefactam, solitudinemque illo ostento signari inter se pronunciabant. Paucis deinde post festivitatem diebus, vicesimo primo mensis Artemisii die, prodigiosum quoddam spectrum apparuit fidem omnem superans. Ac profecto id quod dicturus sum fabula, ut opinor, esse videretur, nisi ab iis qui illud spectarunt, proditum esset, et subsequntæ clades ejusmodi signis haudquaquam impares exstitissent. Etenim ante solis occasum per universam regionem currus in aere sublimes ferri, et armatæ phalanges

ἅρματα καὶ φάλαγγες ἔνοπλοι διαττουσαι τῶν νεφῶν καὶ κυκλούμεναι τὰς πόλεις. Κατὰ δὲ τὴν ἑορτὴν, ἡ Πεντηκοστὴ καλεῖται, νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἔνδον ἱερὸν, ὥσπερ αὐτοῖς ἔθος ἦν πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἀντιλαβέσθαι ἔφασαν καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας, « μεταβαίνωμεν ἐντεῦθεν. » Τὸ δὲ τούτων φοβερώτερον· Ἰησοῦς γάρ τις υἱὸς Ἀνάνου τῶν ἰδιωτῶν ἀγροῖκος, πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου, τὰ μάλιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν εἰς τὴν ἑορτὴν, ἐν ᾗ σκηνοποιεῖσθαι πάντας ἔθος τῷ Θεῷ κατὰ τὸ ἱερὸν, ἐξαπίνης ἀναβοᾶν ἤρξατο, « φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, « φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναὸν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, « φωνὴ ἐπὶ τὸν λαὸν πάντα. » Τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ κατὰ πάντας τοὺς στενωποὺς περιῄει κεκραγώς. Τῶν δ' ἐπισήμων τινὲς δημοτῶν, ἀγανακτήσαντες πρὸς τὸ κακόφημον, συλλαμβάνουσι τὸν ἄνθρωπον καὶ πολλαῖς αἰκίζονται πληγαῖς. Ὁ δ' οὔθ' ὑπὲρ ἑαυτοῦ φθεγξάμενος οὔτ' ἰδίᾳ πρὸς τοὺς παίοντας ἃς καὶ πρότερον φωνὰς βοῶν διετέλει. Νομίσαντες δ' οἱ ἄρχοντες, ὅπερ ἦν, δαιμονιώτερον εἶναι τὸ κίνημα τοῦ ἀνδρὸς, ἀνάγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον, ἔνθα μάστιξι μέχρις ὀστέων ξαινόμενος οὔθ' ἱκέτευσεν οὔτ' ἐδάκρυσεν· ἀλλ' ὡς ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων πρὸς ἑκάστην ἀπεκρίνατο πληγὴν, « αἰαῖ Ἱεροσολύμοις. » Τοῦ δὲ Ἀλβίνου διερωτῶντος (οὗτος γὰρ ἔπαρχος ἦν) τίς εἴη καὶ πόθεν καὶ διὰ τί ταῦτα φθέγγοιτο, πρὸς ταῦτα μὲν οὐδ' ὁτιοῦν ἀπεκρίνατο· τὸν δ' ἐπὶ τῇ πόλει θρῆνον εἶρων οὐ διέλειπε, μέχρι καταγνοὺς μανίαν ὁ Ἀλβῖνος ἀπέλυσεν αὐτόν. Ὁ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον οὔτε προσῄει τινὶ τῶν πολιτῶν οὔτ' ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν ὥσπερ εὐχὴν μεμελετηκὼς, « αἰαῖ Ἱεροσολύμοις » ἐθρήνει· οὔτε δὲ τινὶ τῶν τυπτόντων αὐτὸν ὀσημέραι κατηρᾶτο οὔτε τοὺς τροφῆς μεταδιδόντας ηὐλόγει. Μία δὲ πρὸς πάντας ἦν ἡ σκυθρωπὴ κληδὼν ἀπόκρισις· μάλιστα δὲ ἐν ταῖς ἑορταῖς ἐκεκράγει, καὶ τοῦτ' ἐφ' ἑπτὰ ἔτη καὶ μῆνας πέντε εἶρων, οὔτ' ἠμβλύνθη τὴν φωνὴν οὔτε ἔκαμεν, μέχρις οὗ κατὰ τὴν πολιορκίαν ἔργα τὰς κληδόνας ἰδὼν ἀνεπαύσατο. Ἡριὼν γὰρ ἐπὶ τοῦ τείχους « αἰαῖ πάλιν τῇ πόλει καὶ τῷ λαῷ καὶ τῷ ναῷ » διαπρύσιον ἐβόα. Ὡς δὲ τελευταῖον προσέθηκεν « αἰαῖ δὲ κἀμοὶ », λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς καὶ πλήξας αὐτὸν, παραχρῆμα κτείνει· φθεγγόμενος δ' ἔτι τὰς κληδόνας ἐκείνας τὴν ψυχὴν ἀφῆκεν.

δ'. Ταῦτά τις ἐννοῶν εὑρήσει τὸν μὲν Θεὸν ἀνθρώπων κηδόμενον, καὶ παντοίως προσημαίνοντα τῷ σφετέρῳ γένει τὰ σωτήρια, τοὺς δ' ὑπ' ἀνοίας καὶ κακῶν αὐθαιρέτων ἀπολλυμένους, ὅπου γε Ἰουδαῖοι καὶ τὸ ἱερὸν μετὰ τὴν καθαίρεσιν τῆς Ἀντωνίας τετράγωνον ἐποίησαν, ἀναγεγραμμένον ἐν τοῖς λογίοις ἔχοντες ἁλώσεσθαι τὴν πόλιν καὶ τὸν ναὸν, ἐπειδὰν τὸ ἱερὸν γένηται τετράγωνον. Τὸ δὲ ἐπᾶραν αὐτοὺς μάλιστα πρὸς τὸν πόλεμον ἐνύπνιον ἦν ἀμφίσημον, ἐν τῇ αὐτῇ ἱερᾷ βουλῇ εὑρεθὲν, ὡς κρατήσουσιν ἐν τῷ καιρῷ τούτῳ τῆς οἰκουμένης οἱ ἐκ τῆς Ἰουδαίας ἀναδειχθησόμενοι. Τὸ μὲν οὖν ἀσαφὲς τοῦ χρησμοῦ τοῦτο ἦν· ἀλλ' οὐκ ἀπατᾶται τὸ θεῖον. Τὸν γὰρ ἡγεμόνα τῆς Ἰουδαίας ἐν τῷ καιρῷ τούτῳ τῆς οἰκουμένης ἀναδειχθησόμενον ἐν τοῖς ἱεροῖς ἐκείνοις ἐπιστάμενοι, ἐπὶ τὸν ἴδιον ἀνήγαγον οἶκον, καὶ τὴν ἀλήθειαν ἐν τῇ ἀπάτῃ διέφυγον. Ἦν δὲ ὁ τὴν ἀρχὴν τοῦ πολέμου καὶ τὴν ἀπόστασιν ἐκ τῆς Ἰουδαίας ἐπὶ τὴν Ῥωμαίων ἐπικράτειαν ἐπιδείξας Οὐεσπασιανὸς,

λεμον ἦν χρησμὸς ἀμφίβολος ὁμοίως ἐν τοῖς ἱεροῖς ηὑρημένος γράμμασιν, ὡς κατὰ τὸν καιρὸν ἐκεῖνον ἀπὸ τῆς χώρας τις αὐτῶν ἄρξει τῆς οἰκουμένης. Τοῦτο οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν. Ἐδήλου δ' ἄρα τὴν Οὐεσπασιανοῦ τὸ λόγιον ἡγεμονίαν, ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος. Ἀλλὰ γὰρ οὐ δυνατὸν ἀνθρώποις τὸ χρεὼν διαφυγεῖν οὐδὲ προορωμένοις. Οἱ δὲ καὶ τῶν σημείων ἃ μὲν ἐκρίναν πρὸς ἡδονὴν, ἃ δ' ἐξουθένησαν, μέχρις οὗ τῇ τε ἁλώσει τῆς πατρίδος καὶ τῷ σφῶν αὐτῶν ὀλέθρῳ διηλέγχθησαν τὴν ἄνοιαν.

ambiguum in sacris libris repertum, « illis circiter temporibus quendam ex ipsorum finibus orbis terrarum imperio potiturum. » Id enim illi quidem quasi sibi proprium acceperunt, multique sapientes interpretatione decepti sunt. Significabat nempe oraculum Vespasiani principatum, qui in Judæa declaratus est Imperator. Sed enim homines fatum vitare non possunt, etiamsi præviderint. At vero hi signorum quædam pro sua libidine interpretati sunt, atque alia pro nihilo habuerunt, donec et patriæ excidium ipsorumque exitium eorum redarguebant dementiam.

ΚΕΦ. Ϛ'.

Ῥωμαῖοι δὲ τῶν μὲν στασιαστῶν καταπεφευγότων εἰς τὴν πόλιν, καιομένου δὲ αὐτοῦ τε τοῦ ναοῦ καὶ τῶν πέριξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν καὶ θέμενοι τῆς ἀνατολικῆς πύλης ἀντικρὺς, ἔθυσάν τε αὐταῖς αὐτόθι καὶ τὸν Τίτον μετὰ μεγίστων εὐφημιῶν ἀπέφηναν αὐτοκράτορα. Ταῖς δὲ ἁρπαγαῖς οὕτως ἐνεπλήσθησαν οἱ στρατιῶται πάντες, ὥστε κατὰ τὴν Συρίαν πρὸς ἥμισυ τῆς πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι. (ΛΓ'.) Τῶν δὲ ἀνὰ τὸν ταῖχον τοῦ ναοῦ ἱερέων διακαρτερούντων, παῖς δίψῃσας ἱκέτευε τοὺς φύλακας τῶν Ῥωμαίων δοῦναι δεξιὰν αὐτῷ, καὶ τὸ δίψος ἐξωμολογεῖτο. Τῶν δὲ τῆς ἡλικίας καὶ τῆς ἀνάγκης οἴκτων λαβόντων καὶ δόντων δεξιὰς καταβὰς αὐτός τε πίνει καὶ ὁ φέρων ἦκεν ἀγγεῖον πλήσας ὕδατος ᾤχετο φεύγων ἄνω πρὸς τοὺς σφετέρους. Τῶν δὲ φυλάκων καταλαβεῖν μὲν οὐδεὶς ἴσχυσε, πρὸς δὲ τὴν ἀπιστίαν ἐβλασφήμουν. Κἀκεῖνος οὐδὲν ἔφη παραβεβηκέναι τῶν συνθηκῶν· λαβεῖν γὰρ δεξιὰν οὐ τοῦ μένειν παρ' αὐτοῖς, ἀλλὰ τοῦ καταβῆναι μόνον καὶ λαβεῖν ὕδωρ, ἅπερ ἀμφότερα πεποιηκὼς πιστὸς ἔδοξεν εἶναι. Τὸ μὲν δὴ πανούργημα διὰ τὴν ἡλικίαν μάλιστα τοῦ παιδὸς ἀπεθαύμαζον οἱ πλανηθέντες. Πέμπτῃ δ' ἡμέρᾳ λιμώττοντες οἱ ἱερεῖς καταβαίνουσι, καὶ πρὸς Τίτον ἀναχθέντες ὑπὸ τῶν φυλάκων, ἱκέτευον τυχεῖν σωτηρίας. Ὁ δὲ τὸν μὲν τῆς συγγνώμης καιρὸν αὐτοῖς παρῳχηκέναι φήσας, οἴχεσθαι δὲ δι' ὃν εὐλόγως ἂν αὐτοὺς ἔσωζε, πρέπειν δὲ τοῖς ἱερεῦσι τῷ ναῷ συναπολέσθαι, κελεύει κολάσαι τοὺς ἄνδρας.

(ΛΔ'.) β'. Οἱ δὲ περὶ τοὺς τυράννους ὡς τῷ τε πολέμῳ πανταχόθεν ἐκρατοῦντο καὶ περιτετειχισμένοις διαφυγεῖν οὐδαμόθεν ἦν, προσκαλοῦνται τὸν Τίτον εἰς λόγους. Ὁ δὲ διὰ τὸ φιλάνθρωπον φύσει τὸ γοῦν ἄστυ περισῶσαι προαιρούμενος, καὶ τῶν φίλων ἐναγόντων (ἤδη γὰρ μετριάζειν τοὺς λῃστὰς ὑπελάμβανον), ἵσταται κατὰ τὸ πρὸς δύσιν μέρος τοῦ ἔξωθεν ἱεροῦ. Ταύτῃ γὰρ ὑπὲρ τὸν ξυστὸν ἦσαν πύλαι καὶ γέφυρα συνάπτουσα τῷ ἱερῷ τὴν ἄνω πόλιν· αὕτη τότε μέση τῶν τυράννων ἦν καὶ τοῦ Καίσαρος. Τὸ δὲ πλῆθος ἑκατέροις βύζην ἐφειστήκει, Ἰουδαῖοι μὲν περὶ Σίμωνα καὶ Ἰωάννην μετέωροι συγγνώμης ἐλπίδι, Ῥωμαῖοι δὲ Καίσαρι, καραδοκοῦν-

CAP. VI. (XXXII.)

Romani autem, quum seditiosi quidem in urbem confugissent, templum vero et quæ circa templum arderent omnia, signis in templum illatis positisque contra portam orientalem, et illis ibi sacrificarunt, et Titum cum maximis acclamationibus imperatorem designarunt. Usque autem adeo rapinis impleti erant milites universi, ut in Syria pondus auri dimidio minoris quam olim venderetur. (XXXIII.) At quum sacerdotes, qui templi murum conscenderant, illic perdurarent, puer siti maceratus custodibus Romanis supplicabat ut dextra sibi daretur, sitique se laborare fatebatur. Ubi autem illi, tam ætatis quam necessitatis miserti, ei dextram dederunt, is post descensum et ipse bibit, et, lagena quam secum attulerat aqua repleta, fuga se ad suos proripiebat. Custodum autem nemo quidem eum assequi valuit, ejus vero perfidiæ maledicebant. Ille autem nihil se contra quam esset pactum fecisse, dicebat : dextram enim sibi datam, non ut apud ipsos remaneret, sed ut tantum descenderet et aquam acciperet : quæ ambo quum fecerit, in fide mansisse visus est. Astutiam quidem propter ætatem pueri admodum, qui decepti fuerant, mirabantur. Quinta vero die sacerdotes fame confecti descendunt, et a custodibus ad Titum perducti ut sibi parceretur supplicabant. Ille autem, veniæ tempus illis præteriisse, fatus, periisse vero id cujus eos gratia merito conservasset, et decere sacerdotes cum templo interire, duci homines ad supplicium jubet.

(XXXIV.) 2. At tyranni et qui cum illis erant, quoniam bello undique tenebantur, et circumdati nusquam effugere poterant, Titum ad colloquium provocant. Ille autem, quod natura factus esset ad humanitatem, adeoque urbem certe servare cuperet, amicis præterea suadentibus (latrones enim jam moderatiores esse arbitrabantur), in parte occidua templi exterioris consistit. Hic enim super Xystum erant portæ, et pons qui civitatem superiorem templo jungebat : isque tunc inter tyrannos et Cæsarem interjectus erat. Multi autem utrinque densi adstabant : Judæi quidem circa Simonem et Joannem, spe veniæ suspensi; Romani vero ad Cæsarem, exspectantes qualiter eos exciperet. Quum autem

τες αὐτῶν τὴν ἀξίωσιν. Παραγγείλας δὲ τοῖς στρατιώταις Τίτος θυμοῦ τε καὶ βελῶν μένειν ἐγκρατεῖς καὶ τὸν ἑρμηνέα παραστησάμενος, ὅπερ ἦν τεκμήριον τοῦ κρατεῖν, πρῶτος ἤρξατο λέγειν. « Ἆρά γε ἤδη κεκόρεσθε « τῶν τῆς πατρίδος κακῶν, ἄνδρες, οἱ μήτε τῆς ἡμετέ- « ρας δυνάμεως μήτε τῆς αὐτῶν ἀσθενείας ἔννοιαν λα- « βόντες, ὁρμῇ δὲ ἀσκέπτῳ καὶ μανίᾳ τόν τε δῆμον καὶ « τὴν πόλιν καὶ τὸν ναὸν ἀπολωλεκότες, ἀπολούμενοι « δὲ καὶ αὐτοὶ δικαίως, οἳ πρῶτον μὲν ἀφ' οὗ Πομ- « πήιος εἶλεν ὑμᾶς κατὰ κράτος, οὐκ ἐπαύσασθε νεω- « τεροποιίας, ἔπειτα καὶ φανερὸν ἐξηνέγκατε πρὸς Ῥω- « μαίους πόλεμον; ἆρά γε πλήθει πεποιθότες; καὶ μὴν « ἐλάχιστον ὑμῖν μέρος ἀντήρκεσε τοῦ Ῥωμαίων στρα- « τιωτικοῦ. Πίστει τοιγαροῦν συμμάχων; καὶ τί τῶν « ἔξω τῆς ἡμετέρας ἡγεμονίας ἐθνῶν ἔμελλεν αἱρήσε- « σθαι Ἰουδαίους πρὸ Ῥωμαίων; Ἀλλ' ἀλκῇ σωμάτων; « καὶ μὴν ἴστε Γερμανοὺς δουλεύοντας ἡμῖν. Ὀχυρό- « τητι δὲ τειχῶν; καὶ τί μεῖζον ὠκεανοῦ τείχους κώ- « λυμα, ὃν περιβεβλημένοι Βρεττανοὶ τὰ Ῥωμαίων « ὅπλα προσκυνοῦσι; Καρτερίᾳ ψυχῆς καὶ πανουργίᾳ « στρατηγῶν; ἀλλὰ μὴν ἤδειτε καὶ Καρχηδονίους ἁλόν- « τας. Τοιγαροῦν ὑμᾶς ἐπήγειρε κατὰ Ῥωμαίων ἡ « Ῥωμαίων φιλανθρωπία· οἳ πρῶτον μὲν ὑμῖν τήν τε « χώραν ἔδομεν νέμεσθαι καὶ βασιλεῖς ὁμοφύλους ἐπε- « στήσαμεν, ἔπειτα τοὺς πατρίους νόμους ἐτηρήσαμεν, « καὶ ζῆν οὐ μόνον καθ' ἑαυτοὺς, ἀλλὰ καὶ πρὸς τοὺς « ἄλλους ἐπετρέψαμεν ὡς ἐβούλεσθε· τὸ δὲ μέγιστον, « δασμολογεῖν τε ὑμῖν ἐπὶ τῷ Θεῷ καὶ ἀναθήματα « συλλέγειν ἐπετρέψαμεν, καὶ τοὺς ταῦτα φέροντας οὔτε « ἐνουθετήσαμεν οὔτε ἐκωλύσαμεν, ἵν' ἡμῶν γένησθε « πλουσιώτεροι πολέμιοι, καὶ παρασκευάσησθε τοῖς « ἡμετέροις χρήμασι καθ' ἡμῶν. Ἔπειτα τηλικούτων « ἀγαθῶν ἀπολαύοντες ἐπὶ τοὺς παρασχόντας ἠνέγκατε « τὸν κόρον, καὶ δίκην τῶν ἀτιθασεύτων ἑρπετῶν τοῖς « σαίνουσι τὸν ἰὸν ἐναφήκατε. Ἔστω γοῦν, κατεφρο- « νήσατε τῆς Νέρωνος ῥᾳθυμίας καὶ καθάπερ ῥήγματα « ἢ σπάσματα τὸν ἄλλον χρόνον κακοήθως ἠρεμοῦντες « ἐν τῇ μείζονι νόσῳ διεφάνητε, καὶ πρὸς ἐλπίδας « ἀναιδεῖς καὶ ἀμέτρους ἐξετείνατε τὰς ἐπιθυμίας. Ἦ- « κεν ὁ πατὴρ οὑμὸς εἰς τὴν χώραν, οὐ τιμωρησόμενος « ὑμᾶς τῶν κατὰ Κέστιον, ἀλλὰ νουθετήσων. Δέον « γοῦν, εἴπερ ἐπ' ἀναστάσει τοῦ ἔθνους παρῆν, ἐπὶ τὴν « ῥίζαν ὑμῶν δραμεῖν, καὶ ταύτην ἐκπορθεῖν τὴν πόλιν « εὐθέως, ὁ δὲ Γαλιλαίαν ἐδῄου καὶ τὰ πέριξ, ἐπιδι- « δοὺς ὑμῖν χρόνον εἰς μεταμέλειαν. Ἀλλ' ὑμῖν ἀσθένεια « τὸ φιλάνθρωπον ἐδόκει, κἀκ τῆς ἡμετέρας πραότητος « τὴν τόλμαν ἐπεθρέψατε. Νέρωνος οἰχομένου τοῦθ' « ὅπερ ἐχρῆν τοὺς πονηροτάτους ἐποιήσατε, ταῖς ἐμφυ- « λίοις ἡμῶν ταραχαῖς ἐπεθαρρήσατε, καὶ χωρισθέν- « των εἰς τὴν Αἴγυπτον ἐμοῦ τε καὶ τοῦ πατρὸς, εἰς « παρασκευὰς τοῦ πολέμου κατεχρήσασθε τοῖς καιροῖς· « καὶ οὐκ ἠδέσθητε ταράσσειν αὐτοκράτορας γεγενημέ- « νους, οὓς καὶ στρατηγοὺς φιλανθρώπους ἐπειράσατε. « Προσφυγούσης γοῦν ἡμῖν τῆς ἡγεμονίας, καὶ τῶν

Titus militibus edixisset, ut et iracundiam et sagittas continerent, et interpretem sibi adjunxisset, primus (quod victoris indicium) dicere instituit. « Jamne saturati estis « patriæ malis, o viri, quibus neque virtutis nostræ neque « infirmitatis vestræ in mentem venit, sed inconsulto im- « petu ac furore perdidistis populum et civitatem simul ac « templum, ipsi quoque juste perituri, qui primum quidem, « postquam vos Pompeius debellaverat, novas res moliri « non destitistis, ac deinde bellum apertum Romanis intuli- « stis? num multitudine freti? Atqui minima exercitus Ro- « mani pars vobis restitit. Igiturne auxiliatoribus confisi? « Quænam vero gens extra nostrum imperium Judæis præ « Romanis succurrere eligeret? An corporum robori et vi- « ribus? Atqui scitis nobis servire Germanos. An murorum « firmitati? Et quis magis quam Oceanus obsistit murus, « quo septi Britanni arma Romanorum adorant? An patien- « tiæ animi et astutiæ ducum? Atqui etiam Carthaginienses « captos esse novistis. Itaque vos contra Romanos ipsorum « excitavit humanitas; qui primum vobis et terram dedimus « possidendam, regesque gentiles imposuimus, deinde leges « servavimus patrias, et vivere vos non solum inter vos, « sed cum aliis etiam vestra voluntate concessimus : quod- « que maximum est, tributum exigere Dei nomine ac do- « naria colligere permisimus; eaque offerentes neque mo- « nuimus neque prohibuimus, ut hostes nobis efficeremini « ditiores, nostraque pecunia vosmet adversus nos compa- « raretis. Deinde, tantis bonis cumulati, satietatem in eos « qui hæc vobis præstiterant convertistis, et immitium in- « star serpentium in blandientes virus evomuistis. Esto igi- « tur, Neronis socordiam contempsistis, et, tanquam mem- « bra disrupta aut convulsa, alio tempore maligne quiescen- « tes, quum gravior ingrueret morbus, vosmet ostendistis, « et ad spes improbas etiam cupiditates immodicas explica- « stis. Veniebat pater meus in hanc regionem, non ut ob « ea quæ in Cestium admisistis pœnas exigeret, sed vos « commonefaceret. Itaque quum deberet, si evertendæ na- « tionis causa venisset, ipsam radicem petere, atque hanc « statim delere civitatem, ille Galilæam et circa eam loca « vastare maluit, ut vobis pœnitentiam agendi daret oppor- « tunitatem. Verum hæc ejus humanitas vobis infirmitas « videbatur, et ex nostra lenitate vobis crevit audacia. Ne- « rone e vita excedente, fecistis quod nequissimorum erat, « ex turbis nostris civilibus animos sumpsistis; meque ac « patre meo digressis in Ægyptum, tempus illud captastis « ad bellicos apparatus faciendos; neque vos puduit pertur- « bare principes declaratos, quos etiam duces humanissi- « mos fueratis experti. Itaque quum ad nos devolveretur « imperium, et omnes quidem in eo passim quiescerent,

« μὲν κατὰ ταύτην ἠρεμούντων πάντων, πρεσβευομέ-
« νων δὲ καὶ συνηδομένων τῶν ἔξωθεν ἐθνῶν, πάλιν οἱ
« Ἰουδαῖοι πολέμιοι· καὶ πρεσβεῖαι μὲν ὑμῶν πρὸς τοὺς
« ὑπὲρ Εὐφράτην ἐπὶ νεωτερισμῷ, περίβολοι δὲ τειχῶν
« ἀνοικοδομούμενοι καινοὶ, στάσεις δὲ καὶ τυράννων
« φιλονεικίαι, καὶ πόλεμος ἐμφύλιος, μόνα τοῖς οὕτω
« πονηροῖς πρέποντα. Ἦκον ἐπὶ τὴν πόλιν ἐγὼ, παρὰ
« τοῦ πατρὸς ἄκοντος λαβὼν σκυθρωπὰ παραγγέλματα·
« τὸν δῆμον ἀκούσας εἰρηνικὰ φρονεῖν ἤσθην. Ὑμᾶς
« παύσασθαι πρὸ πολέμου παρεκάλουν, μέχρι πολλοῦ
« πολεμούντων ἐφειδόμην, δεξιὰς αὐτομόλοις δέδωκα,
« καταφυγοῦσι πίστιν ἐτήρησα, πολλοὺς αἰχμαλώτους
« ἠλέησα, τοὺς ἐπείγοντας βασανίσας ἐκώλυσα, τείχε-
« σιν ὑμετέροις μηχανὰς ἄκων προσήγαγον, ἀεὶ φο-
« νῶντας τοὺς στρατιώτας ἐφ' ὑμῖν κατέσχον, καθ' ἑκά-
« στην νίκην ὡς ἡττώμενος ὑμᾶς εἰς εἰρήνην προὐκα-
« λεσάμην. Τοῦ ἱεροῦ πλησίον γενόμενος πάλιν ἑκὼν
« ἐξελαθόμην τῶν τοῦ πολέμου νόμων· φείσασθαι δὲ
« παρεκάλουν τῶν ἰδίων ὑμᾶς ἁγίων, καὶ σῶσαι τὸν
« ναὸν ἑαυτοῖς, διδοὺς ἄδειάν τε ἐξόδου καὶ πίστιν σω-
« τηρίας, εἰ δ' ἐβούλεσθε, καὶ μάχης καιρὸν ἐν ἄλλῳ
« τόπῳ. Πάντων ὑπερείδετε, καὶ τὸν ναὸν ἰδίαις χερσὶν
« ἐνεπρήσατε· ἔπειτα, μιαρώτατοι, προκαλεῖσθέ με
« πρὸς λόγους νῦν; ἵνα τί σώσητε τοιοῦτον οἷον ἀπόλω-
« λεν; οἵας ὑμᾶς αὐτοὺς ἀξιοῦτε μετὰ τὸν ναὸν σωτη-
« ρίας; Ἀλλὰ καὶ νῦν μετὰ τῶν ὅπλων ἑστήκατε, καὶ
« οὐδ' ἐν ἐσχάτοις ὑποκρίνεσθε γοῦν ἱκέτας. Ὦ ταλαί-
« πωροι, τίνι πεποιθότες; οὐ νεκρὸς μὲν ὑμῶν ὁ δῆμος,
« οἴχεται δὲ ὁ ναὸς, ὑπ' ἐμοὶ δὲ ἡ πόλις, ἐν χερσὶ δὲ
« ταῖς ἐμαῖς ἔχετε τὰς ψυχὰς, εἶθ' ὑπολαμβάνετε δόξαν
« ἀνδρείας τὸ δυσθανατᾶν; Οὐ μὴν ἐγὼ φιλονεικήσω πρὸς
« τὴν ἀπόνοιαν ὑμῶν· ῥίψασι δὲ τὰ ὅπλα καὶ παρα-
« δοῦσι τὰ σώματα χαρίζομαι τὸ ζῆν, ὥσπερ ἐν οἰκίᾳ
« πρᾶος δεσπότης, τὰ μὲν ἀνήκεστα κολάσας, τὰ δὲ
« λοιπὰ σώζων ἐμαυτῷ. »

(ΛΕ'.) γ'. Πρὸς δὲ ταῦτα ἀποκρίνονται δεξιὰν μὲν μὴ δύνασθαι πᾶρ' αὐτοῦ λαβεῖν, ὁμωμοκέναι γὰρ μηδέποτε τοῦτο ποιήσειν· ἔξοδον δ' ἠτοῦντο διὰ τοῦ περιτειχίσματος μετὰ γυναικῶν καὶ τέκνων· ἀπελεύσεσθαι γὰρ εἰς τὴν ἔρημον καὶ καταλείψειν αὐτῷ τὴν πόλιν. Πρὸς ταῦτα ἀγανακτήσας Τίτος, εἰ τύχην ἁλωκότων ἔχοντες αἱρέσεις αὐτῷ προτείνουσιν νενικηκότων, κηρῦξαι μὲν ἐκέλευσεν εἰς αὐτοὺς μήτε αὐτομολεῖν ἔτι, μήτε δεξιὰν ἐλπίζειν (φείσεσθαι γὰρ οὐδενός), ἀλλὰ ἁπάσῃ δυνάμει μάχεσθαι, καὶ σώζειν ἑαυτοὺς ὅπως ἂν δύναιντο· πάντα γὰρ αὐτὸς ἤδη πράξειν πολέμου νόμῳ. Τοῖς δὲ στρατιώταις ἐμπιμπράναι καὶ διαρπάζειν ἐκέλευσε τὴν πόλιν. Οἱ δ' ἐκείνην μὲν ἐπέσχον τὴν ἡμέραν, τῇ δ' ὑστεραίᾳ τό τε ἀρχεῖον καὶ τὴν Ἄκραν καὶ τὸ βουλευτήριον καὶ τὸν Ὀφλᾶν καλούμενον ὑφῆψαν, καὶ προὔκοψε τὸ πῦρ μέχρι τῶν Ἑλένης βασιλείων, ἃ δὴ κατὰ μέσην τὴν Ἄκραν ἦν. Ἐκαίοντο δ' οἵ τε στενωποὶ καὶ αἱ οἰκίαι νεκρῶν ὑπὸ τοῦ λιμοῦ διεφθαρμένων πλήρεις.

« legatos autem mittterent gratulaturenturque exteræ natio-
« nes, iterum hostes se ostendunt Judæi : et legationes
« quidem a vobis ad Transeuphratenses novarum rerum
« gratia missæ, murorum autem novi ambitus exstructi;
« seditio etiam excitata, tyrannorumque contentio, et bel-
« lum intestinum, quæ sola hujuscemodi populum scelera-
« tum decent. Ego ad civitatem veniebam, cum tristi-
« bus ab invito patre mandatis : cognitoque populum paci
« studere, lætabar. Ante bellum rogabam vos ab eo desiste-
« re, diu pugnantibus parcebam, transfugis dextram dedi,
« quumque ad me se recepissent fidem servavi, multosque
« captivos miseratus sum, cruciatibus bellum urgentes
« coercui, muris vestris machinas invitus admovebam,
« semper cædis vestræ cupidos milites continebam; quoties
« vincebam, toties vos ad pacem tanquam victus provocavi.
« Quum prope ad templum accessissem, ultro iterum legis
« belli obliviscebar; et parcere vos propriis sanctis orabam,
« templumque vobismet conservare, data exeundi copia et
« fide salutis, et, si velletis, pugnandi etiam opportunitatem
« alio in loco. Omnia insuper habuistis, et templum mani-
« bus vestris incendistis : deinde, sceleratissimi, nunc me
« ad colloquium provocatis? quidnam ut conservetis, tale
« quale periit? Qua vosmet salute dignos esse judicatis post
« templum excisum? Quin nunc etiam armati statis, nec in
« extremis supplices esse vel simulatis. O miseri, qua fidu-
« cia? nonne populus vester exstinctus est, periit templum,
« mihi subdita est civitas, in mea potestate sunt animæ
« vestræ, et tamen fortitudinis esse gloriam arbitramini,
« mori velle? Verum non ego contendam cum pertinacia
« vestra : sed projectis armis, traditisque corporibus, vitam
« vobis indulgeo, ut in domo mitis dominus, qui de insana-
« bilibus sumpto supplicio, cetera mihimet servo. »

(XXXV.) 3. Ad hæc autem illi respondent dextram ab eo se minime posse accipere, jurasse enim sese id nunquam facturos : egrediendi vero per munitiones, qua murum sepserat, cum conjugibus ac liberis facultatem petebant : ituros quippe in solitudinem ipsique urbem relicturos. Quam ob rem Titus vehementer iratus, si in sorte captorum constituti victorum ipsi conditiones ponerent, declarari quidem his jussit voce præconis ne quis amplius transfugeret, aut spem dextræ haberet (se enim parsurum esse nemini), cunctis itaque viribus dimicarent, et quantum possent saluti suæ consulerent : jam enim se omnia jure belli gesturum. Milites autem urbem incendere ac diripere jussit. Atqui illi eo quidem die nihil agebant; postridie vero archivum, et Acram, et curiam, et locum qui vocatur Ophla succenderunt; et progrediebatur ignis usque ad Helenæ regiam, quæ in media erat Acra. Incensi autem sunt angiportus et domus fame enectorum plenæ.

(ΛϚ'.) δ'. Κατὰ ταύτην τὴν ἡμέραν οἵ τε Ἰζάτου βασιλέως υἱοὶ καὶ ἀδελφοί, πρὸς οἷς πολλοὶ τῶν ἐπισήμων δημοτῶν ἐκεῖ συνελθόντες, ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς. Ὁ δὲ, καίτοι πρὸς πάντας τοὺς ὑπολοίπους διωργισμένος, οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς ἄνδρας. Καὶ τότε μὲν ἐν φρουρᾷ πάντας εἶχε, τοὺς δὲ τοῦ βασιλέως παῖδας καὶ συγγενεῖς δήσας ὕστερον εἰς Ῥώμην ἀνήγαγε, πίστιν δμήρων παρέξοντας.

ΚΕΦ. Ζ'.

Οἱ στασιασταὶ δ' ἐπὶ τὴν βασιλικὴν ὁρμήσαντες αὐλὴν, εἰς ἣν δι' ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἀπέθεντο, τούς τε Ῥωμαίους ἀπ' αὐτῆς τρέπονται, καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς ὀκτακισχιλίους καὶ τετρακοσίους, τὰ χρήματα διήρπασαν. Ἐζώγρησαν δὲ καὶ Ῥωμαίων δύο, τὸν μὲν ἱππέα, τὸν δὲ πεζόν. Καὶ τὸν μὲν πεζὸν ἀποσφάξαντες εὐθέως ἕσυραν περὶ τὴν πόλιν, ὥσπερ ἐν ἑνὶ σώματι πάντας Ῥωμαίους ἀμυνόμενοι, ὁ δὲ ἱππεὺς, ὠφελιμόν τι αὐτοῖς πρὸς σωτηρίαν ὑποθήσεσθαι λέγων, ἀνάγεται πρὸς Σίμωνα· παρ' ᾧ μηδὲν εἰπεῖν ἔχων Ἀρδάλᾳ τινὶ τῶν ἡγεμόνων παραδίδοται κολασθησόμενος. Ὁ δ' αὐτοῦ ὀπίσω τὼ χεῖρε δήσας καὶ ταινίᾳ τοὺς ὀφθαλμοὺς ἀντικρὺ τῶν Ῥωμαίων προήγαγεν ὡς καρατομήσων· φθάνει δ' ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγὼν, ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ Ἰουδαῖος. Τοῦτον διαφυγόντα ἐκ τῶν πολεμίων ἀνελεῖν μὲν οὐχ ὑπέμεινε Τίτος, ἀνάξιον δὲ Ῥωμαίων εἶναι στρατιώτην κρίνας ὅτι ζῶν ἑλήφθη, τά τε ὅπλα ἀφείλετο καὶ τοῦ τάγματος ἐξέβαλεν, ἅπερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

(ΛΗ'.) β'. Τῇ δ' ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς κάτω πόλεως τὰ μέχρι τοῦ Σιλωὰμ πάντα ἐνέπρησαν. Καὶ τοῦ μὲν ἄστεος ἥδοντο δαπανωμένου, τῶν δὲ ἁρπαγῶν διημάρτανον, ἐπειδὴ πάνθ' οἱ στασιασταὶ προκενοῦντες ἀνεχώρουν εἰς τὴν ἄνω πόλιν. Ἦν γὰρ αὐτοῖς μετάνοια μὲν οὐδεμία τῶν κακῶν, ἀλαζονεία δ' ὡς ἐπ' ἀγαθοῖς. Καιομένην γοῦν ἀφορῶντες τὴν πόλιν ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον, πεφονευμένου μὲν τοῦ δήμου, κεκαυμένου δὲ τοῦ ναοῦ, φλεγομένου δὲ τοῦ ἄστεος, μηδὲν καταλιπόντες τοῖς πολεμίοις. Οὐ μὴν ὅ γε Ἰώσηπος ἐν ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τῶν λειψάνων τῆς πόλεως ἔκαμνεν, ἀλλὰ πολλὰ μὲν πρὸς τὴν ὠμότητα καὶ τὴν ἀσέβειαν εἰπὼν, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν, οὐδὲν τοῦ χλευασθῆναι πλέον ἀπηνέγκατο. Ἐπεὶ δ' οὔτε παραδοῦναι διὰ τὸν ὅρκον ἑαυτοὺς ὑπέμενον οὔτε πολεμεῖν ἐξ ἴσου Ῥωμαίοις ἔθ' οἵοίτε ἦσαν, ὥσπερ εἰρκτῇ περιειλημμένοι, τό τε τοῦ φονεύειν ἔθος ἐκίνει τὰς δεξιὰς, σκιδνάμενοι κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως, τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομολεῖν ὡρμημένους. Ἠλίσκοντο δὲ πολλοὶ, καὶ πάντας ἀποσφάττοντες (ὑπὸ γὰρ ἐνδείας οὐδὲ φυγεῖν ἴσχυον) ἐρρίπτουν αὐτῶν κυσὶ τοὺς νεκρούς. Ἐδόκει δὲ πᾶς τρόπος

(XXXVI.) 4. Eandem circa diem Izatæ regis et filii et fratres cumque his multi nobiles indigenæ illic congregati, supplicarunt Cæsari ut dextram sibi darent. Ille vero, quamvis omnibus qui supererant valde iratus, a moribus suis non recessit, sed eos suscipit. Et tunc quidem omnes in custodia habebat : regis autem filios et propinquos postea vinctos Romam perduxit, obsidum fidem præstituros.

CAP. VII. (XXXVII.)

Seditiosi autem, facto in regiam impetu, ubi ob loci munitionem multi facultates suas deposuerant, et Romanos inde pellunt, et cœtu plebis ibi congregatæ, ad octo millia et quadringentos, omni interfecto, pecuniam diripuerunt. Vivos autem duos Romanos ceperunt, unum equitem, alterum peditem. Et peditem quidem trucidatum statim per omnem traxere civitatem, quasi in uno corpore omnes Romanos ulciscerentur. Eques vero, se aliquid illis quod saluti foret suggesturum dicens, ad Simonem deducitur : cui quum nihil haberet quod diceret, Ardalæ cuidam e ducibus traditur puniendus. Qui quum eum, revinctis post tergum manibus, oculisque fascia obstrictis, in conspectum Romanorum veluti caput cæsurus produxisset; is, dum gladium Judæus educeret, occupat fugam mature ad Romanos. Hunc ab hostibus elapsum occidere quidem non sustinuit Titus, militem vero esse ratus Romanis indignum, quia vivus fuerat captus, armis ablatis eum agmine pepulit; quæ res viro pudenti morte gravior.

(XXXVIII.) 2. Postridie autem Romani latronibus ex inferiore urbe profligatis, ad Siloam usque omnia incendêre. Et urbem quidem flammis absumi gaudebant, rapinis vero excidebant, quoniam seditiosi, exhaustis prius omnibus, in superiorem civitatem se receperant. Illos enim malorum minime pœnitebat, sed arroganter adeo se gerebant, ac si res bene cecidissent. Itaque quum urbem ardere viderent, hilari vultu mortem se exspectare dicebant, ut qui perempto populo, incenso templo, conflagrante urbe, nihil hostibus reliquerint. Non tamen Josephus in extremis cessabat eos obsecrare pro reliquiis civitatis, sed multa quidem in eorum crudelitatem atque impietatem loquutus, multis vero pro salute eos adhortatus, nihil amplius quam ut irrideretur assequutus est. Quoniam vero neque Romanis se dedere propter jusjurandum volebant, neque pugnare cum Romanis ex æquo jam poterant, arcta quippe obsidione circumdati, cædibusque insuper assuetis familiare erat dextras movere, ante urbem dispersi in ruinis transfugere cupientibus insidiabantur. Multos autem capiebant, omnesque interficientes (nam propter inediam fugere non valebant), illorum cadavera canibus projiciebant. Omne autem pereundi genus fame levius videbatur : adeo

ἀπωλείας τοῦ λιμοῦ κουφότερος, ὥστε καὶ Ῥωμαίοις ἀπηλπικότες ἤδη τὸν ἔλεον ὅμως προσέφευγον, καὶ φονεύουσι τοῖς στασιασταῖς ἑκόντες ἐνέπιπτον, τόπος τε ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ ἅπας λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως [καὶ πεπλήρωτο νεκρῶν ἡ διὰ στάσιν ἢ διὰ λιμὸν ἀπολωλότων].

(ΛΘ'.) γ'. Ἔθαλπε δὲ τούς τε τυράννους καὶ τὸ σὺν αὐτοῖς λῃστρικὸν ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς καταφεύγοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι· μετὰ δὲ τὴν παντελῆ τῆς πόλεως ἅλωσιν ἀναζευξάντων τῶν Ῥωμαίων προελθόντες ἀποδράσεσθαι ἐπεχείρουν. Τὸ δ' ἦν ἄρα ὄνειρος αὐτοῖς· οὔτε γὰρ τὸν Θεὸν οὔτε Ῥωμαίους λήσειν ἔμελλον. Τηνικαῦτά γε μὴν τοῖς ὑπογείοις πεποιθότες αὐτοὶ πλείονα τῶν Ῥωμαίων ἐνεπίμπρασαν· καὶ τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς διώρυχας ἔκτεινόν τε ἀνέδην καὶ ἐσύλων, κἂν εἴ τινος εὕροιεν τροφὴν ἁρπάζοντες, αἵματι πεφυρμένην κατέπινον. Ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς· δοκοῦσι δ' ἄν μοι μὴ φθασθέντες ὑπὸ τῆς ἁλώσεως δι' ὑπερβολὴν ὠμότητος γεύσασθαι καὶ τῶν νεκρῶν.

ΚΕΦ. Η'

Καῖσαρ δὲ, ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα χωμάτων τὴν ἄνω πόλιν περίκρημνον οὖσαν, διανέμει τοῖς ἔργοις τὴν δύναμιν Λώου μηνὸς εἰκάδι. Χαλεπὴ δ' ἦν τῆς ὕλης ἡ κομιδὴ, πάντων, ὡς ἔφην, τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν σταδίους ἐψιλωμένων εἰς τὰ πρότερον χώματα. Τῶν μὲν οὖν τεσσάρων ταγμάτων ἠγείρετο τὰ ἔργα κατὰ τὸ πρὸς δύσιν κλίμα τῆς πόλεως, ἄντικρυς τῆς βασιλικῆς αὐλῆς, τὸ δὲ συμμαχικὸν πλῆθος καὶ ὁ λοιπὸς ὄχλος κατὰ τὸν ξυστὸν [ἐξ οὗ] καὶ τὴν γέφυραν καὶ τὸν Σίμωνος πύργον, ὃν ᾠκοδόμησε πρὸς Ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον.

β'. Κατὰ ταύτας τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγεμόνες κρύφα συνελθόντες ἐβουλεύσαντο περὶ παραδόσεως σφῶν αὐτῶν, καὶ πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον ἱκέτευον δοῦναι δεξιὰν αὐτοῖς. Ὁ δὲ καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας, ἀποσπασθέντων τῶν Ἰδουμαίων, οἳ πολὺ τοῦ πολέμου μέρος ἦσαν, βραδέως μὲν, ἀλλ' οὖν κατανεύει τε σωτηρίαν αὐτοῖς καὶ τοὺς ἄνδρας ἀνέπεμψε. Παρασκευαζομένων δ' ἀποχωρεῖν αἰσθάνεται Σίμων, καὶ πέντε μὲν τοὺς ἀπελθόντας πρὸς Τίτον εὐθέως ἀναιρεῖ, τοὺς δ' ἡγεμόνας, ὧν ἐπισημότατος ἦν ὁ τοῦ Σωσᾶ Ἰάκωβος, συλλαβὼν εἴργνυσι· τὸ δὲ πλῆθος τῶν Ἰδουμαίων ἀμηχανοῦν διὰ τὴν ἀφαίρεσιν τῶν ἡγεμόνων οὐκ ἀφύλακτον εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανεν. Οὐ μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς τὰς αὐτομολίας ἴσχυον, ἀλλὰ καίτοι πλείστων φονευομένων, πολὺ πλείους οἱ διαφεύγοντες ἦσαν. Ἐδέχοντο δὲ Ῥωμαῖοι πάντας, τοῦ τε Τίτου διὰ πραότητα τῶν προτέρων ἀμελήσαντος παραγγελμάτων, καὶ αὐτοὶ κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι καὶ κέρδους ἐλπίδι. Τοὺς γὰρ δημοτικοὺς κατα-

ut ad Romanos, licet jam desperata misericordia, tamen fugerent; atque in seditiosos, a cæde non cessantes, sponte inciderent. Nullusque in urbe locus erat vacuus, sed omnis aut fame aut seditione peremptos habebat [et cadaveribus eorum oppletus erat, qui aut seditione aut alimentorum penuria perierunt].

(XXXIX.) 3. Tyrannos autem factionemque latronum, qui cum illis erant, fovebat spes ultima cuniculorum: in quos si confugerent, se non indagatum iri putabant, sed peracto excidio, post Romanorum digressum prodire et aufugere cogitabant. Id autem plane illis erat somnium: nec enim vel Deum vel Romanos fuerant latituri. Porro tunc subterraneis freti, plura quam Romani concremabant: et qui ex incendiis fugientes in fossas descenderant, eos passim necabant et spoliabant; atque cibum sicubi reperissent inter rapinas, sanguine concretum devorabant. Inter ipsos autem de rapinis jam bellum gerebatur: eosque putaverim, nisi excidio præventos, nimia crudelitate etiam mortuorum corpora fuisse degustaturos.

CAP. VIII. (XL.)

Cæsar autem, quum urbs superior, in loco præcipiti sita, sine aggeribus capi non posset, copiis opus distribuit vicesimo die mensis Loi. Erat autem materiæ advectio difficilis, omnibus, ut dictum est, circa civitatem ad stadium usque centesimum in aggerum priorum exstructionem detonsis. Et quattuor quidem legionum opera in parte civitatis occidentali ex adverso aulæ regiæ erigebantur: auxiliarium vero manus et cetera multitudo Xystum versus occupabatur, ac pontem, et Simonis turrim, quam cum Joanne bellum gerens pro castello sibi ædificaverat.

2. Iis diebus Idumæorum duces, clam congregati, consilium de sui traditione inierunt; virisque quinque ad Titum missis, ut dextram sibi daret, supplices petebant. Ille vero, tyrannos, Idumæis avulsis qui belli pars magna erant, pertinaciam abjecturos sperans, tarde quidem, verumtamen illis incolumitatem promittit, virosque remisit. Dum autem discessum pararent, rem intelligit Simon, et quinque quidem, qui ad Titum perrexerant, statim occidit, duces vero, quorum nobilissimus erat Jacobus Sosæ filius, correptos in carcerem compingit: Idumæorum autem multitudinem, quod privati essent ducibus, consilii inopem, observari jubet, et mœnia præsidiis accuratioribus muniebat. Non tamen custodes transfugientibus obstare valebant; sed quamvis plurimi necarentur, multo plures erant qui diffugerent. Omnes autem suscipiebantur a Romanis, et quod Titus lenitate sua præcepta priora insuper habuerat, et ipsi satietate lucrique spe cæde abstinebant. Nam solis plebeiis relictis, ceteram multitudi-

λιπόντες μόνους τὸν ἄλλον ὄχλον ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον, πλήθει τε τῶν πιπρασκομένων καὶ ὀλιγότητι τῶν ὠνουμένων. Καίπερ δὲ προκηρύξας μηδένα μόνον αὐτομολεῖν, ὅπως καὶ τὰς γενεὰς ἐξαγάγοιεν, ὅμως καὶ τούτους ἐδέχετο· ἐπέστησε μέντοι τοὺς διακρινοῦντας ἀπ' αὐτῶν, εἴ τις εἴη κολάσεως ἄξιος. Καὶ τῶν μὲν ἀπεμποληθέντων ἄπειρον τὸ πλῆθος ἦν, οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς διαφῆκε Καῖσαρ, ᾗ φίλον ἦν ἑκάστῳ.

(ΜΑ'.) γ'. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ τῶν ἱερέων τις Θεβουθὶ παῖς, Ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ Καίσαρος ἐφ' ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ λυχνίας δύο ταῖς κατὰ τὸν ναὸν κειμέναις παραπλησίας, τραπέζας τε καὶ κρατῆρας καὶ φιάλας, πάνθ' ὁλόχρυσα καὶ στιβαρώτατα· παραδίδωσι δὲ καὶ τὰ καταπετάσματα καὶ τὰ ἐνδύματα τῶν ἀρχιερέων σὺν τοῖς λίθοις, καὶ πολλὰ τῶν πρὸς τὰς ἱερουργίας σκευῶν ἄλλα. Συλληφθεὶς δὲ καὶ ὁ γαζοφύλαξ τοῦ ἱεροῦ Φινέας ὄνομα τούς τε χιτῶνας καὶ τὰς ζώνας ἐπέδειξε τῶν ἱερέων, πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ πρὸς τὰς χρείας ἀπέκειτο τοῦ καταπετάσματος, σὺν οἷς κιννάμωμόν τε πολὺ καὶ κασσίαν καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες ἐθυμίων ὁσημέραι τῷ Θεῷ. Παρεδόθη δὲ ὑπ' αὐτοῦ πολλὰ καὶ τῶν ἄλλων κειμηλίων, κόσμος θ' ἱερὸς οὐκ ὀλίγος, ἅπερ αὐτῷ βίᾳ ληφθέντι τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.

(ΜΒ'.) δ'. Συντετελεσμένων δ' ἤδη καὶ τῶν χωμάτων ἐδόθη Γορπιαίου μηνὸς ἐν ὀκτωκαίδεκα ἡμέραις Ῥωμαῖοι μὲν προσῆγον τὰς μηχανάς, τῶν δὲ στασιαστῶν οἱ μὲν, ἀπεγνωκότες ἤδη τὴν πόλιν, ἀνεχώρουν τοῦ τείχους εἰς τὴν Ἄκραν, οἱ δ' ἐγκατεδύοντο τοῖς ὑπονόμοις, πολλοὶ δὲ διαστάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἑλεπόλεις. Ἐκράτουν δὲ καὶ τούτων Ῥωμαῖοι πλήθει τε καὶ βίᾳ καὶ, τὸ μέγιστον, εὐθυμοῦντες ἀθύμων ἤδη καὶ παρειμένων. Ὡς δὲ περιερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων τυπτόμενοι τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν ἀμυνομένων, δέος δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρότερον τῆς ἀνάγκης· πρὶν γὰρ ὑπερβῆναι τοὺς πολεμίους, ἐνάρκων τε καὶ μετέωροι πρὸς φυγὴν ἦσαν. Ἦν δ' ἰδεῖν τοὺς πάλαι σοβαροὺς καὶ τοῖς ἀσεβήμασιν ἀλαζόνας τότε ταπεινοὺς καὶ τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίπερ ἐν πονηροτάτοις τὴν μεταβολήν. Ὥρμησαν μὲν οὖν ἐπὶ τὸ περιτείχισμα δραμόντες ὥσασθαί τε τοὺς φρουροὺς καὶ διακόψαντες ἐξελθεῖν· ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς ἑώρων οὐδαμοῦ (διέφυγον γὰρ ὅπῃ τινὶ συνεβούλευσεν ἡ ἀνάγκη), προθέοντες δὲ οἱ μὲν ὅλον ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελλον, οἱ δ' ἐμβεβληκέναι τοὺς Ῥωμαίους, οἱ δ' ἤδη πλησίον εἶναι ζητοῦντας αὐτούς, ἕτεροι δὲ καὶ ἀφορᾶν ἐπὶ τῶν πύργων πολεμίους ἔλεγον, πλάζοντος τὰς ὄψεις τοῦ δέους, ἐπὶ στόμα πεσόντες, ἀνῴμωξαν τὴν ἑαυτῶν φρενοβλάβειαν, καὶ

nem cum uxoribus et liberis, minimo quemque pretio venumdabant, ob mancipiorum magnum numerum et emptorum paucitatem. Quanquam autem voce præconis edixerat ne quis solus transfugeret, ut familias suas secum educerent, tamen hos quoque recipiebat, appositis qui ab illis separarent quotquot pœna digni viderentur. Et eorum quidem qui venditi sunt infinita erat multitudo; e plebeiis vero ultra quadraginta millia sunt conservati, quos Cæsar, prout gratum uniculque erat, dimisit.

(XLI.) 3. In iisdem diebus quidam a sacerdotibus, Thebuthi filius, nomine Jesus, jurejurando pacta sibimet a Cæsare incolumitate, ea lege ut de sacris instrumentis quædam traderet, egreditur, ac tradit ex fani pariete candelabra duo, his quæ posita erant in templo similia, mensasque et crateras et phialas, omuia ex solido auro et gravissimo facta; tradit etiam aulæa, et pontificias vestes cum lapidibus, et multa alia vasa sacro ministerio comparata tradit. Sed sacri quoque thesauri custos, nomine Phineas, comprehensus tunicas et cingula sacerdotum ostendit, multamque purpuram et coccum, quæ in aulæa adhibenda servabantur: cum quibus et multum cinnamomi erat, et cassia, et aromatum aliorum vis ingens, quæ commiscentes Deo quotidie adolebant. Traditæ sunt etiam ab eo multæ aliæ res pretiosæ, et sacra ornamenta non pauca, quæ ipsi vi capto veniam transfugis datam conciliabant.

(XLII.) 4. Jam vero die septimo mensis Gorpiæi aggeribus intra octodecim dies confectis, Romani machinas admovebant: seditiosorum autem alii, qui tum de civitate desperaverant, muris relictis in Acram recedebant; alii se in cuniculos abdebant, multi denique ordine dispositi eos arcebant qui helepoles adducebant. Hos vero multitudine ac vi superabant Romani, quodque maximum erat, læti mœstos atque jam debiles. Cum autem muri pars quædam abrupta esset, nonnullæque turres arietibus pulsatæ cessissent, statim quidem propugnatores diffugiebant, tyrannisque etiam metus incessit vehementior quam pro necessitate: nam priusquam transilirent hostes, torpore tenebantur et ad fugiendum suspensi erant. Cernere autem erat paullo ante superbos et impiis facinoribus gloriantes, ita tunc dejectos et tremebundos, ut miseranda esset, quanquam in nequissimis, tanta mutatio. Et conati quidem sunt in munitiones excursibus custodes pellere, illisque perruptis evadere: quum autem eos, quorum fideli opera prius usi fuerant, nusquam viderent (nam dispersi erant quo quenquam fugere suadebat necessitas), et præcursorum alii totum ab occidente murum subversum esse nunciarent, alii Romanos ingressos esse, alii jam in propinquo esse qui ipsos quærerent, aliique se videre hostes in turribus affirmarent, faciente metu ut errarent oculi, in faciem prolapsi vecordiam suam deplorarunt, ac veluti si succisi essent

καθάπερ ὑποκεκομμένοι τὰ νεῦρα τῆς φυγῆς ἠπόρουν. Ἔνθα δὴ μάλιστ' ἄν τις καταμάθοι τήν τε τοῦ Θεοῦ δύναμιν ἐπὶ τοῖς ἀνοσίοις καὶ τὴν Ῥωμαίων τύχην. Οἱ μὲν γὰρ τύραννοι τῆς ἀσφαλείας ἐγύμνωσαν ἑαυτοὺς κἀκ τῶν πύργων κατέβησαν ἑκόντες, ἐφ' ὧν βίᾳ μὲν οὐδέποτ' ἁλῶναι, μόνῳ δ' ἐδύναντο λιμῷ· Ῥωμαῖοι δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις τείχεσι καμόντες παρέλαβον τύχῃ τὰ μὴ δυνατὰ τοῖς ὀργάνοις· παντὸς γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς πύργοι, περὶ ὧν ἀνωτέρω δεδηλώκαμεν.

ε'. Καταλιπόντες δὴ τούτους, μᾶλλον δ' ὑπὸ τοῦ Θεοῦ καταβληθέντες ἀπ' αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν ὑπὸ Σιλωὰμ φάραγγα καταφεύγουσιν. Αὖθις δ' ὀλίγον ἀνακύψαντες ἐκ τοῦ δέους ὥρμησαν ἐπὶ τὸ τῇδε περιτείχισμα. Χρησάμενοι δὲ ταῖς τόλμαις ἀγεννεστέραις τῆς ἀνάγκης (κατεάγησαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμφοραῖς), ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται, καὶ σκεδασθέντες ἀπ' ἀλλήλων κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ τῶν τειχῶν κρατήσαντες τάς τε σημαίας ἔστησαν ἐπὶ τῶν πύργων καὶ μετὰ κρότου καὶ χαρᾶς ἐπαιάνιζον ἐπὶ τῇ νίκῃ, πολὺ τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος ηὑρηκότες. Ἀναιμωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες ἠπίστουν, καὶ μηδένα βλέποντες ἀντίπαλον ἀήθως ἠπόρηντο. Εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις τούς τε καταλαμβανομένους ἐφόνευον ἀνέδην καὶ τῶν συμφευγόντων τὰς οἰκίας αὐτάνδρους ὑπεπίμπρασαν. Πολλὰ δὲ κεραΐζοντες, ὁπότ' ἔνδον παρέλθοιεν ἐφ' ἁρπαγήν, γενεὰς ὅλας νεκρῶν κατελάμβανον, καὶ τὰ δώματια πλήρη τῶν τοῦ λιμοῦ πτωμάτων. Ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες κεναῖς χερσὶν ἐξήεσαν. Οὐ μὴν οἰκτείροντες τοὺς οὕτως ἀπολωλότας ταυτὸ καὶ πρὸς τοὺς ζῶντας ἔπασχον, ἀλλὰ τὸν ἐντυγχάνοντα διελαύνοντες ἀπέφραξαν μὲν τοὺς στενωποὺς νεκροῖς, αἵματι δ' ὅλην τὴν πόλιν κατέκλυσαν, ὡς πολλὰ τῶν φλεγομένων σβεσθῆναι τῷ φόνῳ. Καὶ οἱ μὲν κτείνοντες ἐπαύσαντο πρὸς ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ τὸ πῦρ ἐπεκράτει. Φλεγομένοις δ' ἐπανέτειλεν Ἱεροσολύμοις ἡμέρα Γορπιαίου μηνὸς ὀγδόη, πόλει τοσαύταις χρησαμένῃ συμφοραῖς κατὰ τὴν πολιορκίαν, ὅσοις ἀπὸ τῆς κτίσεως ἀγαθοῖς κεχρημένη πάντως ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξία κατ' ἄλλο τι τῶν τηλικούτων ἀτυχημάτων ἢ τὸ γενεὰν τοιαύτην ἐνεγκεῖν ὑφ' ἧς ἀνετράπη.

ΚΕΦ. Θ'.

Παρελθὼν δὲ Τίτος εἴσω τά τ' ἄλλα τῆς ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ τύραννοι κατὰ φρενοβλάβειαν ἀπέλιπον. Κατιδὼν γοῦν τό τε ναστὸν αὐτῶν ὕψος καὶ τὸ μέγεθος ἑκάστης πέτρας, τήν τε ἀκρίβειαν τῆς ἁρμονίας, καὶ ὅσοι μὲν εὖρος, ἡλίκοι δὲ ἦσαν τὴν ἀνάτασιν, « σὺν Θεῷ γ' ἐπολεμήσαμεν, ἔφη, καὶ Θεὸς ἦν ὁ τῶνδε τῶν ἑρυμάτων Ἰουδαίους καθελών, ἐπεὶ χεῖρές τε ἀνθρώπων ἢ μηχαναί τί πρὸς τούτους τοὺς πύργους δύνανται; » Τότε μὲν οὖν πολλὰ

nervi, fugere non poterant. Inde igitur maxime quis et Dei potentiam in sceleratos intelligat, et fortunam Romanorum. Nam tyranni quidem securitate semetipsos exuerunt, atque ultro e turribus descenderunt, in quibus vi quidem nunquam, sola vero fame expugnari poterant: Romani autem, qui adeo circa mœnia infirmiora laboraverant, fortuna ea ceperunt, adversus quæ nihil valebant organa; omnibus enim machinis validiores erant tres illæ turres, de quibus supra memoravimus.

5. His itaque relictis, aut magis ex illis Dei voluntate dejecti, confestim in vallem infra Siloam confugerunt. Verum quum paululum ad se ex metu rediissent, munitionem illic structam petiere. Usi autem audacia minus virili quam necessitas postulabat (jam enim vires eorum metus et calamitas fregerat), repulsi sunt a custodibus, et per diversa disjecti cuniculos subierunt. At Romani muris potiti, et signa in turribus posuere, et victoriam cum plausu et lætitia celebrabant, quod bellum multo levius sub finem quam sub initium invenerant. Itaque quum citra sanguinem in murum extremum ascendissent, supra quam cuique credibile est videbatur, neminemque sibi adversum videntes, præter morem quo se verterent dubitabant. In angustias autem vicorum strictis gladiis effusi deprehensos ad satietatem usque trucidabant; domosque totas, cum omnibus qui eo confugerant, incenderunt. Multas vero vastantes, quum prædæ causa eas penetrassent, integras defunctorum familias et tecta plena mortuis, quos fames confecerat, offendebant. Dein quum ista intuerentur, horrescentes vacuis manibus egressi sunt. Non tamen eo modo peremptos miserantes, idem etiam circa vivos patiebantur: sed unumquemque obvium transfigentes, angustias vicorum cadaveribus obstruxerunt, et totam civitatem sanguine obruerunt, ut pleraque incensorum sanguine cæsorum exstinguerentur. Et occidentes quidem ad vesperam desierunt, nocte vero ignis prævalebat. Ardentibus autem Hierosolymis illuxit dies Gorpiæi mensis octavus, urbi tot calamitates quum obsideretur expertæ, quot bonis si floruisset ex quo fuerat condita, plane invidenda ipsa esset; non tamen alia causa infelicitatibus digna, quam quod talem progeniem edidit, a qua subversa est.

CAP. IX. (XLIII.)

Ubi autem intraverat Titus, inter alia miratus est urbem ob firma opera et turres, quas per vecordiam tyranni deseruerant. Considerans igitur solidam earum altitudinem et singulorum lapidum magnitudinem, et exactissimam coagmentationem, tum qua latitudine essent, qua longitudine, « Deo, inquit, favente bellavimus, Deus est qui Ju« dæos ex istis munimentis detraxit; nam humanæ manus « et machinæ quid contra tales turres valeant? » Et tunc

τοιαῦτα διελέχθη πρὸς τοὺς φίλους, τοὺς δὲ τῶν τυράννων δεσμώτας οἱ κατελήφθησαν ἐν τοῖς φρουρίοις ἀνῆκεν. Αὖθις δὲ τὴν ἄλλην ἀφανίζων πόλιν καὶ τὰ τείχη κατασκάπτων τούτους τοὺς πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ᾗ συστρατιώτιδι χρησάμενος ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων.

(ΜΔ'.) β'. Ἐπεὶ δ' οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, πολὺ δ' ἔτι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει Καῖσαρ μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντισχόντας κτείνειν, τὸ δὲ λοιπὸν πλῆθος ζωγρεῖν. Οἱ δὲ μετὰ τῶν παρηγγελμένων τό τε γηραιὸν καὶ τοὺς ἀσθενεῖς ἀνῄρουν, τὸ δ' ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες ἐγκατέκλεισαν τῷ τῶν γυναικῶν περιτειχίσματι· καὶ φρουρὸν μὲν ἐπέστησε Καῖσαρ ἕνα τῶν ἀπελευθέρων, Φρόντωνα δὲ τῶν φίλων, ἐπικρινοῦντα τὴν ἀξίαν ἑκάστῳ τύχην. Ὁ δὲ τοὺς μὲν στασιώδεις καὶ ληστρικοὺς πάντας ὑπ' ἀλλήλων ἐνδεικνυμένους ἀπέκτεινε, τῶν δὲ νέων τοὺς ὑψηλοτάτους καὶ καλοὺς ἐπιλέξας ἐτήρει τῷ θριάμβῳ. Τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ἑπτακαίδεκα ἔτη δήσας ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον ἔργα, πλείστους δ' εἰς τὰς ἐπαρχίας διεδωρήσατο Τίτος, φθαρησομένους ἐν τοῖς θεάτροις σιδήρῳ καὶ θηρίοις. Οἱ δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν ἐπράθησαν. Ἐφθάρησαν δ' αὐτῶν ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις ὑπ' ἐνδείας χίλιοι πρὸς τοῖς μυρίοις, οἱ μὲν ὑπὸ μίσους τῶν φυλάκων μὴ μεταλαμβάνοντες τροφῆς, οἱ δ' οὐ προσιέμενοι διδομένην. Πρὸς δὲ τὸ πλῆθος ἦν ἔνδεια καὶ σίτου.

(ΜΕ'.) γ'. Τῶν μὲν οὖν αἰχμαλώτων πάντων, ὅσα καθ' ὅλον ἑλήφθη τὸν πόλεμον, ἀριθμὸς ἐννέα μυριάδες καὶ ἑπτακισχίλιοι συνήχθη, τῶν δ' ἀπολομένων κατὰ πᾶσαν τὴν πολιορκίαν μυριάδες ἑκατὸν καὶ δέκα. Τούτων τὸ πλέον ὁμόφυλον μέν, ἀλλ' οὐκ ἐπιχώριον. Ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν Ἀζύμων ἑορτὴν συνελη-λυθότες ἐξαπίνης τῷ πολέμῳ περιεσχέθησαν, ὥστε τὸ μὲν πρῶτον αὐτοῖς τὴν στενοχωρίαν γενέσθαι λοιμώδη φθοράν, αὖθις δὲ καὶ λιμὸν ὠκύτερον. Ὅτι δ' ἐχώρει τοσούτους ἡ πόλις δῆλον ἐκ τῶν ἐπὶ Κεστίου συναριθμηθέντων, ὃς τὴν ἀκμὴν τῆς πόλεως διαδηλῶσαι Νέρωνι βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους παρεκάλεσε τοὺς ἀρχιερεῖς, εἴ πως δυνατὸν εἴη τὴν πληθὺν ἐξαριθμήσασθαι. Οἱ δ' ἐνστάσης τῆς ἑορτῆς (Πάσχα καλεῖται) καθ' ἣν θύουσι μὲν ἀπὸ τῆς ἐνάτης ὥρας μέχρι ἑνδεκάτης, ὥσπερ δὲ φρατρία περὶ ἑκάστην γίνεται θυσίαν, οὐκ ἔλασσον ἀνδρῶν δέκα (μόνον γὰρ οὐκ ἔξεστι δαίνυσθαι, πολλοὶ δὲ καὶ σὺν εἴκοσιν ἀθροίζονται), τῶν μὲν θυμάτων εἴκοσι πέντε μυριάδας ἠρίθμησαν, πρὸς δὲ ἑξακισχίλια καὶ πεντακόσια. Γίνονται δ' ἀνδρῶν, ἵν' ἑκάστου δέκα δαιτυμόνας θῶμεν, μυριάδες ἑβδομήκοντα καὶ διακόσιαι, καθαρῶν ἁπάντων καὶ ἁγίων· οὔτε γὰρ λεπροῖς οὔτε γονορροίοις οὔτε γυναιξὶν ἐπ' ἐμμήνοις οὔτε τοῖς ἄλλως μεμιασμένοις ἐξῆν τῆσδε τῆς θυσίας μεταλαμβάνειν, ἀλλ' οὐδὲ τοῖς ἀλλοφύλοις, ὅσοι κατὰ θρησκείαν παρῆσαν.

quidem multa ejusmodi quum amicis collocutus est: vinctos vero a tyrannis in castellis relictos solvit. Quum autem rursus ac urbem reliquam delendam se converteret et mœnia destrueret, eas turres monumentum reliquit fortunæ suæ, qua commilitante iis potitus est quæ expugnari non poterant.

(XLIV.) 2. Quandoquidem autem milites cædibus quidem defatigati erant, ingens vero multitudo superesse visa est, eos solos qui in armis essent manibusque resisterent occidi jubet Cæsar, reliquam vero multitudinem vivam capi. Illi autem, cum his, quos interficere jussi erant, etiam senes ac debiles trucidabant; at ætate florentes ac usui idoneos, in templum compulsos, in destinatum mulieribus ambitum incluserunt: et custodem quidem his apposuit Cæsar unum ex libertis, Frontonem vero ex amicis, qui fortunam quam quisque meritus esset decerneret. Ille vero seditiosos omnes atque latrones, mutuo indicio damnatos, occidit: juvenes autem lectos, qui proceritate et forma cæteris præstarent, triumpho servabat. Ex reliqua autem multitudine annis septemdecim majores vinctos ad metalla exercenda in Ægyptum misit; plurimos etiam per provincias distribuit Titus, in theatris ferro et bestiis consumendos. Quicunque vero infra septem decimum annum erant, venditi sunt. Iis autem diebus, dum a Frontone secernebantur, ex inedia perierunt undecim millia, partim ex custodum in illos odio nihil habentes quod comedant, partim accipere recusantes quod datum erat. Præ multitudine autem era frumenti etiam penuria.

(XLV.) 3. Et captivorum quidem omnium, qui totius belli tempore capti sunt, numerus erat ad nonaginta septem millia: totius autem obsidionis tempore undecies centena millia perierunt. Horum major pars ejusdem quidem gentis erat, non vero ejusdem regionis. Nam qui e tota regione ad Azymorum festum convenerant, derepente bello circumdati erant: adeo ut primo quidem ex loci angustia in illos invaderet pestis, ac deinde citius fames. Quod autem tantam multitudinem caperet civitas, manifestum ex illis qui sub Cestio fuerant enumerati: is enim integræ ætatis viros in civitate Neroni, gentem contemnenti, significare cupiens, a pontificibus petiit ut, si quo modo possent, multitudinem numerarent. Illi autem, quum festum adesset (Pascha vocatur) in quo a nona quidem hora usque ad undecimam hostias mactant, ut vero sodalitas circa unamquamque victimam habebatur, ex hominibus nunquam paucioribus decem (solum enim epulari non licet, sed sæpe etiam viginti conveniunt), hostiarum quidem ducenta et quinquaginta sex millia et quingentas numeravere. Virorum autem erant purorum et mundorum, ut denos epulatores singulis victimis demus, vicies septies centena millia: nec enim leprosis, nec quibus genitura flueret, nec menstruis mulieribus, neque alio modo inquinatis licebat de sacris istis participare, sed ne alienigenis quidem, qui religionis ergo eo venerant.

(ΜϚ'.) ὅ. Πολὺ δὲ τοῦτο πλῆθος ἔξωθεν συλλέγεται· τότε γε μὴν ὥσπερ εἰς εἱρκτὴν ὑπὸ τῆς εἱμαρμένης πᾶν συνεκλείσθη τὸ ἔθνος, καὶ ναστὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκυκλώσατο. Πᾶσαν γοῦν ἀνθρωπίνην καὶ δαιμόνιον φθορὰν ὑπερβάλλει τὸ πλῆθος τῶν ἀπολωλότων. Ἐπὶ γοῦν τῶν φανερῶν οὓς μὲν ἀνεῖλον, οὓς δ' ἡχμαλωτίσαντο Ῥωμαῖοι, οὓς δ' ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ τοὔδαφος ἀναρρηγνύντες ὅσοις μὲν ἐνετύγχανον ἔκτεινον. Ηὑρέθησαν δὲ κἀκεῖ νεκροὶ πλείους δισχιλίων, οἱ μὲν ὑπὸ σφῶν αὐτῶν, οἱ δ' ὑπ' ἀλλήλων, τὸ πλέον δ' ὑπὸ τοῦ λιμοῦ διεφθαρμένοι. Δεινὴ δ' ὑπῆντα τοῖς ἐπεισπίπτουσιν ὀδμὴ τῶν σωμάτων, ὡς πολλοὺς μὲν ἀναχωρεῖν εὐθέως, τοὺς δὲ ὑπὸ πλεονεξίας εἰσδύεσθαι, νεκροὺς σεσωρευμένους ἐμπατοῦντας. Πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν ηὑρίσκετο, καὶ πᾶσαν θεμιτὴν τὴν ὁδὸν ἐποίει τὸ κέρδος. Ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ τῶν τυράννων· οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐπαύσαντο τῆς ὠμότητος. Ἀπετίσατό γε μὴν ὁ Θεὸς ἀμφοτέρους ἀξίως. Καὶ Ἰωάννης μὲν λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπονόμοις, ἣν πολλάκις ὑπερηφάνησε δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἱκέτευσε, Σίμων δὲ πολλὰ διαμαχήσας πρὸς τὴν ἀνάγκην, ὡς διὰ τῶν ἑξῆς δηλώσομεν, ἑαυτὸν παραδίδωσιν. Ἐφυλάχθη δ' ὁ μὲν τῷ θριάμβῳ σφάγιον, ὁ δ' Ἰωάννης δεσμοῖς αἰωνίοις. Ῥωμαῖοι δὲ τάς τε ἐσχατιὰς τοῦ ἄστεος ἐνέπρησαν καὶ τὰ τείχη κατέσκαψαν.

ΚΕΦ. Ι'.

Ἑάλω μὲν οὕτως Ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, Γορπιαίου μηνὸς ὀγδόῃ. Ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεὺς καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήιος, καὶ ἐπὶ τούτοις σὺν Ἡρῴδῃ Σόσσιος ἑλόντες ἐτήρησαν τὴν πολιν· πρὸ δὲ τούτων ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτὴν μετὰ ἔτη τῆς κτίσεως χίλια τετρακόσια ἑξήκοντα ὀκτὼ καὶ μῆνας ἕξ. Ὁ δὲ πρῶτος κτίσας ἦν Χαναναίων δυνάστης, ὁ τῇ πατρίῳ γλώσσῃ κληθεὶς βασιλεὺς δίκαιος· ἦν γὰρ δὴ τοιοῦτος· διὰ τοῦτο ἱεράσατό τε τῷ Θεῷ πρῶτος καὶ τὸ ἱερὸν πρῶτος δειμάμενος Ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσε, Σόλυμα καλουμένην πρότερον. Τὸν μὲν δὴ τῶν Χαναναίων λαὸν ἐκβαλὼν ὁ τῶν Ἰουδαίων βασιλεὺς Δαυίδης κατοικίζει τὸν ἴδιον, καὶ μετ' αὐτὸν ἔτεσι τετρακοσίοις ἑβδομήκοντα καὶ ἑπτὰ, μησὶν ἕξ, ὑπὸ Βαβυλωνίων κατασκάπτεται. Ἀπὸ δὲ Δαυίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν Ἰουδαῖος μέχρι τῆς ὑπὸ Τίτου γενομένης κατασκαφῆς, ἔτη χίλια καὶ ἑκατὸν ἑβδομήκοντα ἐννέα. Ἀπὸ δὲ τῆς πρώτης κτίσεως ἔτη μέχρι τῆς ἐσχάτης ἁλώσεως δισχίλια ἑκατὸν, ἑβδομήκοντα καὶ ἑπτά. Ἀλλὰ γὰρ οὔθ' ἡ ἀρχαιότης οὔθ' ὁ βαθὺς πλοῦτος οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης ἔθνος οὔθ' ἡ μεγάλη δόξα τῆς θρησκείας ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῆ.

(XLVI.) 4. Ingens autem hæc multitudo aliis e locis congregata erat: verum tunc quasi in carcerem tota gens fato conclusa erat, et urbem viris refertam circumvallaverat bellum. Itaque omnem humanam et a Deo immissam pestem superat numerus peremptorum. Nam ex manifestis alios quidem occidêre, alios vero cepere Romani, alios etiam in cuniculis indagabant, perruptoque solo obvios quosque trucidarunt. Sed et ibi mortuorum ultra duo millia sunt reperti, quorum alii quidem manu sua, alii vero mutuis vulneribus, pluresque fame perempti erant. Teter autem cadaverum fœtor introeuntibus occurrebat, ut statim quidem multi recederent, alii vero præ avaritia subirent, mortuorum cumulos calcantes. Nam in iis cavernis multæ res pretiosæ reperiebantur, atque omnis lucri captandi via honesta habebatur. Multi etiam educebantur et dimittebantur, quos tyranni captivos tenuerant: non enim hi vel in extremis aliquid de crudelitate remiserunt. Ceterum utrumque prout meruerunt ultus est Deus. Et Joannes quidem, cum fratribus in cavernis esuriens, dextram, quam sæpe despexerat, a Romanis supplex petiit: Simon vero, multa vi cum necessitate luctatus, sicut infra declarabimus, semet tradidit. Servatus est alter quidem triumpho in cædem, Joannes autem vinculis sempiternis. Romani vero extremas urbis partes incenderunt, et mœnia funditus everterunt.

CAP. X. (XLVII.)

Ita capta sunt Hierosolyma secundo anno principatus Vespasiani, Gorpiæi mensis die octavo. Quinquies autem prius capta, tunc altera vice vastata erant. Nam Ægyptiorum quidem rex Asochæus, et post eum Antiochus, deinde Pompeius, et post hos cum Herode Sossius captam urbem servavere: ante hos vero rex Babyloniorum expugnatam ad vastitatem redegit, post annos ab illius conditu mille quadringentos sexaginta octo atque menses sex. Primus autem conditor ejus erat Chananæorum dynasta, qui patria lingua appellatus est Rex justus: nam erat profecto talis; propterea que primus sacerdos erat Deo, quumque templum primus ædificasset, civitatem Hierosolyma appellavit, quæ antea Solyma vocabatur. Ac Judæorum quidem rex Davides, populo Chananæorum inde ejecto, suo eam incolendam dedit: atque anno post ipsum quadringentesimo sexagesimo septimo cum sex mensibus a Babyloniis eversa est. A rege autem Davide, qui primus Judæorum in ea regnavit, usque ad eversionem a Tito factam, anni mille centum septuaginta et novem. A primo autem illius conditu usque ad extremum excidium, anni bis mille centum et septuaginta septem. Sed enim neque antiquitas, neque profundæ divitiæ, neque gentis fama per universum terrarum orbem diffusa, neque magna religionis gloria quidquam juvit quo-

Τοιοῦτον μὲν δὴ τὸ τέλος τῆς Ἱεροσολύμων πολιορκίας.

minus periret. Talis igitur erat finis obsidionis Hierosolymorum.

ΛΟΓΟΣ Ζ.

α'. Ὅπως, πάντων Ἰουδαίων φονευθέντων ἢ καὶ ληφθέντων, τὰ μὲν ἄλλα Ῥωμαῖοι κατέσκαψαν, κατέλιπον δὲ πύργους τέ τινας καὶ μοῖραν τοῦ τείχους πρὸς ἐπίδειξιν τοῦ προτέρου κάλλους τοῖς μετ' ἔπειτα.

β'. Δημηγορία Τίτου Καίσαρος πρὸς τοὺς στρατιώτας, ὑπερεπαινοῦντος αὐτούς.

γ'. Ὅπως ἀξίως ἕκαστον αὐτῶν ἐτίμησεν, ἄθλα καὶ γέρα διανείμας αὐτοῖς.

δ'. Ὅπως διαθεὶς καλῶς τοῖς τάγμασιν εἰς Καισάρειαν ἀφικνεῖται, κἀκεῖ τὴν πᾶσαν τοῦ πολέμου λείαν ἐναπέθετο.

ε'. Περὶ Οὐεσπασιανοῦ Καίσαρος, ὅπως ἀπ' Ἀλεξανδρείας τὴν ἐπὶ Ῥώμην πορείαν ἐποιήσατο.

ς'. Ὅπως Τίτος εἰς τὴν Φιλίππου καταβὰς Καισάρειαν καὶ θεωρίας ἐπιτελῶν πολλοὺς τῶν αἰχμαλώτων ἐν αὐταῖς ἀπέκτεινεν.

ζ'. Περὶ Σίμωνος τοῦ τυράννου, ὅπως ἑάλω καὶ εἰς τὸν θρίαμβον Ῥώμης ἐτηρήθη.

η'. Ὅπως Τίτος τὴν γενέθλιον ἡμέραν τἀδελφοῦ καὶ πατρὸς ἄγων πολλοὺς τῶν Ἰουδαίων ἀνάλωσεν.

θ'. Περὶ τῶν ἐν Ἀντιοχείᾳ κινδυνευσάντων Ἰουδαίων, ἀπὸ τῆς τοῦ Ἰουδαίου Ἀντιόχου παραβάσεώς τε καὶ ἀσεβείας.

ι'. Ὅπως ἀπεδέξαντο οἱ ἐν ταῖς ἄλλαις τε πόλεσι καὶ ἐν τῇ Ῥώμῃ τὸν Οὐεσπασιανόν.

ια'. Ὅπως ἀποστάντες Γερμανοὶ Ῥωμαίων αὖθις ὑπετάγησαν.

ιβ'. Ὅπως οἱ Σαρμάται καταδραμόντες Μυσίαν δίκην τε ἔδοσαν καὶ ἠναγκάσθησαν πολλοὺς καταλιπόντες εἰς τὰ ἴδια ὑποστρέψαι.

ιγ'. Ὅπως ἀπὸ Βηρυτοῦ Τίτος ὑποστρέφων πολλοὺς Ἰουδαίους ἐν ταῖς θεωρίαις ἀνῄρει· ἐν ᾧ περὶ τοῦ λεγομένου Σαββατικοῦ ποταμοῦ παράδοξον.

ιδ'. Ὅπως Ἀντιοχεῖς κατὰ Ἰουδαίων προσελθόντες Τίτῳ παρηκούσθησαν.

ιε'. Ὡς ἐπαναστρέφων εἰς Ἱεροσόλυμα Τίτος ᾤκτειρε τῆς ἐρημίας τὴν πόλιν· καὶ εἰς Ἀλεξάνδρειαν παραγενόμενος ἐκεῖθεν εἰς Ῥώμην κατέπλευσεν.

ις'. Ὅπως εἰς Ἰταλίαν κατέπλευσε καὶ ὡς ἐδέχθη τε καὶ ἐπόμπευσε, τῶν δύο Καισάρων ὁμοῦ θριαμβευσάντων.

ιζ'. Ἔκφρασις τοῦ θριάμβου καὶ τῶν ἐν αὐτῷ λαφύρων, ὅσα τε καὶ ὁποῖα ἦσαν.

ιη'. Περὶ τῆς ἀναιρέσεως τοῦ τυράννου Σίμωνος ἐν τῷ θριάμβῳ γεγονυίας.

ιθ'. Ὡς μετὰ τὸν θρίαμβον τέμενος εἰρήνης Οὐεσπασιανὸς κατασκευάσας, ἐν αὐτῷ πάντα τὰ τοῦ πολέμου ἀνέθηκε λάφυρα.

κ'. Ὅπως Βάσσος εἰς Ἰουδαίαν ἀφικόμενος, καὶ τὸ φρούριον τὸ ἐν Ἡρωδείῳ προσαγαγόμενος, ἐπεχείρησε καὶ τὸ ἐν Μαχαιροῦντι παραστήσασθαι.

κα'. Περὶ τῆς θέσεως Μαχαιροῦντος.

κβ'. Περὶ τοῦ ἐν τοῖς βασιλείοις Μαχαιροῦντος φυέντος πηγάνου.

κγ'. Περὶ τῆς ἑτέρας βοτάνης παράδοξον.

κδ'. Περὶ τῶν αὐτόθι θερμῶν ὑδάτων.

κε'. Ὅπως Βάσσος τύχῃ τινὶ παραδόξῳ διὰ τὴν Ἐλεαζάρου κατάσχεσιν ὀχυρωράτην οὖσαν τὴν πόλιν ῥᾳδίως παρέλαβεν.

κς'. Ὅπως καὶ τοὺς συμφυγόντας ἐπὶ τὸν Ἰάρδην καλούμενον δρυμὸν καταπολεμήσας, πάντας ἀπέκτεινεν.

κζ'. Ὅπως Καῖσαρ ἐπέστειλε Βάσσῳ καὶ Λιβερίῳ τὴν γῆν Ἰουδαίων πᾶσαν ἀποδόσθαι καὶ τοὺς ἀπανταχοῦ Ἰουδαίους φόρον τελεῖν εἰς τὸ Καπιτώλιον δύο δραχμὰς ἕκαστον, ὥσπερ πρότερον εἰς τὸν ναὸν συνετέλουν.

LIBER VII.

1. Quomodo, Judæis omnibus occisis aut etiam captis, cetera quidem Romani diruerunt, turres vero nonnullas et muri partem reliquerunt, ut seris posteris ostenderetur prior urbis pulchritudo.
2. Titi Cæsaris ad milites oratio, qua ipsos miris laudibus extollit.
3. Quomodo eorum singulos pro merito cohonestavit præmiis et muneribus.
4. Quomodo legionibus bene remuneratis Cæsaream venit, et illic omnes belli manubias reposuit.
5. De Vespasiano Cæsare, quomodo ab Alexandria profectus Romam iter fecit.
6. Quomodo Titus, quum Cæsaream Philippi descendisset et spectacula celebraret, magnam captivorum multitudinem in illis interfecit.
7. De Simone tyranno, quo modo captus et triumpho Romæ agendo servatus erat.
8. Quomodo Titus, quum diem natalem fratris patrisque celebraret, multos Judæorum consumpsit.
9. De Judæis in periculum apud Antiochiam adductis ex Judæi Antiochi iniqua legum violatione.
10. Qualiter Vespasianus exceptus erat in aliis civitatibus et Romæ præcipue.
11. Quomodo Germani, quum a Romanis defectionem fecissent, iterum subjugantur.
12. Quomodo Sarmatæ ob excursionem in Mysiam factam pœnas dederunt, et coacti sunt, multis trucidatis, domum refugere.
13. Quomodo Titus, dum Beryto reverteretur, Judæorum multos in spectaculis interficiendos dabat: itemque mirandum quiddam de fluvio qui Sabbaticus dicitur.
14. Quomodo Antiocheni, Tito supplicantes contra Judæos, repulsam passi sunt.
15. Quod Titus Hierosolyma revertens urbem desolatam miseratus est; quumque Alexandriam pervenisset, inde Romam versus navigavit.
16. Qualiter, navigatione in Italiam peracta, exceptus erat et cum pompa deductus, duobus Cæsaribus una triumphantibus.
17. Descriptio triumphi et spoliorum in eo, quæque et qualia erant.
18. De interfectione Simonis tyranni in triumpho.
19. Quod in templo pacis, post triumphum a Vespasiano exstructo, ab ipso omnia in eo reposita sunt belli spolia.
20. Quomodo Bassus, quum in Judæam venisset, et castellum Herodeum deditione cepisset, ad Machæruntem etiam castellum expugnandum aggressus est.
21. De situ Machæruntis.
22. De ruta in Machæruntis regia proveniente.
23. De altera planta, et mira de illa.
24. De aquis illic loci calidis.
25. Qualiter Bassus, propter Eleazarum casu quodam mirabili captum, urbem validissimam ad deditionem redegit.
26. Quomodo etiam eos, qui ad saltum Jarden vocatum confugerant, bello appetens, omnes interfecit.
27. Quomodo Bassus et Liberius a Cæsare omnem Judæorum terram vendere jussi sunt; et Judæis ubicunque degentibus tributum indicere, ut quotannis binas quisque drachmas in Capitolium inferat, quemadmodum prius in templum conferebant.

κη'. Περὶ Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως, οἵᾳ συμφορᾷ περιέπεσεν.

κθ'. Περὶ τῶν Ἀλανῶν ὁπόσα Μήδοις τε καὶ Ἀρμένοις κακὰ διεπράξαντο.

λ'. Περὶ Μασάδας καὶ τῆς ὀχυρότητος αὐτῆς, καὶ τῶν αὐτὴν κατασχόντων σικαρίων· ἐν ᾧ καὶ περὶ τῶν ἄλλων ληστῶν καὶ τυράννων τῆς πόλεως Ἱεροσολύμων ἐπανάληψις.

λα'. Ὅπως Σίλβας εἰς τὴν πολιορκίαν Μασάδας ἐτράπετο, ἔνθα καὶ σχηματογραφία τῆς αὐτῆς πόλεως.

λβ'. Περὶ τῶν ἔνδον ἀποκειμένων ὅπλων τε καὶ τροφῶν, ἀπὸ τῶν Ἡρώδου τοῦ βασιλέως χρόνων, ὅτε, διὰ τὴν πρὸς Κλεοπάτραν διαφοράν, ἐνταῦθα ταῦτα ἀποτέθεικε φοβούμενος Ἀντώνιον.

λγ'. Ὅπως ὁ τῶν Ῥωμαίων ἡγεμὼν ἐκπολιορκήσας Μασάδαν καὶ τὸ τεῖχος πυρὶ διαφθείρας, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις ἔγνωκὼς, τὰς φυλακὰς νύκτωρ ἐπιμελέστερον ἐποιήσατο.

λδ'. Ὅπως Ἐλεάζαρος ὁ τῶν σικαρίων ἄρχων τοὺς ὑφ' αὑτὸν πάντας δημηγορίαις πιθανωτάταις παρέπεισεν ἑαυτοὺς παγγενῆ καταχρήσασθαι.

λε'. Ὅπως οἱ κατὰ τὸ φρούριον πεισθέντες τοῖς λόγοις Ἐλεαζάρου, πλὴν δύο γυναικῶν καὶ παιδίων πέντε, πάντες ἑαυτοὺς ἀπέσφαξαν.

λς'. Ὅτι Ῥωμαῖοι καὶ Σίλβας, προσδοκῶντες πόνῳ πολλῷ τὴν πόλιν κρατῆσαι, ἀμαχητὶ ταύτην παρέλαβον.

λζ'. Ὅπως καὶ κατὰ τὴν Ἀλεξάνδρειαν τῶν σικαρίων συμφυγόντων πολλοὶ μὲν ἐκινδύνευσαν, κατελύθη δὲ διὰ τοῦτο καὶ ὁ παρὰ τοῦ ἀρχιερέως Ὀνίου κτισθεὶς πάλαι ναὸς ἐκεῖσε.

λη'. Ὅπως καὶ τοὺς ἐν Κυρήνῃ Ἰουδαίους Ἰωνάθης τις, τῶν σικαρίων εἷς, τὴν τέχνην ὑφάντης, ἀνέπεισε στασιάσαι, καὶ πολλοὶ ἐκ τούτου ἀπώλοντο.

λθ'. Ὅπως, ὑποθήκαις τοῦ ἡγεμόνος Κατύλλου, παρὰ Ἰωνάθου ἐσυκοφαντήθη μετὰ τῶν ἄλλων καὶ Ἰώσηπος ὁ συγγραφεύς.

μ'. Ὡς Οὐεσπασιανοῦ τἀληθὲς εὑρόντος, Ἰωνάθης μὲν πυρὶ παρεδόθη, Κάτυλλος δὲ διαφυγὼν, ὕστερον θεηλάτοις πληγαῖς, διότι ἀδίκως τοὺς συκοφαντηθέντας ἀπέκτεινε, τὴν ψυχὴν ἀπέρρηξεν.

28. De Antiocho rege Commagenorum, qualem in calamitatem incidit.

29. De Alanis, quæ et quanta Medis et Armenis mala intulerunt.

30. De Masada, ejusque munitione, et sicariis qui eam occupaverant; itemque resumptio narrationis de aliis sicariis et tyrannis urbis Hierosolymorum.

31. Quomodo Silva ad oppugnationem Masadæ conversus est; ubi etiam illius urbis descriptio est.

32. De armorum et victus apparatu intus reposito ab Herodis regis temporibus, quando, ob inimicitias Cleopatræ, illic ista reposuit propter metum Antonii.

33. Quomodo Romanorum dux Masada expugnata, muroque igne absumpto, decreto hostes prima luce aggredi, nocte vigilias accuratiores fecit.

34. Quomodo Eleazarus, sicariorum princeps, omnes qui ipsi suberant orationibus ad persuadendum accommodatissimis eo adduxit, ut semet cum familiis suis interficerent.

35. Quomodo ii qui in castello erant, verbis Eleazari persuasi, omnes, præter duas mulieres et quinque pueros, sibi mortem conscivere.

36. Quod Romani et Silva, exspectantes multo cum labore urbe potiri, sine pugna eam ceperunt.

37. Quomodo apud Alexandriam multi sicariorum, qui eo confugerant, discrimen adierunt : propterea templum illic olim exstructum ab Onia pontifice, destructum erat.

38. Quomodo etiam Cyrenenses Judæos Jonathas quidam, unus e sicariis, arte textor, ad turbas ciendas commovit, unde et multi perierunt.

39. Quomodo a Jonatha, prout ei suggesserat præses Catullus, falso inter alios accusatus erat scriptor Josephus.

40. Quod veritate a Vespasiano deprehensa, Jonathas quidem vivus exustus est, Catullus vero evasit, et postea ex plagis a Deo immissis, quod falso delatos injuste peremerat, vitam abrupit.

ΚΕΦ. Α'.

Ἐπεὶ δὲ οὔτε φονεύειν οὔτε διαρπάζειν εἶχεν ἡ στρατιὰ, πάντων τοῖς θυμοῖς ἐπιλιπόντων (οὐ γὰρ δή γε φειδοῖ τινὸς ἔμελλον ἀφέξεσθαι δρᾶν ἔχοντες), κελεύει Καῖσαρ ἤδη τήν τε πόλιν ἅπασαν καὶ τὸν νεὼν κατασκάπτειν, πύργους μὲν ὅσοι τῶν ἄλλων ὑπερανεστήκεσαν καταλιπόντας, Φασάηλον, Ἱππικὸν, Μαριάμμην, τεῖχος δ' ὅσον ἦν ἐξ ἑσπέρας τὴν πόλιν περιέχον, τοῦτο μὲν, ὅπως εἴη τοῖς ὑπολειφθησομένοις φρουροῖς στρατόπεδον· τοὺς πύργους δὲ, ἵνα τοῖς ἔπειτα σημαίνωσιν οἵας πόλεως καὶ τίνα τρόπον ὀχυρᾶς οὕτως ἐκράτησεν ἡ Ῥωμαίων ἀνδραγαθία. Τὸν δ' ἄλλον ἅπαντα τῆς πόλεως περίβολον οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες ὡς μηδὲ πώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρασχεῖν τοῖς προσελθοῦσι. Τοῦτο μὲν οὖν τέλος ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας Ἱεροσολύμοις ἐγένετο, λαμπρᾷ τε πόλει καὶ παρὰ πᾶσιν ἀνθρώποις διαβοηθείσῃ.

(Β'.) β'. Καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν ταγμάτων τὸ δέκατον, καί τινας ἴλας ἱππέων καὶ λόχους πεζῶν. Πάντα δὲ ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς ἐπαινέσαι τε σύμπασαν ἐπόθει τὴν στρατιὰν ἐπὶ

CAP. I.

Postquam vero neque quos occiderent, neque quod raperent, habebat exercitus, quod iratis animis omnia deerant (neque enim ut alicui parceretur, si esset quod agerent, abstinuissent), jubet eos Cæsar totam fundilus jam evertere civitatem et templum, relictis quidem turribus quæ præter alias eminebant, Phasaelo, Hippico, Mariamne; eaque tantummodo muri parte, quæ civitatem ab occidente cingeret : illam quidem, ut castra essent militibus illic præsidii causa relinquendis; turres autem, ut posteris indicarent, qualem civitatem et qualiter munitam Romanorum virtus obtinuerat. Totum vero reliquum civitatis ambitum ita solo æquavere qui eum diruebant, ut ne unquam quidem habitatam fuisse fidem amplius faceret eo accedentibus. Et hic quidem, ex illorum dementia qui res novas moliti sunt, finis erat Hierosolymorum, splendidæ civitatis, summæque apud omnes homines celebritatis.

(II.) 2. Cæsar autem præsidio quidem illic statuit relinquere decimam legionem, nonnullasque alas equitum et peditum cohortes. Quumque jam omnes belli partes administrasset, gestiebat et universum laudare exercitum ob res præclare

τοῖς κατωρθωμένοις καὶ τὰ προσήκοντα γέρα τοῖς ἀριστεύσασιν ἀποδοῦναι. Ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέσην τὴν πρότερον παρεμβολὴν βήματος, καταστὰς ἐπὶ τούτῳ μετὰ τῶν ἡγεμονικωτάτων εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ ἔλεγε χάριν μὲν πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ἣ χρώμενοι διατελοῦσιν. Ἐπῄνει δὲ τῆς ἐν παντὶ πολέμῳ πειθαρχίας, ἣν ἐν πολλοῖς καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ μὲν πατρίδι καὶ δι' αὐτῶν τὸ κράτος αὔξοντες, φανερὸν δὲ πᾶσιν ἀνθρώποις καθιστάντες ὅτι μήτε πλῆθος πολεμίων μήτε χωρίων ὀχυρότητες, ἢ μεγέθη πόλεων, ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι τόλμαι καὶ θηριώδεις ἀγριότητες δύναιντ' ἄν ποτε τὴν Ῥωμαίων ἀρετὴν διαφυγεῖν, κἂν εἰς πολλά τινες τὴν τύχην εὖ ρωνται συναγωνιζομένην. Καλὸν μὲν οὖν ἔφη καὶ τῷ πολέμῳ τέλος αὐτοὺς ἐπιθεῖναι, πολλῷ χρόνῳ γενομένῳ. Μηδὲ γὰρ εὔξασθαί τι τούτων ἄμεινον, ὅτ' εἰς αὐτὸν καθίσταντο. Τούτου δὲ κάλλιον αὐτοῖς καὶ λαμπρότερον ὑπάρχειν, ὅτι τοὺς ἡγησομένους καὶ τῆς Ῥωμαίων ἀρχῆς ἐπιτροπεύσοντας, αὐτῶν χειροτονησάντων εἵς τε τὴν πατρίδα προπεμψάντων, ἅσμενοι πάντες προσίενται, καὶ τοῖς ὑπ' αὐτῶν ἐγνωσμένοις ἐμμένουσι, χάριν ἔχοντες τοῖς ἑλομένοις. Θαυμάζειν μὲν οὖν ἔφη πάντας καὶ ἀγαπᾶν, εἰδὼς ὅτι τοῦ δυνατοῦ τὴν προθυμίαν οὐδεὶς ἔσχε βραδυτέραν. Τοῖς μέντοι διαπρεπέστερον ἀγωνισαμένοις ὑπὸ ῥώμης πλείονος, καὶ τὸν μὲν αὐτῶν βίον ἀριστείαις κεκοσμηκόσι, τὴν δ' αὐτοῦ στρατιὰν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιηκόσιν, ἔφη τὰ γέρα καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μηδένα τῶν πλέον πονεῖν ἑτέρου θελησάντων τῆς δικαίας ἀμοιβῆς ἁμαρτήσεσθαι. Πλείστην γὰρ αὐτῷ τούτου γενήσεσθαι τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν τὰς ἀρετὰς τιμᾶν τῶν συστρατευομένων ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.

(Γ'.) γ'. Εὐθέως οὖν ἐκέλευσεν ἀναγινώσκειν τοῖς ἐπὶ τούτῳ τεταγμένοις ὅσοι τι λαμπρὸν ἦσαν ἐν πολέμῳ κατωρθωκότες. Καὶ κατ' ὄνομα καλῶν ἐπῄνει τε παριόντας, ὡς ἂν ὑπερευφραινόμενός τις ἐπ' οἰκείοις κατορθώμασι, καὶ στεφάνους ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ, καὶ δόρατα μακρὰ χρυσᾶ, καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν ἑκάστου τάξιν ἡλλαττεν εἰς τὸ κρεῖττον. Οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν λαφύρων ἄργυρον καὶ χρυσὸν ἐσθῆτάς τε καὶ τῆς ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. Πάντων δὲ τετιμημένων ὅπως ἂν αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρατιᾷ ποιησάμενος εὐχὰς, ἐπὶ πολλῆ κατέβαινεν εὐφημίᾳ, τρέπεταί τε πρὸς θυσίας ἐπινικίους· καὶ πολλοῦ βοῶν πλήθους τοῖς βωμοῖς παρεστηκότος, καταθύσας ἅπαντας, τῇ στρατιᾷ διαδίδωσιν εἰς εὐωχίαν. Αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας, τὴν μὲν ἄλλην στρατιὰν διαφίησιν, ἣ καλῶς εἶχεν ἑκάστους ἀπιέναι, (Δ'.) τῷ δεκάτῳ δὲ τάγματι τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακὴν, οὐκέτ' αὐτοὺς ὑπὸ τὸν Εὐφράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. Μεμνημένος δὲ τοῦ δωδεκάτου

gestas, et debita viris fortibus præmia persolvere. Facto igitur ipsi in medio priorum castrorum magno tribunali, quum in eo constitisset cum ducum eminentissimis, ut ab omni exercitu posset audiri, dicebat magnam quidem illis se gratiam habere quod benevolentiam erga ipsum præstare perseverarint. Laudabat autem eos quod ipsi per omne belli tempus obtemperarint, idque in multis magnisque periculis cum egregia fortitudine, patriæ quidem etiam per se amplificantes imperium, omnibus vero hominibus abunde testatum facientes, neque hostium multitudinem, neque regionum munimenta, neque civitatum magnitudinem, neque adversantium audaciam temerariam et barbaram immanitatem posse unquam Romanorum vires effugere, quamvis in multis nonnulli fortunam opitulantem habuerint. Et pulchrum quidem esse aiebat, illos etiam bello finem imponere, quod tam diu duraverit. Nec enim optasse eos his quicquam melius, quum id ingrederentur. Hoc autem pulchrius atque præclarius illis accidisse, quod duces et administratores imperii Romani, ab illis creatos et in patriam præmissos, libenter omnes suscipiant; quodque ab illis decretum fuerit æquissimo animo ferant, gratiam illis habentes qui sibi imperaturos elegerint. Et mirari quidem se aiebat eos omnes atque diligere, ut qui norit nemini, quum primum res fieri poterit, ad aggrediendum defuisse alacritatem. Ceterum illos, qui pro majore vi clarius dimicassent, vitamque suam factis egregiis condecorassent, et rebus præclare gestis militiam suam nobiliorem fecissent, pronunciabat se et præmia et honores confestim redditurum; nec ullum eorum, qui plus alio laborare voluisset, justam remunerationem non consequuturum. Maximæ enim hanc rem sibi curæ fore, ut qui magis vellet virtutes commilitonum honore prosequi, quam delinquentes pœnis afficere.

(III.) 3. Confestim ergo jussit eos quibus datum erat id negotii, indicare quinam in bello præclari aliquid gesserint. Ac nominatim eos appellans, et præsentes collaudabat, ut qui ex propriis bene feliciterque gestis valde lætaretur, et coronas eis aureas imponebat, atque torquibus aureis, et hastis longis aureis, signisque ex argento factis eos donabat, et uniuscujusque ordinem mutabat in melius. Quin ex manubiis et aurum et argentum, etiam vestes, et ex reliqua præda largiter eis distribuit. Omnibus autem ita honoratis, prout ipse unumquemque meritum esse judicavit, universo exercitui fausta omnia precatus cum multis et lætis acclamationibus descendebat, seque ad sacra pro victoria facienda convertit: quumque magna boum multitudo ad aras adstitisset, omnibus mactatis, exercitui eos dividit ad epulas. Ipse vero per triduum cum illis in conviviis versatus, reliquum exercitum, quo quemque ire convèniret, dimittit: (IV.) decimæ autem legioni Hierosolymorum custodiam concessit, neque ad Euphratem, ubi pridem fuerat, eam remisit. Duodecimam vero legionem, memor quod

τάγματος, ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξήλασεν (ἦν γὰρ τὸ παλαιὸν ἐν Ῥαφαναίαις), εἰς δὲ τὴν Μελιτηνὴν καλουμένην ἀπέστειλε (παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας ἔστι καὶ Καππαδοκίας). Δύο δ' ἠξίωσεν αὐτῶν μέχρι τῆς εἰς Αἴγυπτον ἀφίξεως, τὸ πέμπτον καὶ τὸ πεντεκαιδέκατον, παραμένειν. Καὶ καταβὰς ἅμα τῷ στρατῷ πρὸς τὴν ἐπὶ τῇ θαλάττῃ Καισάρειαν εἰς, ταύτην τό τε πλῆθος τῶν λαφύρων ἀπέθετο, καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι· τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν ὁ χειμὼν ἐκώλυε.

ΚΕΦ. Β'.

Καθ' ὃν δὲ καιρὸν Τίτος Καῖσαρ τοῖς Ἱεροσολύμοις πολιορκῶν προσήδρευεν, ἐν τούτῳ νεὼς φορτίδος Οὐεσπασιανὸς ἐπιβὰς ἀπὸ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον διέβαινεν. Ἐντεῦθεν δὲ πλέων ἐπὶ τριηρῶν καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθὼν, εὐκταίως αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται, κἀκεῖθεν ἀπὸ Κερκύρας ἐπ' ἄκραν Ἰαπυγίαν, ὅθεν ἤδη κατὰ γῆν ἐποιεῖτο τὴν πορείαν. (Ϛ'.) Τίτος δ' ἀπὸ τῆς ἐπὶ θαλάττῃ Καισαρείας ἀναζεύξας εἰς τὴν Φιλίππου καλουμένην Καισάρειαν ἦκει, συχνόν τ' ἐν αὐτῇ χρόνον ἐπέμενε, παντοίας θεωρίας ἐπιτελῶν· καὶ πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἱ μὲν θηρίοις παραβληθέντες, οἱ δὲ κατὰ πληθὺν ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πολεμίοις. Ἐνταῦθα καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπύθετο, τοῦτον γενομένην τὸν τρόπον. (Ζ'.) Σίμων οὗτος, Ἱεροσολύμων πολιορκουμένων, ἐπὶ τῆς ἄνω πόλεως ὤν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἡ Ῥωμαίων στρατιὰ γενομένη πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς πιστοτάτους παραλαβὼν, καὶ σὺν αὐτοῖς λιθοτόμους τε καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον, τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασι καθίησιν ἑαυτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων· καὶ μέχρι μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προὐχώρουν δι' αὐτοῦ, τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης, ταύτην ὑπενόμευον, ἐλπίδι τοῦ ῥᾳστότερον δυνήσεσθαι προελθόντες, ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν, ἀποσώζεσθαι. Ψευδὴς δὲ τὴν ἐλπίδα διήλεγχεν ἡ πεῖρα τῶν ἔργων. Ὀλίγον τε γὰρ μόλις προὔβαινον οἱ μεταλλεύοντες, ἥ τε τροφὴ, καίτοι ταμιευομένοις, ἔμελλεν ἐπιλείψειν. Τότε δὴ τοίνυν, ὡς δι' ἐκπλήξεως ἀπατῆσαι τοὺς Ῥωμαίους δυνησόμενος, λευκοὺς ἐνδιδύσκεται χιτωνίσκους, καὶ πορφυρᾶν ἐμπερονησάμενος χλανίδα, κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν ἐκ γῆς ἀνεφάνη. Τὸ μὲν οὖν πρῶτον τοῖς ἰδοῦσι θάμβος προσέπεσε, καὶ κατὰ χώραν ἔμενον, ἔπειτα δ' ἐγγυτέρω προσελθόντες ὅστις ἐστὶν ἤροντο. Καὶ τοῦτο μὲν οὐκ ἐδήλου Σίμων αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττεν. Καὶ ταχέως πρὸς αὐτὸν δραμόντων ἦκε Τερέντιος Ῥοῦφος· οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς κατελέ-

Cestio duce Judæis cesserat, totam quidem Syria pepulit (erat enim olim apud Raphanæas), ad Melitenen autem quæ vocatur misit, ad Euphraten in confinio Armeniæ et Cappadociæ sitam. Duas vero secum permanere volebat, donec ad Ægyptum perveniret, quintam et decimam quintam. Quumque ad Cæsaream maritimam cum exercitu descendisset, in ea et manubiarum vim reposuit, captivosque ibi adservari præcipit: nam ad Italiam navigare hiemis tempus prohibebat.

CAP. II. (V.)

Quo autem tempore Hierosolyma obsidere perseverabat Titus Cæsar, eo Vespasianus, navi oneraria conscensa, Alexandria Rhodum trajiciebat. Hinc autem vectus triremibus, quum omnes quas subternavigavit urbes invisisset, ipsum cum votis excipientes, in Græciam ex Ionia transit, atque inde Corcyra solvens appulit promontiorum Iapygium, unde jam terra iter agebat. (VI.) Titus autem, ex Cæsarea maritima profectus, in Cæsaream venit quæ Philippi vocatur; et diutius in ea commorabatur, omne genus spectacula exhibens: multique illic captivi consumpti sunt, alii quidem bestiis objecti, alii vero catervatim inter se depugnare coacti. Hic loci Simonem etiam Gioræ filium hoc modo comprehensum esse accepit. (VII.) Simon iste, quum Hierosolyma obsiderentur, in superiore urbe degens, postquam Romanorum exercitus mœnia intrarat et urbem omnem devastaverat, tunc assumptis amicorum fidissimis, unaque lapicidis et ferro eorum operi idoneo, et alimentis quæ multis diebus sufficere possent, cum istis omnibus in quandam cavernam obscuram se demisit; et quoad vetus fossa pateret, per eam quidem progrediebantur: quum autem terra firma occurrisset, illam excavabant, sperantes posse ulterius progressos tuto loco emergere, atque ita servari. Sed vanam hanc spem arguebat operis experimentum. Vix enim paululum fossores processerant, jamque alimenta, quamvis parce his uterentur, eos defectura esse videbantur. Tunc igitur, quasi Romanis stuporem incutiendo posset eos fallere, candida indutus tunica et chlamyde purpurea infibulatus, eo in loco e terra emersit ubi templum dudum fuerat. Ac primum obstupuere, qui eum viderunt, in locisque suis manebant: deinde propius accesserunt, interrogantes quis esset. Et id quidem Simon illis non indicabat, ducem autem vocari jubebat. Quumque ad eum e vestigio cucurrissent, veniebat Terentius Rufus; namque is exercitui præfectus relictus erat. Ac postquam ab eo omnia quæ vera essent

λειπτο. Πυθόμενος δὲ παρ' αὐτοῦ πᾶσαν τὴν ἀλήθειαν, τὸν μὲν ἐφύλαττε δεδεμένον, Καίσαρι δὲ ὅπως εἴη συνειλημμένος ἐδήλου. Σίμωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος, ὧν πικρῶς αὐτὸς ἐτυράννησεν, ὑπὸ τοῖς μάλιστα μισοῦσι πολεμίοις ἐποίησεν ὁ Θεὸς, οὐ βίᾳ γενόμενον αὐτοῖς ὑποχείριον, ἀλλ' αὐτὸν ἑκουσίως εἰς τὴν τιμωρίαν παραβαλόντα, δι' ὃ πολλους αὐτὸς ὠμῶς ἀπέκτεινε, ψευδεῖς αἰτίας ἐπιφέρων τῆς πρὸς Ῥωμαίους μεταβολῆς. Οὐ γὰρ διαφεύγει πονηρία Θεοῦ χόλον, οὐδὲ ἀσθενὴς ἡ δίκη, χρόνῳ δὲ μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας, καὶ χείρω τὴν τιμωρίαν ἐπιφέρει τοῖς πονηροῖς, ὅτι καὶ προσεδόκησαν αὐτῆς ἀπηλλάχθαι, μὴ παραυτίκα κολασθέντες. Ἔγνω τοῦτο καὶ Σίμων εἰς τὰς Ῥωμαίων ὀργὰς ἐμπεσών. Ἡ δὲ ἐκείνου γῆθεν ἄνοδος πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος ὑπ' ἐκείνας τὰς ἡμέρας ἐν τοῖς ὑπονόμοις φωραθῆναι παρεσκεύασε. Καίσαρι δὲ εἰς τὴν παράλιον ἐπανελθόντι Καισάρειαν Σίμων προσήχθη δεδεμένος, κἀκεῖνον μὲν εἰς ὃν ἐπιτελεῖν ἐν Ῥώμῃ παρεσκευάζετο θρίαμβον, προσέταξε φυλάττειν.

ΚΕΦ. Γ'.

Διατρίβων δ' αὐτόθι τὴν τἀδελφοῦ γενέθλιον ἡμέραν ἐπιφανῶς ἑώρταζε, πολὺ καὶ τῆς τῶν Ἰουδαίων κολάσεως εἰς τὴν ἐκείνου τιμὴν ἀνατιθείς. Ὁ γὰρ ἀριθμὸς τῶν ἔν τε ταῖς πρὸς τὰ θηρία μάχαις καὶ τῶν καταπιμπραμένων ἔν τε ταῖς ἀλληλοκτονίαις ἀναιρουμένων πεντακοσίους ἐπὶ τοῖς δισχιλίοις ὑπερέβαλε. Πάντα μέντοι Ῥωμαίοις ἐδόκει ταῦτα μυρίοις αὐτῶν ἀπολλυμένοις τρόποις ἐλάττων κόλασις εἶναι. Μετὰ τοῦτο Καῖσαρ εἰς Βηρυτὸν ἦκεν (ἡ δὲ ἔστιν ἐν τῇ Φοινίκῃ πόλις, Ῥωμαίων ἄποικος), κἀνταῦθα χρονιωτέραν ἐποιήσατο τὴν ἐπιδημίαν, πλείονι χρώμενος τῇ λαμπρότητι περὶ τὴν τοῦ πατρὸς ἡμέραν γενέθλιον ἔν τε ταῖς τῶν θεωριῶν πολυτελείαις καὶ κατὰ τὴν ἄλλην ἐπίνοιαν τῶν ἄλλων ἀναλωμάτων. Τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸν αὐτὸν τρόπον ὡς πρόσθεν ἀπώλλυτο.

(Θ'.) β'. Γενέσθαι δὲ συνέβη περὶ τὸν καιρὸν τοῦτον καὶ τοῖς ἐν Ἀντιοχείᾳ τῶν Ἰουδαίων ὑπολειπομένοις ἐγκλήματα καὶ κίνδυνον ὀλέθρου, τῆς πόλεως ἐπ' αὐτοὺς τῶν Ἀντιοχέων ἐκταραχθείσης, διά τε τὰς ἐν τῷ παρόντι διαβολὰς αὐτοῖς ἐπενεχθείσας καὶ διὰ τὰ προϋπηργμένα χρόνῳ πρόσθεν οὐ πολλῷ. Περὶ ὧν ἀναγκαῖόν ἐστι διὰ συντόμων προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων εὐπαρακολούθητον ποιήσωμαι τὴν διήγησιν.

γ'. Τὸ γὰρ Ἰουδαίων γένος πολὺ μὲν κατὰ πᾶσαν τὴν οἰκουμένην παρέσπαρται τοῖς ἐπιχωρίοις, πλεῖστον δὲ τῇ Συρίᾳ κατὰ τὴν γειτνίασιν ἀναμεμιγμένον, ἐξαιρέτως δ' ἐπὶ τῆς Ἀντιοχείας ἦν πολὺ, διὰ τὸ τῆς πόλεως μέγεθος, μάλιστα δ' αὐτοῖς ἀδεᾶ τὴν ἐκεῖ κατοίκησιν οἱ μετ' Ἀντίοχον βασιλεῖς παρέσχον. Ἀντίοχος μὲν γὰρ ὁ κληθεὶς Ἐπιφανὴς Ἱεροσόλυμα πορθήσας τὸν νεὼν ἐσύλησεν, οἱ δὲ μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες τῶν ἀναθημάτων ὅσα χαλκᾶ πεποίητο πάντα

acceperat, ipsum quidem vinctum adservabat; Cæsari vero quemadmodum esset comprehensus significabat. Et Simonem quidem in ultionem crudelitatis erga cives, quibus sese amarum tyrannum præbuerat, infensissimis hostibus Deus in manum tradidit, non vi subactum, sed ipso se conjiciente sponte sua in pœnam, propterea quod multos ipse crudeliter interfecerat, falsas criminationes intendens defectionis ad Romanos. Neque enim potest iram Dei effugere nequitia, neque infirma fieri potest justitia: sed tandem ulciscitur sui temeratores, et gravius supplicium sumit de malis, quod se ab eo liberatos crediderint, quando non illico pœnas dederunt. Id etiam Simon didicit, postquam in iras Romanorum incidit. Illius autem ex terra emersio in causa fuit, ut ceterorum etiam seditiosorum magna turba iisdem diebus in cuniculis inveniretur. Ad Cæsarem autem Cæsaream maritimam reversum Simon vinctus adductus est: et illum quidem triumpho, quem Romæ agere parabat, servari jussit.

CAP. III. (VIII.)

Ibi autem moratus fratris sui natalem diem splendide celebrabat, magnam partem Judæorum morte mulctandorum ejus honori attribuens. Numerus enim eorum qui cum bestiis depugnarunt, quique ignibus cremati sunt, et inter se digladiantes periere, supra duo millia erat et quingentos. Ista tamen omnia Romanis videbantur, licet illi mille modis consumerentur, pœna levior. Postea Cæsar Berytum veniebat (hæc autem in Phœnice est urbs, Romanorum colonia), atque illic diutius demoratus est, majori adhibito splendore dum patris diem natalem celebrat, tam spectaculorum magnificentia, quam sumptibus aliis alium in modum excogitatis. Captivorum autem multitudo similiter ac antea cecidit.

(IX.) 2. Accidit autem per idem tempus, ut Judæi qui apud Antiochiam reliqui erant, accusationes subirent et interitus periculum, concitata in eos Antiochensium civitate tam propter criminationes eis in præsentia intentas, quam propter ea quæ fuerant non multo ante commissa. De quibus necesse habeo paucis præfari, ut eorum quæ postea gesta sunt narrationem faciam intellectu faciliorem.

3. Nam multum quidem Judaicæ gentis per totum terrarum orbem indigenis erat interspersum; maxima autem pars Syriæ propter vicinitatem erat immista, et præcipue apud Antiochiam multi ex illis versabantur, ob urbis amplitudinem, maximeque propter liberam ibi habitandi facultatem ab Antiochi successoribus impetratam. Nam Antiochus quidem dictus Epiphanes, vastatis Hierosolymis, templum spoliavit: qui vero post eum regnum assequuti sunt, quicquid æneum in donariis reperiretur, Judæis

τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ἀπέδοσαν, εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνεχώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως τοῖς Ἕλλησι μετέχειν. Τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς προσφερομένων εἴς τε τὸ πλῆθος ἐπέδωκαν καὶ τῇ κατασκευῇ καὶ τῇ πολυτελείᾳ τῶν ἀναθημάτων τὸ ἱερὸν ἐξελάμπρυναν, ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος Ἑλλήνων, κἀκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο. Καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνεκεκήρυκτο, νεωστὶ δ' εἰς τὴν Συρίαν Οὐεσπασιανὸς κατεπεπλεύκει, τὸ δὲ κατὰ τῶν Ἰουδαίων παρὰ πᾶσιν ἦκμαζε μῖσος, τότε δή τις Ἀντίοχος εἷς ἐξ αὐτῶν τὰ μάλιστα διὰ τὸν πατέρα τιμώμενος (ἦν γὰρ ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων), τοῦ δήμου τῶν Ἀντιοχέων ἐκκλησιάζοντος, εἰς τὸ θέατρον παρελθὼν, τόν τε πατέρα τὸν ἑαυτοῦ καὶ τοὺς ἄλλους ἐνεδείκνυτο κατηγορῶν, ὅτι νυκτὶ μιᾷ καταπρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν, καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς ὡς κεκοινωνηκότας τῶν βεβουλευμένων. Ταῦτα δ' ἀκούων ὁ δῆμος τὴν ὀργὴν οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας πῦρ εὐθὺς ἐκέλευον κομίζειν, καὶ παραχρῆμα πάντες ἐπὶ τοῦ θεάτρου κατεφλέγησαν. Ἐπὶ δὲ τὸ πλῆθος ὥρμηντο τῶν Ἰουδαίων, ἐν τῷ τάχιον ἐκείνους τιμωρίᾳ περιβαλεῖν τὴν αὐτῶν πατρίδα σώζειν νομίζοντες. Ἀντίοχος δὲ προσεπέτεινε τὴν ὀργὴν, περὶ μὲν τῆς αὐτοῦ μεταβολῆς, καὶ τοῦ μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη, τεκμήριον ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν, ὥσπερ νόμος ἐστὶ τοῖς Ἕλλησιν· ἐκέλευε δὲ καὶ τοὺς ἄλλους ταυτὸ ποιεῖν ἀναγκάζειν· φανεροὺς γὰρ γενήσεσθαι τῷ μὴ θέλειν τοὺς ἐπιβεβουλευκότας. Χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων ὀλίγοι μὲν ὑπέμειναν, οἱ δὲ μὴ βουληθέντες ἀνῃρέθησαν. Ἀντίοχος δὲ, στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβὼν, χαλεπὸς ἐφεστήκει τοῖς αὐτοῦ πολίταις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος πάντα πράττειν ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις· οὕτω τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν ὡς μὴ μόνον ἐπ' Ἀντιοχείας καταλυθῆναι τὴν ἑβδομάδα ἀργεῖν ἡμέραν, ἀλλ' ἐκεῖθεν ἀρξαμένου τοῦ πράγματος, κἀν ταῖς ἄλλαις πόλεσιν ὁμοίως βραχύν τινα χρόνον.

δ'. Τοιούτων δὴ τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις τῶν κατ' ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων, δευτέρα πάλιν συμφορὰ προσέπεσε, περὶ ἧς ἀφηγεῖσθαι ἐπιχειρήσαντες καὶ ταῦτα διεξήλθομεν. Ἐπεὶ γὰρ συνέβη καταπρησθῆναι τὴν τετράγωνον ἀγορὰν, ἀρχεῖά τε καὶ γραμματοφυλάκιον καὶ τὰς βασιλικὰς, μόλις τε τὸ πῦρ ἐκωλύθη μετὰ πολλῆς βίας ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον, ταύτην Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει, καὶ τοὺς Ἀντιοχεῖς, εἰ καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπεχθῶς, τάχιστα τῇ διαβολῇ παρὰ τὴν ἐκ τοῦ συμβεβηκότος ταραχὴν ὑπαχθέντας πολὺ μᾶλλον ἐκ τῶν προϋπηργμένων τοῖς ὑπ' αὐτοῦ λεγομένοις πιστεύειν παρεσκεύασεν, ὡς μόνον οὐκ ἐπ' αὐτοὺς τὸ πῦρ ἐνιέμενον ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας, καὶ καθάπερ ἐκ τοῦ συμβεβηκότος ἐπὶ τοῖς ἄλλοις ἐπιβουλεύσαντας. Καὶ τὸ μὲν πρῶτον ἐπὶ τοῖς ἐν τῷ θεάτρῳ κατακαυθεῖσιν ἐπὶ πολὺ ἐκρατοῦντο τοῦ θυμοῦ, ὡς δὲ τὸ πλῆθος ἐπὶ τοὺς Ἰουδαίους ὥρμητο, τὸν μὲν ἐκείνων ὄχλον ἐπὶ τὴν τιμωρίαν ἐκάλουν, τοὺς δὲ ἐν τῇ πόλει παρεκελεύοντο φυλάττειν μὴ ἐκφύγωσιν. Ἐπὶ τοσοῦτον δὲ ἐξέκαυσε τὸ πλῆθος ἡ ὀργὴ, ὡς μὴ μόνον τοὺς ἐν τῇ πόλει Ἰουδαίους ἀναιρεῖν, ἀλλὰ καὶ τοὺς ἔξω πορευομένους ἐπὶ τὰς κώμας διώκειν καὶ κτείνειν. Ἐπεὶ δὲ οὐδὲν ἦν ἐν τῇ πόλει τῶν Ἰουδαίων, ἐπὶ τὰς κώμας ἐπορεύοντο, καὶ τὸν ἐκεῖ πάντα ὄχλον ἀνῄρουν. Ἐπὶ πολὺ δὲ ἐξέτεινε τὸ κακὸν, καὶ πᾶσαν ἐπλήρωσε τὴν Συρίαν φόνου· γυναῖκες μὲν γὰρ καὶ παῖδες ἐπράθησαν, αὐτοὶ δὲ οἱ ἄνδρες ἐσφάττοντο. Καὶ τοὺς μὲν ἐν τῇ Γαυλανίτιδι κώμῃ Ἰουδαίους, οἳ καλοῦνται Σόγανα, ἐν δὲ τῇ Ἑβραίᾳ Νάβαρις, ἑπτακισχιλίους ἀναιροῦσιν· τοὺς δὲ ἐν τῇ Ἀρσανίτιδι κώμῃ, ἣ καλεῖται Γάμαλα, τετρακισχιλίους· τοὺς δὲ ἐν τῇ Βαταναίᾳ κώμῃ, ἣ καλεῖται Κυλλήνη, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Ἰτουραίᾳ κώμῃ, ἣ καλεῖται Ἀβελὴ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Δαμασκηνῇ κώμῃ, ἣ καλεῖται Ἀνάθ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Ἀβιληνῇ κώμῃ, ἣ καλεῖται Σαμοσὰ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Ἀβιληνῇ κώμῃ, ἣ καλεῖται Ἀβιλὴ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Ἀβιληνῇ κώμῃ, ἣ καλεῖται Ἀρκὴ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Γαβαλίτιδι κώμῃ, ἣ καλεῖται Ἀρβηλὴ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Γαβαλίτιδι κώμῃ, ἣ καλεῖται Ἀδιτὰ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Γαβαλίτιδι κώμῃ, ἣ καλεῖται Ῥαβὰ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Γαβαλίτιδι κώμῃ, ἣ καλεῖται Ἀβιλὴ, τρισχιλίους· τοὺς δὲ ἐν τῇ Γαβαλίτιδι

περ ἐμμανεῖς γεγενημένοι μετὰ πολλοῦ τινος οἴστρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο. Μόλις δ' αὐτῶν ἐδυνήθη τὰς ὁρμὰς ἐπισχεῖν Κνέος Κολλήγας τις, πρεσβευτὴς, ἀξιῶν ἐπιτρέψαι Καίσαρι δηλωθῆναι περὶ τῶν γεγονότων. Τὸν γὰρ ἡγεμονεύοντα τῆς Συρίας Καισέννιον Παῖτον ἤδη μὲν Οὐεσπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. Ποιούμενος δ' ἐπιμελῆ τὴν ζήτησιν ὁ Κολλήγας ἐξηῦρε τὴν ἀλήθειαν, καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ' Ἀντιόχου λαβόντων Ἰουδαίων οὐδεὶς οὐδ' ἐκοινώνησεν, ἅπαν δὲ τοὔργον ἔπραξαν ἄνθρωποί τινες ἀλιτήριοι, διὰ χρεῶν ἀνάγκας, νομίζοντες, εἰ τὴν ἀγορὰν καὶ τὰ δημόσια καταπρήσειαν γράμματα, τῆς ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν. Ἰουδαῖοι μὲν οὖν ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἔτι καραδοκοῦντες ἐν φόβοις χαλεποῖς ἐπεσάλευον.

ΚΕΦ. Δ'.

Τίτος δὲ Καῖσαρ τῆς περὶ τοῦ πατρὸς ἀγγελίας αὐτῷ κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν ἐπῆλθε, μάλιστα δ' ἡ Ῥώμη μετὰ πολλῆς αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῶν περὶ αὐτοῦ φροντίδων ὡς ἥδιστον ἦν ἀπηλλαγμένος. Οὐεσπασιανὸν γὰρ ἔτι μὲν καὶ μακρὰν ἀπόντα πάντες οἱ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἄφιξιν αὐτοῦ νομίζοντες, καὶ πάσης ἀνάγκης ἐλευθέραν τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. Τῇ τε γὰρ βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μεταβολαῖς συμφορῶν εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα γήρως σεμνότητι καὶ πράξεων ἀκμῇ πολεμικῶν κεκοσμημένον, ᾧ τὴν ὑπεροχὴν πρὸς μόνην ἠπίσταντο τὴν ἀρχομένων σωτηρίαν ἐσομένην, καὶ μὴν ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν αὐτὸν ἔσπευδε, τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφορῶν ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς εὐετηρίας πεπιστευκώς. Ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς αὐτὸν ἀφεώρα· μάλιστα γὰρ οὗτοι τῶν κατωρθωμένων αὐτῷ πολέμων ἐγίνωσκον τὸ μέγεθος. Τῆς ἀπειρίας δὲ τῶν ἄλλων ἡγεμόνων καὶ τῆς ἀνανδρίας πεπειραμένοι πολλῆς μὲν αἰσχύνης αὐτοὺς ἐπεθύμουν ἀπηλλάχθαι, τὸν μόνον δὲ καὶ σώζειν αὐτοὺς καὶ κοσμεῖν δυνάμενον ἀπολαβεῖν ηὔχοντο. Τοιαύτης δ' εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης τοῖς μὲν κατὰ τὰς ἀξιώσεις προὔχουσι τῶν ἀνδρῶν οὐκέτ' ἀνεκτὸν ἦν ἀναμένειν, ἀλλὰ πορρωτάτω τῆς Ῥώμης αὐτῷ προεντυχεῖν ἔσπευδον. Οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς ἐντεύξεως τὴν ἀναβολήν, ἀλλ' οὕτως ἐξεχέοντο πάντες ἀθρόοι, καὶ πᾶσιν εὐπορώτερον καὶ ῥᾷον ἐδόκει τοῦ μένειν τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν τότε πρῶτον ἐν ἑαυτῇ λαβεῖν ὀλιγανθρωπίας αἴσθησιν ἡδεῖαν· ἦσαν γὰρ ἐλάττους τῶν ἀπιόντων οἱ μένοντες. Ἐπεὶ δὲ προσιὼν ἠγγέλλετο καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκάστους ἐδήλουν οἱ προελθόντες, ἅπαν

petu omnes in accusatos irruerant. Vix autem motus eorum reprimere potuit Cneus quidam Collega, legatus, postulans permitti ut ad Cæsarem de rebus gestis referretur. Præsidem namque Syriæ Cæsennium Pætum jam quidem Vespasianus ad eam miserat, accidit autem ut nondum adesset. Re vero diligenter inquisita Collega reperiebat veritatem, et eorum quidem Judæorum quos Antiochus accusaverat neminem conscium fuisse, omnis autem facinoris auctores exstitisse homines quosdam improbos ob æris alieni necessitatem, ratos, si curias et publica tablina incendissent, fore neminem a quo appellarentur. Et Judæi quidem, ex suspensis criminationibus futura adhuc exspectantes, magno timore fluctuabant.

CAP. IV. (X.)

Titus autem Cæsar, de patre sibi allato nuncio, quod universis quidem Italiæ civitatibus gratus optatusque venisset, maxime vero quod Roma multa cum alacritate et splendore eum suscepisset, magna lætitia animique voluptate perfunditur, curis de eo quam suavissime liberatus. Vespasianum enim, etiam quum longe abesset, omnes per Italiam homines, tanquam venientem, animo complectebantur, exspectationem ex vehementi desiderio pro adventu habentes, nullaque necessitate adacti suam erga ipsum benevolentiam præstantes. Nam et senatus, memor calamitatum quas ex principum mutatione acceperat, expetebat Imperatorem suscipere senectutis gravitate bellicorumque gestorum maturitate decoratum, cujus eminentiam solummodo in salutem fore subditis noverat. Atque populus, malis intestinis attritus, magis adhuc studebat ejus adventui : tunc fore existimans ut a calamitatibus quidem pro certo liberaretur, securitatem vero cum opulentia recepturum esse persuasus. At præcipue milites ad eum respiciebant, ut qui maxime bellorum ab eo præclare gestorum magnitudinem cognoverant. Imperitiam vero aliorum ducum atque ignaviam experti, magna quidem se turpitudine liberari expetebant; eum vero, qui se et servare et cohonestare solus posset, recipere precabantur. Quum autem tanta benevolentia eum prosequerentur omnes, viris quidem dignitatis eminentioris non amplius tolerandum erat eum exspectare, sed longissime a Roma prius se obviam ei dare properabant. Ac ne reliquorum quidem quisquam moras ejus conveniendi ferebat; sed ita simul omnes effundebantur, et universis expeditius et facilius ire quam manere videbatur, ut etiam urbs ipsa tunc primum experiretur jucundam in se hominum infrequentiam : nam qui manebant, pauciores erant abeuntibus. Ubi autem eum appropinquare nunciabatur, et humanum mansuetumque ejus cum singulis congressum indicabant ii qui præcesserant, omnis jam reliqua multitudo cum conjugibus ac li-

ἤδη τὸ λοιπὸν πλῆθος ἅμα γυναιξὶ καὶ παισὶν ἐπὶ ταῖς παρόδοις ἐξεδέχοντο, καὶ καθ' οὓς γένοιτο παριὼν πρὸς τὴν ἡδονὴν τῆς θέας καὶ τὸ μειλίχιον αὐτοῦ τῆς ὄψεως παντοίας ἠφίεσαν φωνὰς, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἄξιον ἡγεμόνα τῆς Ῥώμης ἀποκαλοῦντες. Ἅπασα δ' ἡ πόλις ὡς νεὼς ἦν στεφανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. Μόλις δ' ὑπὸ πλήθους τῶν περὶ αὐτὸν ἱσταμένων δυνηθεὶς εἰς τὸ βασίλειον ἐλθεῖν, αὐτὸς μὲν τοῖς ἔνδον θεοῖς θυσίας τῆς ἀφίξεως χαριστηρίους ἐπετέλει, τρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν καὶ κατὰ φυλὰς καὶ γένη καὶ γειτονίας ποιούμενοι τὰς ἑστιάσεις ηὔχοντο τῷ Θεῷ σπένδοντες αὐτόν τ' ἐπὶ πλεῖστον χρόνον Οὐεσπασιανὸν ἐπιμεῖναι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ παισὶν αὐτοῦ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γινομένοις φυλαχθῆναι τὸ κράτος ἀκαταγώνιστον. Ἡ μὲν οὖν Ῥωμαίων πόλις οὕτως Οὐεσπασιανὸν ἐκδεξαμένη προθύμως εὐθὺς εἰς πολλὴν εὐδαιμονίαν ἐπεδίδου.

(ΙΑ'.) β'. Πρὸ δὲ τούτων τῶν χρόνων, ἐν οἷς Οὐεσπασιανὸς μὲν περὶ Ἀλεξάνδρειαν ἦν, Τίτος δὲ τῇ τῶν Ἱεροσολύμων προσήδρευε πολιορκίᾳ, πολὺ μέρος Γερμανῶν ἐκινήθη πρὸς ἀπόστασιν, οἷς καὶ Γαλατῶν οἱ πλησίον συμφρονήσαντες κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς συνέθεσαν, ὡς καὶ τῆς Ῥωμαίων ἀπαλλαξόμενοι δεσποτείας. Ἐπῆρε δ' αὐτοὺς Γερμανοὺς ἅψασθαι τῆς ἀποστάσεως καὶ τὸν πόλεμον ἐξενεγκεῖν πρῶτον μὲν ἡ φύσις, οὖσα λογισμῶν ἔρημος ἀγαθῶν καὶ μετὰ μικρᾶς ἐλπίδος ἑτοίμως ριψοκίνδυνος, ἔπειτα δὲ καὶ μῖσος τὸ πρὸς τοὺς κρατοῦντας, ἐπεὶ μόνοις ἴσασι Ῥωμαίοις τὸ γένος αὐτῶν δουλεύειν βεβιασμένον. Οὐ μὴν ἀλλὰ μάλιστά γε πάντων ὁ καιρὸς αὐτοῖς θάρσος ἐνεποίησεν. Ὁρῶντες γὰρ τὴν Ῥωμαίων ἀρχὴν ταῖς συνεχέσι τῶν αὐτοκρατόρων ἀλλαγαῖς ἐν ἑαυτῇ τεταραγμένην, πᾶν τε μέρος τῆς ὑπ' αὐτοῖς οἰκουμένης πυθόμενοι μετέωρον εἶναι καὶ κραδαίνεσθαι, τοῦτον σφίσιν αὐτοῖς ἄριστον ὑπὸ τῆς ἐκείνων κακοπραγίας καὶ στάσεως καιρὸν ᾠήθησαν παραδεδόσθαι. Ἐνῆγον δὲ τὸ βούλευμα καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἐτύφουν Κλασσικός τις καὶ Οὐιτέλλιος τῶν παρ' αὐτοῖς ὄντες ἡγεμόνων, οἳ δῆλον μὲν ὡς ἐκ μακροῦ ταύτης ἐφίεντο τῆς νεωτεροποιίας, ὑπὸ τοῦ καιροῦ δὲ θαρσῆσαι προαχθέντες τὴν αὐτῶν γνώμην ἐξέφηναν· ἔμελλον δὲ προθύμως διακειμένοις τὴν πεῖραν τοῖς πλήθεσι προσφέρειν. Πολλοῦ δὴ μέρους ἤδη τῶν Γερμανῶν τὴν ἀπόστασιν ἀνωμολογηκότος καὶ τῶν ἄλλων οὐκ ἂν δίχα φρονησάντων, ὥσπερ ἐκ δαιμονίου προνοίας Οὐεσπασιανὸς πέμπει γράμματα Πετιλίῳ Κερεαλίῳ τῷ πρότερον ἡγεμόνι Γερμανίας γενομένῳ, τὴν ὕπατον διδοὺς τιμὴν, καὶ κελεύων ἄρξοντα Βρεττανίας ἀπιέναι. Πορευόμενος οὖν ἐκεῖνος ὅποι προσετέτακτο καὶ τὰ περὶ τὴν ἀπόστασιν τῶν Γερμανῶν πυθόμενος ἤδη συνειλεγμένοις αὐτοῖς ἐπιπεσὼν καὶ παραταξάμενος, πολύ τε πλῆθος αὐτῶν ἀνειρεῖ κατὰ τὴν μάχην, καὶ τῆς ἀνοίας παυσαμένους ἠνάγκασε σωφρονεῖν. Ἔμελλον δὲ, κἀκείνου μὴ θᾶττον εἰς τοὺς τόπους παραβαλόντος, δίκην οὐκ εἰς μακρὰν ὑφέξειν. Ἡνίκα

beris ad viam eum excipiebant; et ad quos in transitu advenisset, isti ad jucundum illius intuitum et blandum ejus aspectum omne genus voces ediderunt, benefactorem, et servatorem, solumque qui Romæ imperet dignum appellantes. Tota vero civitas templi instar erat sertis atque odoribus plena. Quum autem vix per circumstantem multitudinem in palatium venire potuisset, ipse quidem diis penatibus adventus sui gratulatoria sacra celebrabat. Vertunt autem se ad epulas turbæ, perque tribus et cognationes et vicinias convivia agitantes, cum libationibus Deum precabantur, ut et ipsi Vespasiano, functo longissima statione mortali, imperium conservaretur; utque filiis ejus eorumque posteris nullis viribus expugnabilis maneret principatus. Et urbs quidem Romana, quum Vespasianum tanta alacritate excepisset, statim in magnam felicitatem proficiebat.

(XI.) 2. Jam vero ante hæc tempora, quibus Vespasianus apud Alexandriam erat, Titus vero Hierosolymorum obsidioni incumbebat, magna pars Germanorum ad defectionem incitata est: quibuscum etiam Gallorum proximi una conspirantes, magnam in commune spem illis afferebant, fore ut Romanorum dominatu liberarentur. Ipsos autem Germanos ad defectionem moliendam bellumque inferendum extulit natura quidem primo, bonis consiliis vacua, et parva cum spe ad periclitandum projecta; deinde vero et odium adversus dominantes, quoniam solis sciunt gentem suam vi coactam servire Romanis. Verumtamen maxime omnium tempus eis fiduciam dedit. Nam quum viderent Romanorum imperium ex crebris Imperatorum mutationibus intestina seditione turbatum, omnemque his subditam orbis terrarum partem pendere ac nutare inaudirent, hoc sibi optimum tempus ex illorum rebus adversis atque discordiis oblatum esse putaverunt. Hujus autem consilii auctores erant et hujusmodi spe eos efferebant Classicus quidam et Vitellius, principes inter illos; quos olim quidem hoc rerum novarum desiderio teneri manifestum erat, ea opportunitate autem ad audendum inducti, animi sententiam palam fecerunt: jamque multitudinis alacritate gestientis periculum facturi erant. Verum quum magna pars Germanorum ad defectionem consensisset, et ceteri ab illis non dissensissent, Vespasianus, quasi divina providentia, ad Petilium Cerealem, qui prius Germaniam imperio rexerat, literas mittit, quibus eum consulem declaravit, jussitque ad Britannias administrandas proficisci. Igitur dum ille quo jussus erat abire pararet, audita rebellione Germanorum, eos jam congregatos acie instructa adortus est, et magnum illorum numerum in pugna interficit, et eos ad sobrietatem deposita amentia compulit. Sed etiamsi ille ad ea loca non citius pervenisset, tamen haud multo post supplicia erant luituri. Nam ut primum defectionis

γὰρ πρῶτον ἡ περὶ τῆς ἀποστάσεως αὐτῶν ἀγγελία τῇ Ῥώμῃ προσέπεσε, Δομετιανὸς Καῖσαρ πυθόμενος, οὐχ ὡς ἂν ἕτερος ἐν τούτῳ τῆς ἡλικίας (νέος γὰρ ἦν ἔτι παντάπασι) τηλικοῦτον ἄρασθαι μέγεθος πραγμάτων ὤκνησεν, ἔχων δὲ πατρόθεν ἔμφυτον τὴν ἀνδραγαθίαν, καὶ τελειοτέραν τὴν ἄσκησιν τῆς ἡλικίας πεποιημένος, ἐπὶ τοὺς βαρβάρους εὐθὺς ἤλαυνεν. Οἱ δὲ πρὸς τὴν φήμην τῆς ἐφόδου καταπεσόντες ἐπ' αὐτῷ σφᾶς αὐτοὺς ἐποιήσαντο μετὰ φόβου, κέρδος εὑράμενοι τὸ χωρὶς συμφορῶν ὑπὸ τὸν αὐτὸν πάλιν ζυγὸν ὑπαχθῆναι. Πᾶσιν οὖν ἐπιθεὶς τοῖς περὶ τὴν Γαλατίαν τάξιν τὴν προσήκουσαν Δομετιανὸς, ὡς μηδ' αὖθις ἄν ποτε ῥᾳδίως ἔτι τἀκεῖ παραχθῆναι, λαμπρὸς καὶ περίβλεπτος ἐπὶ κρείττοσι μὲν τῆς ἡλικίας, πρέπουσι δὲ τῷ πατρὶ κατορθώμασιν, εἰς τὴν Ῥώμην ἀνέζευξεν.

(IB'.) γ'. Τῇ δὲ προειρημένῃ Γερμανῶν ἀποστάσει κατὰ τὰς αὐτὰς ἡμέρας καὶ Σκυθικὸν τόλμημα πρὸς Ῥωμαίους συνέδραμεν. Οἱ γὰρ καλούμενοι Σκυθῶν Σαρμάται, πολὺ πλῆθος ὄντες, ἀδήλοι μὲν τὸν Ἴστρον ἐπεραιώθησαν εἰς τὴν Μυσίαν, ἔπειτα δὲ πολλῇ βίᾳ καὶ χαλεποὶ διὰ τὸ παντάπασιν ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες, πολλοὺς μὲν τῶν ἐπὶ τῇν φρουρᾶς Ῥωμαίων ἀναιροῦσι, καὶ τὸν πρεσβευτὴν τὸν ὑπατικὸν Φοντήιον Ἀγρίππαν ὑπαντιάσαντα καρτερῶς μαχόμενον κτείνουσι, τὴν δ' ὑποκειμένην χώραν ἅπασαν κατέτρεχον, ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. Οὐεσπασιανὸς δὲ τὰ γεγενημένα καὶ τὴν πόρθησιν τῆς Μυσίας πυθόμενος Ῥούβριον Γάλλον ἐκπέμπει δίκην ἐπιθήσοντα τοῖς Σαρμάταις, ὑφ' οὗ πολλοὶ μὲν αὐτῶν ἐν ταῖς μάχαις ἀπέθανον, τὸ δὲ περισωθὲν μετὰ δέους εἰς τὴν οἰκείαν διέφυγε. Τούτῳ δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρατηγὸς καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας προὐνόησε· πλείοσι γὰρ καὶ μείζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς βαρβάροις τὴν διάβασιν τελέως ἀδύνατον. Ὁ μὲν οὖν περὶ τὴν Μυσίαν πόλεμος ταχεῖαν οὕτως ἔλαβε τὴν κρίσιν.

ΚΕΦ. Ε'.

Τίτος δὲ Καῖσαρ χρόνον μέν τινα διέτριψεν ἐν Βηρυτῷ, καθὰ προειρήκαμεν· ἐκεῖθεν δ' ἀναζεύξας, καὶ δι' ὧν ἦλει πόλεων τῆς Συρίας, ἐν πάσαις θεωρίας τε συντελῶν πολυτελεῖς καὶ τῶν Ἰουδαίων τοῖς αἰχμαλώτοις εἰς ἐπίδειξιν τῆς ἑαυτῶν ἀπωλείας ἀποχρώμενος, θεᾶται κατὰ τὴν πορείαν ποταμοῦ φύσιν ἀξίαν ἱστορηθῆναι. Ῥεῖ μὲν γὰρ μέσος Ἀρκαίας τῆς Ἀγρίππα βασιλείας καὶ Ῥαφαναίας, ἔχει δὲ θαυμαστὴν ἰδιότητα. Πολὺς γὰρ ὢν ὅτε ῥεῖ καὶ κατὰ τὴν φορὰν οὐ σχολαῖος, ἔπειτα δὲ πᾶς ἐκ τῶν πηγῶν ἐπιλείπων ἓξ ἡμερῶν ἀριθμὸν, ξηρὸν παραδίδωσιν ὁρᾶν τὸν τόπον. Εἶθ' ὥσπερ οὐδεμιᾶς γενομένης μεταβολῆς ὁμοίως κατὰ τὴν ἑβδόμην ἐκδίδωσι, καὶ ταύτην ἀεὶ τὴν τάξιν ἀκριβῶς τετήρηται διαφυλάττων· ὅθεν δὴ καὶ Σαββατικὸν αὐτὸν κεκλήκασιν, ἀπὸ τῆς ἱερᾶς τῶν Ἰουδαίων ἑβδόμης οὕτως ὀνομάσαντες.

eorum nuncium acceperant Romæ, Domitianus Cæsar, hoc audito, non sicut alter illa in ætate (nam adolescentulus admodum erat) rem tantæ magnitudinis aggredi dubitabat: sed a patre habens ingenitam fortitudinem, et supra ætatem exercitatus, illico in barbaros expeditionem faciebat. Illi vero, ad rumorem de incursu consternati, præ metu se submiserunt, lucrum nacti, quod sine clade pristino jugo subjicerentur. Omnibus itaque circa Galliam ita ut oportuit a Domitiano ordinatis, ut non facile unquam res illic iterum turbarentur, clarus atque insignis, rebus quidem præclare gestis ætatem superantibus, patris vero gloriæ convenientibus, Romam reversus est.

(XII.) 3. Simul autem iisdem diebus cum supradicta Germanorum defectione fama Scythici ausus ad Romanos perlata est. Nam qui e Scythis appellantur Sarmatæ, magna multitudine, clam quidem Istrum transgressi sunt in Mysiam; deinde vero quum et vi magna, et graves ob insperatum omnino adventum, Romanos adorti essent, multos eorum, quos in præsidiis offenderunt, et consularem legatum Fonteium Agrippam, qui his obviam iverat, fortiter pugnantem occidunt; et in subjectam regionem omnem incursus fecerunt, omnia populantes in quæ inciderint. Vespasianus autem, quum ea quæ facta erant et Mysiæ vastationem accepisset, Rubrium Gallum mittit de Sarmatis pœnas sumpturum: a quo multi quidem eorum in prœliis ceciderunt, qui vero salvi evaserunt, timore perculsi domum se recipiebant. Huic autem bello quum finem imposuisset exercitus dux, etiam securitati in posterum prospexit: nam pluribus et majoribus præsidiis loca circumdedit, ut barbari nullo plane modo Istrum transgredi possent. Et bellum quidem Mysianum ita celeriter finitum est.

CAP. V. (XIII.)

Titus vero Cæsar aliquamdiu quidem Beryti commoratus est, ut jam ante diximus: inde autem reversus, et per omnes quas obiret Syriæ civitates, et magnificentissima edens spectacula, et Judæorum captivis in exitii illorum indicium abutens, conspicit in itinere fluvium, cujus natura digna est quæ memoretur. Labitur is medius inter Arcæam regni Agrippæ urbem et Raphanæas; mirabilem autem proprietatem habet. Nam quum sit copiosus quando fluit, nec in lapsu segnis, postea totus a fontibus deficiens per sex dierum spatium siccum alveum oculis spectandum præbet. Deinde, ac si nullam mutationem passus fuisset, die septimo sibi similis fluit: atque hunc ordinem exacte semper servari observatum est; unde sane et Sabbaticum eum appellant, a sacra apud Judæos die septima ita nominantes.

(ΙΔ'.) β'. Ὁ δὲ τῶν Ἀντιοχέων δῆμος, ἐπεὶ πλησίον ὄντα Τίτον ἐπυνθάνοντο, μένειν μὲν ἐντὸς τειχῶν ὑπὸ χαρᾶς οὐχ ὑπέμενον, ἔσπευδον δ' ἐπὶ τὴν ὑπάντησιν, καὶ τριάκοντα σταδίων ἐπὶ πλέον προῆλθον, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναίων πλῆθος ἅμα παισὶ, τῆς πόλεως ἐκχεόμενοι. Κἀπειδήπερ ἐθεάσαντο προσιόντα, παρὰ τὴν ὁδὸν ἑκατέρωθεν παρακαταστάντες, τάς τε δεξιὰς προὔτεινον προσαγορεύοντες, καὶ παντοίοις ἐπιφημίσμασι χρώμενοι συνυπέστρεφον. Συνεχὴς δ' ἦν αὐτῶν παρὰ πάσας ἅμα τὰς εὐφημίας δέησις ἐκβαλεῖν τῆς πόλεως τοὺς Ἰουδαίους. Τίτος μὲν οὖν οὐδὲν ἐνέδωκε πρὸς ταύτην τὴν δέησιν, ἀλλ' ἡσυχῇ τῶν λεγομένων ἐπήκουεν. Ἐπ' ἀδήλῳ δὲ τῷ τί φρονεῖ καὶ τί ποιήσει πολὺς καὶ χαλεπὸς τοῖς Ἰουδαίοις ὁ φόβος ἦν. Οὐδὲ γὰρ ἐπέμεινεν ἐν Ἀντιοχείᾳ Τίτος, ἀλλ' εὐθὺς ἐπὶ τὸ Ζεῦγμα τὸ κατὰ τὸν Εὐφράτην συνέτεινε τὴν πορείαν· ἔνθα δὴ καὶ παρὰ τοῦ Πάρθων βασιλέως Βολογέσου πρὸς αὐτὸν ἦκον στέφανον χρυσοῦν ἐπὶ τῇ κατὰ τῶν Ἰουδαίων νίκῃ κομίζοντες. Ὃν δεξάμενος εἱστία τοὺς βασιλικοὺς, κἀκεῖθεν εἰς τὴν Ἀντιόχειαν ἐπανέρχεται. Τῆς δὲ βουλῆς καὶ τοῦ δήμου τῶν Ἀντιοχέων πολλὰς ποιησαμένων δεήσεις ἐλθεῖν εἰς τὸ θέατρον αὐτῶν, ἐν ᾧ πᾶν τὸ πλῆθος ἠθροισμένον ἐξεδέχετο, φιλανθρώπως ὑπήκουσε. Πάλιν δ' αὐτῶν σφόδρα λιπαρῶς ἐγκειμένων καὶ συνεχῶς δεομένων ἐξελάσαι τῆς πόλεως τοὺς Ἰουδαίους, εὔστοχον ἐποιήσατο τὴν ἀπόκρισιν, εἰπὼν, « ἀλλ' ἥ γε πατρὶς αὐτῶν εἰς ἣν ἐκβαλεῖν ἐχρῆν ἂν τοὺς « Ἰουδαίους ἀνῄρηται, καὶ δέξαιτ' ἂν οὐδεὶς αὐτοὺς ἔτι « τόπος. » Ἐπὶ δευτέραν οὖν Ἀντιοχεῖς τρέπονται δέησιν τῆς προτέρας ἁμαρτόντες. Τὰς γὰρ χαλκᾶς ἠξίουν δέλτους ἀνελεῖν αὐτὸν, ἐν αἷς γέγραπται τὰ δικαιώματα τῶν Ἰουδαίων. Οὐ μὴν οὐδὲ τοῦτο Τίτος ἐπένευσεν αὐτοῖς, ἀλλ' ἐάσας πάντα κατὰ χώραν τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ὡς πρότερον ἔχειν, εἰς Αἴγυπτον ἀπηλλάττετο. (ΙΕ'.) Καὶ κατὰ τὴν πορείαν τοῖς Ἱεροσολύμοις προσελθὼν καὶ τὴν λυπρὰν ἐρημίαν βλεπομένην ἀντιθεὶς τῇ ποτὲ τῆς πόλεως λαμπρότητι, καὶ τὸ μέγεθος τῶν ἐρρηγμένων κατασκευασμάτων, καὶ τὸ πάλαι κάλλος εἰς μνήμην βαλλόμενος, ὤκτειρε τῆς πόλεως τὸν ὄλεθρον, οὐχ ὥσπερ ἄλλος ἄν τις αὐχῶν ὅτι τηλικαύτην οὖσαν καὶ τοσαύτην εἶλε κατὰ κράτος, ἀλλὰ πολλάκις ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως ὑπάρξασι, καὶ ταύτην ἐπὶ τῇ πόλει τὴν τιμωρίαν γενέσθαι παρασκευάσασιν, οὕτως ἔκδηλος ἦν οὐκ ἂν ἐθελήσας ἐκ τῆς συμφορᾶς τῶν κολασθέντων γενέσθαι τῆς ἀρετῆς αὐτοῦ τὴν ἐπιφάνειαν. Τοῦ δὲ πολλοῦ πλούτου τῆς πόλεως ἔτι καὶ τοῖς ἐρειπίοις οὐκ ὀλίγον μέρος ἀνηυρίσκετο· τὰ μὲν γὰρ πολλὰ ἀνέσκαπτον οἱ Ῥωμαῖοι, τὰ πλείω δ' ἐκ μηνύσεως τῶν αἰχμαλώτων ἀνηροῦντο, χρυσόν τε καὶ ἄργυρον καὶ τὰ τῆς ἄλλης τιμιώτατα κατασκευῆς, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀδήλους τοῦ πολέμου τύχας κατὰ γῆς ἀποτεθησαυρίκεσαν.

γ'. Τίτος δὲ τὴν προκειμένην ποιούμενος πορείαν ἐπ' Αἴγυπτον, καὶ τὴν ἔρημον ᾗ τάχιστα διανύσας, ἧκεν

(XIV.) 2. Antiochensium autem populus, audito Titum appropinquare, manere intra mœnia præ gaudio non sustinebant, et obviam ei egredi properabant, et ad stadium usque tricesimum et amplius progressi sunt, non modo viri, sed etiam feminarum multitudo cum liberis, ex urbe effusi. Et quum appropinquantem vidissent, ex utroque viæ latere stantes et dextras inter salutandem tendebant, variisque ominibus eum excipientes cum ipso revertebantur. Omnibus autem acclamationibus continuo mistæ erant preces de Judæis urbe pellendis. Et Titus quidem huic precationi nihil indulsit, sed tacite quæ dicebantur audiebat. Judæi autem, incerti quid sentiret, quidve facturus esset, magno et tristi metu tenebantur. Neque enim commoratus est Antiochiæ Titus, sed e vestigio ad Zeugma, oppidum ad Euphraten situm, iter contendit: ubi missi quidam a Vologeso rege Parthorum ad eum veniebant cum aurea corona, victoriam Judaicam ei gratulantes. Qua accepta, convivio regios adhibebat, atque inde Antiochiam regreditur. Senatu autem et populo Antiocheno multis precibus eum obsecrantibus, ut in ipsorum theatrum veniret, ubi omnis eum multitudo congregata exspectabat, humanissime illis obsequutus est. Rursus autem iisdem vehementer admodum instantibus et crebro postulantibus ut Judæos urbe pelleret, dextre illis respondit, dicens, « at patria illorum, quo revertendum Judæis esset, eversa « est, neque ullus locus est in quo recipiantur. » Ad alteram itaque petitionem convertuntur Antiocheni, priore frustrati. Rogabant enim ut æneas tabulas, quibus jura Judaica inscripta erant, ipse tolleret. Verum ne id quidem Titus eis concessit, sed Judæos Antiochenes omnia quæ prius habuerant in regione tenere passus, ad Ægyptum discedebat. (XV.) Quumque in itinere Hierosolyma venisset, tristemque solitudinem cum antiquæ civitatis splendore compararet, disjectorumque operum magnitudinem et veterem pulchritudinem in memoriam revocaret, miseratus est excidium civitatis, non sicut alius fecisset cum exsultatione, quod talem ac tantam vi expugnasset; verum aliquoties imprecatus defectionis auctoribus, quique in causa fuerant ut hujusmodi pœna urbi infligeretur, ita palam testatus est se nequaquam velle virtutem suam ex punitorum calamitate clarescere. Ingentis autem urbis opulentiæ magna adhuc pars etiam in ruinis reperiebatur: nam multa quidem Romani effodiebant, plura vero ex captivorum indicio auferebantur, aurum atque argentum, aliaque instrumenta pretiosissima, quæ possessores ob incertam belli fortunam terræ mandarant.

3 Titus vero propositum iter ad Ægyptum faciens, emensaque velociter solitudine, Alexandriam perveniebat:

εἰς Ἀλεξάνδρειαν· καὶ πλεῖν ἐπὶ τῆς Ἰταλίας διεγνωκὼς, δυοῖν αὐτῷ ταγμάτων συνηκολουθηκότων, ἑκάτερον ὅθεν περ ἀφῖκτο πάλιν ἀπέστειλεν, εἰς μὲν τὴν Μυσίαν τὸ πέμπτον, εἰς Παννονίαν δὲ τὸ πεντεκαιδέκατον. Τῶν αἰχμαλώτων δὲ τοὺς μὲν ἡγεμόνας Σίμωνα καὶ Ἰωάννην, τόν τε ἄλλον ἀριθμὸν ἑπτακοσίους ἀνδρας ἐπιλέξας μεγέθει τε καὶ κάλλει σωμάτων ὑπερβάλλοντας, προσέταξεν εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα κομίζεσθαι, βουλόμενος αὐτοὺς ἐν τῷ θριάμβῳ παραγαγεῖν. (ΙϚ΄.) Τοῦ πλοῦ δ' αὐτῷ κατὰ νοῦν ἀνυσθέντος, ὁμοίως μὲν ἡ Ῥώμη περὶ τὴν ὑποδοχὴν εἶχε καὶ τὰς ὑπαντήσεις, ὥσπερ ἐπὶ τοῦ πατρός. Λαμπρότατον δ' ἦν Τίτῳ καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν καὶ δεχόμενος. Τῷ δὲ πλήθει τῶν πολιτῶν δαιμόνιόν τινα τὴν χαρὰν παρεῖχε τὸ βλέπειν αὐτοὺς ἤδη τοὺς τρεῖς ἐν ταυτῷ γεγονότας. Οὐ πολλῶν δ' ἡμερῶν διελθουσῶν, ἕνα καὶ κοινὸν ἔγνωσαν τὸν ἐπὶ τοῖς κατωρθωμένοις ποιήσασθαι θρίαμβον, καίπερ ἑκατέρῳ τῆς βουλῆς ἴδιον ψηφισαμένης. Προδιασαφηθείσης δὲ τῆς ἡμέρας, ἐφ' ἧς ἔμελλεν ἡ πομπὴ γενήσεσθαι τῶν ἐπινικίων, οὐδεὶς οἶκοι καταλέλειπτο τῆς ἀμέτρου πληθύος ἐν τῇ πόλει· πάντες δ' ὅπῃ καὶ στῆναι μόνον ἦν οἷον προεληλυθότες, τοὺς τόπους κατειλήφεσαν, ὅσον τοῖς ὀφθησομένοις μόνον εἰς πάροδον ἀναγκαίαν καταλιπόντες.

δ΄. Τοῦ δὲ στρατιωτικοῦ παντὸς ἔτι νύκτωρ κατὰ λόχους καὶ τάξεις ὑπὸ τοῖς ἡγεμόσι προεξωδευκότος καὶ περὶ θύρας ὄντος, οὐ τῶν ἄνω βασιλείων, ἀλλὰ πλησίον τοῦ τῆς Ἴσιδος ἱεροῦ (ἐκεῖ γὰρ ἀνεπαύοντο τῆς νυκτὸς ἐκείνης οἱ αὐτοκράτορες), περὶ αὐτὴν ἀρχομένην ἤδη τὴν ἕω παρίασιν Οὐεσπασιανὸς καὶ Τίτος δάφνῃ μὲν ἐστεφανωμένοι, πορφυρᾶς δ' ἐσθῆτας πατρίους ἀμπεχόμενοι, καὶ παρίασιν εἰς τοὺς Ὀκταουίας περιπάτους. Ἐνταῦθα γὰρ ἥ τε βουλὴ καὶ τὰ τέλη τῶν ἀρχόντων οἵ τε ἀπὸ τῶν τιμημάτων ἱππεῖς τὴν ἄφιξιν αὐτῶν ἀνέμενον. Πεποίητο δὲ βῆμα πρὸ τῶν στοῶν, δίφρων αὐτοῖς ἐλεφαντίνων ἐπ' αὐτοῦ κειμένων, ἐφ' οὓς παρελθόντες ἐκαθέσθησαν, καὶ τὸ στρατιωτικὸν εὐθέως ἐπηυφήμει, πολλὰς αὐτοῖς τῆς ἀρετῆς μαρτυρίας ἀποδιδόντες ἅπαντες. Κἀκεῖνοι χωρὶς ὅπλων ἦσαν ἐν ἐσθῆσι σηρικαῖς, ἐστεφανωμένοι δάφναις. Δεξάμενος δ' αὐτῶν τὴν εὐφημίαν Οὐεσπασιανὸς, ἔτι βουλομένων λέγειν, τὸ τῆς σιγῆς ἐποιήσατο σύμβολον. Καὶ πολλῆς ἐκ πάντων ἡσυχίας γενομένης ἀναστὰς, καὶ τῷ περιβλήματι τὸ πλέον τῆς κεφαλῆς μέρος ἐπικαλυψάμενος, εὐχὰς ἐποιήσατο τὰς νενομισμένας· ὁμοίως δὲ καὶ Τίτος ηὔξατο. Μετὰ δὲ τὰς εὐχὰς εἰς κοινὸν ἅπασιν Οὐεσπασιανὸς βραχέα διαλεχθεὶς τοὺς μὲν στρατιώτας ἀπέλυσεν ἐπὶ τὸ νενομισμένον ἄριστον αὐτοῖς ὑπὸ τῶν αὐτοκρατόρων εὐτρεπισθέν· πρὸς δὲ τὴν πύλην αὐτὸς ἀνεχώρει τὴν ἀπὸ τοῦ πέμπεσθαι δι' αὐτῆς ἀεὶ τοὺς θριάμβους τῆς προσηγορίας ἀπ' αὐτῶν τετυχυῖαν. Ἐνταῦθα τροφῆς προαπογεύονται καὶ τὰς θριαμβικὰς ἐσθῆτας ἀμφιασάμενοι τοῖς τε παριδρυμένοις τῇ πύλῃ ὑσαντες θεοῖς ἔπεμπον τὸν θρίαμβον, διὰ τῶν θεάτρων

decretoque in Italiam navigare, ex duabus legionibus, quæ illum comitabantur, utramque unde venerant remisit, quintam quidem in Mysiam, decimam vero quintam in Pannoniam. Captivorum autem duces, Simonem et Joannem, et alios numero ad septingentos viros, quos proceritate et elegantia corporum præstantes elegerat, statim in Italiam transportari jussit, eo animo ut illos in triumphum duceret. (XVI.) Peracta vero ut volebat navigatione, similiter Roma eum suscipere gestiebat, eique obviam ire studebat, ac patri. Tito autem maximum in splendorem cedebat, quod pater ei obviam veniret ipse eumque susciperet. Civium vero multitudini divinam quandam lætitiam afferebat, quod jam videret tres ipsos in unum locum convenisse. Non multis autem diebus post, unum et communem triumphum agere ob res prospere gestas statuerunt, quamvis utrique senatus proprium decreverat. Quumque ante declarata esset dies, qua processura erat pompa victoriæ, nemo ex infinita civium multitudine domi remansit : sed omnes quum exissent, spatium ubi tantum stare possent occupaverant, loco duntaxat, quantus spectandis sufficeret, ad transitum necessarium relicto.

4. Quum autem milites omnes, dum adhuc nox esset, per turmas atque ordines progressi fuissent sub ductoribus suis, et circa januas constitissent, non palatii superioris, sed prope Isidis templum (ibi enim imperatores nocte illa quiescebant), quum jam primo dilucesceret, foras prodeunt Vespasianus et Titus, lauro quidem coronati, amicti vero patria veste purpurea, et ad Octaviæ ambulacra progrediuntur. Illic enim senatus et primores magistratuum, virique census equestris adventum illorum exspectabant. Tribunal autem ante porticus factum erat, sellæque eburneæ illis in eo positæ, quibus ascensis consederunt, et milites statim acclamabant, multa virtutis testimonia illis universim reddentes. Atque illi inermes erant veste serica induti, et laureis coronati. Vespasianus autem, ubi illorum acclamationes acceperat, quum adhuc dicere vellent, silentii signum dedit. Magnaque omnium quiete facta surrexit, et amictu majorem capitis partem adopertus, preces solemnes adhibuit; itidemque Titus precatus est. Finitis autem precibus Vespasianus, in commune omnes paucis alloquutus, milites ad prandium more debitum, illis ab imperatoribus apparatum, dimisit : ipse vero ad portam regrediebatur, quæ ex eo, quod per illam semper triumphorum pompa ducitur, nomen accepit. Ibi cibum prius gustabant, et triumphalibus vestibus amicti, diisque ad portam collocatis cæsa hostia, per theatra transeuntes

διεξελαύνοντες, ὅπως εἴη τοῖς πλήθεσιν ἡ θέα ῥᾴων.

(ΙΖ'.) ε'. Ἀμήχανον δὲ κατὰ τὴν ἀξίαν εἰπεῖν τῶν θεαμάτων ἐκείνων τὸ πλῆθος καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασιν οἷς ἄν τις ἐπινοήσειεν, ἢ τεχνῶν ἔργοις, ἢ πλούτου μέρεσιν, ἢ φύσεως σπανιότησι. Σχεδὸν γὰρ ὅσα τοῖς πώποτ' ἀνθρώποις εὐδαιμονήσασιν ἐκτήθη κατὰ μέρος, ἄλλα παρ' ἄλλοις θαυμαστὰ καὶ πολυτελῆ, ταῦτ' ἐπὶ τῆς ἡμέρας ἐκείνης ἀθρόα τῆς Ῥωμαίων ἡγεμονίας ἔδειξε τὸ μέγεθος. Ἀργύρου γὰρ καὶ χρυσοῦ καὶ ἐλέφαντος ἐν παντοίαις ἰδέαις κατασκευασμάτων ἦν ὁρᾶν, οὐχ ὥσπερ ἐν πομπῇ κομιζόμενον, πλῆθος, ἀλλ' ὡς ἂν εἴποι τις ῥέοντα ποταμόν. Καὶ τὰ μὲν ἐκ πορφύρας ὑφάσματα τῆς σπανιωτάτης φερόμενα, τὰ δ' εἰς ἀκριβῆ ζωγραφίαν πεποικιλμένα τῇ Βαβυλωνίων τέχνῃ· λίθοι τε διαφανεῖς, οἱ μὲν χρυσοῖς ἐμπεπλεγμένοι στεφάνοις, οἱ δὲ κατ' ἄλλας ποιήσεις, τοσοῦτοι παρηνέχθησαν, ὥστε μαθεῖν ὅτι μάτην εἶναί τι τούτων σπάνιον ὑπειλήφαμεν. Ἐφέρετο δὲ καὶ θεῶν ἀγάλματα, τῶν παρ' αὐτοῖς μεγέθεσι θαυμαστά, καὶ κατὰ τὴν τέχνην οὐ παρέργως πεποιημένα· καὶ τούτων οὐδὲν ὅ τι μὴ τῆς ὕλης τῆς πολυτελοῦς. Ζῴων τε πολλαὶ φύσεις παρήγοντο, κόσμον οἰκεῖον ἁπάντων περικειμένων. Ἦν δὲ καὶ τὸ κομίζον ἕκαστα τούτων ἀνθρώπων πλῆθος ἁλουργαῖς ἐσθῆσι καὶ διαχρύσοις κεκοσμημένον, οἵτ' εἰς αὐτὸ τὸ πομπεύειν διακριθέντες ἑξαίρετον εἶχον καὶ καταπληκτικὴν περὶ αὐτοὺς τοῦ κόσμου τὴν πολυτέλειαν. Ἐπὶ τούτοις οὐδὲ τῶν αἰχμαλώτων ἦν ἰδεῖν ὄχλον ἀκόσμητον· ἀλλ' ἡ τῶν ἐσθήτων ποικιλία, καὶ τὸ κάλλος αὐτῆς τὴν ἀπὸ τῆς κακώσεως τῶν σωμάτων ἀηδίαν ἔκλεπτε τῆς ὄψεως. Θαῦμα δὲ ἐν τοῖς μάλιστα παρεῖχεν ἡ τῶν φερομένων πηγμάτων κατασκευή· καὶ γὰρ διὰ μέγεθος ἦν δεῖσαι τῷ βεβαίῳ τῆς φορᾶς ἀπαντήσαντα. Τριώροφα γὰρ αὐτῶν πολλὰ καὶ τετρώροφα πεποίητο, καὶ τῇ πολυτελείᾳ τῇ περὶ τὴν κατασκευὴν ἦν ἡσθῆναι μετ' ἐκπλήξεως. Καὶ γὰρ ὑφάσματα πολλοῖς διάχρυσα περιεβέβλητο, καὶ χρυσὸς καὶ ἐλέφας οὐκ ἀποίητος πᾶσι περιεπεπήγει. Διὰ πολλῶν δὲ μιμημάτων ὁ πόλεμος ἄλλως εἰς ἄλλα μεμερισμένος ἐναργεστάτην ὄψιν ἑαυτοῦ παρεῖχεν. Ἦν γὰρ ὁρᾶν χώραν μὲν εὐδαίμονα δῃουμένην, ὅλας δὲ φάλαγγας κτεινομένας πολεμίων, καὶ τοὺς μὲν φεύγοντας, τοὺς δ' εἰς αἰχμαλωσίαν ἀγομένους, τείχη δὲ ὑπερβάλλοντα μεγέθει μηχαναῖς ἐρειπόμενα, καὶ φρουρίων ἁλισκομένας ὀχυρότητας, καὶ πόλεων πολυανθρώπων περιβόλους κατ' ἄκρας ἐχομένους, καὶ στρατιὰν ἔνδον τειχῶν εἱσχεομένην, καὶ πάντα φόνου πληθύοντα τόπον, καὶ τῶν ἀδυνάτων χεῖρας ἀνταιρεῖν ἱκεσίας, πῦρ τε ἐνιέμενον ἱεροῖς καὶ κατασκαφὰς οἴκων ἐπὶ τοῖς δεσπόταις, καὶ μετὰ πολλὴν ἐρημίαν καὶ κατήφειαν ποταμοὺς ῥέοντας οὐκ ἐπὶ γῆν γεωργουμένην, οὐδὲ ποτὸν ἀνθρώποις ἢ βοσκήμασιν, ἀλλὰ διὰ τῆς ἔτι πανταχόθεν φλεγομένης. Ταῦτα γὰρ Ἰουδαῖοι πεισομένους αὐτοὺς τῷ πολέμῳ παρέδοσαν. Ἡ τέχνη δὲ καὶ τῶν κατασκευασμάτων ἡ μεγαλουργία τοῖς οὐκ εἰδόσι

triumphum agebant, ut multitudini facilior esset aspectus.

(XVII.) 5. Fieri autem nequit ut pro dignitate enarretur spectaculorum illorum multitudo, et magnificentia in omnibus quibus aliquis animum intenderit, sive artium operibus, sive divitiarum partibus, sive naturæ raritatibus. Nam omnia fere quæ ab hominibus unquam beatis præcipua possessa erant, alia apud alios mirabilia atque magnifica, ista universa illo die Romani imperii magnitudinem ostenderunt. Nam et argenti et auri et eboris in omni operum specie cernere erat non copiam qualis in pompa gestari solet, sed, ut ita dixerim, continuum flumen. Et partim quidem vestes ex purpura rarissima textas portabant, partim vero in accuratissimas picturas arte Babyloniorum variatas; gemmæ etiam, aliæ quidem aureis coronis insertæ, aliæ vero aliis operibus inclusæ, in medium tam magno numero prælatæ erant, ut discere liceret, frustra nos earum aliquid rarum esse existimasse. Etiam deorum simulacra ferebantur, magnitudine apud ipsos mirabilia, et arte eximia elaborata: horumque nihil nisi quod ex pretiosa materia. Insuper animalia diversæ naturæ traducebantur, omnia ornamentis sibi propriis induta. Erant autem etiam qui singula portarent homines multi purpureis vestibus atque inauratis ornati; quique ad pompam fuerant destinati, insignem et admirabilem ornamentorum magnificentiam gerebant. Præterea ne captivorum quidem turbam cernere erat inornatam: sed vestium varietas ejusque pulchritudo natam ex fatigatione corporum deformitatem oculis subtrahebat. Maximæ autem admirationi erat ferculorum quæ portabantur apparatus: nam et propter magnitudinem de gestationis firmitate metuebat quicunque occurrerit. Multa quippe in tertium tabulatum quartumque surrexerunt: et magnificentia fabricæ delectationem simul afferebat et stuporem incutiebat. Nam et in multis amictus erat auratæ vestis, et argentum atque ebur factum omnibus affixum erat. Multis autem ad imitationem factis bellum, aliter in alia divisum, sese in conspectum manifestissimum dedit. Erat enim cernere, vastari quidem beatissimam terram, totas vero interfici acies hostium, et alios fugere, alios captivos duci, muroseque magnitudine insignes machinis dirui, et castellorum munimina exscindi, et populosarum civitatum mœnia in summis jugis superari, exercitumque intra muros infundi, et loca omnia cædis plena, eosque qui manibus resistere non poterant ad preces conversos, atque ignem templis immissum, ædiumque super dominos eversionem; et post multam tristemque desolationem fluvios non in arva culta decurrentes, neque ad hominum vel pecorum potum, sed per terram adhuc undique ardentem. Hæc enim passuros se Judæi in bellum dederunt. Ars vero operumque magnificentia, quæ tunc facta erant nescientibus, haud secus ac si præsentes fuissent, ostendebant.

τὰ γινόμενα τότε ἐδείκνυεν ὡς παροῦσι. Τέταχτο δ' ἐφ' ἑκάστῳ τῶν πηγμάτων ὁ τῆς ἁλισκομένης πόλεως στρατηγὸς, ὃν τρόπον ἐλήφθη. Πολλαὶ δὲ καὶ νῆες εἵποντο. Λάφυρα δὲ τὰ μὲν ἄλλα χύδην ἐφέρετο· διέπρεπε δὲ πάντων τὰ ἐγκαταληφθέντα τῷ ἐν Ἱεροσολύμοις ἱερῷ, χρυσῆ τε τράπεζα τὴν ὁλκὴν πολυτάλαντος, καὶ λυχνία χρυσοῦ μὲν ὁμοίως πεποιημένη· τὸ δὲ ἔργον ἐξήλλακτο τῆς κατὰ τὴν ἡμετέραν χρῆσιν συνηθείας. Ὁ μὲν γὰρ μέσος ἦν κίων ἐκ τῆς βάσεως πεπηγὼς, λεπτοὶ δ' ἀπ' αὐτοῦ μεμήκυντο καυλίσκοι, τριαίνης σχήματι παραπλησίαν τὴν θέσιν ἔχοντες, λύχνον ἕκαστος αὐτῶν ἐπ' ἄκρων κεχαλκευμένος· ἑπτὰ δ' ἦσαν οὗτοι, τῆς παρὰ τοῖς Ἰουδαίοις ἑβδομάδος τὴν τιμὴν ἐμφανίζοντες. Ὅ τε νόμος ὁ τῶν Ἰουδαίων ἐπὶ τούτοις ἐφέρετο τῶν λαφύρων τελευταῖος. Ἐπὶ τούτοις παρῆσαν πολλοὶ, νίκης ἀγάλματα κομίζοντες· ἐξ ἐλέφαντος δ' ἦν πάντων καὶ χρυσοῦ ἡ κατασκευή. Μεθ' ἃ Οὐεσπασιανὸς ἤλαυνε πρῶτος, καὶ Τίτος εἵπετο, Δομετιανὸς δὲ παρίππευεν, αὐτός τε διαπρεπῶς κεκοσμημένος καὶ τὸν ἵππον παρέχων θέας ἄξιον.

(IH'.) ς'. Ἦν δὲ τῆς πομπῆς τὸ τέλος ἐπὶ τὸν νεὼν τοῦ Καπετωλίου Διὸς, ἐφ' ὃν ἐλθόντες ἔστησαν. Ἦν γὰρ παλαιὸν πάτριον περιμένειν, μέχρις ἂν τὸν τοῦ στρατηγοῦ τῶν πολεμίων θάνατον ἀπαγγείλῃ τις. Σίμων οὗτος ἦν ὁ Γιώρα, τότε πεπομπευκὼς ἐν τοῖς αἰχμαλώτοις, βρόχῳ δὲ περιβληθεὶς εἰς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐσύρετο τόπον, αἰκιζομένων αὐτὸν ἅμα τῶν ἀγόντων. Νόμος δ' ἐστὶ Ῥωμαίοις ἐκεῖ κτείνειν τοὺς ἐπὶ κακουργίᾳ θάνατον κατεγνωσμένους. Ἐπεὶ δ' ἀπηγγέλθη τέλος ἔχων καὶ πάντες ηὐφήμησαν, ἤρχοντο τῶν θυσιῶν, ἃς ἐπὶ ταῖς νομιζομέναις καλλιερήσαντες εὐχαῖς ἀπῆσαν εἰς τὸ βασίλειον. Καὶ τοὺς μὲν αὐτοὶ πρὸς εὐωχίαν ὑπεδέχοντο, τοῖς δ' ἄλλοις ἅπασιν εὐπρεπεῖς κατὰ τὸ οἰκεῖον αἱ τῆς ἑστιάσεως ἦσαν παρασκευαί. Ταύτην γὰρ τὴν ἡμέραν ἡ Ῥωμαίων πόλις ἑώρταζεν, ἐπινίκιον μὲν τῆς κατὰ τῶν πολεμίων στρατείας, πέρας δὲ τῆς τῶν ἐμφυλίων κακῶν, ἀρχὴν δὲ τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων.

(IΘ'.) ζ'. Μετὰ δὲ τοὺς θριάμβους καὶ τὴν βεβαιοτάτην τῆς Ῥωμαίων ἡγεμονίας κατάστασιν Οὐεσπασιανὸς ἔγνω τέμενος Εἰρήνης κατασκευάσαι, ταχὺ δὲ δὴ μάλα καὶ πάσης ἀνθρωπίνης κρεῖττον ἐπινοίας ἐτετελείωτο. Τῇ γὰρ ἐκ τοῦ πλούτου χορηγίᾳ δαιμονίῳ χρησάμενος, ἔτι καὶ τοῖς ἐκπαλαι κατωρθωμένοις, γραφῆς τε καὶ πλαστικῆς ἔργοις αὐτὸ κατεκόσμησε. Πάντα γὰρ εἰς ἐκεῖνον τὸν νεὼν συνήχθη καὶ κατετέθη, δι' ὧν τὴν θέαν ἄνθρωποι πρότερον περὶ πᾶσαν ἐπλανῶντο τὴν οἰκουμένην, ὡς ἄλλο παρ' ἄλλοις ἦν κείμενον ἰδεῖν ποθοῦντες. Ἀνέθηκε δ' ἐνταῦθα καὶ τὰ ἐκ τοῦ ἱεροῦ τῶν Ἰουδαίων χρυσᾶ κατασκευάσματα, σεμνυνόμενος ἐπ' αὐτοῖς. Τὸν δὲ νόμον αὐτῶν καὶ τὰ πορφυρᾶ τοῦ σηκοῦ καταπετάσματα προσέταξεν ἐν τοῖς βασιλείοις ἀποθεμένους φυλάττειν.

Erat autem per singula fercula captæ civitatis dux, quo modo captus erat, collocatus. Etiam naves multæ sequebantur. Spolia vero alia quidem passim ferebantur: omnia autem supereminebant quæ in templo erant Hierosolymitano deprehensa; mensa aurea quæ pondere plura talenta æquabat, et lychnuchus ex auro similiter constructus, sed opere diverso a nostri usus consuetudine. Nam medius quidem stipes basi impactus surgebat, et tenues ab eo rami producebantur, ad fuscinæ similitudinem positi, in quorum singulorum apice lychnus erat fabricatus: erant autem isti septem, numeri septenarii honorem apud Judæos indicantes. Post hæc lex etiam Judæorum, ultimum spoliorum, portabatur. Deinde transibant multi victoriæ simulacra gestantes; omnia ex auro et ex ebore facta. Post hæc proxime equo vehebatur Vespasianus, et sequebatur Titus; Domitianus autem cum illis equitabat, et ipse splendide vestitus, et equo conspicuus admodum specioso.

(XVIII.) 6. Finis autem pompæ erat ad templum Jovis Capitolini, quo quum pervenissent constitere. Erat enim vetus mos patrius illic manere paulisper, donec ducis hostium mors ab aliquo nunciaretur. Is autem erat Simon Gioræ filius, hinc inter captivos in pompa traductus; laqueo vero circumdatus in locum foro imminentem trahebatur, simul virgis mulcatus ab iis qui eum ducebant. Lex autem Romanis est ut ibi necentur ob maleficia morte damnati. Postquam autem eum vitæ finem habere nunciatum est, et læte acclamarant universi, ex eo cœperunt sacra facere; quumque adhibitis precibus solemnibus litassent, in palatium recesserunt. Et alios quidem epulis ipsi exceperunt; aliis autem omnibus domi instructi erant lauti conviviorum apparatus. Hunc enim diem celebrabat urbs Romana victoriæ ergo in expeditione contra hostes reportatæ, finisque malorum civilium, bonæque spei initæ de felicitate.

(XIX.) 7. Post triumphos vero et firmam imperii Romani constitutionem Vespasianus statuit Paci templum ædificare: fecitque cito admodum, et pulchrius meliusque omni opinione perfecit. Magnis enim opibus largiter in hanc rem usus, et priscorum etiam præclara omnia adhibens, picturis et statuis pulcherrimis illud adornavit. Omnia enim in hoc templum collata et disposita erant, quorum visendorum studio homines antea per totum terrarum orbem vagabantur, quo modo aliud apud alios se haberet, videre cupientes. Posuit autem hic etiam illa e Judæorum templo vasa et instrumenta aurea, de iis se efferens. Legem vero eorum, et vela tabernaculi purpurea, in palatio reposita servari præcepit.

ΚΕΦ. Ϛ'.

Εἰς δὲ τὴν Ἰουδαίαν πρεσβευτὴς Λουκίλιος Βάσσος ἐκπεμφθεὶς καὶ τὴν στρατιὰν παρὰ Κερεαλίου Οὐϊτελλιανοῦ παραλαβὼν τὸ μὲν ἐν τῷ Ἡρωδείῳ φρούριον προσηγάγετο μετὰ τῶν ἐχόντων· μετὰ ταῦτα δὲ πᾶν ὅσον ἦν στρατιωτικὸν συναγαγών (πολὺ δ' ἦν κατὰ μέρη διῃρημένον) καὶ τῶν ταγμάτων τὸ δέκατον, ἔγνω στρατεύειν ἐπὶ Μαχαιροῦντα. Πάνυ γὰρ ἦν ἀναγκαῖον ἐξαιρεθῆναι τὸ φρούριον, μὴ διὰ τὴν ὀχυρότητα πολλοὺς εἰς ἀπόστασιν ἐπαγάγηται· καὶ γὰρ τοῖς κατέχουσι βεβαίαν ἐλπίδα σωτηρίας καὶ τοῖς ἐπιοῦσιν ὄκνον καὶ δέος ἡ τοῦ χωρίου φύσις ἦν παρασχεῖν ἱκανωτάτη. (ΚΑ'.) Αὐτὸ μὲν γὰρ τὸ τετειχισμένον πετρώδης ὄχθος ἐστὶν, εἰς μήκιστον ὕψος ἐγηγερμένος, ὡς εἶναι καὶ διὰ τοῦτο δυσχείρωτος. Μεμηχάνηται δ' ὑπὸ τῆς φύσεως εἶναι μηδὲ προσιτός· φάραγξι γὰρ πάντοθεν ἀσύνοπτον ἐχούσαις τὸ βάθος περιτετάφρευται, μήτε περαθῆναι ῥᾳδίως δυναμέναις, καὶ χωσθῆναι παντάπασιν ἀμηχάνοις. Ἡ μὲν γὰρ ἀπὸ τῆς ἑσπέρας περιτέμνουσα παρατείνει σταδίους ἑξήκοντα, πέρας αὐτῆς τὴν Ἀσφαλτῖτιν ποιουμένη λίμνην (κατὰ τοῦτο δέ πῃ καὶ αὐτὸς ὁ Μαχαιροῦς τὴν ὑψηλοτάτην ἔχει κορυφὴν ὑπερανίσχουσαν)· αἱ δὲ ἀπὸ τῆς ἄρκτου καὶ μεσημβρίας φάραγγες μεγέθει μὲν ἀπολείπονται τῆς προειρημένης, ὁμοίως δ' εἰσὶν ἀμήχανοι πρὸς ἐπιχείρησιν. Τῆς δὲ πρὸς τὴν ἀνατολὴν φάραγγος τὸ μὲν βάθος οὐκ ἔλαττον ἑκατὸν εὑρίσκεται πηχῶν, τέρμα δὲ γίνεται πρὸς ὄρος ἀπαντικρὺ κείμενον Μαχαιροῦντος.

β'. Ταύτην τοῦ τόπου κατιδὼν τὴν φύσιν βασιλεὺς Ἰουδαίων Ἀλέξανδρος πρῶτος ἐπ' αὐτοῦ τειχίζει φρούριον, ὃ μετὰ ταῦτα Γαβίνιος Ἀριστοβούλῳ πολεμῶν καθεῖλεν. Ἡρώδῃ δὲ βασιλεύοντι παντὸς ἔδοξε μᾶλλον ἐπιμελείας ἄξιον εἶναι καὶ κατασκευῆς ὀχυρωτάτης, μάλιστα καὶ διὰ τὴν τῶν Ἀράβων γειτνίασιν· κεῖται γὰρ ἐν ἐπικαίρῳ πρὸς τὴν ἐκείνων γῆν ἀποβλέπων. Μέγαν μὲν οὖν τόπον τείχεσι καὶ πύργοις περιβαλὼν πόλιν ἐνταῦθα κατῴκισεν, ἐξ ἧς ἄνοδος εἰς αὐτὴν ἔφερε τὴν ἀκρώρειαν. Οὐ μὴν ἀλλὰ καὶ περὶ αὐτὴν ἄνω τὴν κορυφὴν τεῖχος ἐδείματο καὶ πύργους ἐπὶ ταῖς γωνίαις ἑκατὸν ἑξήκοντα πηχῶν ἀνέστησε. Μέσον δὲ τοῦ περιβόλου βασίλειον ᾠκοδομήσατο, μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων πολυτελές, πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑποδοχὴν ὕδατος καὶ χορηγίαν ἄφθονον, ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων κατεσκεύασεν, ὥσπερ πρὸς τὴν φύσιν ἁμιλληθείς, ἵν' αὐτὸς τὸ κατ' ἐκείνην τοῦ τόπου δυσάλωτον ὑπερβάληται ταῖς χειροποιήτοις ὀχυρώσεσιν· ἔτι τε γὰρ καὶ βελῶν πλῆθος καὶ μηχανημάτων ἐγκατέθετο καὶ πᾶν ἐπενόησεν ἑτοιμάσασθαι τὸ παρασχεῖν δυνάμενον τοῖς ἐνοικοῦσι μηκίστης πολιορκίας καταφρόνησιν.

(ΚΒ'.) γ'. Ἐπεφύκει δ' ἐν τοῖς βασιλείοις καὶ πήγανον ἄξιον τοῦ μεγέθους θαυμάσαι· συχῆς γὰρ οὐδεμιᾶς

CAP. VI. (XX.)

In Judæam vero legatus missus Lucilius Bassus cum exercitu quem a Cereali Vitelliano acceperat, castellum quidem Herodeum cum præsidio deditione capiebat : post autem, copiis omnibus militaribus collectis (multas enim in partes divisæ erant), interque eas legione decima, statuit exercitum educere contra Machæruntem. Quippe omnino necesse erat exscindi castellum, ne multos ob firmitatem ad defectionem moveret : nam et salutis spem certam illud tenentibus, et aggredientibus cunctationem atque formidinem ex natura loci maxime afferre poterat. (XXI.) Nam quod muro cingitur, saxosus est collis in maximam altitudinem evectus, adeo ut difficulter admodum capi potuerit. Quin et a natura ita paratum erat, ut nullus in id pateret accessus; utpote vallibus quasi fossis undique cinctum in quarum altitudinem oculi penetrare non poterant, neque facile transeundis, nulloque modo terræ aggestione complendis. Nam ea quæ ab occidente secat vallis per sexaginta stadia diffunditur, lacum Asphaltiten sibi limitem faciens (et hac parte ipse Machærus altissimum verticem habet supereminentem) : a septemtrione autem et meridie valles magnitudine quidem a prædicta superantur, similiter vero sunt inexpugnabiles. Ejus autem quæ ab oriente est vallis profunditas quidem non minor centum cubitis invenitur : terminatur vero monte ex adverso Machæruntis posito.

2. Alexander rex Judæorum, conspecta loci natura, primus in eo castellum munivit; quod postea Gabinius, bellum gerens contra Aristobulum, demolitus est. Herodi autem regnanti visum est omni loco dignius, cui adhiberetur cura et constructio validissima, maximeque propter Arabum vicinitatem : nam commode situm erat, illorum terram prospectans. Et magno quidem loco quum murum circumdedisset et turres, urbem illic condidit, unde in arcem ipsam patebat ascensus. Verumtamen et circa ipsum verticem superædificavit murum, turresque in angulis centum sexagenorum cubitorum erexit. In medio autem ambitu regiam exstruxit, conspicuam magnitudine et pulchritudine conclavium : insuper et multas cisternas, in locis maxime idoneis ad aquam excipiendam abundeque suppeditandam, paravit, certamine ab ipso veluti cum natura inito, ut quod illa situ loci inexpugnabile fecerat, ipse manu structis munitionibus superaret. Insuper enim et sagittarum multitudinem et machinarum reposuit, animumque adjecit ad ea omnia paranda, quibus incolas faceret contemptui habere longissimam obsidionem.

(XXII.) 3. In ipsa quoque regia olim fuerat ruta mirandæ magnitudinis : a nulla enim ficu vel altitudine vel crassitu-

ὕψους καὶ πάχους ἀπελείπετο. Λόγος δ' ἦν ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, κἂν ἐπὶ πλεῖστον ἴσως ἔμεινεν· ἐξεκόπη δ' ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων. (ΚΓ'.) Τῆς φάραγγος δὲ τῆς κατὰ τὴν ἄρκτον περιεχούσης τὴν πόλιν Βαάρας ὀνομάζεταί τις τόπος, φύει τε ῥίζαν ὁμωνύμως λεγομένην αὐτῷ. Αὕτη φλογὶ μὲν τὴν χροιὰν ἔοικε, περὶ δὲ τὰς ἑσπέρας σέλας ἀπαστράπτουσα τοῖς ἐπιοῦσι καὶ βουλομένοις λαβεῖν αὐτὴν οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει, καὶ οὐ πρότερον ἵσταται πρὶν ἄν τις οὖρον γυναικὸς ἢ τὸ ἔμμηνον αἷμα χέῃ κατ' αὐτῆς· οὐ μὴν ἀλλὰ καὶ τότε τοῖς ἁψαμένοις πρόδηλός ἐστι θάνατος, εἰ μὴ τύχοι τις αὐτὴν ἐκείνην ἐπενεγκάμενος τὴν ῥίζαν ἐκ τῆς χειρὸς ἀπηρτημένην. Ἁλίσκεται δὲ καὶ καθ' ἕτερον τρόπον ἀκινδύνως, ὅς ἐστι τοιόσδε. Κύκλῳ πᾶσαν αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ κρυπτόμενον τῆς ῥίζης βραχύτατον, εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι κύνα, κἀκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος, ἡ μὲν ἀνασπᾶται ῥᾳδίως, θνήσκει δ' εὐθὺς ὁ κύων, ὥσπερ ἀντιδοθεὶς τοῦ μέλλοντος τὴν βοτάνην ἀναιρήσεσθαι. Φόβος γὰρ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. Ἔστι δὲ μετὰ τοσούτων κινδύνων διὰ μίαν ἰσχὺν περισπούδαστος· τὰ γὰρ καλούμενα δαιμόνια (ταῦτα δὲ πονηρῶν ἐστιν ἀνθρώπων πνεύματα) τοῖς ζῶσιν εἰσδυόμενα καὶ κτείνοντα τοὺς βοηθείας μὴ τυγχάνοντας, αὕτη ταχέως ἐξελαύνει, κἂν προσενεχθῇ μόνον τοῖς νοσοῦσι. Ῥέουσι δὲ καὶ θερμῶν ὑδάτων πηγαὶ κατὰ τὸν τόπον πολὺ τὴν γεῦσιν ἀλλήλων διαφέρουσαι. Πικραὶ μὲν γὰρ αὐτῶν τινές εἰσιν, αἱ δὲ γλυκύτητος οὐδὲν ἀπολείπουσι. Πολλαὶ δὲ καὶ ψυχρῶν ὑδάτων ἀναδόσεις οὐ μόνον ἐν τῷ χθαμαλωτέρῳ τὰς πηγὰς παραλλήλους ἔχουσιν, ἀλλ' ὡς ἂν καὶ μᾶλλόν τις θαυμάσειε· σπήλαιον γάρ τι πλησίον ὁρᾶται κοιλότητι μὲν οὐ βαθῦ, τῇ πέτρᾳ δὲ προὐχούσῃ σκεπόμενον· ταύτης ἄνωθεν ὡσανεὶ μαστοὶ δύο ἀνέχουσιν, ἀλλήλων ὀλίγῳ διεστῶτες, καὶ ψυχροτάτην μὲν ἕτερος πηγήν, ἕτερος δὲ θερμοτάτην ἐκδίδωσιν· αἱ μισγόμεναι ποιοῦσι λουτρὸν ἥδιστον παιώνιόν τε νοσημάτων, πολλῷ δὲ μάλιστα νεύρων ἄκεσιν. Ἔχει δ' ὁ τόπος καὶ θείου καὶ στυπτηρίας μέταλλα.

(ΚΕ'.) δ'. Βάσσος δὲ πάντῃ περισκεψάμενος τὸ χωρίον ἔγνω ποιεῖσθαι τὴν πρόσοδον, χωννὺς τὴν φάραγγα τὴν πρὸς ταῖς ἀνατολαῖς· καὶ τῶν ἔργων εἴχετο, σπουδὴν ποιούμενος ᾗ τάχος ἐξᾶραι τὰ χώματα, καὶ δι αὐτῶν ῥᾳδίαν ποιῆσαι τὴν πολιορκίαν. Οἱ δ' ἔνδον ἀπειλημμένοι τῶν Ἰουδαίων, αὐτοὶ καθ' ἑαυτοὺς ἀπὸ τῶν ξένων διακριθέντες, ἐκείνους μὲν ἠνάγκασαν, ὄχλον ἄλλως εἶναι νομίζοντες, ἐν τῇ κάτω πόλει παραμένειν καὶ τοὺς κινδύνους προεκδέχεσθαι, τὸ δ' ἄνω φρούριον αὐτοὶ καταλαβόντες εἶχον, καὶ διὰ τὴν ἰσχὺν τῆς ὀχυρότητος καὶ προνοίᾳ τῆς σωτηρίας αὐτῶν· τεύξεσθαι γὰρ ἀφέσεως ὑπελάμβανον, εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσειαν. Πείρᾳ δὲ πρότερον ἐβούλοντο τὰς ὑπὲρ τοῦ διαφεύξεσθαι τὴν πολιορκίαν ἐλπίδας

dine superabatur. Ferebant etiam eam ab Herodis durasse temporibus, et longissimo forsan tempore mansisset; sed a Judæis, qui locum illum occuparant, excisa erat. (XXIII.) Vallis autem, qua civitas a septemtrione cingitur, locus quidam Baaras appellatur, gignitque radicem ejusdem nominis. Illa colore flammæ assimulari visa est, circa vesperam vero jubar quoddam ejaculari. Accedentibus eamque evellere cupientibus captu haud facilis est, sed refugit, nec prius se sistit, quam quis urinam mulieris aut sanguinem menstruum affuderit: ac tum iis qui eam attigerint indubia mors imminet, nisi quis forte illam ipsam radicem ferat de manu suspensam. Capitur etiam alio modo sine periculo, qui talis est. Undique eam circumfodiunt, ut radicis quam minimum terra tegatur: deinde canem ei alligant, qui quum eum, a quo ligatus est, comitari cupit, illa quidem facile evellitur, canis vero continuo moritur, tanquam vice ejus a quo herba tollenda erat traditus. Accipientibus vero eam post nihil est metus. Expetitur autem propter unam virtutem tantis periculis. Nam quæ dæmonia vocantur (hæc autem malorum hominum spiritus sunt) et viventes intrant, eosque necant quibus nihil auxilii præsto est, ipsa statim, si modo ægrotantibus admoveatur, abigit. Fluunt autem ex eo loco aquarum quoque calidarum fontes, multum inter se sapore diversi. Nam alii quidem amari sunt, alii vero nihil dulcedinis desiderant. Multæ etiam frigidarum aquarum eruptiones non modo in humilioribus locis non longe a se invicem fiunt, sed, quod amplius quis miretur, in proximo quædam spelunca cernitur, non quidem magnæ profunditatis, saxo autem prominente tecta: super hoc duæ quasi mammæ eminent inter se paululum distantes; et ex altera quidem frigidissimus fons scaturit, altera vero calidissimum fundit: qui mixti lavacrum suavissimum præbent, morbis curandis, omnium vero maxime nervis roborandis idoneum. Habet etiam locus hic et sulphuris et aluminis metalla.

(XXV.) 4. Bassus autem, castellum undique contemplatus, accessum parare statuit, vallem orientalem terra aggesta complens: operique se admovebat, properans quam celerrime aggeres erigere, perque eos facilem ad oppugnationem viam sternere. Judæi autem qui intus erant obsessi, quum se a peregrinis separassent, illos quidem inane vulgus esse existimantes, in urbe inferiore manere coegerunt ac pericula priores excipere; superius autem castellum ipsi occupatum tenebant, et propter munitionis firmitatem, et ut saluti suæ consulerent: impetraturos enim se veniam opinabantur, si castellum Romanis traderent. Periculo autem facto prius volebant spem arguere, quam de obsidione decli-

ἐλέγξαι. Διὰ τοῦτο καὶ προθύμως ἐποιοῦντο τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι συμπλεκόμενοι πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν Ῥωμαίων ἀνῄρουν. Ἀεὶ δὲ τοῦ κρατεῖν ὁ καιρὸς ἑβράβευεν ἑκατέροις τὸ πλέον, τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς ἀφυλακτοτέρους προσπέσοιεν, τοῖς δὲ ἐπὶ τῶν χωμάτων προϊδομένοις, εἰ τὴν ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένως. Ἀλλ' οὐκ ἐν τούτοις ἔμελλε γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας. Ἔργον δέ τι πραχθὲν ἐκ συντυχίας παράλογον τῆς παραδόσεως τοῦ φρουρίου τὴν ἀνάγκην ἐπέστησε τοῖς Ἰουδαίοις. Ἦν ἐν τοῖς πολιορκουμένοις νεανίας τολμῆσαί τε θρασὺς καὶ κατὰ χεῖρα δραστήριος, Ἐλεάζαρος ὄνομα. Ἐγεγόνει δ' οὗτος ἐν ταῖς ἐκδρομαῖς ἐπιφανὴς, τοὺς πολλοὺς ἐξιέναι καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν καὶ κατὰ τὰς μάχας πολλὰ καὶ δεινὰ τοὺς Ῥωμαίους διατιθείς, τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκτρέχειν ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ παρέχων τὴν ἀναχώρησιν τῷ τελευταῖος ἀπιέναι. Καὶ δή ποτε τῆς μάχης διακριθείσης καὶ γεγονυίας ἀμφοτέρων ἀναχωρήσεως αὐτὸς, ἅτε δὴ περιφρονῶν καὶ νομίζων οὐκ ἂν ἔτι τῶν πολεμίων οὐδένα τότε μάχης ἄρξειν, μείνας τῶν πυλῶν ἔξω, τοῖς ἐπὶ τοῦ τείχους διελάλει, καὶ πᾶς πρὸς ἐκείνους τὴν διάνοιαν ἦν. Ὁρᾷ δὲ τὸν καιρὸν τοῦ Ῥωμαικοῦ τις στρατοπέδου Ῥοῦφος, γένος Αἰγύπτιος· καὶ μηδενὸς ἂν προσδοκήσαντος ἐξαίφνης ἐπιδραμὼν, σὺν αὐτοῖς ἁράμενος αὐτὸν τοῖς ὅπλοις, ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόντας ἔκπληξις, φθάνει τὸν ἄνδρα μεταθεὶς πρὸς τὸ Ῥωμαίων στρατόπεδον. Τοῦ δὲ στρατηγοῦ κελεύσαντος γυμνὸν διαλαβεῖν αὐτὸν, καὶ καταστήσαντας εἰς τὸ φανερώτατον τοῖς ἐκ τῆς πόλεως ἀποβλέπουσι μάστιξιν αἰκίζεσθαι, σφόδρα τοὺς Ἰουδαίους τὸ περὶ τὸν νεανίαν πάθος συνέχεεν, ἀθρόα τε ἡ πόλις ἀνώμωξε καὶ θρῆνος ἦν μείζων ἢ καθ' ἑνὸς ἀνδρὸς συμφοράν. Τοῦτο συνιδὼν ὁ Βάσσος κατὰ τῶν πολεμίων ἀρχὴν ἐποιήσατο στρατηγήματος, καὶ βουληθεὶς αὐτῶν ἐπιτεῖναι τὸ περιαλγὲς, ἵνα βιασθῶσιν ἀντὶ τῆς σωτηρίας τἀνδρὸς ποιήσασθαι τοῦ φρουρίου παράδοσιν, τῆς ἐλπίδος οὐ διήμαρτεν. Ὁ μὲν γὰρ προσέταξε καταπηγνύναι σταυρὸν, ὡς αὐτίκα κρεμῶν τὸν Ἐλεάζαρον. Τοῖς δ' ἀπὸ τοῦ φρουρίου τοῦτο θεασαμένοις ὀδύνη τε πλείων προσέπεσε καὶ διωλύγιον ἀνώμωζον, οὐκ ἀνασχετὸν εἶναι τὸ πάθος βοῶντες. Ἐνταῦθα δὴ τοίνυν Ἐλεάζαρος ἱκέτευεν αὐτοὺς μήτ' αὐτὸν περιιδεῖν ὑπομείναντα θανάτων τὸν οἰκτιστον καὶ σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρασχεῖν τῇ Ῥωμαίων εἴξαντας ἰσχύϊ καὶ τύχῃ, μετὰ πάντας ἤδη κεχειρωμένους. Οἱ δὲ καὶ πρὸς τοὺς ἐκείνου λόγους κατακλώμενοι, καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων (ἦν γὰρ ἐκ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας) παρὰ τὴν αὐτῶν φύσιν εἰς οἶκτον ἐνέδωκαν· καί τινας ἐξαποστείλαντες κατὰ τάχος διελέγοντο ποιεῖσθαι τὴν παράδοσιν τοῦ φρουρίου, ἀξιοῦντες ἵνα ἀδεεῖς ἀπαλλάττωνται, κομισάμενοι τὸν Ἐλεάζαρον. Δεξαμένων δὲ

nanda habere possent. Ideoque alacri animo quotidianas eruptiones fecerunt; et, cum obviis congressi, multi quidem perierunt, Romanorumque multos occiderunt. Semper autem utrisque plus victoriæ ex tempore tribuebatur, Judæis quidem quum minus cautos et imparatos adorirentur, in aggeribus autem positis, si provisum excursum eorum bene septi armis excipierent. Sed non is futurus erat obsidionis finis. Res autem quædam fortuita inopinatam castelli tradendi necessitatem imposuit Judæis. Erat inter obsessos juvenis, audacia ferox, et manu strenuus, nomine Eleazarus. Is autem fuerat in excursionibus conspicuus, plurimosque ut exirent et aggeris exstructionem prohiberent hortari solebat, et in prœliis multas gravesque Romanis clades inferebat: quin et iis qui cum ipso excursiones facere audebant, primam impressionem facilem, et viam receptui tutam reddebat, novissimus recedendo. Aliquando autem prœlio dirempto et utrinque discessione facta, ille, tanquam despiciens omnes, et existimans neminem tunc hostium ad prœlium lacessiturum esse, extra portas remansit, et in muro stantes alloquebatur, omni cogitatione in illos defixus. Hanc autem opportunitatem animadvertit Rufus quidam Romanus miles, genere Ægyptius; et, quum nemo exspectaret, subito accurrens illum cum ipsis armis sublatum, dum hoc viso stantes in muros stupor teneret, celeriter hominem in castra Romanorum transfert. Quem quum dux comprehensum nudari præcepisset, et planissime conspectui civium expositum flagris cædi jussisset, vehementer Judæos confudit casus adolescentis, et universa civitas ingemuit, majorque erat lamentatio quam pro unius viri calamitate. Quod ubi Bassus animadvertit, adversus hostes cœpit strategema adhibere, quumque vellet eorum miserationem ita augere, ut pro salute viri cogerentur castelli traditionem facere, de spe non decidit. Nam crucem defigi jussit, quasi Eleazarum statim in ea suspensurus. Quo conspecto, ii qui in castello erant, magis doluerunt, maximis suspiriis editis, non ferendam esse calamitatem vociferantes. Tunc igitur Eleazarus eos rogabat, ne ipsum mortem miserrimam subire sinerent, et suæ ipsorum saluti consulentes Romanorum viribus et fortunæ cederent, omnibus jam subactis. Illi autem, Et Elezari verbis fracti et multorum in castello pro eo deprecantium precibus (erat enim ex magna et populosa familia), præter indolem suam misericordiæ cesserunt: et quibusdam statim missis illos alloquebantur, se velle castelli deditionem facere, si accepto Eleazaro salvis discedere liceret. Quam conditionem ubi Romani et dux

τῶν Ῥωμαίων καὶ τοῦ στρατηγοῦ ταῦτα, τὸ πλῆθος τῶν ἐν τῇ κάτω πόλει τὴν γεγενημένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυθόμενοι σύμβασιν αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδρᾶναι. Τὰς πύλας δ' αὐτῶν ἀνοιξάντων παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἦκε μήνυσις, εἴτ' οὖν τῆς σωτηρίας αὐτοῖς φθονησάντων εἴτε καὶ διὰ δέος μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι τῆς ἐκείνων ἀποδράσεως. Οἱ μὲν οὖν ἀνδρειότατοι τῶν ἐξιόντων ἔφθασαν διεκπαίσασθαι καὶ διέφυγον· τῶν δ' ἔνδον καταληφθέντων ἄνδρες μὲν ἀνῃρέθησαν ἐπὶ τοῖς χιλίοις ἑπτακόσιοι, γύναια δὲ καὶ παῖδες ἠνδραποδίσθησαν. Τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον ὁμολογίας οἰόμενος δεῖν ὁ Βάσσος διαφυλάττειν αὐτούς τ' ἀφῆσι καὶ τὸν Ἐλεάζαρον ἀπέδωκεν.

(ΚΖ'.) ε'. Ταῦτα δὲ διοικησάμενος ἠπείγετο τὴν στρατιὰν ἄγων ἐπὶ τὸν προσαγορευόμενον Ἰάρδην δρυμόν· πολλοὶ γὰρ εἰς αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι τῶν κατὰ τὰς πολιορκίας πρότερον ἔκ τε Ἱεροσολύμων καὶ Μαχαιροῦντος ἀποδράντων. Ἐλθὼν οὖν ἐπὶ τὸν τόπον καὶ γνοὺς τὴν ἀγγελίαν οὐκ ἐψευσμένην, πρῶτον μὲν τοῖς ἱππεῦσιν ἅπαν κυκλοῦται τὸ χωρίον, ὅπως τοῖς διεκπαίεσθαι τολμῶσι τῶν Ἰουδαίων ἄπορος ἡ φυγὴ γίνηται διὰ τοὺς ἱππέας, τοὺς δὲ πεζοὺς ἐκέλευσε δενδροτομεῖν τὴν ὕλην, εἰς ἣν καταπεφεύγεσαν. Καθίστανται δὲ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ Ἰουδαῖοι τοῦ δρᾶν τι γενναῖον, ὡς ἐκ τοῦ παραβόλως ἀγωνισάμενοι τάχα ἂν καὶ διαφυγόντες. Ἀθρόοι δὴ καὶ κατὰ βοῆς ἅξαντες, ἐνέπιπτον τοῖς κεκυκλωμένοις. Οἱ δ' αὐτοὺς ἐδέχοντο καρτερῶς καὶ πολλῇ τῶν μὲν ἀπονοίᾳ, τῶν δὲ φιλονεικίᾳ χρωμένων, χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προῦβη, τέλος δ' αὐτῆς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις. Ῥωμαίων μὲν γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν, ὀλίγους τε τρωθῆναι, τῶν Ἰουδαίων δ' ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ἀλλ' ὄντες οὐκ ἐλάττους τρισχιλίων πάντες ἀπέθανον, καὶ στρατηγὸς αὐτῶν Ἰούδας ὁ τοῦ Ἀρϊπαῖς, περὶ οὗ πρότερον εἰρήκαμεν, ὅτι τάξεως ἡγούμενός τινος ἐν τῇ πολιορκίᾳ τῶν Ἱεροσολύμων κατά τινας διαδὺς τῶν ὑπονόμων ἔλαθεν ἀποδράς.

(ΚΖ'.) ς'. Περὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ καὶ Λιβερίῳ Μαξίμῳ (οὗτος δ' ἦν ἐπίτροπος), κελεύων πᾶσαν γῆν ἀποδόσθαι τῶν Ἰουδαίων. Οὐ γὰρ κατῴκισεν ἐκεῖ πόλιν, ἰδίαν αὐτῷ τὴν χώραν φυλάττων· ὀκτακοσίοις δὲ μόνοις ἀπὸ τῆς στρατιᾶς διαφειμένοις χωρίον ἔδωκεν εἰς κατοίκησιν, ὃ καλεῖται μὲν Ἀμμαοῦς, ἀπέχει δὲ τῶν Ἱεροσολύμων σταδίους τριάκοντα. Φόρον δὲ τοῖς ὁπουδήποτ' οὖσιν Ἰουδαίοις ἐπέβαλε, δύο δραχμὰς ἕκαστον κελεύσας ἀνὰ πᾶν ἔτος εἰς τὸ Καπετώλιον φέρειν, ὥσπερ πρότερον εἰς τὸν ἐν Ἱεροσολύμοις νεὼν συνετέλουν. Καὶ τὰ μὲν Ἰουδαίων τότε τοιαύτην εἶχε κατάστασιν.

acceperant, qui inferiorem urbem magno numero tenebant, audita Judæorum privata pactione, ipsi clam nocte fugam capessere statuerunt. Quum autem illi portas aperuissent, ab iis qui cum Basso pepigerant, ad Bassum veniebat rei indicium, sive quod illis inviderint, sive quod metuerint ne, si illi aufugerent, ipsi crimen sustinerent. Et fortissimi quidem exeuntium viam sibi facere occupant et evaserunt: ex iis vero qui intus relicti erant, occisi sunt ad mille et septingentos, mulierculæ vero et pueri in servitium ducti. Sponsiones vero cum his factas, qui castellum dedere promiserant, Bassus servandas ratus, et ipsos dimittit et Eleazarum reddidit.

(XXVI.) 5. His autem administratis, in saltum qui Jardes appellatur, exercitum ducere properabat; multi enim illic congregati esse nunciabantur, qui pridem tempore obsidionum ex Hierosolymis et Machærunte profugerant. Ergo quum ad locum venisset, neque falsum fuisse nuncium comperisset, primo locum equitibus undique circumdat, ut Judæi, si qui perrumpere auderent, propter equites fugiendi copiam non haberent: pedites vero silvam succidere jussit, in quam confugerant. Hoc modo ad necessitatem adducti sunt Judæi fortiter aliquid agendi, velut ex audaci certamine fortasse fugam et salutem reperirent. Itaque conferti, et cum clamore impetu facto, in eos, a quibus cincti fuerant, irruunt. Illi autem fortiter eos excipiebant; multaque his quidem audacia, illis vero contentione usis, non parum quidem temporis in pugna tractum est, sed eventus ejus adversis partibus non ex æquo respondit. Nam ex Romanis quidem duodecim tantum contigit occumbere, et non multos vulnerari: Judæorum vero ex illo prælio nullus evasit, quumque non essent infra tria millia, omnes perierunt, eorumque dux Judas Ari filius, de quo supra diximus quod ordinis cujusdam ductor in Hierosolymorum obsidione, quum quosdam cuniculos subiisset, clam effugerit.

(XXVII.) 6. Eodem vero tempore Cæsar ad Bassum et Liberium Maximum scripsit (is enim procurator erat) jubens ut omnem Judæorum terram venderent. Non enim civitatem in ea condidit, proprium servans sibi eorum agrum; sed octingentis duntaxat emeritis locum incolendum dedit, qui vocatur quidem Ammaus, distat autem ab Hierosolymis stadiis triginta. Tributum vero Judæis ubicunque degentibus indixit, et quotannis binas quemque drachmas in Capitolium inferre jussit, quemadmodum in templum Hierosolymitanum prius conferebant. Et res quidem Judæorum illo tempore hunc statum habebant.

ΚΕΦ. Ζ'.

Ἤδη δ' ἔτος τέταρτον Οὐεσπασιανοῦ διέποντος τὴν ἡγεμονίαν συνέβη τὸν βασιλέα τῆς Κομμαγῆνης Ἀντίοχον μεγάλαις συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν, ἀπὸ τοιαύτης αἰτίας. Καισέννιος Παῖτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε καθεστηκώς, εἴτ' οὖν ἀληθεύων εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν (οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέγχθη), γράμματα πρὸς Καίσαρα διεπέμψατο, λέγων « τὸν Ἀντίοχον μετὰ τοῦ παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθήκας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον· δεῖν οὖν προκαταλαβεῖν αὐτοὺς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρξασθαι πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. » Ἔμελλε δὲ Καῖσαρ τοιούτου μηνύματος αὐτῷ προσπεσόντος μὴ περιορᾶν· καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ πρᾶγμα μείζονος ἄξιον προνοίας. Τὰ γὰρ Σαμόσατα, τῆς Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸν Εὐφράτην, ὥστ' εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον διενενόητο, ῥᾴστην μὲν τὴν διάβασιν, βεβαίαν δὲ τὴν ὑποδοχήν. Πιστευθεὶς οὖν ὁ Παῖτος καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν, οὐκ ἐμέλλησεν, ἐξαίφνης δὲ τῶν περὶ τὸν Ἀντίοχον οὐδὲν προσδοκώντων εἰς τὴν Κομμαγηνὴν ἐνέβαλε, τῶν μὲν ταγμάτων ἄγων τὸ ἕκτον, καὶ πρὸς τούτῳ λόχους καί τινας ἴλας ἱππέων. Συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ, τῆς μὲν Χαλκιδικῆς λεγομένης Ἀριστόβουλος, τῆς Ἐμέσης δὲ καλουμένης Σόεμος. Ἦν δ' αὐτοῖς τὰ περὶ τὴν εἴσβολὴν ἀνταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε χεῖρας ἀνταίρειν. Ἀντιόχος δὲ, τῆς ἀγγελίας ἀδοκήτως προσπεσούσης, πολέμου μὲν οὐδ' ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν, ἔγνω δὲ πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ σχήματος καταλιπὼν μετὰ γυναικὸς καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμενος καθαρὸν Ῥωμαίοις ἑαυτὸν ἀποδείξαι τῆς ἐπενηνεγμένης αἰτίας. Καὶ προελθὼν ἀπὸ τῆς πόλεως ἑκατὸν σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον, ἐν αὐτῷ καταυλίζεται.

β'. Παῖτος δ' ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταληψομένους ἀποστέλλει, καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν, αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ἐπ' Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. Οὐ μὴν ὁ βασιλεὺς οὐδ' ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαί τι πρὸς Ῥωμαίους πολεμικὸν, ἀλλὰ τὴν αὐτοῦ τύχην ὀδυρόμενος ὅ τι δέοι παθεῖν ὑπέμενε· νέοις δὲ καὶ πολέμων ἐμπείροις καὶ ῥώμῃ σωμάτων διαφέρουσιν οὐ ῥᾴδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν. Τρέπονται οὖν πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. Σφοδρᾶς δὲ τῆς μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης αὐτοὶ τὴν ἀνδρείαν διαπρεπῆ παρέσχον, καὶ μηδὲν ἐλαττωθείσῃ τῇ σφετέρᾳ δυνάμει, ἑσπέρας διελύθησαν· Ἀντιόχῳ δ' οὐδ' ἐπὶ τῇ μάχῃ τοῦτον κεχωρηκυίᾳ τὸν τρόπον μένειν ἀνεκτὸν ἐδόκει· λαβὼν δὲ τὴν γυναῖκα καὶ τὰς θυγατέρας μετ' ἐκείνων ἐποιεῖτο φυγὴν εἰς Κιλικίαν,

CAP. VII. (XXVIII.)

Jam vero quarto anno imperii Vespasiani, accidit ut Antiochus rex Commagenes in maximas clades cum tota domo incideret, ex causa hujusmodi. Cæsennius Pætus, tunc Syriæ præses constitutus, sive vera dicens, sive propter inimicitias inter ipsum et Antiochum (nam liquido res non constabat), literas ad Cæsarem misit, indicans « Antiochum cum filio Epiphane decrevisse a Romanis defectionem facere, pactione inita cum rege Parthorum : proptereaque oportere illos ante capere, ne, si priores novas res adorti essent, totum Romanorum imperium bello perturbarent. » Non erat autem Cæsar hujusmodi nuncium ad se perlatum neglecturus : nam vicinitas regum faciebat ut negotium majori cura dignum haberetur. Quippe Samosata, Commagenes maxima civitas, ad Euphraten sita est, adeoque Parthis, si quid ejusmodi cogitaverint, facillimus erat transitus et tutum receptaculum. Fide igitur habita Pæto, ac potestate ipsi facta agendi quod expedire videretur, nihil hic cunctatus est, verum derepente, Antiocho suisque nihil tale exspectantibus, ingressus est Commagenen, ex legionibus quidem sextam ducens, et insuper quasdam cohortes alasque equitum. Præterea auxilio ei erant reges Chalcidicæ quidem dictæ, Aristobulus, Emesæ vero Sohemus nomine. Introitus autem illis erat sine certamine : nam indigenarum nemo volebat lacertos contra movere. Antiochus autem, insperato accepto nuncio, de bello quidem adversus Romanos nequiit animum ad cogitandum inducere : decrevit autem, toto regno in eo quo erat statu relicto, cum conjuge ac liberis egredi, hoc facto se Romanis purum a suspicione criminis sibi illati probaturum esse ratus. Quumque ex urbe egressus esset centum et viginti stadiis in planitiem, illic tabernaculum posuit.

2. Pætus autem de suis aliquot ad Samosata quidem occupanda mittit, et per eos civitatem tenebat : ipse vero cum aliis copiis Antiochum versus contendebat. Non tamen rex vel ipsa necessitate adductus est adversus Romanos aliquid bellicum gerere; sed de fortuna sua querens quicquid oporteret pati sustinuit : filiis autem ejus, adolescentibus bellique peritis, et corporis robore præstantibus, haud facile erat sine pugna calamitatem perferre. Itaque ad dimicandum se conferebant Epiphanes et Callinicus. Vehementi autem pugna et per totum diem habita, ipsi se fortitudine conspicuos præstabant; nullaque parte suarum copiarum imminuta, nocte appetente diremptum est prælium. Antiocho vero neque pugna hoc modo finita ferendum videbatur ut maneret; sed assumpta conjuge cum filiabus eam comitantibus in Ciliciam fugit. Atque

καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιωτῶν κατέκλασεν. Ὡς γὰρ ἀπεγνωσμένης ὑπ' αὐτοῦ τῆς βασιλείας ἀπέστησαν καὶ πρὸς τοὺς Ῥωμαίους μετεβάλοντο, καὶ πάντων πρόδηλος ἦν ἀπόγνωσις. Πρὶν οὖν τελέως ἐρημωθῆναι τῶν συμμάχων, τοῖς περὶ τὸν Ἐπιφανῆ σώζειν αὐτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον. Καὶ γίνονται δέκα σύμπαντες ἱππεῖς οἱ μετ' αὐτοῦ τὸν Εὐφράτην διαβάντες, ἔνθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν Πάρθων Βολογέσην κομισθέντες οὐχ ὡς φυγάδες ὑπερηφανήθησαν, ἀλλ' ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν πάσης τιμῆς ἠξιώθησαν.

γ'. Ἀντιόχῳ δ' εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας ἑκατοντάρχην Παῖτος ἐπιπέμψας, δεδεμένον αὐτὸν εἰς Ῥώμην ἀπέστειλεν. Οὐεσπασιανὸς δ' οὐχ ὑπέμεινεν οὕτω πρὸς αὐτὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλλον αἰδῶ λαβεῖν ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν ἀπαραίτητον ὀργὴν διαφυλάττειν. Κελεύει δὴ καθ' ὁδὸν ἔτ' ὄντος αὐτοῦ τῶν δεσμῶν ἀφαιρεθῆναι καὶ παρέντα τὴν εἰς Ῥώμην ἄφιξιν τὸ νῦν ἐν Λακεδαίμονι διάγειν, δίδωσί τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον, ἀλλὰ καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. Ταῦτα τοῖς περὶ τὸν Ἐπιφανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιόσιν, ἀνείθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος. Ἐλπὶς δὲ καὶ αὐτοῖς τῶν παρὰ Καίσαρος διαλλαγῶν ἐγένετο, Βολογέσου περὶ αὐτῶν ἐπιστείλαντος· οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς Ῥωμαίων ζῆν ἡγεμονίας. Δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς τὴν ἄδειαν εἰς Ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ τῆς Λακεδαίμονος εὐθὺς ἐλθόντος, πάσης ἀξιούμενοι τιμῆς κατέμενον ἐνταῦθα.

(ΚΘ'.) δ'. Τὸ δὲ τῶν Ἀλανῶν ἔθνος, ὅτι μέν εἰσι Σκύθαι περὶ τὸν Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες πρότερον δήπου δεδηλώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες εἰς τὴν Μηδίαν, καὶ προσωτέρω ταύτης ἔτι καθ' ἁρπαγὴν ἐμβαλεῖν, τῷ βασιλεῖ τῶν Ὑρκανῶν διαλέγονται. Τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστίν, ἣν ὁ βασιλεὺς Ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. Κακείνου τὴν εἴσοδον αὐτοῖς παρασχόντος, ἀθρόοι καὶ μηδὲν προϋποπτεύσασι τοῖς Μήδοις ἐπιπεσόντες, χώραν πολυάνθρωπον καὶ παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον, μηδενὸς αὐτοῖς τολμῶντος ἀνθίστασθαι. Καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας Πάκορος ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφυγὼν τῶν μὲν ἄλλων ἁπάντων παρακεχωρήκει, μόλις δὲ παρ' αὐτῶν ἐρρύσατο τήν τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχμαλώτους γενομένας ἑκατὸν δοὺς τάλαντα. Μετὰ πολλῆς οὖν ῥαστώνης ἀμαχεὶ ποιούμενοι τὰς ἁρπαγὰς μέχρι τῆς Ἀρμένιας προῆλθον πάντα λεηλατοῦντες. Τηριδάτης δ' αὐτῆς ἐβασίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς καὶ ποιησάμενος μάχην παρὰ μικρὸν ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως. Βρόχον γὰρ αὐτῷ τις πόρρωθεν περιβαλὼν ἔμελλεν ἐπισπάσειν, εἰ μὴ τῷ

hoc facto militum suorum animos fregit. Nam veluti desperato ab illo regno defecere, et Romanis se dediderunt, atque ab omnibus palam desperatum erat. Itaque prius quam penitus destituerentur auxiliis, Epiphani cum suis servare se ex hostibus erat necessarium. Atque omnes erant equites numero decem, qui cum eo Euphratem transgressi, atque inde sine metu profecti ad Vologesen regem Parthorum, non quasi profugi despectui habebantur, sed, haud secus ac si pristinam felicitatem adhuc retinerent, omni honore digni censebantur.

3. Antiochum vero ipsum, ubi Tarsum Ciliciæ venerat, misso centurione Pætus vinctum Romam mittendum curavit. Vespasianus autem ita regem ad se deduci non est passus, ad veterem amicitiam potius respectum habere æquum censens, quam belli occasione inexorabilem iracundiam servare. Itaque jubet ei iter agenti auferri vincula, intermissaque interim profectione ad Romam, in præsens apud Lacedæmonem degere : magnos etiam ei pecuniæ reditus dat, ut victus non modo largus ei suppeditaretur, sed et regius. Ubi Epiphanes et qui cum eo erant ista acceperant, qui patri ante valde metuebant, liberati erant magna et difficili mentis anxietate et sollicitudine. Insuper et spem conceperunt redeundi in gratiam cum Cæsare, quum Vologeses de illis literas scripsisset : nec enim, quamvis feliciter agerent, extra Romanum imperium vivere sustinebant. Quumque Cæsar illis humaniter securitatem dedisset, Romam se contulerunt ; patreque ad eos ex Lacedæmone statim advecto, omni honore excepti illic manebant.

(XXIX.) 4. Alanorum autem gens, quos Scythas esse juxta flumen Tanaim et paludem Mæotidem sedes habentes, jam (opinamur) ante memoravimus, his vero temporibus molientes in Mediam et ulterius etiam prædandi causa penetrare, cum rege Hyrcanorum colloquuntur. Is enim est transitus illius dominus, quem rex Alexander portis ferreis munierat. Quumque is aditum istis aperuisset, confertim Medos, nihil tale suspicantes, adorti, regionem virorum plenam et omne genus pecore abundantem diripiebant, nemine illis audente resistere. Etenim Pacorus qui isti regioni imperabat, in loca difficiliora præ metu se recipiens, ceteris quidem omnibus cesserat ; vix autem ab illis conjugem ac concubinas suas captas, datis centum talentis redemit. Magna ergo facilitate et sine pugna rapinas exercentes, usque ad Armeniam vastantes omnia processere. Ejus autem Teridates rex erat, qui quum illis obviam ivisset pugnamque commisisset, parum aberat quin vivus in illo conflictu caperetur. Procul enim quidam laqueo circumdatum tracturus erat, nisi celeriter gladio abscidisset funem, et

ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας ἔφθη διαφυγεῖν. Οἱ δὲ, καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριωθέντες, τὴν μὲν χώραν ἐλυμήναντο, πολὺ δὲ πλῆθος ἀνθρώπων καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν, πάλιν εἰς τὴν οἰκείαν ἐκομίσθησαν.

ΚΕΦ. Η'.

Ἐπὶ δὲ τῆς Ἰουδαίας Βάσσου τελευτήσαντος Φλαούϊος Σίλβας διαδέχεται τὴν ἡγεμονίαν· καὶ τὴν μὲν ἄλλην ἅπασαν ὁρῶν τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρούριον ἀφεστηκὸς, ἐστράτευσεν ἐπὶ τοῦτο, πᾶσαν τὴν ἐν τοῖς τόποις δύναμιν συναγαγών. Καλεῖται δὲ τὸ μὲν φρούριον Μασάδα, προειστήκει δὲ τῶν κατειληφότων αὐτὸ σικαρίων δυνατὸς ἀνὴρ Ἐλεάζαρος, ἀπόγονος Ἰούδα τοῦ πείσαντος Ἰουδαίων οὐκ ὀλίγους, ὡς πρότερον δεδηλώκαμεν, μὴ ποιεῖσθαι τὰς ἀπογραφὰς, ὅτε Κυρήνιος τιμητὴς εἰς τὴν Ἰουδαίαν ἐπέμφθη. Τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς ὑπακούειν Ῥωμαίων θέλοντας, καὶ πάντα τρόπον ὡς πολεμίοις προσεφέροντο, τὰς μὲν κτήσεις ἁρπάζοντες καὶ περιελαύνοντες, ταῖς δ' οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες. Οὐδὲν γὰρ ἀλλοφύλων αὐτοὺς ἔφασκον διαφέρειν, οὕτως ἀγεννῶς τὴν περιμάχητον Ἰουδαίοις ἐλευθερίαν προεμένους, καὶ δουλείαν αἱρεῖσθαι τὴν ὑπὸ Ῥωμαίοις ἀνωμολογηκότας. Ἦν δ' ἄρα τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμότητος καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον· σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν. Οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν καὶ τοῦ πρὸς Ῥωμαίους συνήραντο πολέμου, τὰ παρ' ἐκείνων δὲ τολμήματα χεῖρω πρὸς αὐτοὺς ἐγένετο. Κἀπὶ τῷ ψεύδεσθαι πάλιν τὴν πρόφασιν ἐξελεγχόμενοι μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. Ἐγένετο γάρ πως ὁ χρόνος ἐκεῖνος παντοδαπῆς ἐν τοῖς Ἰουδαίοις πονηρίας πολυφόρος, ὡς μηδὲν κακίας ἔργον ἄπρακτον παραλιπεῖν, μηδ' εἴ τις ἐπινοίᾳ διαπλάττειν ἐθελήσειεν ἔχειν ἄν τι καινότερον ἐξευρεῖν. Οὕτως ἰδίᾳ τε καὶ κοινῇ πάντες ἐνόσησαν, καὶ πρὸς ὑπερβάλλειν ἀλλήλους; ἔν τε ταῖς πρὸς τὸν Θεὸν ἀσεβείαις καὶ ταῖς εἰς τοὺς πλησίον ἀδικίαις ἐφιλονείκησαν, οἱ μὲν δυνατοὶ τὰ πλήθη κακοῦντες, οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς ἀπολλύναι σπεύδοντες. Ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν, τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν. Πρῶτοι μὲν οὖν οἱ σικάριοι τῆς παρανομίας καὶ τῆς πρὸς τοὺς συγγενεῖς ἤρξαντο ὠμότητος, μήτε λόγον ἄρρητον εἰς ὕβριν μήτ' ἔργον ἀπείραστον εἰς ὄλεθρον τῶν ἐπιβουλευθέντων παραλείποντες. Ἀλλὰ καὶ τούτους Ἰωάννης ἀπέδειξεν αὐτοῦ μετριωτέρους. Οὐ γὰρ μόνον ἀνῄρει πάντας, ὅσοι τὰ δίκαια καὶ συμφέροντα συνεβούλευον, καθάπερ ἐχθίστοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσφερόμενος, ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα μυρίων ἐνέπλησε κακῶν, ὁποῖα πράξειν ἔμελλεν ἄνθρωπος ἤδη καὶ τὸν Θεὸν ἀσεβεῖν τετολμηκώς. Τράπεζάν τε γὰρ ἄθεσμον παρετίθετο καὶ τὴν νενομισμένην

fugere occupasset. Illi autem, pugna multo magis efferati, terram quidem depopulati sunt, magnam vero hominum multitudinem et aliam abigentes prædam ex utroque regno, iterum domum suam se receperunt.

CAP. VIII. (XXX.)

Defuncto autem Basso in Judæa, Flavius Silva præfecturam suscipit: et ceteram quidem terram omnem bello subactam videns, unum vero adhuc castellum in defectione persistere, universis istorum locorum copiis collectis, eas in illud eduxit. Castellum autem appellatur quidem Masada, ei vero præerat vir potens sicariorum, a quibus occupatum fuerat, Eleazarus, e posteris Judæ, qui Judæorum non paucis persuaserat, ut ante diximus, ne censum agi sinerent, quando Quirinius censitor in Judæam missus est. Tunc enim sicarii conspirarunt in eos qui Romanis dicto audientes esse volebant, omnique modo his quasi hostibus utebantur, diripiendo et abigendo eorum bona, atque iguem domibus eorum injiciendo. Nihil enim illos ab alienigenis differre dicebant, qui libertatem a Judæis magnopere expetendam ita degeneres prodiderint, professique sint se malle Romanis in servitutem se tradere. Erat autem hoc plane prætextus, ac dicebatur ab iis ut crudelitatem atque avaritiam suam tegerent: id quod rebus ipsis palam fecerunt. Nam isti quidem et defectionis cum illis socii erant, et belli adversus Romanos participes; facinora vero horum in illos fiebant pejora. Quumque rursus convicti essent mendacii ob prætextum suum, multo magis eos male tractabant, qui nequitiam ipsis justa sui defensione exprobrabant. Erat enim quodammodo illud tempus omne genus sceleris apud Judæos fœcundissimum, ut nullum malitiæ negotium infectum relinqueretur; neque si quis cogitatione aliquid sibi fingere voluisset, novi quidpiam invenire potuerit. Ita et privatim et communiter omnes vitio laborarunt, et exsuperare alius alium tam impietate in Deum quam iniquitate in proximos certarunt, potentes quidem multitudinem male tractando, multitudo vero ad potentium interitum properando. Illis enim erat dominandi quidem cupiditas; his vero, vim faciendi bonaque locupletum diripiendi. Et primo quidem sicarii iniquitatis auctores erant et crudelitatis in proximos, neque verbum ullum, quod non dixerint ad injuriam, neque facinus, quod non tentarint ad exitium eorum quibus insidiarentur, prætermittentes. Verum et hos Joannes semet moderatiores esse ostendit. Non solum enim omnes interficiebat, qui justa et utilia suadebant, tanquam inimicissimos maxime cives ejusmodi impetens; sed et patriam communiter malis innumeris cumulavit, qualiter facturus erat homo qui Deum quoque jam ausus esset præ impietate contemnere. Nam et mensa nefaria vescebatur, et a consueta et patria puritate discessit, ut jam sit minime mirum quod vitæ man-

καὶ πάτριον ἐξεδιήτησεν ἀγνείαν, ἵνα ᾖ μηκέτι θαυμαστὸν εἰ τὴν πρὸς ἀνθρώπους ἡμερότητα καὶ κοινωνίαν οὐκ ἐτήρησεν ὁ τῆς πρὸς Θεὸν ἀσεβείας οὕτω καταμανείς. Πάλιν τοίνυν ὁ Γιώρα Σίμων τί κακὸν οὐκ ἔδρασεν; ἢ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχετο σωμάτων, οἳ τοῦτον ἀνέδειξαν τύραννον; ποία δὲ αὐτοὺς φιλία, ποία δὲ συγγένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους οὐχὶ θρασυτέρους ἐποίησε; τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους κακῶς ποιεῖν ἀγεννοῦς ἔργον εἶναι πονηρίας ὑπελάμβανον, λαμπρὰν δὲ φέρειν ἐπίδειξιν ἡγοῦντο τὴν ἐν τοῖς οἰκειοτάτοις ὠμότητα. Παρημιλλήσατο δὲ καὶ τὴν τούτων ἀπόνοιαν ἡ τῶν Ἰδουμαίων μανία. Ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς ἀρχιερέας κατασφάξαντες, ὅπως μηδὲ μέρος τι τῆς πρὸς τὸν Θεὸν εὐσεβείας διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι πολιτικοῦ σχήματος ἐξέκοψαν, καὶ τὴν τελειοτάτην εἰσήγαγον διὰ πάντων ἀνομίαν, ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων γένος ἤκμαζεν, οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν. Πᾶν γὰρ κακίας ἔργον ἐξεμιμήσαντο, μηδ' εἴ τι πρότερον προϋπαρχθὲν ἡ μνήμη παραδέδωκεν αὐτοὶ παραλιπόντες ἀζήλωτον· καίτοι τὴν προσηγορίαν αὐτοῖς ἀπὸ τῶν ἐπ' ἀγαθῷ ζηλουμένων ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων, διὰ τὴν αὐτῶν θηριώδη φύσιν, ἢ τὰ μέγιστα τῶν κακῶν ἀγαθὰ νομίζοντες. Τοιγαροῦν προσῆκον ἕκαστοι τὸ τέλος ἤνεγκον, τοῦ Θεοῦ τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βραβεύσαντος. Ὅσας γὰρ ἀνθρώπου δύναται φύσις κολάσεις ὑπομεῖναι, πᾶσαι κατέσκηψαν εἰς αὐτούς, μέχρι καὶ τῆς ἐσχάτης τοῦ βίου τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις αἰκίαις ἀποθανόντες. Οὐ μὴν ἀλλὰ φαίη τις ἂν αὐτοὺς ἐλάττω παθεῖν ὧν ἔδρασαν· τὸ γὰρ δικαίως ἐπ' αὐτῶν οὐ προσῆν. Τοὺς δὲ ταῖς ἐκείνων ὠμότησι περιπεσόντας οὐ τοῦ παρόντος ἂν εἴη καιροῦ κατὰ τὴν ἀξίαν ὀδύρεσθαι. Πάλιν οὖν ἐπάνειμι πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

(ΑΑ'.) β'. Ἐπὶ γὰρ τὸν Ἐλεάζαρον καὶ τοὺς κατέχοντας σὺν αὐτῷ τὴν Μασάδαν σικαρίους ὁ τῶν Ῥωμαίων στρατηγὸς ἦκε τὰς δυνάμεις ἄγων. Καὶ τῆς μὲν χώρας ἁπάσης εὐθὺς ἐκράτει, φρουρὰς ἐν τοῖς ἐπικαιροτάτοις αὐτῆς μέρεσιν ἐγκαταστήσας, τεῖχος δὲ περιέβαλε κύκλῳ περὶ πᾶν τὸ φρούριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ ῥᾴδιον διαφυγεῖν, καὶ διανέμει τοὺς φυλάξοντας. Αὐτὸς δὲ καταστρατοπεδεύει τόπον, ὡς μὲν πρὸς τὴν πολιορκίαν ἐπιτηδειότατον ἐκλαβών, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τῷ πλησίον ὄρει συνήγγιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων δύσκολον. Οὐ γὰρ ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο καὶ σὺν μεγάλῃ ταλαιπωρίᾳ τῶν ἐπὶ τούτῳ τεταγμένων Ἰουδαίων, ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώγιμον εἰς τὸ στρατόπεδον, τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀναδιδόντος. Ταῦτ' οὖν προοικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορκίαν ἐτράπετο, πολλῆς ἐπιτεχνήσεως καὶ ταλαιπωρίας δεομένην, διὰ τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος.

suetioris et communitatis cum hominibus officia non servarit, qui perdite adeo deperiit impietatem in Deum. Rursus Simon Gioræ filius quid mali non commisit? quave corporum liberorum ab injuria temperavit, qui eum creavere tyrannum? quæ vero eos amicitia, quæve cognatio ad quotidianas cædes non ferociores effecit? nam alienos quidem male tractare timidæ nequitiæ opus esse arbitrabantur, gloriosam vero ostentationem esse crudelitatem in familiarissimos existimabant. Horum autem furoris æmuli etiam Idumæi exstitere. Illi enim sceleratissimi quum pontifices jugulassent, ne qua pars conservaretur pietatis in Deum, totum, quod ex civitatis facie supererat, abscidere, summamque per omnia iniquitatem induxerunt: in qua illud hominum genus excellebant, qui zelotæ appellati erant, qui nomen factis verum probaverunt. Omne enim malitiæ facinus æmulati sunt, nullo quod ipsi non imitando expresserunt relicto, quodcunque ante commissum esse memoriæ proditum erat: quamvis nomen sibi ex bonorum æmulatione indidissent, in eo aut cavillati quos læserant propter efferam sui naturam, aut malorum maxima pro bonis haberi volentes. Itaque debitum vitæ finem singuli invenere, Deo illis omnibus quam commeruerunt pœnam tribuente. Quæcunque enim supplicia ferre valet natura humana, ea omnia in eos inciderunt usquedum mortem oppeterent, quam inter multiplices cruciatus obierunt. Verumtamen dixerit forsan aliquis, minora eos quam pro factis perpessos esse: haud enim erat ut merita pœna afficerentur. Illos autem, in quibus suam illi exercebant crudelitatem, non esset hujus temporis digne lamentari. Rursum igitur ad eam narrationis partem redeo, quod mihi restat.

(XXXI.) 2. Veniebat enim dux Romanorum contra Eleazarum exercitum ducens et sicarios qui cum eo Masadam tenebant. Et regione quidem omni statim potitus, præsidia in locis ejus opportunissimis collocavit: Castellum autem muro circumdedit, ne quis obsessorum facile inde aufugeret, et distribuere custodes instituit. Ipse vero castris locum occupat, ad obsidionem quidem maxime idoneum quem delegerat qua parte castelli rupes monti proximo conjungebantur, ceterum difficilem ad necessariorum copiam suppeditandam. Non solum enim commeatus e longinquo advehebatur et cum labore Judæorum maximo, quibus id negotii datum erat: verum etiam potus in castra ducebatur, loco nullum fontem suppeditante. Itaque quum hæc prius disposuisset Silva, ad obsidionem se convertebat, quæ multum sollertiæ et ardui laboris postulabat, propter firmitatem castelli, cujus natura hujusmodi est.

21.

γ'. Πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μῆκος ὑψηλὴν πανταχόθεν περιερρώγασι βαθεῖαι φάραγγες κάτωθεν ἐξ ἀοράτου τέρματος, κρημνώδεις, καὶ πάσῃ βάσει ζώων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ δύο τόπους τῆς πέτρας, εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. Ἔστι δὲ τῶν ὁδῶν ἡ μὲν ἀπὸ τῆς Ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνίσχοντα, καὶ πάλιν ἀπὸ τῆς δύσεως ἧττον βᾴον πορευθῆναι. Καλοῦσι δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες καὶ τοῖς συνεχέσιν ἑλίγμοῖς· κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχὰς, καὶ πολλάκις εἰς αὐτὴν ἀναστρέφουσα καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνομένη μόλις ψαύει τοῦ πρόσω. Δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα τὸν ἕτερον τοῖν ποδοῖν ἐρείδεσθαι. Ἔστι δὲ πρόδηλος ὄλεθρος· ἑκατέρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε, τῇ φοβερότητι πᾶσαν εὐτολμίαν ἐκπλῆξαι δυνάμενον. Διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριάκοντα κορυφὴ τὸ λοιπόν ἐστιν, οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ' ὥστ' εἶναι κατ' ἄκρας ἐπίπεδος. Ἐπὶ ταύτῃ πρῶτος μὲν ὁ ἀρχιερεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης, καὶ προσηγόρευσε Μασάδαν. Ὕστερον δ' Ἡρῴδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο σπουδῆς ἡ τοῦ χωρίου κατασκευή. Τεῖχός τε γὰρ ἦγειρε περὶ πάντα τὸν κύκλον τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα, λευκοῦ μὲν λίθου πεποιημένον, ὕψος δὲ δώδεκα, καὶ πλάτος ὀκτὼ πήχεις ἔχον, τριάκοντα δ' αὐτῷ καὶ ἑπτὰ πύργοι πεντηκονταπήχεις ἀνεστήκεσαν, ἐξ ὧν ἦν εἰς οἰκήματα διελθεῖν περὶ πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα. Τὴν γὰρ κορυφὴν πίονα καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν ἀνῆκεν εἰς γεωργίαν ὁ βασιλεὺς, ἵν' εἴ ποτε τῆς ἔξω τροφῆς ἀπορία γένοιτο, μηδὲ ταύτῃ κάμοιεν οἱ τὴν αὐτῶν σωτηρίαν τῷ φρουρίῳ πεπιστευκότες. Καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ, κατὰ τὴν ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας τειχῶν, πρὸς δὲ τὴν ἄρκτον ἐγκλῖνον. Τοῦ δὲ βασιλείου τὸ τεῖχος ἦν ὕψει μέγα καὶ καρτερὸν, πύργους ἔχον ἑξηκονταπήχεις ἐγγωνίους τέτταρας. Ἥ τε τῶν οἰκημάτων ἔνδον καὶ στοῶν καὶ βαλανείων κατασκευὴ παντοία καὶ πολυτελὴς ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑρεστηκότων, τοίχων δὲ καὶ τῶν ἐν τοῖς οἰκήμασιν ἐδαφῶν λίθου στρώσει πεποικιλμένων. Πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων ἄνω τε καὶ περὶ τὸ βασίλειον, καὶ πρὸ τοῦ τείχους πολλοὺς καὶ μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις, φυλακτῆρας ὑδάτων, μηχανώμενος εἶναι χορηγίαν ὅση τῶν ἐκ πηγῶν ἐστι χρωμένοις. Ὀρυκτὴ δ' ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς ἄκραν τὴν κορυφὴν ἀνεφέρετο, τοῖς ἔξωθεν ἀφανής. Οὐ μὴν οὐδὲ ταῖς φανεραῖς ὁδοῖς ἦν οἵοντε χρήσασθαι ῥᾳδίως πολεμίους. Ἡ μὲν γὰρ ἑῴα διὰ τὴν φύσιν, ὡς προείπομεν, ἐστὶν ἄβατος, τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ τὸ στενότατον πύργῳ διετείχισεν, ἀπέχοντι τῆς ἄκρας πήχεων οὐκ ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν οὔτε ῥᾴδιον ἑλεῖν. Δυσέξοδος δὲ καὶ τοῖς μετ' ἀδείας βαδίζουσιν ἐπεποίητο. Οὕτω μὲν οὖν πρὸς τὰς τῶν πολε-

3. Petram ambitu non exiguam, et longitudine excelsam, undique circumdant valles adeo profundæ ut illarum terminus conspici nequeat, præruptæ et omnium animalium gressibus inaccessæ, nisi quod locis duobus petra in ascensum non facilem cedit. Est autem via quidem una a lacu Asphaltite ad solis ortum, altera vero ab occidente, qua minori cum negotio inceditur. Vocatur autem prior coluber, ex angustia crebrisque flexibus capta similitudine: circa enim præcipitium eminentias fractura est, et sæpe in se revertens paulatimque rursum producta vix tangit id quod ulterius est. Oportet autem alternos figat pedes qui hac via graditur. Est autem *lapso* certa pernicies: nam alta præcipitia utrinque debiscunt, quæ horrore quemvis vel audacissimum terrere possunt. Per ejusmodi viam quum quis triginta stadiis ascenderit, quod restat vertex est, non in finem acutum desinens, sed in summitate planitiem habens. Super hoc primus quidem Jonathas pontifex castellum ædificavit et appellavit Masadam. Post autem Herodi regi magno studio fuit locum structuris occupare. Nam et murum circa omnem verticis ambitum erexit, per stadia septem, e candido quidem lapide exstructum, altum vero duodecim latumque octo cubitos; et triginta septem turres quinquagenorum cubitorum in eo stabant; ex quibus aditus erant in ædes circa omnem murum intus ædificatas. Nam verticem, utpote fœcundum et omni planitie molliorem, culturæ dedit rex, ut, si quando alimenti externi esset inopia, ne hac quidem laborarent qui salutem suam castello crediderint. Etiam regiam illic ædificavit, ab occidentalis partis ascensu, intra mœnia quidem arcis positam, ad septemtrionem vero vergentem. Regiæ autem murus erat magnæ celsitudinis et validus, quattuor turres sexagenorum cubitorum in angulis habens. Conclavium etiam intus et porticuum, itemque balnearum varia erat et sumptuosa constructio, columnis quidem e singularibus saxis undique suppositis, parietibus autem soloque in conclavibus variis lapidibus strato. Ad singula vero habitacula, et in summo et circa regiam et ante murum, multos magnosque puteos scopulis exscidit ad aquam conservandam, machinatus tantum aquæ suppeditandum, quantum haberent qui fontibus utuntur. Via autem fossa e regia in verticem summum ducebat, forinsecus non apparens. Sed nec manifestæ viæ facile usui erant hostibus. Nam orientalis quidem, naturâ, ut supra memoravimus, est inaccessa; occidentalem vero magna in angustia posita turri intersepsit, non minore mille cubitorum spatio ab arce distante, quæ neque transiri potuit, neque facile capi. Insuper et iis qui sine metu incederent exitu erat difficilis. Atque ita quidem

μίων ἐφόδους φυσει τε καὶ χειροποιήτως τὸ φρούριον ὠχύρωτο.

(ΛΒ'.) δ'. Τῶν δ' ἔνδον ἀποκειμένων παρασκευῶν ἔτι μᾶλλον ἄν τις ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν. Σῖτός τε γὰρ ἀπέκειτο πολὺς καὶ πολὺν χρόνον ἀρκεῖν ἱκανώτατος, οἶνός τε πολὺς ἦν καὶ ἔλαιον· ἔτι δὲ παντοῖος ὀσπρίων καρπὸς καὶ φοίνικες ἐσεσώρευντο. Πάντα δ' ηὗρεν ὁ Ἐλεάζαρος τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγκρατὴς δόλῳ γενόμενος ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων ἀποδέοντα, καίτοι σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν ἑκατὸν ἦν χρόνος ἐτῶν. Ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς περιλειφθέντας τῶν καρπῶν ηὗρον ἀδιαφθόρους. Αἴτιον δ' οὐκ ἂν ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς, ὕψει τῶν περὶ τὴν ἄκραν πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ κράσεως. Ηὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ βασιλέως ἀποτεθησαυρισμένον, ὡς ἀνδράσιν ἀρκεῖν μυρίοις, ἀργός τε σίδηρος καὶ χαλκὸς, ἔτι δὲ καὶ μόλιβδος, ἅτε δὴ τῆς παρασκευῆς ἐπὶ μεγάλαις αἰτίαις γενομένης. Λέγεται γὰρ αὐτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον εἰς ἀποφυγὴν ἑτοιμάζειν, διπλοῦν ὑφορώμενον κίνδυνον, τὸν μὲν παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον τοὺς πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι, τὸν μείζω δὲ καὶ χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπάτρας. Αὕτη γὰρ τὴν αὐτῆς γνώμην οὐκ ἐπεῖχεν, ἀλλὰ πολλάκις Ἀντωνίῳ λόγους προσέφερε, τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δ' αὐτῇ τὴν βασιλείαν τῶν Ἰουδαίων δεομένη. Καὶ μᾶλλον ἄν τις ἐθαύμασεν ὅτι μηδέπω τοῖς προστάγμασιν Ἀντώνιος ὑπηκηκόει, κακῶς ὑπὸ τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χαρίσασθαι προσεδόκησε. Διὰ τοιούτους μὲν φόβους Ἡρώδης Μασάδαν κατασκευασάμενος ἔμελλε Ῥωμαίοις ἀπολείψειν ἔργον τοῦ πρὸς Ἰουδαίους πολέμου τελευταῖον.

(ΛΓ'.) ε'. Ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τόπον ὁ τῶν Ῥωμαίων, ὡς προείπομεν, ἡγεμών, καὶ τοῦ μή τινα ἀποδρᾶναι πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνεχείρει τῇ πολιορκίᾳ, μόνον εὑρὼν ἕνα τόπον ἐπιβολὴν χωμάτων δέξασθαι δυνάμενον. Μετὰ γὰρ τὸν διατειχίζοντα πύργον τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν εἴς τε τὸ βασίλειον καὶ τὴν ἀκρώρειαν, ἣν τις ἐξοχὴ πέτρας εὐμεγέθης τῷ πλάτει καὶ πολὺ προκύπτουσα, τοῦ δ' ὕψους τῆς Μασάδας τριακοσίους πήχεις ὑποκάτω. Λευκὴν δὲ αὐτὴν ὠνόμαζον. Ἐπὶ ταύτην οὖν ἀναβὰς καὶ κατασχὼν αὐτὴν ὁ Σίλβας ἐκέλευσε τὸν στρατὸν χοῦν ἐπιφέρειν. Τῶν δὲ προθύμως καὶ μετὰ πολλῆς χειρὸς ἐργαζομένων, στερεὸν εἰς διακοσίους πήχεις ὑψώθη τὸ χῶμα, οὐ μὴν οὔτε βέβαιον οὔτε αὐταρκες ἐδόκει τοῦτο τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν εἰς ἐπιβάθραν, ἀλλ' ἐπ' αὐτοῦ βῆμα λίθων μεγάλων συνηρμοσμένων ἐποιήθη, πεντήκοντα πηχῶν εὖρός τε καὶ ὕψος. Ἦν δὲ τῶν ἄλλων τε μηχανημάτων ἡ κατασκευὴ παραπλησία τοῖς ὑπὸ μὲν Οὐεσπασιανοῦ πρόadversus hostiles impetus natura pariter ac manuum opera munitum erat castellum.

(XXXII.) 4. Intus autem repositi apparatus magis adhuc miranda erat copia luculenta et diuturnitas. Nam et frumenti multum erat reconditum et quod in longum tempus sufficeret; vinumque multum erat et oleum, etiam cujusque leguminis fructus, et palmulæ coacervatæ. Universa autem reperiebat Eleazarus, cum sicariis castello per dolum potitus, matura, nihilque recens depositis deteriora: quanquam fere ex quo parata erant ad excidium a Romanis illatum centum annorum tempus agebatur. Quin etiam Romani fructuum reliquias incorruptas offendêre. Si quis autem causam hujus diuturnitatis auram esse existimet, non erraverit, quod arcis altitudine ab omni terrena ac fœculenta mixtura sit remota. Insuper et omne genus armorum vis ingens inventa est, a rege recondita, quæ decem virorum millibus sufficerent, ferrumque infectum, et æs, prætereaque plumbum: scilicet ut magnis de causis factum crederes apparatum. Aiunt enim Herodem id ipsum castellum sibi ad refugium paravisse, duplex periculum suspicantem: unum quidem a Judæorum populo, ne se deposito illos qui antea reges fuerant ad principatum reduceret; alterum vero majus et atrocius a Cleopatra regina Ægypti. Illa enim voluntatem suam non celabat, sed cum Antonio sæpe verba faciebat, postulans ut Herodes interficeretur, sibique regnum Judæorum donari obsecrans. Et magis quis miraretur, quod nunquam ejus imperio paruerit Antonius, male ipsi præ amore mancipatus, quam non donaturum esse exspectaret. Propter hujusmodi quidem timores quum Herodes exstruxisset Masadam, ea re fiebat ut Romanis id bello contra Judæos opus extremum relinqueret.

(XXXIII.) 5. Quum enim Silva dux Romanorum foris jam locum omnem muro circumdedisset, sicut supra diximus, et ne quis effugeret diligentiam et curam maximam adhibuisset, oppugnationi manum admovebat, uno tantum loco reperto qui aggerem excifari sineret. Nam post eam turrim, quæ iter ab occidente, quod ad regiam summumque verticem duceret, præcludebat, erat quædam saxi eminentia bene magna latitudine et multum prominens, celsitudine autem Masadæ trecentis cubitis inferior. Illam vero Leucen appellabant. Hanc igitur Silva ubi ascendit et occupavit, milites terram aggerere jussit. Illis autem alacri animo et magna manu operantibus, solidus ad cubitos ducentos erectus est agger, non tamen spatii modus aut satis firmus aut sufficiens ascensus machinis videbatur; sed super eum tribunal, constructis saxis ingentibus, factum est, altum itemque latum cubitis quinquaginta. Erat autem et ceterarum machinarum fabrica illis assimilis, quas primo quidem Vespasianus, postea

τερον, μετὰ ταῦτα δ' ὑπὸ Τίτου πρὸς τὰς πολιορκίας ἐπινοηθεῖσι, καὶ πύργος ἑξηκοντάπηχυς συνετελέσθη, σιδήρῳ καταπεφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς ὀξυβέλεσι καὶ πετροβόλοις βάλλοντες οἱ Ῥωμαῖοι τοὺς ἀπὸ τοῦ τείχους μαχομένους ταχέως ἀνέστειλαν καὶ προκύπτειν ἐκώλυσαν. Ἐν ταυτῷ δὲ καὶ κριὸν ὁ Σίλβας μέγαν κατασκευασάμενος, συνεχεῖς ποιεῖσθαι κελεύσας τῷ τείχει τὰς ἐμβολὰς, μόλις μὲν, ἀλλ' οὖν ἀναρρῆξάς τι μέρος αὐτοῦ, κατήρειψε. Φθάνουσι δ' οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησάμενοι τεῖχος ἕτερον, ὃ μηδ' ὑπὸ τῶν μηχανημάτων ἔμελλεν ὅμοιόν τι πείσεσθαι. Μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα τῆς ἐμβολῆς ὑπεκλύειν δυνάμενον τοιῷδε τρόπῳ κατεσκεύασαν. Δοκοὺς μεγάλας ἐπὶ μῆκος προσεχεῖς ἀλλήλαις κατὰ τὴν τομὴν συνέθεσαν. Δύο δ' ἦσαν στίχοι παράλληλοι τοσοῦτον διεστῶτες ὅσον εἶναι πλάτος τείχους, καὶ μέσον ἀμφοῖν τὸν χοῦν ἐνεφόρουν. Ὅπως δὲ μὴ ὑψουμένου τοῦ χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς ἐπικαρσίαις τὰς κατὰ μῆκος κειμένας διέδεον. Ἦν οὖν ἐκείνοις μὲν οἰκοδομία τὸ ἔργον παραπλήσιον. Τῶν μηχανημάτων δ' αἱ πληγαὶ φερόμεναι πρὸς εἰκὸς ἐξελύοντο, καὶ τῷ σάλῳ συνιζάνον ἐποίουν αὐτὸ στεριφώτερον. Τοῦτο συνιδὼν ὁ Σίλβας πυρὶ μᾶλλον αἱρήσειν ἐνόμισε τὸ τεῖχος, καὶ τοῖς στρατιώταις προσέταττε λαμπάδας αἰθομένας ἀθρόους εἰσακοντίζειν. Τὸ δ', οἷα δὴ ξύλων τὸ πλέον πεποιημένον, ταχὺ τοῦ πυρὸς ἀντελάβετο, καὶ τῇ χαυνότητι πυρωθὲν διὰ βάθους φλόγα πολλὴν ἐξεπύρσευσεν. Ἀρχομένου μὲν οὖν ἔτι τοῦ πυρὸς βορρᾶς ἐμπνέων τοῖς Ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ ἀποστρέφων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα. Καὶ σχεδὸν ἤδη τῶν μηχανημάτων ὡς συμφλεγησομένων, ἀπεγώκεσαν. Ἔπειτα δ' αἰφνίδιον νότος μεταβαλὼν καθάπερ ἐκ δαιμονίου προνοίας, καὶ πολὺς ἐναντίος πνεύσας, τῷ τείχει φέρων αὐτὴν προσέβαλε, καὶ πᾶν ἤδη διὰ βάθους ἐφλέγετο. Ῥωμαῖοι μὲν οὖν τῇ παρὰ τοῦ Θεοῦ συμμαχίᾳ κεχρημένοι χαίροντες εἰς τὸ στρατόπεδον ἀπηλλάττοντο, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις διεγνωκότες, καὶ τὰς φυλακὰς νύκτωρ ἐπιμελεστέρας ἐποιήσαντο, μή τινες αὐτῶν λάθωσιν ἀποδράντες.

(ΛΔ'.) ς'. Οὐ μὴν οὔτ' αὐτὸς Ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλαβεν οὔτ' ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἔμελλεν ἐπιτρέψειν. Ὁρῶν δὲ τὸ μὲν τεῖχος ὑπὸ τοῦ πυρὸς ἀναλισκόμενον, ἄλλον δ' οὐδένα σωτηρίας τρόπον οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον Ῥωμαῖοι δράσειν αὐτοὺς καὶ τέκνα καὶ γυναῖκας αὐτῶν, εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς αὐτῷ τιθέμενος, θάνατον κατὰ πάντων ἐβουλεύσατο. Καὶ τοῦτο κρίνας ἐκ τῶν παρόντων ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συναγαγὼν, τοιούτοις ἐπὶ τὴν πρᾶξιν λόγοις παρεκάλει. « Πάλαι διεγνωκότας ἡμᾶς, ἄνδρες ἀγα-
« θοὶ, μήτε Ῥωμαίοις μήτ' ἄλλῳ τινὶ δουλεύειν ἢ Θεῷ
« (μόνος γὰρ οὗτος ἀληθής ἐστι καὶ δίκαιος ἀνθρώπων
« δεσπότης), ἧκε νῦν καιρὸς ἐπαληθεῦσαι κελεύων τὸ
« φρόνημα τοῖς ἔργοις. Πρὸς δν αὐτοὺς μὴ καταισχύ-

vero Titus ad oppida oppugnanda excogitavit: et turris sexaginta cubitorum effecta est, tota ferro munita, unde Romani multis scorpionibus et ballistis cito eos repulere qui e muro pugnabant, et capita exserere prohibuerunt. Simul autem ingenti etiam ariete fabricato, Silva crebro murum pulsari jubet: ac vix quidem illum, sed parte tamen ejus perfracto, evertit. Occupant autem sicarii alium intus murum idque celeriter ædificare, qui nihil simile a machinis passurus erat. Illum enim ut mollis esset et ictuum impetum vehementem posset laxare, in hunc modum construxerunt. Trabes ingentes perpetuas in longitudinem, alias aliis qua sectæ erant conjungebant. Bini autem ordines erant paribus intervallis distantes inter se tantum, quanta esset muri latitudo; inque medium spatium terram ingerebant. Ne vero crescente cumulo terra deflueret, aliis transversis trabibus priores in longitudinem positas revinciebant. Erat ergo istiusmodi opus ædificio non absimile. Machinarum vero ictus ei quod cedebat illati debilitabantur, et ex concussione desidente materia firmiorem reddebant fabricam. Quum hoc animadvertisset Silva, igne facilius murum captum iri existimavit, militibusque præcepit ut crebras faces ardentes jacularentur. Tum murus, quippe magna ex parte ligneus, ignem cito concepit, et usque ad imum sui laxitate accensus magnam flammam edidit. Et principio quidem quum ignis erumperet, boreas spiraus Romanis erat horribilis · superne enim se deflectens flammam in eos ferebat; adeo ut fere desperarint, quasi jam conflagraturæ essent machinæ. Postea vero flatu derepente mutato veluti divina providentia, auster excitatus multa vi flammam ad murum rejecit, jamque totus a summo ad imum ardebat. Et Romani quidem Dei usi auxilio ad castra læti revertuntur, eo animo ut hostes postridie aggrederentur: et nocte vigilias cura majori agebant, ne qui eorum clam aufugerent.

(XXXIV.) 6. Verumtamen neque ipse Eleazarus de fuga cogitabat, neque alii cuiquam permissurus erat ut fuga evaderet. Murum autem igne consumptum videns, alium vero nullum salutis modum neque virtutis excogitans, sed iis quæ Romani in liberosque ipsos et conjuges facturi essent, si vicissent, ante oculos positis, de morte omnium deliberavit. Idque ex præsentibus potissimum ratus, validioris animi sociis congregatis hujusmodi verbis ad facinus eos incitabat. « Quum olim nos statuerimus, viri fortes, neque
« Romanis neque cuiquam alii nisi Deo servire (is enim solus
« est verus et justus hominum dominus), nunc tempus adest
« quod factis animi magnitudinem probare jubeat. In quo
« ne nosmet dehonestemus, antea servitutem non sine pe-

« νωμεν, πρότερον μηδὲ δουλείαν ἀκίνδυνον ὑπομεί-
« ναντες, νυνὶ δὲ μετὰ δουλείας ἑλόμενοι τιμωρίας
« ἀνηκέστους, εἰ ζῶντες ὑπὸ Ῥωμαίοις ἐσόμεθα. Πρῶ-
« τοί τε γὰρ πάντων ἀπέστημεν καὶ πολεμοῦμεν αὐτοῖς
« τελευταῖοι. Νομίζω δὲ καὶ παρὰ Θεοῦ ταύτην ἡμῖν
« δεδόσθαι χάριν, τοῦ δύνασθαι καλῶς καὶ ἐλευθέρως
« ἀποθανεῖν, ὅπερ ἄλλοις οὐκ ἐγένετο παρ' ἐλπίδα
« κρατηθεῖσιν. Ἡμῖν δὲ πρόδηλος μέν ἐστιν ἡ γενη-
« σομένη μεθ' ἡμέραν ἅλωσις, ἐλευθέρα δ' ἡ τοῦ γεν-
« ναίου θανάτου μετὰ τῶν φιλτάτων αἵρεσις. Οὔτε
« γὰρ τοῦτο ἀποκωλύειν οἱ πολέμιοι δύνανται πάντως
« εὐχόμενοι ζῶντας ἡμᾶς παραλαβεῖν οὔθ' ἡμεῖς ἐκεί-
« νους ἔτι νικᾶν μαχόμενοι. Ἔδει μὲν γὰρ εὐθὺς ἴσως
« ἐξ ἀρχῆς, ὅτε τῆς ἐλευθερίας ἡμῖν ἀντιποιεῖσθαι θελή-
« σασι πάντα καὶ παρ' ἀλλήλων ἀπέβαινε χαλεπὰ καὶ
« παρὰ τῶν πολεμίων χείρω, τῆς τοῦ Θεοῦ γνώμης
« στοχάζεσθαι, καὶ γινώσκειν ὅτι τὸ πάλαι φίλον αὐτῷ
« φῦλον Ἰουδαίων ἀπώλειαν κατέγνωστο. Μένων γὰρ
« εὐμενὴς ἢ μετρίως γοῦν ἡμῖν ἀπηχθημένος, οὐκ ἂν
« τοσούτων μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον, προή-
« κατο δὲ τὴν ἱερωτάτην αὐτοῦ πόλιν πυρὶ καὶ κατα-
« σκαφαῖς πολεμίων. Ἡμεῖς δ' ἄρα καὶ μόνοι τοῦ
« παντὸς Ἰουδαίων γένους ἠλπίσαμεν περιέσεσθαι τὴν
« ἐλευθερίαν φυλάξαντες, ὥσπερ ἀναμάρτητοι πρὸς τὸν
« Θεὸν γενόμενοι, καὶ μηδεμιᾶς μετασχόντες παρανο-
« μίας, οἳ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν; Τοιγαροῦν ὁρᾶτε
« πῶς ἡμᾶς ἐλέγχει μάταια προσδοκήσαντας, κρείττονα
« τῶν ἐλπίδων τὴν ἐν τοῖς δεινοῖς ἀνάγκην ἐπαγαγών.
« Οὔτε γὰρ ἡμᾶς ἡ τοῦ φρουρίου φύσις ἀνάλωτος οὖσα
« πρὸς σωτηρίαν ὠφέλησεν, ἀλλὰ καὶ τροφῆς ἀφθονίαν
« καὶ πλῆθος ὅπλων, καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν
« περιττεύουσαν, ὑπ' αὐτοῦ περιφανῶς τοῦ Θεοῦ τὴν
« ἐλπίδα τῆς σωτηρίας ἀφῃρήμεθα. Τὸ γὰρ πῦρ εἰς
« τοὺς πολεμίους φερόμενον οὐκ αὐτομάτως ἐπὶ τὸ κα-
« τασκευασθὲν τεῖχος ὑφ' ἡμῶν ἀνέστρεψεν, ἀλλ' ἔστι
« ταῦτα χόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς
« ὁμοφύλους ἐτολμήσαμεν, ὑπὲρ ὧν μὴ τοῖς ἐχθίστοις
« Ῥωμαίοις δίκας, ἀλλὰ τῷ Θεῷ δι' ἡμῶν αὐτῶν
« ὑπόσχωμεν. Αὗται δ' εἰσὶν ἐκείνων μετριώτεραι.
« Θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι, καὶ παῖδες
« δουλείας ἀπείρατοι, μετὰ δ' αὐτοὺς ἡμεῖς εὐγενῆ χά-
« ριν ἀλλήλοις παράσχωμεν, καλὸν ἐνταφιον τὴν ἐλευ-
« θερίαν φυλάξαντες. Πρότερον δὲ καὶ τὰ χρήματα
« καὶ τὸ φρούριον πυρὶ διαφθείρωμεν. Λυπηθήσονται
« γὰρ Ῥωμαῖοι, σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σω-
« μάτων κρατήσοντες καὶ τοῦ κέρδους ἁμαρτόντες.
« Τὰς τροφὰς μόνας ἐάσωμεν· αὗται γὰρ ἡμῖν τεθνη-
« κόσι μαρτυρήσουσιν ὅτι μὴ δι' ἔνδειαν ἐκρατήθημεν,
« ἀλλ' ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον ἑλόμενοι
« πρὸ δουλείας. »

ζ'. Ταῦτα Ἐλεάζαρος ἔλεγεν, οὐ μὴν κατ' αὐτὸ ταῖς γνώμαις προσέπιπτε τῶν παρόντων. Ἀλλ' οἱ μὲν ἔσπευδον ὑπακούειν, καὶ μόνον οὐχ ἡδονῆς ἐνεπίμπλαντο, καλὸν εἶναι τὸν θάνατον νομίζοντες· τοὺς δ' αὐτῶν

« riculo passi, nunc vero cum servitute intolerabiles pœnas
« subituri, si vivi in Romanorum potestatem redigamur.
« Nam et omnium primi defecimus, et novissimi adversus
« eos bellum gerimus. Quin et hanc nobis a Deo gratiam
« datam existimo, ut bene ac libere possimus mori, quod
« aliis non contigit præter spem superatis. Nobis autem
« pro certo quidem prima luce futurum est excidium : at
« libera est strenuæ mortis optio una cum carissimis. Nec
« enim prohibere id hostes possunt, quibus omnino in votis
« est nos vivos abducere; neque nos illos jam valemus pu-
« gnando superare. Nam fortasse quidem ab initio statim
« (quando libertatem defendere cupientibus omnia et a nobis
« ipsis acerba et pejora ab hostibus eveniebant) de Dei vo-
« luntate conjecisse oportebat, et scivisse quod cara ei
« quondam Judæorum gens damnata esset ad interitum.
« Nam manens propitius, vel saltem nobis leviter infen-
« sus, nunquam tot hominum perniciem insuper ha-
« buisset, urbemque sibi sacratissimam tradidisset hosti-
« bus, ut incendio periret et funditus dirueretur. Nos au-
« tem soli scilicet ex omni Judæorum genere superstites
« fore speravimus etiam libertate servata, quasi in Deum
« omnino non deliquissemus, nulliusque culpæ participes
« fuissemus, qui et aliis idem suadere operam dedimus?
« Itaque videtis quemadmodum nos vana exspectasse redar-
« guit Deus, nobis mala ferendi patiendique necessitatem,
« spe nostra potentiorem, inferens. Nec enim nobis castelli
« quanquam inexpugnabilis natura quicquam profuit ad sa-
« lutem; sed et alimentorum copiam et armorum multitudi-
« nem, ceterique habentes apparatus abundantiam, ab ipso
« Deo manifeste salutis spe exuimur. Quippe ignis, qui
« ferebatur in hostes, non sponte sua in murum a nobis
« exstructum revertebatur; sed hæc ab ira Dei in nos excitata
« sunt ob multas injurias, quas furore capti contra gentiles
« ausi sumus; pro quibus pœnas quæso non Romanis ini-
« micissimis, sed per nosmet ipsos Deo solvamus. Hæ
« vero illis moderatiores sunt. Moriantur enim conjuges
« ab injuria vacuæ, liberique servitutis expertes : post illos
« autem in nosmet generosum beneficium mutuo confera-
« mus, servata libertate, unde pulchram habebimus sepul-
« turam. Prius tamen et pecuniam et castellum igne exu-
« ramus. Mœrebunt enim Romani, certe scio, si corpora
« nostra non occupaverint, et spe prædæ exciderint. Ali-
« menta sola relinquamus : hæc enim nobis erunt testi-
« monio mortuis, quod non penuria edomiti sumus, sed,
« ut ab initio statueramus, mortem servitio prætulimus. »

7. Hæc dicebat Eleazarus, non tamen omnes qui aderant super ea re mente consentiebant. Sed alii quidem ei obedire properabant, et propemodum voluptate complebantur, pulchram esse mortem existimantes. Qui vero mol-

μαλακωτέρους γυναικῶν καὶ γενεᾶς οἶκτος εἰσῄει· πάντως δὲ καὶ τῆς ἑαυτῶν προδήλου τελευτῆς εἰς ἀλλήλους ἀποβλέποντες τοῖς δακρύοις τὸ μὴ βουλόμενον τῆς γνώμης ἐσήμαινον. Τούτους ἰδὼν Ἐλεάζαρος ἀποδειλιῶντας, καὶ πρὸς τὸ μέγεθος τοῦ βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους, ἔδεισε μή ποτε καὶ τοὺς ἐρρωμένως τῶν λόγων ἀκούσαντας αὐτοὶ συνεκθηλύνωσι ποτνιώμενοι καὶ δακρύοντες. Οὐκουν ἀνῆκε τὴν παρακέλευσιν, ἀλλ' ἑαυτὸν ἐπεγείρας καὶ πολλοῦ λήμματος πλήρης γενόμενος, λαμπροτέροις ἐνεχείρει λόγοις, περὶ ψυχῆς ἀθανασίας, μέγα τε σχετλιάσας καὶ τοῖς δακρύουσιν ἀτενὲς ἐμβλέψας, « ἦ πλεῖστον, εἶπεν, ἐψεύσθην, νομί-
« ζων ἀνδράσιν ἀγαθοῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγώ-
« νων συναίρεσθαι, ζῆν καλῶς ἢ τεθνάναι διεγνωκό-
« σιν. Ὑμεῖς δ' ἦτε τῶν τυχόντων οὐδὲν εἰς ἀρετὴν
« οὐδ' εἰς εὐτολμίαν διαφέροντες, οἵ γε καὶ τὸν ἐπὶ με-
« γίστων ἀπαλλαγῆ κακῶν φοβεῖσθε θάνατον, δέον ὑπὲρ
« τούτου μήτε μελλῆσαι μήτε σύμβουλον ἀναμεῖναι.
« Πάλαι γὰρ εὐθὺς ἀπὸ τῆς πρώτης αἰσθήσεως παιδεύον-
« τες ἡμᾶς οἱ πάτριοι καὶ θεῖοι λόγοι διετέλουν, ἔργοις
« τε καὶ φρονήμασι τῶν ἡμετέρων προγόνων αὐτοὺς
« βεβαιούντων, ὅτι συμφορὰ τὸ ζῆν ἐστιν ἀνθρώποις,
« οὐχὶ θάνατος. Οὗτος μὲν γὰρ ἐλευθερίαν διδοὺς ψυ-
« χαῖς εἰς τὸν οἰκεῖον καὶ καθαρὸν ἀφίησι τόπον ἀπαλ-
« λάσσεσθαι, πάσης συμφορᾶς ἀπαθεῖς ἐσομένας. Ἕως
« δ' εἰσὶν ἐν σώματι θνητῷ δεδεμέναι, καὶ τῶν τούτου
« κακῶν συναναπίμπλανται, τἀληθέστατον εἰπεῖν, τεθνή-
« κασι· κοινωνία γὰρ θείῳ πρὸς θνητὸν ἀπρεπής ἐστι.
« Μέγα μὲν οὖν δύναται ψυχὴ καὶ σώματι συνδεδεμέ-
« νη· ποιεῖ γὰρ αὐτῆς ὄργανον αἰσθανόμενον ἀοράτως
« αὐτὸ κινοῦσα, καὶ θνητῆς φύσεως περαιτέρω προά-
« γουσα ταῖς πράξεσιν. Οὐ μὴν ἀλλ' ἐπειδὰν ἀπολυ-
« θεῖσα τοῦ καθέλκοντος αὐτὴν βάρους ἐπὶ γῆν καὶ
« προσκρεμαμένου, χῶρον ἀπολάβῃ τὸν οἰκεῖον, τότε
« δὴ μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου μετέ-
« χει δυνάμεως, ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις
« ὄμμασιν, ὥσπερ αὐτὸς ὁ Θεός. Οὐδὲ γὰρ ἕως ἐστὶν
« ἐν σώματι θεωρεῖται· πρόσεισι γὰρ ἀφανῶς, καὶ μὴ
« βλεπομένη πάλιν ἀπαλλάττεται, μίαν μὲν αὖτη φύ-
« σιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι γινομένη
« μεταβολῆς. Ὅτου γὰρ ἂν ψυχὴ προσάψηται, τοῦτο ζῇ
« καὶ τέθηλεν, ὅτου δ' ἂν ἀπαλλαγῇ, μαρανθὲν ἀποθνή-
« σκει· τοσοῦτον περίεστιν αὐτῇ ἀθανασίας. Ὕπνος
« δὲ τεκμήριον ὑμῖν ἔστω τῶν λόγων ἐναργέστατον, ἐν
« ᾧ ψυχαί, τοῦ σώματος αὐτὰς μὴ περισπῶντος, ἡδί-
« στην μὲν ἔχουσιν ἀνάπαυσιν ἐφ' ἑαυτῶν γενόμεναι,
« Θεῷ δ' ὁμιλοῦσαι κατὰ συγγένειαν πάντῃ μὲν ἐπι-
« φοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προθεσπίζουσι. Τί
« δὲ δεῖ δεδιέναι θάνατον τὴν ἐν ὕπνῳ γινομένην ἀνά-
« παυσιν ἀγαπῶντας; πῶς δὲ οὐκ ἀνοήτόν ἐστι τὴν ἐν
« τῷ ζῆν ἐλευθερίαν διώκοντας τῆς ἀϊδίου φθονεῖν ἑαυ-
« τοῖς; Ἔδει μὲν οὖν ἡμᾶς οἰκοθεν πεπαιδευμένους ἄλ-
« λοις εἶναι παράδειγμα τῆς πρὸς θάνατον ἑτοιμότητος.
« Οὐ μὴν ἀλλ' εἰ καὶ τῆς παρὰ τῶν ἀλλοφύλων δεόμεθα

liores erant, conjugum et familiarum misericordia tenebantur; quumque plane suus cuique interitus ob oculos versaretur, alius alium intuentes lacrimis indicabant, se nolle istiusmodi consilium sequi. Hos ubi Eleazarus pavitare animadvertit animisque frangi ex rei deliberatæ magnitudine, pertimuit ne etiam eos qui fortiter quæ dixerat audiverant, hi simul effeminarent obsecrantes et lacrimantes. Itaque ab exhortatione non desistit, sed quum semet erexisset multoque replesset spiritu, clariorem de animæ immortalitate exorsus est orationem, magnaque usus exclamatione et oculis attentis flentes aspiciens, « certe,
« inquit, plurimum deceptus eram, qui putarim viris forti-
« bus in certamine pro libertate succurrere, quibus hone-
« ste vivere aut mori decretum est. Vos autem profecto ne
« cuilibet quidem homini vel audacia vel virtute præstatis,
« qui etiam mala maxima effugituri mortem timetis; quum
« oporteret vos super ea re neque cunctari neque exspe-
« ctare monitorem. Olim enim et a prima statim rerum
« notitia constanter nos docuerunt patrii ac sacri sermones,
« majorum quoque nostrorum factis et animis eos confir-
« mantibus, quod vivere hominibus, non mori in calami-
« tatem cedit. Nam mors quidem animabus dans libertа-
« tem, in proprium purumque locum eas discedere permit-
« tit, ubi futuræ sunt ab omni malo immunes. Quamdiu
« autem mortali corpori vinctæ sunt, simulque malis ejus
« opplentur, verissime dicantur mortuæ, utpote quod parum
« deceat divinum cum mortali sociari. Esto quidem mul-
« tum posse animam etiam corpori conjunctam, quippe
« suum facit instrumentum, sensu præditum, dum ipsa
« non visa in eo motum ciet, atque actionibus ultra morta-
« lem naturam provehit. Verumtamen quum pondere eam
« in terram deprimente eique appenso liberata, proprium
« locum receperit, tunc vim beatam et undique liberam
« sortitur potestatem, humanorum oculorum, ut ipse Deus,
« aciem effugiens. Nec enim, quamdiu in corpore est, con-
« spicitur: ut quæ nemini apparens accedat, neque rursus
« quum recedit cuiquam aspectabilis est, unam quidem na-
« turam ipsa habens mutationis expertem, corpori autem
« in causa quod in eo mutationes fiant. Nam quodcunque
« anima attigerit, hoc vivit atque viget; unde vero digressa
« fuerit, id ipsum flaccescit et moritur: adeo in se abunde
« habet immortalitatis. Eorum autem quæ dico pro indi-
« cio sit manifestissimo somnus, in quo animæ in se colle-
« ctæ, nusquam eas distrahente corpore, jucundissimam
« quidem agunt quietem, cum Deo vero conversantes ex
« naturæ cognatione loca omnia peragrant, et multa futura
« prædicunt. Quorsum igitur mortem formidaremus, quum
« quietem in somno diligamus? quomodo non amentiæ sit
« vivendi libertatem affectantibus, sibi eam invidere perpe-
« tuam? Ergo oportebat nos, domesticis institutis imbutos,
« aliis præire voluntate ad moriendum prompta. Attamen
« si fidem etiam ab alienigenis faciendam desideremus, nos-

« πίστεως, βλέψωμεν εἰς Ἰνδοὺς τοὺς σοφίαν ἀσκεῖν
« ὑπισχνουμένους. Ἐκεῖνοί τε γὰρ ὄντες ἄνδρες ἀγαθοὶ
« τὸν μὲν τοῦ ζῆν χρόνον ὥσπερ ἀναγκαίαν τινὰ τῇ
« φύσει λειτουργίαν ἀκουσίως ὑπομένουσι, σπεύδουσι δὲ
« τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ μηδενὸς αὐ-
« τοὺς κατεπείγοντος κακοῦ, μηδὲ ἐξελαύνοντος, πόθῳ
« τῆς ἀθανάτου διαίτης προλέγουσι μὲν τοῖς ἄλλοις ὅτι
« μέλλουσιν ἀπιέναι, καὶ ἔστιν ὁ κωλύσων οὐδείς· ἀλλὰ
« πάντες αὐτοὺς εὐδαιμονίζοντες, πρὸς τοὺς οἰκείους
« ἕκαστοι διδόασιν ἐπιστολάς. Οὕτω βεβαίαν καὶ ἀλη-
« θεστάτην ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαι-
« ταν πεπιστεύκασιν. Οἱ δὲ, ἐπειδὰν ἐπακούσωσι τῶν
« ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες,
« ὅπως δὴ καὶ καθαρωτάτην ἀποχρίνωσι τοῦ σώματος
« τὴν ψυχὴν, ὑμνούμενοι τελευτῶσι. Ῥᾷον γὰρ ἐκεί-
« νους εἰς τὸν θάνατον οἱ φίλτατοι προπέμπουσιν ἢ τῶν
« ἄλλων ἀνθρώπων ἕκαστος τοὺς πολίτας εἰς μηκίστην
« ἀποδημίαν· καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν, ἐκείνους
« δὲ μακαρίζουσιν, ἤδη τὴν ἀθάνατον τάξιν ἀπολαμβά-
« νοντας. Ἆρ' οὖν οὐκ αἰδούμεθα χεῖρον Ἰνδῶν φρο-
« νοῦντες, καὶ διὰ τῆς ἑαυτῶν ἀτολμίας τοὺς πατρίους
« νόμους, οἷς πᾶσιν ἀνθρώποις εἰς ζῆλον ἤκουσιν, αἰσχρῶς
« ὑβρίζοντες; ἀλλ' εἴ γε καὶ τοὺς ἐναντίους ἐξ ἀρχῆς
« λόγους ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν ἀνθρώ-
« ποις ἐστὶ τὸ ζῆν, συμφορὰ δ' ὁ θάνατος, ὁ γοῦν καιρὸς
« ἡμᾶς παρακαλεῖ φέρειν εὐκαρδίως αὐτὸν, Θεοῦ γνώ-
« μῃ καὶ κατ' ἀνάγκας τελευτήσαντας. Πάλαι γὰρ,
« ὡς ἔοικε, κατὰ τοῦ κοινοῦ παντὸς Ἰουδαίων γένους
« ταύτην ἔθετο τὴν ψῆφον ὁ Θεὸς, ὥσθ' ἡμᾶς τοῦ ζῆν
« ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι κατὰ τρό-
« πον. Μὴ γὰρ αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς αἰτίας,
« μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις, ὅτι πάντας ἡμᾶς ὁ
« πρὸς αὐτοὺς πόλεμος διέφθειρεν. Οὐ γὰρ ἐκείνων
« ἰσχύϊ ταῦτα συμβέβηκεν, ἀλλὰ κρειττων αἰτία γενο-
« μένη τὸ δοκεῖν ἐκείνοις νικᾶν παρέσχηκεν. Ποίοις
« γὰρ ὅπλοις Ῥωμαίων τεθνήκασιν οἱ Καισάρειαν Ἰου-
« δαῖοι κατοικοῦντες, ἀλλὰ οὐδὲ μελλήσοντας αὐτοὺς
« ἐκείνων ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην ἑορτά-
« ζοντας, τὸ πλῆθος τῶν Καισαρέων ἐπιδραμὸν, μηδὲ
« χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ καὶ τέκνοις κατέσφα-
« ξαν, οὐδὲ αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ μόνους
« ὡς ἡμᾶς ἡγοῦντο πολεμίους τοὺς ἀφεστηκότας; Ἀλλὰ
« φήσει τις ὅτι Καισαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς
« παρ' αὐτοῖς, καὶ τοῦ καιροῦ λαβόμενοι τὸ παλαιὸν
« μῖσος ἀπεπλήρωσαν. Τί οὖν τοὺς ἐν Σκυθοπόλει
« φῶμεν; ἡμῖν γὰρ ἐκεῖνοι διὰ τοὺς Ἕλληνας πολεμεῖν
« ἐτόλμησαν, ἀλλ' οὐ μετὰ τῶν συγγενῶν ἡμῶν Ῥω-
« μαίους ἀμύνεσθαι. Πολὺ τοίνυν ὤνησεν αὐτοὺς ἡ πρὸς
« ἐκείνους εὔνοια καὶ πίστις, ὑπ' αὐτῶν μέντοι πανοι-
« κεσίᾳ πικρῶς κατεφονεύθησαν, ταύτην τῆς συμμα-
« χίας ἀμοιβὴν ἀπολαβόντες. Ἃ γὰρ ἐκείνους ὑφ'
« ἡμῶν ἐκώλυσαν, ταῦθ' ὑπέμειναν ὡς αὐτοὶ δρᾶσαι
« θελήσαντες. Μακρὸν ἂν εἴη νῦν ἰδίᾳ περὶ ἑκάστων
« λέγειν. Ἴστε γὰρ ὅτι τῶν ἐν Συρίᾳ πόλεων οὐκ

« met convertamus ad sapientiæ professores inter Indos.
« Illi enim viri boni vivendi quidem tempus, quasi neces-
« sarium quoddam naturæ ministerium, inviti obeunt :
« festinant autem animas corporum vinculis expedire; nul-
« loque eos urgente aut exagitante malo, vitæ immortalis
« cupiditate aliis quidem se hinc discessuros esse prædi-
« cunt, nec est qui prohibeat quisquam; sed omnes beatos
« eos appellantes, ad familiares suos singuli aliquid in man-
« datis dant. Ita certam verissimamque animabus esse
« inter se consuetudinem credunt. Ipsi autem mandatis
« acceptis igni tradunt corpora, ut ab omni mortali concre-
« tione purissimæ segregentur animæ, atque ita magna cum
« laude moriuntur. Facilius enim ad mortem eos amicis-
« simi prosequuntur quam aliorum hominum quisquam suos
« cives in longissimam peregrinationem ituros : et se qui-
« dem ipsos deflent, illos vero beatos prædicant, ut in
« immortalium ordinem jam receptos. Non ergo nos pude-
« bit, si ab Indis sapientia superemur, propriaque ignavi
« leges patrias, quæ omnibus hominibus æmulandæ ve-
« nerunt, turpiter dedecoremus? Verum esto quod contra-
« riis institutis educati fuerimus, ut vitam summum esse
« bonum crederemus, mortem vero calamitatem : attamen
« tempus nos adhortatur eam bono animo ferre, ut qui Dei
« voluntate et ex necessitate moriamur. Olim enim,
« ut verisimile est, contra Judæorum genus in universum
« hoc decretum tulit Deus, ut mortem oppeteremus, qui
« eo non eramus usuri propitio. Nam haud fas est
« vobismetipsis causas adscribere, neque Romanis con-
« cedere, quod nos omnes absumpserit bellum contra
« illos gestum. Non enim ex viribus illorum ista acci-
« derunt : sed causa fortior interveniens illis præstitit
« ut vincere viderentur. Quibus enim Romanorum armis
« perempti erant, qui Cæsaream incolebant Judæi, quos
« tamen ne defecturos quidem ab illis, dum vero diem
« septimum celebrarent, aggressa Cæsareensium multitudo,
« non repugnantes cum conjugibus ac liberis mactaverunt,
« neque ipsos reveriti Romanos, qui sicuti nos eos tantum-
« modo hostes judicabant qui defecerant? Sed dicet aliquis
« Cæsareensibus semper cum Judæis apud ipsos fuisse
« discordiam, captatoque opportuno tempore vetus odium
« exsaturasse. Quid ergo de Scythopolitanis dicemus?
« nobiscum enim illi propter Græcos bellum gerere ausi
« sunt, ac non cum consanguineis nostris Romanos ulcisci.
« Multum vero his profuit sua erga illos benevolentia ac
« fides : siquidem ab istis cum totis familiis acerbe trucida-
« ti sunt, pro auxilio suo hanc gratiam consequuti. Nam
« quæ illos a vobis pati prohibuerunt, hæc passi sunt, velut
« ea ipsi committere voluissent. Longum foret, si velim
« nunc separatim de singulis dicere. Nostis enim quod
« Syriæ civitatum nulla est quæ non Judæos in ipsa habi-

« ἔστιν ἥτις τοὺς παρ' αὐτῇ κατοικοῦντας Ἰουδαίους
« οὐκ ἀνῄρηκεν, ἡμῖν πλέον ἢ Ῥωμαῖοι ὄντας πολεμίους,
« ὅπου γε Δαμασκηνοὶ μηδὲ πρόφασιν εὔλογον πλάσαι
« δυνηθέντες, φόνου μιαρωτάτου τὴν αὐτῶν πόλιν ἐνέ-
« πλησαν, ὀκτακισχιλίους πρὸς τοῖς μυρίοις Ἰουδαίους
« ἅμα γυναιξὶ καὶ γενεαῖς ἀποσφάξαντες. Τὸ δὲ ἐν
« Αἰγύπτῳ πλῆθος τῶν μετ' αἰκίας ἀνῃρημένων ἓξ που
« μυριάδας ὑπερβαλεῖν ἐπυνθανόμεθα. Κἀκεῖνοι μὲν
« ἴσως ἐπ' ἀλλοτρίας γῆς οὐδὲν ἀντίπαλον εὑράμενοι
« τοῖς πολεμίοις οὕτως ἀπέθανον, τοῖς δ' ἐπὶ τῆς οἰκείας
« τὸν πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις ἅπασί τε
« ἐλπίδα νίκης ἐχυρᾶς παρασχεῖν δυναμένοις οὐχ ὑπῆρ-
« ξε· καὶ γὰρ ὅπλα καὶ τείχη καὶ φρουρίων δυσάλωτοι
« κατασκευαὶ καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ τῆς ἐλευθε-
« ρίας κινδύνους ἄτρεστον πάντας πρὸς τὴν ἀπόστασιν
« ἐπέρρωσεν. Ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέ-
« σαντα καὶ ταῖς ἐλπίσιν ἡμᾶς ἐπάραντα, μειζόνων
« ἀρχὴ κακῶν ἐφάνη. Πάντα γὰρ ἥλω καὶ πάντα
« τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ εἰς τὴν ἐκείνων εὐ-
« κλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν παρασκευασαμέ-
« νων σωτηρίαν εὐτρεπισθέντα. Καὶ τοὺς μὲν ἐν ταῖς
« μάχαις ἀποθνήσκοντας εὐδαιμονίζειν προσῆκεν (ἀμυ-
« νόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ προέμενοι τεθνή-
« κασι), τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων τίς
« οὐκ ἂν ἐλεήσειεν; ἢ τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ ταῦ-
« τὰ παθεῖν ἐκείνοις ἀποθανεῖν; ὧν οἱ μὲν στρεβλού-
« μενοι καὶ πυρὶ καὶ μάστιξιν αἰκιζόμενοι τεθνήκασιν,
« οἱ δ' ἀπὸ θηρίων ἡμίβρωτοι πρὸς δευτέραν αὐτοῖς
« τροφὴν ζῶντες ἐφυλάχθησαν, γέλωτα καὶ παιδιὰν τοῖς
« πολεμίοις παρασχόντες. Ἐκείνων μὲν οὖν ἀθλιωτά-
« τους ὑποληπτέον τοὺς ἔτι ζῶντας, οἳ πολλάκις εὐχό-
« μενοι τὸν θάνατον λαβεῖν οὐκ ἔχουσι. Ποῦ δ' ἡ
« μεγάλη πόλις ἡ τοῦ παντὸς Ἰουδαίων γένους μητρό-
« πολις, ἡ τοσούτοις μὲν ἐρυμνὴ τειχῶν περιβόλοις,
« τοσαῦτα δ' αὐτῆς φρούρια καὶ μεγέθη πύργων προβε-
« βλημένη, μόλις δὲ χωροῦσα τὰς εἰς τὸν πόλεμον
« παρασκευάς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν ἔχουσα
« τῶν ὑπὲρ αὐτῆς μαχομένων; ποῦ γέγονεν ἡμῖν ἡ τὸν
« Θεὸν ἔχειν οἰκιστὴν πεπιστευμένη; Πρόρριζος ἐκ βά-
« θρων ἀνήρπασται, καὶ μόνον αὐτῆς μνημεῖον ὑπολέ-
« λειπται τὸ τῶν ἀνῃρημένων αὐτὴν στρατόπεδον, ἔτι
« τοῖς λειψάνοις ἐποικοῦν. Πρεσβῦται δὲ δύστηνοι τῇ
« σποδῷ τοῦ τεμένους παρακάθηνται, καὶ γυναῖκες
« ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ τῶν πολεμίων τετη-
« ρημέναι. Ταῦτα τίς ἐν νῷ βαλλόμενος ἡμῶν καρτε-
« ρήσει τὸν ἥλιον ὁρᾶν, κἂν δύνηται ζῆν ἀκινδύνως; τίς
« οὕτω τῆς πατρίδος ἐχθρὸς, ἢ τίς οὕτως ἄνανδρος καὶ
« φιλόψυχος, ὡς μὴ καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι με-
« τανοεῖν; Ἀλλ' εἴθε πάντες ἐτεθνήκειμεν, πρὶν τὴν ἱερὰν
« ἐκείνην πόλιν χερσὶν ἰδεῖν κατασκαπτομένην πολεμίων,
« πρὶν τὸν ναὸν τὸν ἅγιον οὕτως ἀνοσίως ἐξορωρυγμένον.
« Ἐπεὶ δὲ ἡμᾶς οὐκ ἀγεννὴς ἐλπὶς ἐβουκόλησεν ὡς τάχα
« που δυνήσεσθαι πολεμίους ὑπὲρ αὐτῆς ἀμύνεσθαι,
« ῥοὺδη δὲ γέγονε νῦν, καὶ μόνους ἡμᾶς ἐπὶ τῆς

« tantes occiderit, nobis quam Romani magis inimicos :
« siquidem Damasceni, quum ne causam quidem probabilem
« fingere potuissent, civitatem suam cæde maxime nefaria
« oppleverunt, octodecim Judæorum millibus cum conju-
« gibus ac familiis trucidatis. Eorum autem multitudinem
« qui in Ægypto cum cruciatibus perempti sunt, sexa-
« ginta fere millium numerum excedere accipiebamus. Et
« isti quidem fortasse in aliena terra, ubi nihil inve-
« nerant quod hostibus sui in auxilium objicerent, ita
« mortem obierunt : qui vero sua in terra bellum
« contra Romanos susceperunt, et omnibus firmæ victo-
« riæ spem præbere poterant, his non licuit : nam et
« arma et muri et castellorum structuræ inexpugnabiles,
« atque indeterriti spiritus ad pericula pro libertate subeun-
« da, cunctos ad defectionem fortius animarunt. Verum
« ista quum ad breve tempus valuissent, nosque ad spem
« excitassent, majorum malorum visa sunt principium.
« Omnia enim capta erant, omniaque hostibus succubue-
« runt, quasi ut victoriam illis nobiliorem redderent, non
« in salutem eorum a quibus exstructa erant apparata
« fuissent. Et in prœlio quidem morientes beatos prædi-
« cari oportet (se quippe defendentes, nec prodita li-
« bertate, interiere) : eorum vero multitudinis qui a Roma-
« nis subjugati erant quis non misereatur? quisve non, an-
« tequam eadem patiatur ac illi, mori properet? quorum
« quidam torti tamque igne quam verberibus cruciati perie-
« re ; alii vero semesi a bestiis, ut illis in victum iterum
« objicerentur, vivi servati erant, ad risum lusumque fa-
« ciendum hostibus. Et illorum quidem miserrimi habendi
« sunt qui adhuc vivunt, quibus mori non accidit, quod
« illis sæpe optatur. Ubi est autem illa magna civi-
« tas, gentis Judæorum universæ metropolis, tantis qui-
« dem murorum septis munita, tot vero in mœnibus ca-
« stella et magnas turres in propugnacula habens, bellique
« apparatum vix capiens, et tot hominum myriadas pro
« ipsa pugnantium complectens? quid de ea factum est,
« quam Deum inhabitare credidimus? Radicitus ex funda-
« mentis evulsa est, id solum ejus monumentum relictum,
« castra scilicet illorum a quibus excisa est jam reliquiis
« ejus imposita. Senes vero infelices templi cineribus assi-
« dent, et paucæ mulieres ad turpissimam injuriam ab
« hostibus reservatæ. Hæc secum reputans quis nostrûm
« solem aspicere sustinebit, etiamsi vivere sine periculo
« possit? quis inimicus adeo patriæ, quis tam imbellis, aut
« parcus animæ, ut eum non pœniteat vel hucusque vixisse?
« Atqui utinam omnes fuissemus mortui, priusquam illam
« sacram civitatem hostium manibus exscindi videremus,
« priusquam templum tanta impietate funditus erui! Sed
« quoniam spes non ignobilis nos lactavit, quod forte potue-
« rimus pro ea hostes ulcisci, ea autem nunc evanuit, et nos

« ἀνάγκης καταλέλοιπε, σπεύσωμεν καλῶς ἀποθανεῖν·
« ἐλεήσωμεν ἡμᾶς αὐτοὺς καὶ τὰ τέκνα καὶ τὰς γυναῖ-
« κας, ἕως ἡμῖν ἔξεστι παρ' ἡμῶν αὐτῶν λαβεῖν τὸν
« ἔλεον. Ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν, καὶ τοὺς
« ἐξ αὐτῶν ἐγεννήσαμεν, καὶ τοῦτον οὐδὲ τοῖς εὐδαιμο-
« νοῦσιν ἔστι διαφυγεῖν· ὕβρις δὲ καὶ δουλεία καὶ τὸ
« βλέπειν γυναῖκας εἰς αἰσχύνην ἀγομένας μετὰ τέκνων
« οὐκ ἔστιν ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ
« ταῦτα διὰ τὴν αὐτῶν δειλίαν ὑπομένουσιν οἱ παρὸν
« πρὸ αὐτῶν ἀποθανεῖν μὴ θελήσαντες. Ἡμεῖς δ' ἐπ'
« ἀνδρείᾳ μέγα φρονοῦντες Ῥωμαίων ἀπέστημεν, καὶ
« τὰ τελευταῖα νῦν ἐπὶ σωτηρίᾳ προκαλουμένων ἡμᾶς
« οὐχ ὑπηκούσαμεν. Τίνι τοίνυν οὐκ ἔστιν ὁ θυμὸς
« αὐτῶν πρόδηλος, εἰ ζώντων ἡμῶν κρατήσουσιν;
« Ἄθλιοι μὲν οἱ νέοι τῆς ῥώμης τῶν σωμάτων εἰς πολλὰς
« αἰκίας ἀρκέσοντες, ἄθλιοι δ' οἱ παρηβηκότες, φέρειν
« τῆς ἡλικίας τὰς συμφορὰς οὐ δυναμένης. Ὄψεταί
« τις γυναῖκα πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται
« τέκνου, πατέρα βοῶντος χεῖρας δεδεμένον· ἀλλ' ἕως
« εἰσὶν ἐλεύθεραι καὶ ξίφος ἔχουσι, καλὴν ὑπουργίαν
« ἡμῖν ὑπουργησάτωσαν. Ἀδούλωτοι μὲν ὑπὸ τῶν
« πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ μετὰ τέκνων καὶ
« γυναικῶν τοῦ ζῆν συνεξέλθωμεν. Ταῦθ' ἡμᾶς οἱ
« νόμοι κελεύουσι, ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες
« ἱκετεύουσι. Τούτων τὴν ἀνάγκην Θεὸς ἀπέσταλκε,
« τούτων Ῥωμαῖοι τἀναντία θέλουσι, καὶ μή τις ἡμῶν
« πρὸ τῆς ἁλώσεως ἀποθάνῃ δεδοίκασι. Σπεύσωμεν
« οὖν ἀντὶ τῆς ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύ-
« σεως ἔκπληξιν τοῦ θανάτου καὶ θαῦμα τῆς τόλμης
« καταλιπεῖν. »

« solos subdidit necessitati, pulchre mori festinemus : nos-
« trimet ipsi misereamur et conjugum et liberorum, dum no-
« bis licet nobismetipsis misericordiam adhibere. Ad mortem
« namque et ipsi geniti sumus, et ii quos ex nobis genuimus,
« eamque fugere ne fortunati quidem possunt : injuria vero
« et servitus et videre conjuges ad turpitudinem duci cum
« liberis, non est malum hominibus ex naturæ necessitate
« profectum, sed ista præ timiditate sua perferunt qui
« ante eos mori quum licuit noluere. Nos autem animi for-
« titudine valde elati a Romanis defecimus, et postremo
« nunc illis ad salutem hortantibus non paruimus. Cui
« igitur non manifesta est illorum ira, si nos vivos subju-
« gare potuerint? Miserandi quidem adolescentes erunt,
« quorum corporis vires ad multos sufficient cruciatus :
« miserandi autem provectiores, quorum ætas calamitates
« ferre non poterit. Videbit alius conjugem ad vim patien-
« dam abductam; alius manibus revinctis vocem filii pa-
« trem implorantis exaudiet : sed dum liberæ sunt et gla-
« dios habent, pulchrum ministerium nobis præbeant. Ex-
« pertes quidem servitutis hostium moriamur; in libertate
« vero una cum liberis et conjugibus vita decedamus. Hæc
« nobis leges præcipiunt, hæc a nobis conjuges ac liberi
« deprecantur. Horum necessitatem Deus injecit, his con-
« traria Romani volunt, et ne quis nostrûm ante excidium
« pereat metuunt. Festinemus igitur eis, pro sperata po-
« tiundi nostri voluptate, stuporem ex morte et admira-
« tionem relinquere ex audacia. »

ΚΕΦ. Θ'.

Ἔτι γε βουλόμενον αὐτὸν παρακαλεῖν πάντες ὑπε-
τέμνοντο, καὶ πρὸς τὴν πρᾶξιν ἠπείγοντο, ἀνεπισχέτου
τινὸς ὁρμῆς πεπληρωμένοι, καὶ δαιμονῶντες ἀπῆσαν,
ἄλλος πρὸ ἄλλου φθάσαι γλιχόμενος, καὶ ταύτην ἐπί-
δειξιν εἶναι τῆς ἀνδρείας καὶ τῆς εὐβουλίας νομίζοντες,
τὸ μή τις ἐν ὑστάτοις γενόμενος ὀφθῆναι· τοσοῦτος
αὐτοῖς γυναικῶν καὶ παιδίων καὶ τῆς αὐτῶν σφαγῆς
ἔρως ἐνέπεσεν. Καὶ μὴν οὐδ' ὥσπερ ἄν τις ᾠήθη τῇ
πράξει προσιόντες ἠμβλύνθησαν, ἀλλ' ἀτενῆ τὴν γνώ-
μην διεφύλαξαν, οἷαν ἔσχον τῶν λόγων ἀκροώμενοι,
τοῦ μὲν οἰκείου καὶ φιλοστόργου πάθους ἅπασι παρα-
μένοντος, τοῦ λογισμοῦ δ' ὡς τὰ κράτιστα βεβουλευ-
κότος τοῖς φιλτάτοις ἐπικρατοῦντος. Ὁμοῦ γὰρ ἠ-
σπάζοντο γυναῖκας περιπτυσσόμενοι καὶ τέκνα προσηγ-
καλίζοντο, τοῖς ὑστάτοις φιλήμασιν ἐμφυόμενοι καὶ
δακρύοντες, ὁμοῦ δὲ, καθάπερ ἀλλοτρίαις χερσὶν ὑπουρ-
γούμενοι, συνετέλουν τὸ βούλευμα, τὴν ἐπίνοιαν ὧν
πείσονται κακῶν ὑπὸ τοῖς πολεμίοις γενόμενοι παρα-
μύθιον τῆς ἐν τῷ κτείνειν ἀνάγκης ἔχοντες. Καὶ πέ-
ρας οὐδεὶς τηλικούτου τολμήματος ἤττων ηὑρέθη, πάν-
τες δὲ διὰ τῶν οἰκειοτάτων διεξῆλθον. Ἄθλιοι τῆς ἀνάγ-
κης, οἷς αὐτοχειρὶ γυναῖκας τὰς αὐτῶν καὶ τέκνα

CAP. IX. (XXXV.)

Ipsum, quum in adhortatione pergere vellet, omnes inter-
pellabant, et effrenato quodam impetu pleni ad rem agen-
dam festinabant, dæmonioque afflati abierunt, alius alium
prævenire cupiens, hoc fortitudinis rectique consilii argu-
mentum esse apertum existimantes, ne quis inter extremos
conspiceretur : tantus eos et conjugum et liberorum et pro-
priæ cædis amor invasit. Sed nec (id quod aliquis putaverit)
retundebatur eorum impetus quum ad facinus accederent,
sed eam fixam in animis servavere sententiam, quam, quum
dicta perciperent, habuerunt : proprio quidem et naturali
afflatu cunctis permanente, cogitatione vero ista, quod
optime liberis consuluissent, prævalente. Simul enim cum
amplexibus uxores salutabant, et liberos ulnis suis excipie-
bant, osculis extremis cum fletu inhærentes : simulque, tan-
quam manibus alienis jussa peragentes, volentes eos confi-
gebant : malorum, quæ subditi hostibus passuri fuerunt,
cogitationem habentes pro solatio necessitatis qua ad cædem
adigebantur. Denique nemo inventus est qui tam immane
facinus patrare non audebat; cuncti autem conjunctissi-
mos transfixere. Miseri, quibus id necesse erat, quibus-
que uxores suas atque liberos manibus suis occidere, ma-

κτεῖναι κακῶν ἔδοξεν εἶναι τὸ κουφότατον. Οὗτοι δὴ τοίνυν τὴν ἐπὶ τοῖς πεπραγμένοις ὀδύνην οὐκέτι φέροντες καὶ τοὺς ἀνῃρημένους νομίζοντες ἀδικεῖν, κἂν βραχὺν αὐτοῖς ἔτι χρόνον ἐπιζήσωσι, ταχὺ μὲν τὴν κτῆσιν ἅπασαν εἰς ταὐτὸ σωρεύσαντες, πῦρ εἰς αὐτὴν ἐνέβαλον, κλήρῳ δ' ἐξ αὐτῶν ἑλόμενοι δέκα τοὺς ἁπάντων σφαγεῖς ἐσομένους, καὶ γυναικί τις αὐτὸν καὶ παισὶ κειμένοις παραστρώσας καὶ τὰς χεῖρας περιβαλὼν παρεῖχον ἑτοίμους τὰς σφαγὰς τοῖς τὴν δύστηνον ὑπουργίαν ἐκτελοῦσιν. Οἱ δὲ ἀτρέστως πάντας φονεύσαντες τὸν αὐτὸν ἐπ' ἀλλήλοις τοῦ κλήρου νόμον ὥρισαν, ἵν' ὁ λαχὼν τοὺς ἐννέα κτείνας ἑαυτὸν ἐπὶ πᾶσιν ἀνέλῃ. Πάντες οὕτως ἐθάρρουν ἑαυτοῖς μήτ' εἰς τὸ δρᾶν μήτ' εἰς τὸ παθεῖν ἄλλος ἄλλου διαφέρειν. Καὶ τέλος οἱ μὲν τὰς σφαγὰς ὑπέθεσαν, ὁ δ' εἷς καὶ τελευταῖος τὸ πλῆθος τῶν κειμένων περιαθρήσας, μή πού τις ἔτι ἐν πολλῷ φόνῳ τῆς αὐτοῦ λείπεται χειρὸς δεόμενος, ὡς ἔγνω πάντας ἀνῃρημένους, πῦρ μὲν τοῖς βασιλείοις ἐνίησιν, ἀθρόᾳ δὲ τῇ χειρὶ δι' αὐτοῦ πᾶν ἐλάσας τὸ ξίφος πλησίον τῶν οἰκείων κατέπεσε. Καὶ οἱ μὲν ἐτεθνήκεσαν ὑπειληφότες οὐδὲν ἔχον ψυχὴν ὑποχείριον ἐξ αὐτῶν Ῥωμαίοις καταλιπεῖν, ἔλαθε δὲ γυνὴ πρεσβῦτις καὶ συγγενὴς ἑτέρα τις Ἐλεαζάρου, φρονήσει καὶ παιδείᾳ πλείστων γυναικῶν διαφέρουσα, καὶ πέντε παιδία τοῖς ὑπονόμοις, οἳ ποτὸν ἦγον ὕδωρ διὰ γῆς, ἐγκατακρυβῆναι, τῶν ἄλλων πρὸς τῇ σφαγῇ τὰς διανοίας ἐχόντων, οἳ τὸν ἀριθμὸν ἦσαν ἑξήκοντα πρὸς τοῖς ἐννακοσίοις, γυναικῶν ἅμα καὶ παίδων αὐτοῖς συναριθμουμένων. Καὶ τὸ πάθος ἐπράχθη πεντεκαιδεκάτῃ Ξανθικοῦ μηνός.

(ΛϚ'.) β'. Οἱ δὲ Ῥωμαῖοι μάχην ἔτι προσδοκῶντες ὑπὸ τὴν ἕω διασκευασάμενοι, καὶ τὰς ἀπὸ τῶν χωμάτων ἐφόδους ταῖς ἐπιβάθραις γεφυρώσαντες, προσβολὴν ἐποίουν. Βλέποντες δ' οὐδένα τῶν πολεμίων, ἀλλὰ δεινὴν πανταχόθεν ἐρημίαν, καὶ πῦρ ἔνδον καὶ σιωπήν, ἀπόρως εἶχον τὸ γεγονὸς συμβαλεῖν· καὶ τέλος ὡς εἰς ἄφεσιν βολῆς ἠλάλαξαν, εἴ τινα τῶν ἔνδον προκαλέσαιντο. Τῆς δὲ βοῆς αἴσθησις γίνεται τοῖς γυναίοις, κἀκ τῶν ὑπονόμων ἀναδῦσαι τὸ πραχθὲν, ὡς εἶχε, πρὸς τοὺς Ῥωμαίους ἐμήνυον, πάντα τῆς ἑτέρας ὡς ἐλέχθη τε καὶ τίνα τρόπον ἐπράχθη σαφῶς ἐκδιηγουμένης. Οὐ μὴν ῥᾳδίως αὐτῇ προσεῖχον τῷ μεγέθει τοῦ τολμήματος ἀπιστοῦντες, ἐπεχείρουν τε τὸ πῦρ σβεννύναι, καὶ ταχέως ὁδὸν δι' αὐτοῦ τεμόντες τῶν βασιλείων ἐντὸς ἐγένοντο. Καὶ τῷ πλήθει τῶν πεφονευμένων ἐπιτυχόντες, οὐχ ὡς ἐπὶ πολεμίοις ἥσθησαν, τὴν δὲ γενναιότητα τοῦ βουλεύματος καὶ τὴν ἐν τοσούτοις ἄτρεπτον ἐπὶ τῶν ἔργων ἐθαύμασαν τοῦ θανάτου καταφρόνησιν.

ΚΕΦ. Ι'.

Τοιαύτης δὲ τῆς ἁλώσεως γενομένης ἐπὶ μὲν τοῦ φρουρίου καταλείπει φυλακὴν ὁ στρατηγὸς, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀπῆλθεν εἰς Καισάρειαν. Οὐδὲ γὰρ ὑπελείπετό τις τῶν κατὰ τὴν χώραν πολεμίων,

lorum videbatur esse levissimum. Isti igitur dolorem ex iis quæ perpetrarunt non jam ferentes, et interfectos læsos existimantes, si vel brevissimum tempus eis forent superstites, statim quidem, quum opes universas congessissent, ignem eis injiciunt; et decem viris sorte delectis a quibus omnes mactarentur, quum singuli se juxta conjuges ac liberos humi jacentes prostravissent, eosque complexibus tenuissent, sine mora jugulum dabant illis, qui miserum ministerium obibant. Isti autem, intrepide cunctis occisis, eandem sortis legem alii erga alios statuerunt, ut, cui id sorte evenerat, novem sociis interfectis semet super omnes occideret. Ita omnes sibi confidebant, ut neque in audendo neque in sustinendo facinore alius alii præstaret. Et ad extremum ceteri quidem jugula supposuerunt, unus vero isque novissimus, multitudine jacentium circumspecta, ne quis forte in multa cæde superesset qui suæ manus egeret, ut intellexit omnes occisos, regiam incendit, valida vero manu adacto per totum corpus ense, prope suos occidit. Et illi quidem perierunt, nihil credentes animam habens ex numero suo Romanis subditum reliquisse : latuit autem una mulier grandæva et alia quædam Eleazari cognata, doctrina et sapientia plerisque mulierum præstans, et quinque pueri in cuniculis, qui aquam sub terra potui ducebant, abditi, quum alii cædibus occupatas mentes haberent, qui erant noningenti numero et sexaginta cum mulieribus simul ac pueris. Atque hæc calamitas accidit quinto decimo die Xanthici mensis.

(XXXVI.) 2. Romani autem adhuc pugnam exspectantes, mane sub armis stantes, et ab aggeribus scalarum pontibus junctis, impetum faciebant. Quum autem hostium neminem cernerent, sed circumquaque magnam solitudinem, ignemque intus et silentium, illos quid factum esset conjicere fugiebat; tandemque ululatum, velut ad impulsum arietis, dederunt, si quem forte intus provocarent. Clamorem autem senserunt mulierculæ, atque, e cuniculis emersæ, factum Romanis ut erat indicarunt, altera earum qualiter omnia dicta fuerint et quomodo gesta narrante manifeste. Non tamen facile illi auscultabant, ausus magnitudini parum credentes, ignemque exstinguere conabantur, et per hunc secta via cito regiam ingressi sunt. Quumque in cæsorum multitudinem incidissent, non ut de hostibus gaudio gestiebant, sed generosum virorum consilium inque tot numero, qui intrepidum facinus patrarent, mortis contemptum sunt admirati.

CAP. X. (XXXVII.)

Facto autem ad hunc modum excidio, in castello quidem præsidium dux relinquit, ipse vero cum exercitu Cæsaream profectus est. Nec enim quisquam supererat in illa regione hostium, sed jam tota ex bello longo fuerat subversa,

ἀλλ' ἤδη πᾶσα οἷα μακροῦ τοῦ πολέμου κατέστραπτο, πολλοῖς καὶ τῶν ἀπωτάτω κατοικούντων αἴσθησιν καὶ κίνδυνον ταραχῆς παρασχόντος. Ἔτι δὲ καὶ περὶ Ἀλεξάνδρειαν τὴν ἐν Αἰγύπτῳ μετὰ ταῦτα συνέβη πολλοὺς Ἰουδαίων ἀποθανεῖν. Τοῖς γὰρ ἐκ τῆς στάσεως τῶν σικαρίων ἐκεῖ διαφυγεῖν δυνηθεῖσιν οὐκ ἀπέχρη τὸ σώζεσθαι, πάλιν δὲ καινοτέροις ἐνεχείρουν πράγμασι καὶ πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον τῆς ἐλευθερίας ἀντιποιεῖσθαι, καὶ Ῥωμαίους μὲν μηδὲν κρείττους αὑτῶν ὑπολαμβάνειν, Θεὸν δὲ μόνον ἡγεῖσθαι δεσπότην. Ἐπεὶ δ' αὐτοῖς τῶν οὐκ ἀφανῶν τινες Ἰουδαίων ἀντέβαινον, τοὺς μὲν ἀπέσφαξαν, τοῖς δ' ἄλλοις ἐνέκειντο πρὸς τὴν ἀπόστασιν παρακαλοῦντες. Ὁρῶντες δ' αὐτῶν τὴν ἀπόνοιαν οἱ πρωτεύοντες τῆς γερουσίας οὐκέτ' ἀσφαλὲς αὑτοῖς ἐνόμιζον περιορᾶν, ἀλλὰ πάντας ἀθροίσαντες εἰς ἐκκλησίαν τοὺς Ἰουδαίους ἤλεγχον τὴν ἀπόνοιαν τῶν σικαρίων, πάντων αἰτίους ἀποφαίνοντες ἐκείνους τῶν κακῶν· « καὶ νῦν ἔφασαν αὐτοὺς, ἐπείπερ οὐδὲ πεφευγότες τῆς σωτηρίας ἐλπίδα βεβαίαν ἔχουσι (γνωσθέντας γὰρ ὑπὸ Ῥωμαίων εὐθὺς ἀπολεῖσθαι), τῆς αὐτοῖς προσηκούσης συμφορᾶς ἀναπιμπλάναι τοὺς μηδενὸς τῶν ἁμαρτημάτων μετασχόντας. » Φυλάξασθαι τοίνυν τὸν ἐξ αὐτῶν ὄλεθρον τὸ πλῆθος παρεκάλουν, καὶ περὶ αὐτῶν πρὸς Ῥωμαίους ἀπολογήσασθαι τῇ τούτων παραδόσει. Συνιδόντες οὖν τοῦ κινδύνου τὸ μέγεθος ἐπείσθησαν τοῖς λεγομένοις, καὶ μετὰ πολλῆς ὁρμῆς ἐπὶ τοὺς σικαρίους ἅξαντες συνήρπαζον αὐτούς. Τῶν δ' ἑξακόσιοι μὲν εὐθὺς ἑάλωσαν, ὅσοι δ' εἰς τὴν Αἴγυπτον καὶ τὰς ἐκεῖ Θήβας διέφυγον, οὐκ εἰς μακρὰν συλληφθέντες ἐπανήχθησαν· ἐφ' ὧν οὐκ ἔστιν ὅς οὐ τὴν καρτερίαν καὶ τὴν εἴτε ἀπόνοιαν εἴτε τῆς γνώμης ἰσχὺν χρὴ λέγειν οὐ κατεπλάγη. Πάσης γὰρ ἐπ' αὐτοὺς βασάνου καὶ λύμης τῶν σωμάτων ἐπινοηθείσης, ἐφ' ἓν τοῦτο μόνον, ὅπως αὐτῶν Καίσαρα δεσπότην ὁμολογήσωσιν, οὐδεὶς ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν, ἀλλὰ πάντες ὑπερτέραν τῆς ἀνάγκης τὴν αὐτῶν γνώμην διεφύλαξαν, ὥσπερ ἀναισθήτοις σώμασι, χαιρούσῃ μονονουχὶ τῇ ψυχῇ τὰς βασάνους καὶ τὸ πῦρ δεχόμενοι. Μάλιστα δ' ἡ τῶν παίδων ἡλικία τοὺς θεωμένους ἐξέπληξεν· οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη Καίσαρα δεσπότην ἐξονομάσαι. Τοσοῦτον ἄρα τῆς τῶν σωμάτων ἀσθενείας ἡ τῆς τόλμης ἰσχὺς ἐπεκράτει.

β'. Λοῦπος τότε διῴκει τὴν Ἀλεξάνδρειαν καὶ περὶ τοῦ κινήματος τούτου Καίσαρι κατὰ τάχος ἐπέστειλεν. Ὁ δὲ τῶν Ἰουδαίων τὴν ἀκατάπαυστον ὑφορώμενος νεωτεροποιίαν, καὶ δείσας μὴ πάλιν εἰς ἓν ἀθρόοι συλλεγῶσι καί τινας αὐτοῖς συνεπισπάσωνται, προσέταξε τῷ Λούπῳ τὸν ἐν τῇ Ὀνίου καλουμένῃ νεὼν καθελεῖν τῶν Ἰουδαίων. Ἡ δέ ἐστιν ἐν Αἰγύπτῳ καὶ διὰ τοιαύτην αἰτίαν ᾠκίσθη τε καὶ τὴν ἐπίκλησιν ἔλαβεν. Ὀνίας Σίμωνος υἱὸς, εἷς τῶν ἐν Ἱεροσολύμοις ἀρχιερέων, φεύγων Ἀντίοχον τὸν Συρίας βασιλέα πολεμοῦντα τοῖς Ἰουδαίοις, ἦκεν εἰς Ἀλεξάνδρειαν. Καὶ

quod in causa erat ut multos, etiam loca procul remota incolentes, perturbatio attingeret ac periculum. Præterea etiam Alexandriæ in Ægypto postea accidit ut multi Judæorum cæderentur. Istos enim ex sicariorum factione, qui illic effugium assequi potuerunt, non satis erat in tuto esse; verum iterum novas res moliebantur, et multis hospitum suorum persuadebant ut se in libertatem assererent, et Romanos quidem nihil ipsis meliores putarent, Deum vero pro solo domino haberent. Quum autem Judæorum quidam non ignobiles iis adversarentur, eos quidem occiderunt, ceteris vero instabant ad defectionem eos stimulantes. Illorum autem vecordiam et amentiam quum viderent senatus primores, haud amplius sibi tutum esse arbitrabantur rem negligere; sed, Judæis omnibus ad concionem vocatis, sicariorum temeritatem arguebant, illos omnium malorum causam esse demonstrantes: « et nunc, aiebant, illos, quoniam ne quum fugissent quidem certam spem salutis habere videantur (a Romanis etenim cognitos statim perituros esse), sibi debita calamitate replere eos qui nullius fuissent delicti participes. » Populum itaque hortabantur ut exitium ab illis caverent, atque semet illorum traditione Romanis excusarent. Intellecta igitur periculi magnitudine dictis paruerunt, multoque impetu in sicarios facto eos corripiebant. Illorumque sexcenti statim capti sunt; quotquot vero in Ægyptum Thebasque illius regionis effugerant, non multo post comprehensi reductique sunt: quorum non est qui animi duritiam, sive desperatio sive voluntatis pertinacia sit dicenda, non obstupuerit. Nam omni genere tormentorum et corporis vexatione in eos excogitata ob hoc solummodo, ut Cæsarem dominum agnoscerent, nemo cessit, neque id dicere velle visus est; sed omnes animos necessitate superiores conservarunt, ut qui corporibus sensu carentibus, animabus tantum non lætitia gestientibus cruciatus ignemque susciperent. Maxime autem puerorum ætas spectatores obstupefecit: nam ne ab illorum quidem ullo exprimi potuit ut Cæsarem dominum appellarent. Usque adeo corporum infirmitati prævalebat audaciæ vis.

2. Lupus tunc Alexandriam administrabat, et hunc motum illico per literas Cæsari significavit. Ille autem Judæos a rebus novis moliendis nunquam cessaturos esse suspicans, veritusque ne rursus in unum congregarentur et quosdam sibi adjungerent, præcepit Lupo ut templum Judæorum, in ea regione exstructum quæ Oniæ regio dicitur, demolitum iret. Est autem illa in Ægypto, et ex hujusmodi causa condita est nomenque habuit. Onias Simonis filius, unus e pontificibus Hierosolymitanis, fugiens Antiochum regem Syriæ cum Judæis bellum gerentem, Alexandriam venit. Quumque eum humaniter excepisset

δεξαμένου Πτολεμαίου φιλοφρόνως αὐτὸν, διὰ τὴν πρὸς Ἀντίοχον ἀπέχθειαν, ἔφη σύμμαχον αὐτῷ ποιήσειν τὸ τῶν Ἰουδαίων ἔθνος, εἰ πεισθείη τοῖς ὑπ' αὐτοῦ λεγομένοις. Ποιήσειν δὲ τὰ δυνατὰ τοῦ βασιλέως ὁμολογήσαντος ἠξίωσεν ἐπιτρέπειν αὐτῷ νεών τέ που τῆς Αἰγύπτου κατασκευάσασθαι καὶ τοῖς πατρίοις ἔθεσι θεραπεύειν τὸν Θεόν· οὕτω γὰρ Ἀντιόχῳ μὲν ἔτι μᾶλλον ἐκπολεμώσεσθαι τοὺς Ἰουδαίους, τὸν ἐν Ἱεροσολύμοις νεὼν πεπορθηκότι, πρὸς αὐτὸν δ' εὐνοϊκωτέρως ἔξειν καὶ πολλοὺς ἐπ' ἀδείᾳ τῆς εὐσεβείας ὡς αὐτὸν συλλεγήσεσθαι.

